2. Ἄρτι δὲ καὶ εἰς μνήμην ἐλθὼν τοῦ κατὰ τὸ Φιλομίλιον μοναχοῦ ἔγνω δώροις καὶ ἀναθήμασιν αὐτὸν τῆς ἐπ' αὐτῷ προφητείας ἀμείψασθαι. ἐξαπέστειλε γοῦν τινα τῶν οἱ πιστοτάτων, ἀναθήματά τε ὡς αὐτὸν κομίζοντα καὶ ἔπιπλα καὶ σκεύη ἀργύρεα καὶ χρύσεα καὶ εἴδη εὐώδη τῶν εἰς ἡμᾶς ἐξ Ἰνδίας κομιζομένων. ἀλλ' ἐκεῖνος μὲν ὁ μοναχὸς ἔτυχε προαποθανών, κατέστη δὲ τῇ κέλλῃ αὐτοῦ διάδοχος μοναχός τις ἄλλος τὴν κλῆσιν Σαββάτιος, τῆς ἀθέου τῶν εἰκονομάχων αἱρέσεως ἀνάπλεως ὤν. ἐς τοῦτον ὁ παρὰ βασιλέως πεμφθεὶς ἀφικόμενος τά τε ἀπεσταλμένα τῷ αὐτοῦ καθηγητῇ παρὰ βασιλέως δῶρα δέξασθαι παρηγγύα καὶ γράμμασι καὶ εὐχαῖς τὸν πέμψαντα ἀνταμείψασθαι. ὁ δὲ τὰ μὲν ἀπεσταλμένα λαβεῖν οὐκ ἠθέλησεν, αὐτὸν δὲ ὀπισθόρμητον ἀπιέναι παρεκελεύετο, ἀνάξιον εἶναι λέγων καὶ τὸν βασιλέα τῆς ἁλουργίδος, ὡς εἰδώλοις προστετηκότα καὶ τοῖς λόγοις ἑπόμενον Εἰρήνης τῆς βασιλίδος καὶ Ταρασίου τοῦ πατριάρχου, ὧν τὴν μὲν παρδὼ καὶ θυάδα τὴν Εἰρήνην, τὸν δὲ τὸν ἐν πατριάρχαις ἀοίδιμον Ταράξιον κατωνόμαζεν ὁ παμμίαρος, ἠπείλει δὲ καὶ ταχεῖαν ἔκπτωσιν τῆς βασιλείας τῷ βασιλεῖ καὶ τοῦ βίου καταστροφήν, εἰ μὴ | θᾶττον τοῖς αὐτοῦ λόγοις πεισθεὶς τὰς θείας καταστρέψειε στηλογραφίας. δεξάμενος δὲ τὰ γράμματα ὁ αὐτοκράτωρ καὶ παρὰ τοῦ ἀγγέλου δὲ μαθών, ὅσα τε ὁ μοναχὸς εἶπε, καὶ ὅσα αὐτὸς ἤκουσε, καὶ ταραχῆς ἀνάπλεως γεγονὼς Θεόδοτον μετεπέμψατο τὸν Μελισσηνὸν καὶ περὶ τοῦ σκέμματος ἀνεκοινοῦτο τὰ ποιητέα. ὁ δὲ καὶ πάλαι τῇ τοιαύτῃ αἱρέσει κατισχημένος, καὶ καιρὸν ζητῶν παρρησιάσασθαι τὴν ἀσέβειαν, ὑποτίθησι τῷ βασιλεῖ τοιάνδε τινὰ συμβουλίαν· μοναχόν τινα φήσας εἶναι ἔργων παραδόξων δημιουργὸν τὰς οἰκήσεις ποιούμενον ἀνὰ τὸν Δαγιστέα, 'τούτῳ δεῖ', φησί, 'προσαναθέσθαι τὴν πρᾶξιν· καὶ ὅπερ ἂν ἐκεῖνος ὑπόθοιτο, τοῦτο δὴ καὶ ποιητέον.' καὶ ταῦτα μὲν εἶπε πρὸς τὸν βασιλέα, ἐκεῖθεν δὲ ἐξελθὼν ἄπεισι ταχέως πρὸς τὸν μονάζοντα καὶ φησὶ πρὸς αὐτόν, ὡς

cap. 2: Gen. 13,12—16, 14; Theoph. Cont. 26, 9—30, 5; Zon. III, 322, 9—325, 16; Glyc. 533, 8—534, 5.

ACVMN FH 52 τῶν ante τροπ. add. MNFH 53 χερσὶ πραγμ. εἴχ. AC 56 ἐπ' αὐτὸν M ἀμείψεσθαι A 57 οἱ om. C 58 ἀργύρεα VMN: ἄργυρα AC 59 ἐς ἡμᾶς A διακομιζομένων A 60 μοναχός om. M 61 τὴν κλῆσιν VMN: τῇ κλήσει AC 63 δῶρα om. M 64 ἀνταμείψεσθαι A 66 ἰέναι C 67/68 λόγ. Εἰρ. τῆς βασ. ἑπόμ. A 69 κατονομάζειν M 70 καὶ om. C 75/76 τὸ ποιητέον A 77 παρρησιάσεσθαι A 78 εἶναι om. MN 79 τὰς οἰκ. ἀνὰ τὸν Δαγ. ποι. A 80/81 τοῦτο — ποιητέον ACV: τοῦτο (τούτῳ M) δὴ (corr. in δεῖ N) καὶ ποιῆσαι MNFH 81 ἐκεῖθέν τε M

'τῇ ἐπιούσῃ νυκτὶ ἐλεύσεταί σοι ὁ βασιλεὺς ἐν εὐτελεῖ τῇ περιβολῇ ἐρωτήσων περί τε πίστεως καὶ ἄλλων ἀναγκαιοτάτων πραγμάτων. σὺ δὲ ἀλλὰ μέμνησο ταχεῖάν τε τοῦ βίου καταστροφὴν καὶ τῆς βασιλείας ἔκπτωσιν ἀπειλῆσαι αὐτῷ, εἰ μὴ ἑκών γε αἱροῖτο τῷ τοῦ βασιλέως Λέοντος τοῦ ἐξ Ἰσαυρίας προσθεῖναι δόγματι καὶ τὰ εἴδωλα τῶν θείων σηκῶν ἐξορίσαι (τὰς ἱερὰς εἰκόνας οὕτω καλέσας), ἐπαγγείλασθαί τε τοῦ εἰρημένου βίου γενόμενον ζωῆς τε μακρὰν βιοτὴν καὶ τῆς βασιλείας κυβέρνησιν εὐτυχῆ τε καὶ πολυχρόνιον. οὕτω παιδαγωγήσας τὸν μοναχὸν καὶ ἃ μέλλοι λέγειν ὡς βασιλέα παιδεύσας ἐπάνεισι. μετὰ μικρὸν δὲ καὶ τὸν βασιλέα νυκτὸς ἐν ταπεινῷ τῷ σχήματι | προσλαβόμενος ἔρχεται πρὸς τὸν μοναχὸν καί, τῆς διαλέξεως ἤδη λαμβανούσης ἀρχήν, ἔγγιστα τὸν βασιλέα παραστησάμενος ὁ μοναχὸς ὡς τάχα προεγνωκὼς ἐκ θείας ἐπιπνοίας τὸ βασιλικὸν ἀξίωμα 'οὐκ εὔλογα' ἔφη, 'ποιεῖς, ὦ βασιλεῦ, παραλογιζόμενος ἡμᾶς τῇ ἰδιωτικῇ ἀμπεχόνῃ καὶ τὸν ἔνδον αὐτῆς κρυπτόμενον ἐπικαλύπτων βασιλέα. ἀλλ' εἰ καὶ σὺ μὲν οὕτως, ἀλλ' ἡ τοῦ θείου πνεύματος χάρις ἡμᾶς οὐκ εἴασεν ἐπὶ πλέον οὕτω κατασοφίζεσθαι ὑπὸ σοῦ'. τοῦτο ὡς ἤκουσεν ὁ βασιλεύς, καὶ ὡς οὐκ ἔλαθεν ἐν εὐτελεῖ προσχήματι τὸ βασιλικὸν κρύπτων ἀξίωμα, κατεπλάγη τε, ὡς ἦν εἰκὸς τὸν τὸ σκαιώρημα ἀγνοοῦντα, καὶ τόν τε μοναχὸν ὡς θεῖον ἄνδρα ἐγνώρισε καὶ τὰ προσταττόμενα παρ' αὐτοῦ εὐπειθῶς καὶ μετὰ ταχυτῆτος ποιήσειν ἐπήγγελτο καὶ τῶν σεβασμίων εἰκόνων ἐπιψηφίζει καθαίρεσιν. καὶ πρότερον μὲν ἐν τῷ λεληθότι διεσκοπεῖτο, πῶς ἂν αὐτῷ ἐκτελεσθείη τὸ σπούδασμα, καὶ μή τις στάσις ἀνεγερθείη περὶ τὴν ἐκκλησίαν, ἔπειτα καὶ εἰς τοὐμφανὲς τὸ δόγμα ἐξήνεγκε καὶ τῶν ἐν τέλει καὶ τῶν τῆς ἐκκλησίας οἱ μὲν ἑκόντες, οἱ δὲ καὶ ἄκοντες ὑπέκυπτον τῷ προστάγματι. ἠναγκάζετο δὲ καὶ ὁ μέγας ἐν πατριάρχαις ἀοίδιμος Νικηφόρος ἐν τῷ τῆς καθαιρέσεως τῶν ἁγίων εἰκόνων ὑποσημήνασθαι τόμῳ. ὃν μηδαμῶς πειθαρχήσαντα ὑπερόριον ἀνὰ τὴν Προικόννησον τίθησι πάλαι προαισθόμενον τὴν τοῦ Λέοντος σκαιοτροπίαν, καὶ ὡς κυκήσοι οὗτος καὶ συνταράξοι τὰ τῆς ἐκκλησίας. ἔδοξε γὰρ τῷ μακαρίτῃ Νικηφόρῳ, ὁπηνίκα τὸ διάδημα περιετίθει τῇ τοῦ Λέοντος κεφαλῇ, ἀκάνθαις καὶ τριβόλοις τὴν χεῖρα περιπαρῆναι, καὶ τοῦτο σύμβο|λον καὶ οἰωνὸν ἔθετο τῶν μετὰ ταῦτα συμβεβηκότων κακῶν. ἀπαγομένῳ

11 fortasse mense Mart. a. 815

ACVMN FH 83 τῇ ante περιβ. om. M 85 τὴν ante τοῦ βίου add. A 87 δόγματος C 95 εὔλογα VMN: εὔλογον AC 1 ἰδιωτικῇ VMN Gen. 15, 4: εὐτελεῖ AC 2 ἐπικαλύπτων ACV: ἐπικαλύπτεις MNF: ἐπικαλύπτης H ἀλλ': πλὴν A 5 ἀξίωμα κρύπτων M 10 ἀνεγερθείη VMN: συμβαίη A: συμβῇ C 12 καὶ ante ἄκοντ. om. AC 14 εἰκόνων om. M 17 κυκήσοι AVMN: κυκήσει CF συνταράξοι A: συνταράξει CVMNF τὰ τῆς: τὰς M 18 τούτῳ post Νικηφ. add. A 20 ἀπαγομένου M

δὲ τῷ μεγάλῳ πρὸς τὴν ὑπερορίαν ὁ ὁμολογητὴς Θεοφάνης ὁ τῆς τοῦ Ἀγροῦ μονῆς καθηγούμενος, αἰσθόμενος ἐξ ἐπιπνοίας θεϊκῆς τὴν διέλευσιν τούτου κατ' ἀγρόν τινα ἐνδιατρίβων, θυμιάμασι καὶ κηροῖς προὔπεμπεν αὐτὸν μετὰ τῆς νηὸς διϊόντα. αὐτός τε ὁ πατριάρχης προσκυνήσεσιν ἐσχάταις ἐδεξιοῦτο καὶ ἐκτάσει χειρὸς καὶ εὐλογίαις αὐτὸν ἀντησπάζετο, μὴ θεώμενος μὴ θεώμενον, ἀλλὰ τοῖς πνευματικοῖς ὀφθαλμοῖς ἀλλήλους ἰδόντες καὶ τὸ προσῆκον ἕκαστος ἀπονέμοντες σέβας. τῶν συμπλεόντων δέ τινος ἠρωτηκότος τὸν πατριάρχην 'πρὸς τίνα, ὦ δέσποτα, τὰς χεῖρας αἴρων εἰς ὕψος τὸν ἀσπασμὸν ἐποίου;' 'πρὸς τὸν ὁσιώτατον', ἔφη, 'καὶ ὁμολογητὴν Θεοφάνην τὸν καθηγητὴν τοῦ Ἀγροῦ λαμπάσι καὶ θυμιάμασιν ἡμᾶς δεξιούμενον.' μετ' οὐ πολὺ δὲ καὶ ἡ τοῦ πατριάρχου ἐξέβη εἰς ἔργον πρόρρησις. μετὰ πολλῶν γὰρ καὶ ἄλλων ἐν οὐ μακρῷ τῆς ἐκκλησίας ἀφορισθεὶς καὶ πολλαῖς καὶ ἀπείροις κακώσεσιν ὑποβληθεὶς τὸν τῆς ὁμολογίας ἀνεδήσατο στέφανον, μηκέτι θεάσασθαι τοῦ λοιποῦ τὸν πατριάρχην ἀξιωθείς, ἵνα μηδ' ἐν τούτῳ διαπέσῃ ἡ τούτου πρόρρησις. ὑπερορίᾳ δὲ τοῦ πατριάρχου παραπεμφθέντος, ὡς εἴπομεν, ἄνεισιν ἀναξίως εἰς τὸν τῆς ἀρχιερωσύνης θρόνον κατ' αὐτὴν τὴν τῆς ἀναστάσεως τοῦ κυρίου ἡμέραν Θεόδοτος ὁ Μελισσηνός, ὃν καὶ Κασσιτηρᾶν προσαγορεύεσθαι ὁ λόγος φθάσας παρέστησε, καὶ τοῦ θρόνου ἐπιβάς, ἔχων δὲ συνεπαρήγου|σαν καὶ τὴν βασιλικὴν ἐξουσίαν οὐκ ἐν σκότῳ καὶ γωνίαις ἔτι, ἀλλ' ἐν ὑπαίθρῳ καὶ παρρησίᾳ τὴν αἵρεσιν τῶν εἰκονομάχων ἐδημοσίευε.

3. Λέων δὲ ὁ βασιλεὺς τῇ τε προηγησαμένῃ κατὰ Βουλγάρων νίκῃ ἐξωγκωμένος, καὶ κατὰ τῶν Ἀράβων δὲ μικρῷ πρότερον εὐτυχήσας, ἀκατάσχετος ἦν τὸ φρόνημα καὶ πρὸς τὸ σκληρὸν ἀπένευε καὶ ὠμότερον. ἀπαραίτητός τε γὰρ τὴν ὀργὴν ἐγεγόνει καὶ τῶν ἁμαρτημάτων κολαστὴς αὐστηρότατος, τοῖς τε ἐντυγχάνειν ἐθέλουσιν ἀνέντευκτος καὶ δυσξύμβουλος ἐπί τε μικροῖς ἁμαρτήμασι μεγάλας ἐπιφέρων τὰς καταδίκας, ὧν μὲν χεῖρας ἀφαιρούμενος, ὧν δὲ πόδας, ὧν δέ τινα ἕτερα τῶν

38 die 1. mens. Apr. a. 815

cap. 3: Gen. 16, 15—17, 2

ACVMN FH 23 κηροῖς VMN Gen. 15, 18: κηρίοις AC 25 προσκυν. ἐδεξ. ἐσχ. A 28 ἠρωτηκότος ci. Kambylis: ἐρηροτηκότος CV: ἐρηρηκότος M: ἐρηρηκώτος FH: ἐρωτήσαντος A: ἐρομένου Theoph. Cont. 29, 21 30 Θεοφάνιον C 32 πατριάρχη M εἰς ἔργ. ἐξέβη πρόρρ. A 36 πεμφθέντος M 38 τὴν om. MN ὁ ante Θεόδ. add. CV 39 Κασσιτηρὰν M προσαγορεύεσθαι om. AC 39 παρέστησε ACV: ἐδήλωσε MN 41 σκότῳ VMN: σκότει AC 42 ἐδημοσίευσε M 43 κατὰ VMN: τῶν AC τῶν ante Βουλγ. add. V 45 ἀπένευκε M 46 γὰρ om. ACV 48 δυσξύμβολος A

καιριωτάτων μερῶν, ἅπερ ἀποτέμνεσθαι ἀποφαινόμενος ἀνὰ τὴν λεωφόρον ἀνακρεμαννύειν ἐκέλευεν εἰς κατάπληξιν τάχα τῶν ὁρώντων καὶ δέος. ἐκ τούτου μισητὸς κατέστη τῷ ὑπὸ χεῖρα παντί.

4. Πλέον δ' ἐπέτεινε τὸ μῖσος τὰ μετὰ ταῦτα. οὐ μόνον γὰρ κατὰ τῶν ὁμοτίμων τὴν φύσιν ἀνθρώπων ἐπῆρτο καὶ ἠγριαίνετο, ἀλλὰ καὶ κατ' αὐτῆς ἐκορυβαντία τῆς εὐσεβοῦς πίστεως καὶ τοῦ θεοῦ. ὄργανον δ' ἐπιτήδειον πρὸς τοῦτο ἔσχεν ἄνδρα τινὰ διαβόητον ἐπὶ πανουργίᾳ, τοῦ τάγματος τῶν ἐν τῷ παλατίῳ ψαλλόντων τὴν προστασίαν ἔχοντα, ἔξωθεν μὲν ἱεροπρεπῆ φαινόμενον καὶ θεοσεβῆ, ἔνδοθεν δὲ ὡς ἐν βαθεῖ κωδίῳ τὸν λύκον ἐπικαλύπτοντα. οὗτος ὁ βέβηλος καιρὸν ἐπιτήδειον εὑρηκώς, καθ' ὃν εἰς ἐπήκοον ἐν τῇ ἐκκλησίᾳ εἴωθεν ἡ τοῦ μεγαλοφωνοτάτου Ἠσαΐου ἀναγινώσκεσθαι προφητεία ἡ λέγουσα 'τίνι | ὡμοιώσατε κύριον; καὶ τίνι ὡμοιώσατε αὐτόν; μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος χρυσίον χωνεύσας περιεχρύσωσεν αὐτήν, ἢ ὁμοίωμα κατεσκεύασεν αὐτῷ;' καὶ τὰ λοιπὰ τῆς προφητείας, παραστὰς πρὸς οὓς λέγει τῷ βασιλεῖ 'σύνες τοῖς λεγομένοις, ὦ βασιλεῦ, καὶ μὴ λάθῃ σε τὸ ἀληθές, καὶ τοιαύτης ἔχου λατρείας, ὁποίαν σοι ὑποτίθησιν ὁ προφήτης.' τοιαῦτα εἰπὼν ἐνέσταξε τῇ διανοίᾳ αὐτοῦ πλείονα ἰὸν τῆς αἱρέσεως, ὡς ἣν πρότερον μετὰ φειδοῦς καὶ ἐνδοιασμοῦ κηρύττειν ἠπείγετο λατρείαν, ταύτην ἀνακεκαλυμμένῳ προσώπῳ καὶ ἀναιδῶς, εἰπεῖν δὲ πλέον μετὰ ἀπειλῶν καὶ κινδύνων αἱρεῖσθαι ἠνάγκαζεν. ὅσοι μὲν οὖν μαλακιζόμενοι προὐδίδοσαν τὴν ἀλήθειαν, ἐν ἀδείαις ἦσαν. οἱ μὴ πειθαρχοῦντες δὲ τῷ αὐτοῦ δυσσεβεστάτῳ προστάγματι ἀνηκέστοις αἰκίαις καὶ συμφοραῖς παρεδίδοντο.

5. Καίπερ δὲ οὕτως ἔχων δυσσεβείας καὶ παρανομίας, ἀλλά γε πρὸς τὴν τῶν δημοσίων πραγμάτων ἀντίληψιν ἀγρυπνότατος ἦν, ὡς μη-

cap. 4: Gen. 17, 2—17; Theoph. Cont. 31, 7—33, 12; Zon. III, 327, 9—328, 11
cap. 5: Gen. 17, 18—19, 2; Theoph. Cont. 30, 6—31, 6; Zon. III, 328, 12—329, 6
61—64 Is. 40, 18—20

ACVMN FH **50** μερῶν VMN: μελῶν AC Gen. 16, 22 **51** παράπληξιν V **55/56** ὄργανον — πανουργίᾳ VMN: ὄργ. δ' ἐπὶ τοῦτο ἐπιτήδ. ἔσχεν ἄ. τ. δ. ἐπὶ τῇ π. C: ὄργ. δ' ἐπὶ τοῦτο διαβόητον ἐπὶ παν. ἔσχεν ἄ. τ. A **57** ψαλλόντων ACV: ψαλτῶν MN προστασίαν ACV: ἀρχὴν MNFH **62** τὸν ante κύριον add. C **63** χρυσίον (χρυσὸν C) χωνεύσας ACV: χωνεύσας (ἐχώνευσε H) χρυσίον MNFH (cf. Gen. 17, 10 et Theoph. Cont. 32, 19) **65** τῶν λεγομένων A **68/69** λατρείας C **71/72** οἱ δὲ μὴ π. τῷ C **72** ἀνηκέστοις AC: ἀνεικέστοις MF: ἀνεικάστοις VN

δέν τι τῶν δεόντων καὶ ὀνησιφόρων ἐᾶν ἀτημέλητον. φασί γέ τοι μετὰ τὸν ἐκείνου θάνατον Νικηφόρον εἰπεῖν τὸν πατριάρχην, ὡς ἡ πολιτεία Ῥωμαίων ἄρα, εἰ καὶ δυσσεβῆ, ἀλλά γε μέγαν προστάτην ἀπώλεσε. πρὸς τῷ ἐπιμελῶς δὲ καὶ ἀγρύπνως τὰ δημόσια διοικεῖν καὶ τοῖς ἀδικοῦσι λίαν ἐπαχθέστατος ἦν. ἐξιόντι γοῦν ποτε τοῦ παλατίου τῷ βασιλεῖ προσῄει τις ἐγκαλῶν, ὡς τὸ αὐτοῦ γύναιον ἁρπαγείη ὑπό τινος τῶν συγκλητικῶν. 'ἐμοὶ δέ', φησί, 'καὶ τῷ ἐπάρχῳ τῆς πόλεως περὶ τούτου διεγκαλέσαντι οὐδε|μία ἐπηκολούθησεν ἐκδίκησις.' ὁ οὖν βασιλεὺς τὸν τοῦ ἀνδρὸς λόγον ἐνωτισθεὶς εὐθέως προσέταξε καὶ τὸν ἐγκαλούμενον συγκλητικὸν καὶ τὸν ἔπαρχον εἰς πρόσωπον αὐτῷ παραστήσεσθαι ἐπανιόντι. ἤδη δὲ καὶ ἐπαναζευγνύντος τοῦ βασιλέως παρέστησαν ἐνώπιον αὐτοῦ ὅ τε παθὼν καὶ τὴν ἐκδίκησιν ἐκζητῶν, καὶ ὁ τὸ ἐξάγιστον δράσας ἔργον, καὶ αὐτὸς ὁ ἔπαρχος, καὶ τοῦ βασιλέως κελεύσαντος λέγειν τῷ δεομένῳ, ἃ πεπόνθει, ὁ μὲν διεξῄει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὁ δ' ἔνοχος τῷ ἐγκλήματι, ἐπειδὴ μὴ οἷός τε ἦν τοὺς ἐλέγχους διαδιδράσκειν, ταῖς ἀποδείξεσι πάντοθεν συνειλημμένος, ὡμολόγησε τὸ ἀνοσιούργημα. ἐρομένου δὲ τοῦ βασιλέως καὶ τὸν ἔπαρχον, διὰ τί μὴ πρέπουσαν ἐπενέγκοι τῷ ἀτοπήματι τὴν ἐκδίκησιν, ἐπεὶ καὶ οὗτος ἐνεὸς ἐγεγόνει πρὸς τὴν ἀπολογίαν, τοῦτον μὲν μετέστησε τῆς ἀρχῆς, τὸν δὲ μοιχὸν ταῖς τοῦ νόμου παραδέδωκε τιμωρίαις. ἐχρημάτιζε δὲ τὰ πλείω ἐν τῷ Λαυσιακῷ καθήμενος τρικλίνῳ προεβάλλετό τε στρατηγοὺς καὶ στρατηλάτας καὶ ἄρχοντας τῶν ἀξιολογωτέρων καὶ ἀδωροτάτων, χρημάτων ὑπερόπτης ὢν καὶ αὐτὸς ἀκριβέστατος.

6. Ἐφιλοτιμεῖτο δὲ καὶ περὶ τὴν ἑαυτοῦ φωνὴν εὔρυθμός τις εἶναι βουλόμενος, εἰ καὶ μὴ τὴν φύσιν συνᾴδουσαν εἶχεν. ἄρρυθμος γὰρ ἦν καὶ πρὸς τὰ ἐν ἁρμονίᾳ μέλη ἀνεπιτήδειος, εἰώθει δὲ κἂν ταῖς ψαλμῳδίαις ἐξάρχειν τῶν αἴνων, καὶ μᾶλλον ὅτε ἐν τῇ τοῦ Χριστοῦ γεννήσει οἱ τῆς ἑορτῆς κανόνες ἐψάλλοντο. ἐξῆρχε γὰρ τῶν ᾠδῶν τορωτέρᾳ καὶ ἀγρίᾳ τῇ φωνῇ, καὶ ὅτε τῆς ἑβδόμης ᾠδῆς κατήρχετο τοῦ εἱρμοῦ τοῦ λέγοντος 'τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ', ᾧ δὴ καὶ γέλωτα ὠφλίσκανε παρὰ | τοῖς ἀκούουσι τὸν τοῦ θεοῦ φόβον ἐκφαυλίσας καὶ τῇ τῶν δαιμόνων μερίδι προσθέμενος διὰ τῆς τῶν πανσέπτων εἰκόνων ἀρνήσεως. καὶ τὰ μὲν τοῦ βασιλέως ἐν τούτοις.

cap. 6: Gen. 19, 2–9

ACVMN F **78** μέγαπροστάτην CM **82/83** περὶ τούτου om. M **83** διεγκαλέσαντι VC: διεγκαλέσαντα F (cf. Gen. 18, 6): ἐγκαλέσαντι MN: προσελθόντι A **89** πεπόνθοι N **91** διαδράσκειν M τὸ ἀνοσιούργημα ὡμολόγησεν A **92** ὕπαρχον C **93** ἐπενέγκοι ACVF: ἀπενέγκοι MN **95** παρέδωκε M **1** Λαυσικῷ MNF **5** εἶχε συνᾴδουσαν A **6** εἴωθε C (et A?) **8** τῆς ἑορτῆς om. M ἐξήρχετο M γὰρ post τορ. add. V **11** παρὰ om. A **12** πανσέπτων VMN: σεπτῶν AC

7. Μιχαὴλ δὲ ὁ ἐξ Ἀμωρίου ἀεὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος καὶ ἐπὶ τὸ μεῖζον προβαίνων διαβολὴν ἔσχε καθοσιώσεως. ὃς ταύτην, εἰ καὶ δυσχερῶς, ὅμως ἀποσεισάμενος ἐκπέμπεται παρὰ βασιλέως τακτικὰ διδάσκειν τὸν ὑπὸ χεῖρα λαόν. ἦν δὲ ὁ Μιχαὴλ οὐ ταῖς ἄλλαις πάσαις κακίαις ἐπιρρεπὴς μόνον, ἐνόσει δὲ καὶ γλώσσης ἀκολασίαν, καὶ τὰ ἔνδον τῆς καρδίας ἐκφαυλίζειν δυναμένης μυστήρια. ἐλάλει γὰρ πᾶν τὸ παριστάμενον εἰς τοὐμφανές, ἀπερρίπτει δὲ καὶ κατ' αὐτοῦ τοῦ βασιλέως λόγους οὐκ εὐπρεπεῖς, ἀπειλῶν αὐτῷ τε καθαίρεσιν τῆς βασιλείας καὶ τῇ αὐτοῦ συζύγῳ γάμον ἐπισείων ἀνόσιον. ἅπερ ὁ βασιλεὺς πυνθανόμενος πρῶτον μὲν εὐμηχάνως ἐπειρᾶτο παραπροσποιούμενος τὴν γνῶσιν ἀποστῆσαι τοῦτον τῆς ἀθυρογλωσσίας καὶ τῶν κακῶν βουλευμάτων. ᾔδει γὰρ αὐτὸν αἰσχίστῃ νόσῳ τῇ ἀκολάστῳ γλώσσῃ δουλεύοντα. ὡς δὲ καὶ παραινέσεσι καὶ ἀπειλαῖς, ὅπῃ παρείκοι, χρώμενος, ὡς εὐθὺς μὲν εἰπεῖν ἐξαρνούμενον εὕρισκε τὰ λεγόμενα, ἀδείας δὲ πάλιν τετυχηκότα τῶν κατὰ σκοπὸν μὴ ἀφιστάμενον, ἐπαφίησιν αὐτῷ σκοποὺς καὶ ὠτακουστὰς λεληθότως, οἵτινες πολλάκις ἐν εὐωχίαις καὶ μέθαις μετακινούμενον τῶν φρενῶν ὑπὸ τοῦ οἴνου καταλαβόντες καὶ τοῖς προτέροις μάλα προθύμως ἐπιτιθέμενον κατάδηλον ποιοῦσι τῷ βασιλεῖ. ἐγένετο προσθήκη πίστεως | καὶ ὁ Ἑξαβούλιος, ἀνὴρ φρενήρης καὶ συνήθης τῷ βασιλεῖ, οὐκ ἄγνωστος δὲ καὶ τῷ Μιχαήλ. οὗτος πολλάκις ἐπισχεῖν αὐτὸν τῆς ἀθυροστομίας ἐπιχειρήσας καὶ παραινέσας σιγᾶν, καὶ μὴ οὕτως ἀκαίρως παρρησιάζεσθαι καὶ εἰς προὖπτον ἑαυτὸν συνωθεῖν κίνδυνον παρακαλέσας, ἐπειδὴ μὴ ἔπειθε, δῆλα πάντα τὰ κατ' αὐτὸν τίθησι τῷ βασιλεῖ. καὶ δὴ πρὸ μιᾶς ἡμέρας τῆς κατὰ σάρκα Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως δεξάμενος τὰς μηνύσεις ὁ βασιλεὺς ἐπὶ βήματός τε ἐν τοῖς ἀσηκρητείοις ἐκάθισε καὶ ἀκριβὴς ἐξεταστὴς τῶν μηνυθέντων ἐγίνετο. ἁλίσκεται τοίνυν τυραννίδος ὁ Μιχαὴλ αὐτὸς καταθέσθαι ὑπὸ τῆς ἐναργείας τῶν ἐλέγχων ἀναγκασθείς. καὶ ψῆφος ἐκφέρεται κατ' αὐτοῦ πυρὶ καταστρέψαι τὴν ζωὴν ἐμβληθέντος ἐν τῇ καμίνῳ τοῦ ἐν τῷ παλατίῳ λουτροῦ, εἶναι δὲ καὶ αὐτὸν τὸν βασιλέα θεωρὸν τοῦ δράματος. ἤγετο μὲν οὖν τὴν ἐπὶ θανάτῳ δεσμώτης, εἵπετο δὲ καὶ ὁ βασιλεὺς θεατὴς εἶναι ὀριγνώμενος τοῦ δρωμένου.

37 a. 820

cap. 7: Gen. 19, 10–21, 7; Theoph. Cont. 33, 21–35, 7; Zon. III, 329, 7–330, 1; Glyc. 534, 5–9

ACVMN FHK **17/18** κακίαις πάσαις M **18** γλώσσῃ C καὶ alt. om. A **19** δυναμένης AC: δυναμένην VN: δυναμένως K: δυνάμενος F: δυναμένῳ H: om. M **23** περιπροσποιούμενος C **28** τετυχηκότα VMN: μετεσχηκότα A: μετεσχηκότος C **43/44** εἶναι δὲ — ἀφιστάμενος M **29** οἳ A ἐν om. M **31** προθύμως om. M **43/44** εἶναι δὲ — δράματος ACV: εἶναι δὲ καὶ αὐτὸν θεωρὸν τὸν βασιλέα τοῦ δράματος MNF **44** θάνατον A

8. Ἐν ὅσῳ δὲ τὸ μεταξὺ παρήμειβον διάστημα, ἡ βασιλὶς Θεοδοσία, τὸ τοῦ Ἀρσαβὴρ θυγάτριον, μαθοῦσα τὸ μέλλον πραχθῆναι, ἔξεισι μετὰ πολλῆς ὅτι σπουδῆς τοῦ θαλάμου, παράβακχόν τι καὶ μανικὸν κινουμένη, τὸν βασιλέα τε καταλαβοῦσα ἀλάστορά τε καὶ θεομάχον ἀπεκάλει, οἷς οὐδὲ τὴν ἡμέραν τὴν θείαν ἄγει διὰ φειδοῦς τοῦ θείου μέλλων σώματος μετασχεῖν, καὶ τῆς ὁρμῆς διεκώλυεν. οὗτος δὲ τῷ θεῷ μὴ προσκροῦσαι δεδοικὼς τὸ μὲν παραχρῆμα παλίντροπον αὐτῷ τὴν σωτηρίαν ἐβράβευσε, σίδηρον δὲ τοῖς ποσὶ περιθεὶς τοῦ Μιχαὴλ καὶ τῆς | κλειδὸς ἑαυτῷ τὴν φρουρὰν ἐπιτρέψας, τῷ παπίᾳ τὴν αὐτοῦ φυλακὴν ἀνατίθησι. πρὸς δὲ τὴν σύζυγον ἐπιστραφεὶς 'ἐγὼ μέν, ὦ γύναι, ταῖς σαῖς βακχείαις πεισθεὶς ἐποίησα, ὡς ἐκέλευσας. σὺ δὲ οὐκ εἰς μακρὰν ἐπόψει καὶ τὰ τῆς ἐμῆς νηδύος βλαστήματα τὰ ἀποβησόμενα, εἰ καὶ σήμερόν με τοῦ ἁμαρτήματος ἠλευθέρωσας.' οὕτω τὸ μέλλον, εἰ καὶ πόρρω προφητικῆς ἦν ἐπιπνοίας, ἀληθῶς ἀπεφοίβασε.

9. Λέγουσι δ', ὅτι καὶ χρησμὸς ἦν ἄνωθεν αὐτῷ δεδομένος, ὡς κατὰ τὴν ἡμέραν τῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν κατὰ σάρκα γεννήσεως πέπρωται αὐτῷ τήν τε βασιλικὴν εὐδαιμονίαν ἀποβαλεῖν, προσαπολέσαι δὲ καὶ αὐτὴν τὴν ζωήν. Σιβυλλιακὸς δὲ ἦν ὁ χρησμὸς ἔν τινι βιβλίῳ τῆς βασιλικῆς βιβλιοθήκης ἐγγεγραμμένος οὐ χρησμοὺς μόνον ἁπλῶς ἔχοντι, ἀλλὰ καὶ μορφὰς καὶ σχήματα τῶν γενομένων βασιλέων διὰ χρωμάτων. ἦν οὖν θηρίον λέων μεμορφωμένον ἐν τῷ βιβλίῳ, ἄνωθεν δὲ τῆς αὐτοῦ ῥάχεως ἐπεγέγραπτο τὸ χῖ στοιχεῖον μέχρι καὶ αὐτῆς τῆς γαστρός, κατόπιν δέ τις ἀνὴρ ἐπιθέων δόρατι καιρίαν ἐδίδου πληγὴν τῷ θηρίῳ διὰ μέσου τοῦ χῖ. ἀσάφειαν δ' ὑποφαίνοντος τοῦ χρησμοῦ μόνος ὁ τηνικαῦτα κοιαίστωρ αὐτὸν διετράνου Λέοντα μέλλειν φήσας τινὰ βασιλέα κατ' αὐτὴν τὴν ἡμέραν τῆς τοῦ Χριστοῦ γεννήσεως θανάτῳ ὀλεθρίῳ παραδοθῆναι. ὑπέθραττε δὲ οὐδὲν ἧττον τὸν βασιλέα καὶ ἐξεδειμάτου καὶ ἡ τῆς οἰκείας μητρὸς ὄψις. ἔδοξε γὰρ αὕτη κατὰ τὸν ἐν Βλαχέρναις θεῖον τῆς θεοτόκου ναὸν προσφοιτῶσα συνεχῶς κόρῃ τινὶ συναντᾶν λευχείμοσιν ἀν|δράσι δορυφορουμένῃ, ἑώρα δὲ καὶ τὸν θεῖον ναὸν αἵματος πεπλησμένον. προστάξαι τε τὴν θεαθεῖσαν κόρην ἑνὶ

cap. 8: Gen. 21, 7—21, 22; Theoph. Cont. 35, 6—35, 19; Zon. III, 330, 1—330, 12; Glyc. 534, 9—16 cap. 9: Gen. 21, 22—22, 18; Theoph. Cont. 35, 20—37, 11; Zon. III, 330, 12—332, 16

ACVMN FH **48** περίβακχόν A **49** τε alt. om. A **50** τὴν θείαν ἡμέραν MNF **52** παραχρῆμα VMN: παραυτίκα AC **53** σίδηρα A τοῖς ποσὶ τοῦ Μ. περιθ. A **60** δ' VMN: δέ AC **61** γεννήσεως κατὰ σάρκα M **69** δὲ ὑποφαίν. A **70** κοιαίστωρ ACV: κυέστωρ M: κυαίστωρ N **71** τοῦ om. MN Theoph. Cont. 36, 10 (sed cf. 35, 22), sed non F **71/72** θανάτῳ ὀλεθρίῳ VN: θανάτῳ ὀλέθρῳ M: ὀλεθρίῳ θανάτῳ AC **74** θεῖον ναὸν τῆς θ. MH (sed non F) **75** δορυφορουμένῃ ACV: δορυφορουμένην MN **76** κόρην om. AC

τῶν λευχειμόνων ἀνδρῶν χύτραν τινὰ πλήσαντι αἵματος τῇ μητρὶ τοῦ Λέοντος ἐπιδοῦναι πιεῖν. αὐτῆς δὲ πολυετῆ χηρείαν προβαλλομένης, δι' ἧς μήτε κρεῶν, μήτε τινὸς τῶν ἐναίμων γεύσασθαι, καὶ διὰ τοῦτο μηδὲ ταύτης τῆς χύτρας ἅψασθαι, 'καὶ πῶς', ἔφησεν ἡ κόρη μετὰ θυμοῦ, 'οὐ παύεται ὁ σὸς υἱὸς πολλῶν ἐμπιπλῶν αἱμάτων ἐμὲ καὶ τὸν ἐμὸν παροργίζων υἱὸν καὶ θεόν; πολλά τε ἔκτοτε τὸν ἑαυτῆς ἐξελιπάρει υἱὸν τῆς τῶν εἰκονομάχων ἐκστῆναι αἱρέσεως τὴν ὄψιν ἐκτραγῳδήσασα· καὶ ἑτέρα δέ τις ὄψις οὐ μικρῶς συνετάρασσε. Ταράσιος γὰρ ὁ ἀοίδιμος πατριάρχης πάλαι τὸν βίον μετηλλαχὼς Μιχαήλ τινα ἐδόκει καλεῖν ἐξ ὀνόματος ἐν ὀνείροις ἐπιπηδῆσαι προτρεπόμενος τῷ Λέοντι καὶ καιρίαν πλῆξαι αὐτόν. ἐστρόβει δὲ αὐτὸν καὶ ἡ τοῦ κατὰ τὸ Φιλομίλιον μοναχοῦ πρόρρησις καὶ ἡ τῆς ἐσθῆτος μεταμφίασις, ἣν ὁ Μιχαὴλ ἐποιήσατο, ὥς που φθάσαντες ἱστορήσαμεν. οἷς ἅπασι δειματούμενος ὁ βασιλεὺς ἐπάλλετό τε τῷ δέει καὶ τὴν ψυχὴν ἐκυμαίνετο. διὸ καὶ ἄγρυπνος διετέλει παρ' ὅλην τὴν νύκτα.

10. Σοφώτερα τοίνυν, ἢ βασιλικώτερα βουλευσάμενος τὴν ἐπὶ τὸν παπίαν φέρουσαν πυλίδα διαρρήξας κατεσκόπει τὰ ἔνδον. εἰσελθὼν δ' εἴς τι δωμάτιον θέαμα ὁρᾷ εἰς ἔκπληξιν οὐ τὴν τυχοῦσαν ἄγον αὐτόν. εἶδε γὰρ τὸν μὲν κατάκριτον ἐπὶ στιβάδος ὑψηλῆς πάνυ μεγαλοπρεπῶς ἀνακείμενον, τὸν δὲ παπίαν ἐπὶ ξηροῦ κατακλινό|μενον τοῦ ἐδάφους. περιεργότερον δὲ προσελθὼν ἐσκόπει τὸν Μιχαήλ, εἰ, ὅπερ φιλεῖ ἐν τοῖς κυμαινομένοις καὶ τὴν ζωὴν ἀμφίβολον ἔχουσι γίνεσθαι, ἐπιπόλαιόν τινα καὶ ἐμμέριμνον ὑπνώττει ὕπνον, ἢ τοὐναντίον ἀφρόντιδα καὶ ἡδύν. ὡς δ' εὗρεν ἀνέτως ὑπνοῦντα (καὶ γὰρ οὐδ' ἐπαφώμενος αὐτὸν διϋπνίσαι ἴσχυσεν), εἰς μείζονα ἀνήφθη θυμὸν τοῖς παρ' ἐλπίδα τούτοις θεάμασι καὶ ἀπῄει κατὰ σχολὴν δεινὸν οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ τῷ παπίᾳ ἐνσείων.

11. Καὶ ταῦτα μὲν ὁ βασιλεύς. οὐκ ἔλαθε δὲ ταῦτα τοῖς περὶ τὸν παπίαν, ἀλλά τις τῶν προκοίτων τοῦ Μιχαὴλ ἐκ τῶν φοινικῶν φωρα-

cap. 10: Gen. 22, 19—23, 8; Theoph. Cont. 37, 11—38, 2; Zon. III, 332, 16—333, 8
cap. 11: Gen. 23, 8—26, 4: Theoph. Cont. 38, 2—40, 13; Zon. III, 333, 8—335, 11; Glyc. 534, 19/20

ACVMN FH 77 πλήσαντι VMN: πλήσαντα ACH: ἐπιπληρώσαντα Theoph. Cont. 36, 18 (cf. Symeon mag., ed. Bekker, p. *611, 11*) 78 δι' ἣν AC 79 τοῦτο V: ταῦτα AC 79/80 καὶ διὰ τ. — ἅψασθαι om. MN 81 πολλῶν αἱμ. ἐμὲ ἐπιπλῶν M ἐμπιπλᾶς CV 84 συνετάρασσε VMN: συνετάραξε AC 87 ἡ κ. τὸ Φ. τοῦ μον. MN 89 ὥς που VMN: ὥσπερ AC ἱστορήσαμεν ACV: ἔφημεν MN 93 δὲ A 94 δωμάτιόν τι M 2 ἐσκόπει ACVM: ἐπεσκόπει NF: κατεσκόπει H 3 ἀναμφίβολον M 5 δ' om. V αὐτὸν: αὐτῷ M 9 τοῖς MN: τοὺς ACVF (cf. Theoph. Cont. 38, 2) 10/11 φωρασάμενος MN: φράσαμενος AV (lac. in C, quia fol. mutilatum est)

σάμενος ἐμβάδων ἀπήγγειλε πάντα σαφῶς. οἷς ἐκπαθεῖς καὶ μικροῦ δεῖν ἔκφρονες οἱ περὶ τὸν παπίαν γενόμενοι ἐσκέπτοντο, πῶς ἂν τὸν κίνδυνον διαφύγοιεν. ὑπέλαμπεν ἄρτι ἡμέρα καὶ σκήπτεται σκῆψιν τοιάνδε ὁ Μιχαήλ, ὡς ψυχικάς τινας κηλῖδας βούλεταί τινι τῶν θεοφιλῶν ἐξαγορεῦσαι διὰ Θεοκτίστου, ὃν μετὰ ταῦτα τῷ τοῦ κανικλείου τετίμηκεν ἀξιώματι, ἐπετέτραπτο γοῦν τοῦτο γενέσθαι παρὰ βασιλέως. ὁ δὲ Μιχαὴλ ἀδείας λαβόμενος λέγει πρὸς τὸν Θεόκτιστον 'καιρός, ὦ Θεόκτιστε, τοῖς συνωμόταις ἐπαπειλῆσαι, ὡς εἰ μὴ τάχιον σπεύσουσιν ἐξελέσθαι τοῦ κινδύνου ἡμᾶς, πάντα τὰ τῆς πράξεως ἀνακαλύψαι τῷ βασιλεῖ.' καὶ τοῦ Θεοκτίστου, ὡς ἐκελεύσθη, ποιήσαντος, εἰς ἀγωνίαν οὐ τὴν τυχοῦσαν ἐνέπεσον οἱ συνίστορες καὶ διεσκοποῦντο, πῶς ἂν αὐτοί τε σωθεῖεν καὶ τὸν ὅσον οὐδέπω κινδυνεύοντα θανεῖν διασώσαιεν. ῥάπτουσιν οὖν βουλήν, ἥτις αὐτούς τε ἐρρύσατο καὶ τῷ Μιχαὴλ πρὸς τῇ ζωῇ καὶ τὴν βασιλείαν ἐχαρίσατο. | ἔθος ἐπεκράτει τότε, μὴ ὥσπερ νῦν, ἔνδον τῶν βασιλείων, ἔκτοτε λαβὸν τὴν ἀρχήν, μένειν τοὺς τῇ ἐκκλησίᾳ τοῦ παλατίου ψάλλοντας κληρικούς, ἀλλὰ τοῖς ἰδίοις οἴκοις, περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς ἀγείρεσθαι κατὰ τὴν Ἐλεφαντίνην κἀκεῖθεν ἀπιέναι πρὸς τὴν ἐκκλησίαν καὶ τῷ θεῷ τὰς ἑωθινὰς ἀποδιδόναι εὐχάς. τούτοις οἱ συνωμόται ἐγκαταμιχθέντες τότε ὑπὸ μάλης ἐγχειρίδια ἔχοντες συνεισῄεσαν καὶ ἔν τινι σκοτεινῷ τῆς ἐκκλησίας λοχήσαντες τόπῳ τὸ σύνθημα ἐξεδέχοντο. ὡς δ' ὁ ὕμνος διεπεραίνετο, ἤδη δὲ παρῆν καὶ ὁ βασιλεὺς καὶ τῆς ὑμνῳδίας ἐξῆρχεν, ὡς ἔθος, 'τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ' (εἶχε γάρ, ὡς εἴπομεν, τορωτέραν φωνήν), τότε δὴ εἰσπηδήσαντες ἀθρόως οἱ συνωμόται ἐκ μὲν τῆς πρώτης ἡμάρτανον προσβολῆς πρὸς τὸν τοῦ κλήρου ἔξαρχον ἀποπλανηθέντες, εἴτε παρόμοιον ὄντα τῷ βασιλεῖ κατὰ τὴν σωματικὴν ἐμφέρειαν, εἴτε τῇ περὶ τὴν κεφαλὴν ὁμοίᾳ περιβολῇ. ἦν γὰρ ἡ ὥρα κρυμώδης τε καὶ χειμέριος καὶ διὰ τοῦτο ἐν περιβλήμασι πάντες διεκαρτέρουν στεγανωτέροις πίλοις τὰς κεφαλὰς ὀξυτάτοις περικαλύπτοντες. ἀλλ' ὁ μὲν τοῦ κλήρου καθηγεμὼν τὸν κίνδυνον ἀπεώσατο τὸν πῖλον τῆς κεφαλῆς ἀφελὼν καὶ τῇ φαλάκρᾳ τὴν σωτηρίαν πραγματευσάμενος. ὁ δὲ βασιλεὺς συναισθόμενος τῆς ἐπιβουλῆς εἰς τὰ ἄδυτα τοῦ θυσιαστηρίου εἰσέδυ καὶ τὴν τοῦ θυμιατηρίου σειρὰν διαρπάσας, ἢ ὥς τινες, θεῖον σταυρόν,

32/33 Menaea, 25. mens. Dec., ᾠδὴ ζ', ὁ εἱρμός, ἄλλος

ACVMN H **11** μικροῦ δεῖν om. M **18** σπεύσωσιν corr. in σπεύσουσιν N **18/19** σπεύσουσιν — ἡμᾶς CVN: σπεύσουσι τοῦ κινδ. ἐξελεῖν ἡμᾶς A: σπεύσουσιν ἐξελ. ἡμᾶς τοῦ κινδ. M: σπεύσουσι τοῦ κινδ. ἐξελ. ἡμᾶς H **21/22** διεσκοπ. αὐτοί, πῶς ἂν σωθεῖεν A **22** διασωθεῖεν M **23** Μιχαήλ: βασιλεῖ A **24** ἐχαρίσατο ACV: ἐχαρίσαντο MN **27** ἐγείρεσθαι M **32** ἐξῆρχεν — τῷ: ἐξῆρχε τῷ C **34** συνωμότες C **37** παρὰ C **39** πιλ. ὀξυτ. τὰς κεφ. MN **40** ἀπεσώσατο C **43** θυμιατηρίου ACV: θυσιαστηρίου MNF

τὰς βολὰς τῶν πληττόντων ἐδέχετο. ἀλλ' οἱ συνωμόται ἀθρόοι, καὶ οὐ καθ' ἕνα ἐπιδραμόντες, ὁ μὲν κατὰ τῆς κεφαλῆς, ἄλλος κατὰ τῶν σπλάγχνων, | καὶ ἄλλος ἀλλαχόθι τοῦ σώματος κατετίτρωσκον. καὶ χρόνον μέν τινα ἀντέσχε τῷ θείῳ σταυρῷ τὰς τῶν ξιφῶν ὁρμὰς ἀποκρουόμενος· πάντοθεν δ' ὡς θηρίον βαλλόμενος καὶ πρὸς τὰς τρώσεις ἀποκαμὼν τελευταῖον ἕνα τινὰ γιγαντιαῖον ἐπιφέροντα ἰδὼν τὴν πληγὴν ὅρκῳ τῆς τῷ ναῷ ἐνοικούσης κατεδέσμει χάριτος καὶ φείσασθαι ἐξελιπάρει. τῆς τῶν Κραμβωνιτῶν οὗτος ὁ γεννάδας ὥρμητο γενεᾶς. ἀλλ' ὅ γε 'οὐχ ὅρκων' εἰπών, 'ἀλλὰ φόνων καιρός', παίει κατὰ τῆς χειρὸς διανταίαν πληγήν, ὡς μὴ μόνον τῆς κλειδὸς ταύτην ἀποτεμεῖν, ἀλλὰ καὶ τὸ κέρας συναποτεμεῖν τοῦ σταυροῦ· ἀποτέμνει δέ τις αὐτοῦ καὶ τὴν κεφαλὴν ἤδη καταπεπονημένου ταῖς πληγαῖς καὶ ὀκλάσαντος. τοιούτῳ μὲν βίου τέλει ὁ Λέων ἐχρήσατο, κατὰ τὸν Δεκέμβριον μῆνα, ὥρα ἦν ὡς δεκάτη τῆς νυκτός, ἐπ' ἔτη βασιλεύσας ἑπτὰ καὶ μῆνας πέντε, ὠμότατος, εἴπερ τις ἄλλος γεγονὼς καὶ τῶν πρὸ αὐτοῦ πάντων ἀσεβέστατος, οἷς τήν τε προσοῦσαν αὐτῷ ἐν τοῖς κοινοῖς ἐπιμέλειαν καὶ τὴν ἐν χερσὶ γενναιότητα ἀπημαύρωσε. λέγεται δὲ καὶ φωνὴν οὐρανόθεν καταρραγῆναι εὐθὺς τὴν αὐτοῦ κατάλυσιν εὐαγγελιζομένην πολλοῖς. ἧς καί τινες ἀκηκοότες ναυτίλοι τὸν καιρόν τε καὶ τὴν νύκτα καταγραψάμενοι ἐκ τοῦ μετὰ ταῦτα συμπεράσματος εὗρον οὖσαν ἀληθινήν.

56 die 25. mens. Dec. a. 820

AVCMN **46** ἀλλαχόθεν M **49** τὸ ante τελευτ. add. V **50** φείσας M **57** ὡσεὶ δεκ. A **60** ἐξ οὐρανοῦ A

ΜΙΧΑΗΛ Ο ΤΡΑΥΛΟΣ

1. Ἀνῃρημένου δὲ τοῦ Λέοντος οἱ ἀνῃρηκότες σύροντες τὸν τούτου νεκρὸν ἀνηλεῶς διὰ τῶν Σκύλων εἰς τὸν ἱππόδρομον ἐξήγαγον, παντὸς αὐτοῖς περιῃρημένου φόβου διὰ τὸ τὴν βασίλειον αὐλὴν ὅπλοις οἰκείοις πάντοθεν περιφραχθῆναι. κατέσπασαν δὲ τῶν βασιλείων καὶ τὴν αὐτοῦ γαμετὴν σὺν τοῖς τέσσαρσι | τέκνοις αὐτῆς, Συμβατίῳ τῷ κατὰ τὴν ἀνάρρησιν μετονομασθέντι Κωνσταντίνῳ, Βασιλείῳ τε, καὶ Γρηγορίῳ συνάμα Θεοδοσίῳ, οὓς καὶ ἀκατίῳ ἐνθέντες πρὸς τὴν Πρώτην νῆσον ἀπήγαγον, κἀκεῖσε τῶν πάντων ἐκτμηθέντων συνέβη τὸν Θεοδόσιον τὴν ἑαυτοῦ καταλῦσαι ζωὴν καὶ ταφῆς τῷ ἰδίῳ κεκοινωνηκέναι πατρί. ὁ δὲ Μιχαὴλ τῆς ἐκ τοῦ παπίου φρουρᾶς ἀνεθείς, ἔτι τοὺς πόδας ἐν σιδηροπέδαις ἔχων κατισχημένους διὰ τὸ τὴν κλεῖν τῶν σιδήρων ἐν τῷ κόλπῳ τοῦ Λέοντος φυλάττεσθαι, οὕτως, ὡς εἶχε, μετὰ τῶν σιδήρων ἐπὶ τὸν βασίλειον ἐκάθισε θρόνον καὶ παρὰ πάντων τῶν τέως ὄντων ἐν τῷ παλατίῳ ἀναγορευθεὶς προσεκυνήθη. ἤδη δὲ καὶ μεσούσης ἡμέρας τῆς φήμης πανταχοῦ διαδραμούσης, τῶν δεσμῶν θλασθέντων ὑπὸ σφύρας βιαίως, οὐ χεῖρας ἀπονιψάμενος, οὐ τὸν τοῦ θεοῦ φόβον ἐπὶ νοῦν εἰληφώς, οὐκ ἄλλο οὐδὲν τῶν δεόντων πράξας πρὸς τὸν μέγαν τῆς Σοφίας ναὸν προεληλύθε, χειρὶ τοῦ πατριάρχου στεφθῆναι γλιχόμενος καὶ τῆς πανδήμου τυχεῖν ἀναρρήσεως, ἐκείνοις μόνοις θαρρῶν τοῖς συνωμόταις τοῖς ἐξηνυκόσι τὸν φόνον. ἔνθα καί τις ἀμφοτέρων θαυμάσειε τὸ κακόγνωμον, τοῦ μὲν ἀπελθόντος, ὅπως οὐδένα ἔσχε τὸν βοηθοῦντα ἐκ τῶν τοσούτων καὶ τηλικούτων κολάκων, ἑρπετῶν δίκην ἁπάντων καταδεδυκότων εἰς χηραμούς, τοῦ δὲ μετ' ἐκεῖνον τὸ ἀναιδὲς καὶ ἀναίσχυντον, ὅστις τὴν ἐκκλησίαν εἰσῄει οὐχ ὥς τις φονεύς, ἢ δήμιος, ᾑμαγμένας ἔχων τὰς χεῖρας, ἀλλ' ὥσπερ τις ἀθλοφόρος καὶ νικη-

79 die 25. mens. Dec. a. 820

cap. 1: Theoph. Cont. 40, 14—42, 6; Zon. III, 335, 12—337, 6; Glyc. 534, 20—535, 2

ACVMN F **65** tit. om. VM **70** Συμβατίῳ AVN: Συμβαντίῳ C: Σαββατίῳ M **72** ἀκατίων M **74** ἰδίῳ VMN: οἰκείῳ AC κοινωνηκέναι MN **80** τῆς φήμης πανταχοῦ V Theoph. Cont. 41, 13: πανταχοῦ τῆς φήμης ACMNF θλασθέντων ACM Theoph. Cont. 41, 14: συνθλασθέντων VNF **83** ναὸν τῆς Σοφίας AC τοῦ θεοῦ post Σοφ. add. A **83** γλιχόμενος στεφθῆναι C **84/85** ἐκείνοις — φόνον VMN: ἐκ. μόν. τοῖς τὸν φόν. ἐξην. συνωμ. θαρρῶν AC **85/86** θαυμάσειεν ἀμφοτέρων AC

τῆς ἐπὶ τῷ γεγονότι γαννύ|μενος, ἐμφύλιον ἐκχέας αἷμα οὐκ ἐπὶ τοῦ τυχόντος τόπου, ἀλλ' ἐν τῷ θείῳ θυσιαστηρίῳ, ἔνθα τὸ δεσποτικὸν καθ' ἡμέραν ἐκχέεται τῶν ἡμετέρων ἕνεκεν λύτρον ἁμαρτιῶν.

2. Τοῦτον τὸν Μιχαὴλ ἤνεγκε μὲν ἡ κατὰ τὴν ἄνω Φρυγίαν πόλις Ἀμώριον οὕτω καλουμένη. ἐν ᾗ Ἰουδαίων καὶ Ἀθιγγάνων καὶ ἑτέρων ἀσεβῶν πλῆθος ἔκπαλαι τῶν χρόνων ἐγκατοικίζεται. καί τις δὲ αἵρεσις ἐκ τῆς ἀλλήλων κοινωνίας καὶ διηνεκοῦς ὁμιλίας καινὸν ἔχουσα τὸν τρόπον καὶ ἀλλόκοτα δόγματα ἐπιφύεται, ἧς καὶ αὐτὸς μέτοχος ἦν, πατροπαράδοτον θρησκείαν ἀποπληρῶν. αὕτη τοῦ μὲν θείου λουτροῦ καὶ σωτηριώδους τοὺς τελουμένους μεταλαγχάνειν ἀνίησι, τἄλλα δὲ πάντα σῴζει φυλάττουσα κατὰ τὸν νόμον τὸν Μωσαϊκόν, πλὴν τῆς περιτομῆς. εἶχε δὲ διδάσκαλον ὁ Μιχαὴλ καὶ οἷον ἔξαρχον, ὑπ' αὐτοῦ μεμυσταγωγημένος, Ἑβραῖόν τινα ἢ Ἑβραΐδα κατὰ τὸν ἑαυτοῦ οἶκον, οὐ μόνον τὰ ψυχικά, ἀλλὰ δὴ καὶ τὰς κατ' οἶκον οἰκονομίας αὐτὸν ἐκπαιδεύοντα. ὑφ' οὗ προληφθεὶς οὐδὲν ἀκέραιον ἔσῳζεν, ἀλλ' ἦν ἀπιστίας τις σύνοδος τά τε Χριστιανῶν παραχαράξας, τὰ Ἰουδαίων κιβδηλεύσας καὶ τἄλλα παρανοθεύσας, καὶ τοιοῦτος τὴν πίστιν γενόμενος ποικίλος τε καὶ πολύμορφος, ὁποῖά φασι τὰ ἐν Λιβύῃ γίνεσθαι θηρία διὰ τὴν τοῦ ὕδατος ἔνδειαν συναγόμενα καὶ ἀλλήλοις ἐπιμιγνύμενα. οἷς δὴ καὶ εἰς τὴν βασίλειον ἀναχθεὶς ἀρχὴν ἐσεμνύνετό τε καὶ ὡραΐζετο, ἢ τῷ διαδήματι καὶ τῇ ἀλουργίδι, λόγον δὲ καὶ | μάθησιν, ὡς τὰ αὐτοῦ ἀνατρέποντα καὶ δυνάμενα μεταδιδάσκειν τὰ κρείττονα, ἀπεβάλλετο καὶ ἠτίμαζεν. ἐτίμα δὲ τὰ οἰκεῖα διαφερόντως. τὰ δὲ ἦν, συῶν μὲν τῶν ἀρτιτόκων προλέγειν, ὅσοι τε ἔσονται εὐτραφεῖς καὶ σωμάτων μεγέθους οὐκ ἀμοιρήσουσι, καὶ ὅσοι τοῖς ἐναντίοις περισχεθήσονται, καὶ ἵππων μὲν ἐγγὺς ἑστάναι τῶν λακτιζόντων εἰδέναι, ὄνους τε τοὺς λακτίζοντας ὡς πορρωτάτω ἐκτρέπεσθαι εὐφυῶς. ἡμιόνων τε κριτὴς ἄριστος ἦν καὶ τούτων, ὅσοι μὲν πρὸς φόρτον ἐπιτήδειοί εἰσι διακρίνειν, ὅσοι δὲ τοὺς ἐπιβάτας εὐφόρως φέρειν δύνανται, καὶ μή τινι πτοίᾳ περιδεεῖς γινόμενοι ἐκτραχηλίζοιεν. οὐ μὴν ἀλλὰ καὶ τοὺς ἵππους ὀφθαλμῶν μόναις διακρίνειν ἐπιβολαῖς, ὅσοι τε πρὸς δρόμον εὔτονοι καὶ ταχεῖς, καὶ ὅσοι πρὸς πόλεμον τὸ καρτερικὸν διασῴζουσι· προβάτων τε καὶ βοῶν

cap. 2: Theoph. 42, 7—44, 11; Zon. III, 337, 7—337, 16; Glyc. 535, 3/4

ACVMN FH 92 θείῳ om. M 93 ἁμαρτημάτων V 6 τὸν post κατὰ om. V 7 καὶ ante διδ. add. AC εἶχε μὲν διδ. M 9 δὴ ACFH Theoph. Cont. 42, 20: δή om. VMN 13 γίγνεσθαι C 15 ἀχθεὶς M ὡραΐζετό τε καὶ ἐσεμν. AC 16 λόγων δὲ μάθησιν M 17 ἀπεβάλλετο AV: ἀπεβάλετο CMN 20 ἀμοιρήσουσιν M 23 μὲν ditt. post φόρτον add. V 24 δύνανται φέρειν AC 25 γενόμενοι C τῶν ἵππων corr. in τοὺς ἵππους M μόναις V Theoph. Cont. 44, 3: μόνον MNF: μόνων AC 27 βοῶν ACV: ζῴων MN

εὐτοκίας, καὶ τὴν τοῦ γάλακτος ὅσαι δαψίλειαν ἐκ φύσεως ἔλαχον· τῶν τε ἀρτιγενῶν γεννημάτων εἰδέναι διακρίνειν, ποῖον ὁποίας ἐστὶ μητρός. καὶ τὰ μὲν τῆς πρώτης ἡλικίας, εἰπεῖν δὲ καὶ τῆς τελευταίας ταῦτα δὴ τὰ μαθήματα καὶ σεμνολογήματα.

3. Ὡς δὲ ἤκμαζεν ἤδη, τὸν πένητα βίον διαθλῶν ἤδη καὶ καρτερῶν, ἔσπευδε τοῦτον πάσῃ ἀποτρέψασθαι μηχανῇ. καί ποτε τῷ ἑαυτοῦ παραστὰς στρατηγῷ ἑαυτὸν ὑπέφαινε τῇ τῆς γλώττης τραυλότητι τὸν ἄρχοντα ἐκκαλούμενος. τῶν δέ τις Ἀθιγγάνων, γνωστὸς ὑπάρχων τῷ στρατηγῷ, αὐτόν τε τοῦτον τὸν Μιχαὴλ καί τινα ἕτερον περιβοήτους ἔσεσθαι μετ' οὐ πολὺ διηγόρευε καὶ βασιλείας αὐτῆς ἐπιτυχεῖν οὐκ ἐν μακρῷ τῷ χρόνῳ. τούτοις ὁ στρατηγὸς τὴν ψυχὴν ἐκθερμανθείς, καὶ τὸ μέλλον ὥσπερ ἐν|οπτριζόμενος οὐκ ἔγνω βραδυτῆτι παρώσασθαι τὸν καιρόν, οὗ πάλιν τυχεῖν οὐ ῥᾴδιον. τράπεζα οὖν παραχρῆμα, καὶ τοὺς ἄλλους πάντας καταλιπὼν τοὺς καὶ γένει καὶ ἀξιώμασι διαφανεστέρους, τούτους δὴ τοὺς ἄνδρας εἰς ἑστίασιν συγκαλεῖ, καὶ τοῦ πότου ἀκμάζοντος τὰς θυγατέρας ἄγων ἐδίδου τοῖς ξένοις ὁ στρατηγὸς καὶ νυμφίους ἔχειν καθωμολόγει, τῷ ξένῳ μὲν καὶ παραδόξῳ τοῦ πράγματος ἐν ἐκστάσει πρότερον γινομένους, ἀποδεχομένους δὲ ὅμως καὶ συγκατατιθεμένους καὶ θεοῦ ἔργον τὸ τοιοῦτον, οὐκ ἀνθρώπου ὁμολογοῦντας. ἀλλὰ ταῦτα μὲν ἐπράττετο οὕτως. τὴν δὲ τοῦ ῥηθέντος Ἀθιγγάνου φωνὴν ὥς τινα θείαν πρόρρησιν ἐνηχηθεὶς ὁ Μιχαήλ, δεύτερον δ' οἰωνὸν εἰληφὼς καὶ τὴν κατὰ τὸ Φιλομίλιον τοῦ μοναχοῦ προαγόρευσιν, ὡς ἤδη φθάσαντες εἴπομεν, τῷ τοῦ Λέοντος φόνῳ ἰταμώτερον ἐπέθετο καὶ θρασύτερον, κακὸς μὲν περὶ τὸν πρῶτον εὐεργέτην φανείς, ἐκεῖνον δὴ τὸν εἰρημένον Βαρδάνιον, κακίων δὲ περὶ τὸν δεύτερον, φημὶ δὴ τὸν Λέοντα, ὃς καὶ τὸν υἱὸν αὐτοῦ ἐκ τοῦ θείου βαπτίσματος υἱοθετησάμενος ἦν. ὅμως δὲ καὶ τὸν Λέοντα οἰκτίστῳ θανάτῳ κατεργασάμενος ἀπόμοιράν τινα χορηγίας τοῖς τοῦ Λέοντος ἐναποτάττει παισὶ καὶ τῇ

55 a. 821

cap. 3: Theoph. Cont. 44, 11—45, 5. 46, 8—47, 15; Zon. III, 338, 1—338, 6

ACVB (a verbo **48** [δεύ]τερον) MN F **28** ἐκ φύσεως om. A **30** καὶ τὰ μὲν: καὶ ταῦτα μὲν M **32** πέν. διαθλ. βίον τε καὶ καρτ. V **33** ἀποτρέψασθαι CVMN: ἀποτρίψεσθαι A: ἀποτρίψασθαι Theoph. Cont. 44, 12 **35** ἐκκαλούμενος ACVN: ἐγκαλούμενος MH **37** αὐτῆς om. M **38** διαθερμανθείς C **39** βραδυτῆτα C παρώσεσθαι A **40** τυχεῖν πάλιν A **42** εἰς ἑστίασιν om. M **46** ἔργον post ἀνθρ. add. MN **49** τὴν om. B προσαγόρευσιν M **50** ὡς — εἴπομεν ACMN: ὡς εἴπ. ἤδη φθ.(φθ. om. B) VB **51** παρὰ C **51/52** εὐεργέτην — εἰρημένον ACMN: εὐεργ. ἐκ. φαν. τὸν εἰρ. δὴ (δὴ om B) Βαρδ. VB **52** παρὰ C

τούτων μητρὶ ἐκ τῶν δημευθέντων κτημάτων αὐτοῦ, καί τινας τῶν ἑαυτοῦ παίδων πρὸς ὑπηρεσίαν αὐτοῖς δωρησάμενος, καὶ τὴν μὲν τοῦ Λέοντος γαμετὴν εἰς τὴν μονὴν τὴν οὕτω λεγομένην τῶν Δεσποτῶν ἐνασφαλίζειν κελεύσας, τοὺς ἄρρενας δὲ τῶν παίδων ἐν τῇ Πρώτῃ νήσῳ, | ὡς εἴρηται, ὧν κατ' αὐτὴν εὐνουχισθέντων Θεοδόσιος μὲν ἀπεβίω, Κωνσταντῖνος δ' ὁ μετονομασθεὶς Βασίλειος ἀφωνίᾳ συσχεθεὶς μετὰ τὸν εὐνουχισμὸν ἐδεῖτο μὲν τοῦ θεοῦ τὴν ἑαυτοῦ λυθῆναι φωνήν, ἐδεῖτο δὲ καὶ τοῦ ἐν θεολογίᾳ περιωνύμου Γρηγορίου ἐκεῖσέ που ἀνεστηλωμένου τυγχάνοντος. ὑπήκουσεν οὖν τῆς αὐτοῦ δεήσεως ὁ ἅγιος καὶ ὠράθη τῷ Κωνσταντίνῳ φάσκων ὁ θεῖος τύπος 'κατὰ τὸν ὄρθρον τουτονὶ τὸν κηρὸν λαβὼν ἀνάγνωθι.' ὁ δὲ πιστεύσας τοῖς λεγομένοις, εἰσελθὼν ἀνέγνω λαμπρᾷ καὶ καθαρωτάτῃ φωνῇ τὸ 'πάλιν Ἰησοῦς ὁ ἐμός.' τῆς φωνῆς δὲ λυθείσης αὐτοῦ τήν τε πατροπαράδοτον ἐβδελύξατο ἄνοιαν καὶ περὶ τὰς θείας εἰκόνας τὴν εὐγνωμοσύνην μετέθετο. ἀλλὰ ταῦτα μὲν χρόνῳ ὕστερον.

4. Ἤδη δὲ τὴν αὐτοκράτορα τοῦ Μιχαὴλ ἐπανελομένου ἀρχὴν καὶ τὰ κατ' αὐτὴν ὡς ἐβούλετο διοικοῦντος ἐπιστολὴν ὁ ἀοίδιμος Νικηφόρος ὁ πατριάρχης ἐκπέμπει παρακαλῶν ἀπολαβεῖν τὸν ἀσπασμὸν τὰς θείας εἰκόνας καὶ ἀνάκλησιν γενέσθαι τῆς εὐσεβείας. ἀλλ' ὁ Μιχαὴλ ἀπεκρίνατο μήτε τι κακουργήσων ἐλθεῖν τῶν περὶ πίστεως ἐκτεθειμένων, μήτε μὴν τῶν ἤδη παραδοθέντων καὶ ἀνομολογηθέντων καταδρομήν τινα ἐργάσασθαι καὶ καθαίρεσιν. 'ἕκαστος οὖν,' φησί, 'τὸ δοκοῦν αὐτῷ ποιείτω καὶ ἐφετόν, ἀπαθὴς πόνων καὶ ἄγευστος λύπης διατελῶν.' πλὴν οὐ μέχρι τέλους ταύτην ἐτήρησε τὴν προαίρεσιν ὁ μηδὲ τὴν ἀρχὴν ἀληθὴς Χριστιανὸς γεγονώς, ἀλλ' ὅσον τὰ τῆς βασιλείας αὐτῷ ἐκρατύνετο, τοσοῦτον κακοδαίμονι φύσει καὶ ὠμο|τάτῃ τὸν κατὰ τῶν

75 a. 821

---

cap. 4: Theoph. Cont. 47, 16–49, 19; Zon. III, 338, 7–339, 12; Glyc. 535, 4–535, 9

ACVBMN F **56** τινες C **59** κελεύσας ἐνασφ. AC κελεύσας: ἐκέλευσε B νήσῳ Πρώτῃ A **60** εὐνουχισθέντων: ἐκτμηθέντων τὰ παιδογόνα μόρια B **61** δὲ ὁ AC **61/62** ἀφωνίᾳ — ἐδεῖτο VBMN: ἀφων. μετὰ τὸν εὐν. κατασχεθεὶς ἐδεῖτο AC **64** τυγχάνοντος om. AC ὑπήκουσε δὲ VB **65** τουτονὶ: τοῦτον δὲ B **70** χρόνον C **71** δὲ om. B αὐτοκράτορα AVMN: αὐτοκρατορίαν C: αὐτοκρατορικὴν B ἐπανελομένου MN Theoph. Cont. 47, 16/17: ἀνελομένου VB: ἐπανῃρημένου AC **72** διοικοῦντος VBMN: οἰκονομοῦντος AC **72/73** ὁ ἀοίδ. πατρ. Νικ. B **74** θείας om. M **75** ἐκτεθειμ. om. MN (sed non F) **79** μηδὲ: δὲ μὴ C **81** ὠμότητι B **81/82** ὠμοτάτῃ — Χριστιανῶν ACB: ὠμ. τῶν κατὰ Χρ. MN et Theoph. Cont. 48, 4 cod. V (aliter Bekker), sed ὠμ. τῶν κατὰ τῶν Χρ. F

Χριστιανῶν καὶ τῶν ὁμοφύλων ἀνερρίπιζε πόλεμον, νῦν μὲν τοὺς μοναχοὺς διαπτύων καὶ παντοίοις περιβάλλων δεινοῖς καὶ ποιναῖς ἐξευρίσκων ποινάς, νῦν δὲ τοὺς ἄλλους πιστοὺς ἐγκλείων φρουραῖς καὶ ὑπερορίους τιθείς. ἐντεῦθεν καὶ Μεθόδιον τὸν μετὰ βραχὺ πατριαρχικοῦ θρόνου ἀξιωθέντα καὶ Εὐθύμιον τὸν τηνικαῦτα τῶν Σάρδεων προεδρεύοντα, τῷ αὐτοῦ θελήματι μὴ ὑπείκοντας, μηδὲ τὴν τῶν θείων εἰκόνων ἐξαρνουμένους τιμήν, τῆς πόλεως ἐξωθεῖ καὶ τὸν μὲν θεῖον Μεθόδιον φυλακῇ παραδίδωσι κατὰ τὴν νῆσον τοῦ Ἀκρίτα, τὸν δὲ μακαρίτην Εὐθύμιον διὰ Θεοφίλου τοῦ οἰκείου υἱοῦ θανάτῳ παραδίδωσι, βουνεύροις τυπτόμενον ἀφειδῶς. ὅσῳ δὲ τὴν Χριστοῦ κληρονομίαν ἐπίεζε, τοσούτῳ τοὺς Ἰουδαίους ἀνέτους φόρων καὶ ἐλευθέρους ἐτίθει, ἀγαπωμένους καὶ στεργομένους αὐτῷ τῶν ἄλλων ἀνθρώπων διαφερόντως. προὐβάλλετο δ᾽ ὥσπερ τι προκέντημα καὶ ἀρχέτυπον τοῦ οἰκείου βίου πρὸς μίμησιν τὸν τοῦ Κοπρωνύμου βίον, καὶ τοῦτον μιμεῖσθαι εἰς ἄκρον ἐσπούδαζε. διὸ καὶ πρὸς τὴν ἀκρόπολιν ἔφθασε τῆς ἀσεβείας ἄρτι μὲν σάββατον νηστεύειν νομοθετῶν, ἄρτι δὲ κατὰ τῶν θείων προφητῶν τὴν γλῶσσαν ἐξακονῶν, ἄρτι δὲ τὴν μέλλουσαν ἀνάστασιν ἀθετῶν καὶ τὰ ἐκεῖθεν ἐπηγγελμένα ἀγαθὰ διασύρων διάβολόν τε ὅλως μὴ εἶναι ἰσχυριζόμενος, ἅτε μηδ᾽ ὑπὸ Μωσέως τούτου παραδεδομένου. πορνείαν δὲ κατησπάζετο, καὶ τὸν ἐπὶ πᾶσι δεῖν ὀμνύναι θεὸν ἐνομοθέτει, καὶ τὸν Ἰούδαν ἀκολάστῳ γλώσσῃ τάττων μετὰ τῶν σῳζομένων. | τὴν ἑορτὴν τοῦ σωτηρίου πάσχα κακῶς καὶ παρὰ καιρὸν χλευάζων τιμᾶσθαι, καὶ ὡς Ἑλληνικὴν τάχα παίδευσιν διαπτύων, τὴν ἡμετέραν καὶ θείαν παίδευσιν τοσοῦτον ἀποστρεφόμενος, ὡς μηδὲ τοὺς νέους παιδοτριβεῖσθαί που συγχωρεῖν, ἵνα μήτε τῇ αὐτοῦ ἀλογίᾳ ἀντιστῆναί τις ἔχοι ποτὲ καὶ διελέγξαι, μήτε πάλιν τῷ τάχει τῶν ὀφθαλμῶν καὶ τῇ τῆς γλώττης ῥύμῃ φερόμενος διὰ τῆς παιδεύσεως τὰ δευτεραῖα τοῦτον φέρειν καταναγκάσειε. τοσοῦτον γὰρ ἤργει πρὸς τὴν μίξιν τῶν γραμμάτων ἐκεῖνος καὶ τὴν τῶν συλλαβῶν ἀνάγνωσιν, ὡς ῥᾷον ἄν τις διῆλθε βιβλίον ἢ αὐτὸς τῇ βραδυτῆτι τοῦ νοῦ τὰ τοῦ οἰκείου στοιχεῖα ὀνόματος. ἀλλὰ ταῦτα μὲν παρείσθω, ὡς καὶ ἄλλοις ἱκανῶς ἐστηλιτευμένα, ἡ δ᾽ ἱστορία ἐχέσθω τῶν ἐφεξῆς.

ACVBMN F 82 καὶ τῶν ὁμοφ. om. VB 85 τοῦ ante πατρ. add. MNF Theoph. Cont. 48, 9 89 κατὰ τὸν Ἀκρίταν B 91 ὅσῳ ACVB: ὅσον MN τοῦ ante Χρ. add. ACM τοσοῦτον B 92 ἀνετ. καὶ φόρ. ἐλευθ. VB 93 τι: τινὰ B 94 προυκέντημα V προκ. καὶ om. B 95 βίον om. B ἐσπούδαζεν M Theoph. Cont. 48, 17 2 γλῶτταν VNF 4 τε μὴ εἶναι ὅλως ACMNF (sed cf. Theoph. Cont. 49, 2) διϊσχυριζόμενος B (cf. Theoph. Cont. 49, 2) 5 δὲ ACMN: τε VB 7 σωτηρ. om. AC 8 ὡς ante κακ. add. B καιρ. τιμωμένην ἐχλεύαζε καὶ τοὺς λόγους ὡς Ἑλλ. B 10 ἦν post ἀποστρ. add. B συγχωρεῖν ACVBF: συγχωρῶν MN 11 ποτὲ post διελ. M 12 γλώσσης B 14/15 καὶ τὴν τῶν συλλ. ἀνάγν. om. MN (sed non F) 15/16 τῇ τοῦ νοῦ βραδ. B 17 ἐχέτω C

5. Κατὰ γὰρ τὸν καιρὸν τοῦτον ὁ ἐμφύλιος πόλεμος ἀρχὴν εἰληφὼς ἐξ ἀνατολῆς παντοίων ἐνέπλησε τὴν οἰκουμένην κακῶν, φθόρον δὲ πολὺν τῶν ἀνθρώπων, καὶ παρὰ τοῦτο ὀλιγανδρίαν εἰργάσατο. Θωμᾶς ἦν τῆς ἀποστάσεως ἔξαρχος, περὶ οὗ διττοὶ φέρονται λόγοι, ὧν ὁ μὲν εἷς ὁρμᾶσθαι τοῦτόν φησιν ἐξ ἀσήμων γονέων καὶ πενιχρῶν καὶ τὸ γένος βαρβάρων, ἐπὶ πολὺ δὲ πενίᾳ συζῆν διὰ τῆς τῶν χειρῶν ἐργασίας τὰ πρὸς τὸ ζῆν ποριζόμενον, ἐνίοτε δὲ καὶ θητεύοντα. εἶτα τὴν ἐνεγκοῦσαν ἀπολιπόντα καὶ πρὸς τὴν μεγαλόπολιν ταύτην πεφοιτηκότα καί τινι τῶν συγκλητικῶν εἰς ὑπηρεσίαν προσληφθέντα ἐς τοσοῦτον ἀκολασίας ἐληλακέναι καὶ ὕβρεως, ὡς καὶ αὐτὴν κατατολμῆσαι τὴν δεσποτικὴν καθυβρίσαι εὐνήν. καὶ ἐπεὶ | ἐφωράθη, μὴ οἷός τε ὢν τὰ ὀνείδη φέρειν, δεδοικὼς δὲ καὶ τὰς ἐπηρτημένας τοῖς τῶν τοιούτων ποινὰς τολμηταῖς, φυγὰς πρὸς τοὺς Ἀγαρηνοὺς γίνεται. καὶ τούτοις πίστιν ἱκανὴν δεδωκὼς ἔκ τε τοῦ καταλλήλαις χρῆσθαι πράξεσι καὶ ἐκ τοῦ χρόνῳ βεβαιῶσαι τὰ ἔργα (ἔτος γὰρ πέμπτον καὶ εἰκοστὸν διηνύσθη τούτῳ ἐν τῇ πρὸς ἐκείνους διατριβῇ) καὶ ἐκ τοῦ τὴν ἱερὰν τῶν Χριστιανῶν ἀπομόσασθαι θρησκείαν καὶ τῇ τοῦ ἐπαράτου προστεθῆναι Μωάμεθ, πολεμικῆς τινος φάλαγγος ἀποδείκνυται ἀρχηγὸς καὶ κατὰ Χριστιανῶν ἐκπέμπεται τὴν τῶν Ῥωμαίων βασιλείαν ὑπὸ τὴν αὐτῶν χεῖρα θεῖναι καθυποσχόμενος. καὶ ἵνα μή τινα ὡς ἀλλόφυλος καὶ ἀλλόπιστος ἐμποδισμὸν ἔχῃ ἀπιστούμενος ὑπὸ Ῥωμαίων, Κωνσταντῖνον ἑαυτὸν ἐπεφήμιζεν εἶναι τὸν τῆς Εἰρήνης υἱόν, ὃν ἡ μήτηρ διὰ τὸ κακόνουν καὶ τὸ τοῦ τρόπου ὕπουλον καὶ κακόηθες πάλαι μετὰ τῆς βασιλείας καὶ τῶν ὀφθαλμῶν ἀπεστέρησε, τηνικαῦτα δὲ καὶ τὸν βίον ἐτύγχανε καταστρέψας. ἐπεὶ δὲ τὸ τῶν πράξεων μέγεθος καὶ αἱ βόσκουσαι τοῦτον ἐλπίδες κοινωνόν τινα τῶν πραγμάτων ἀπῄτουν (οὐ γὰρ ἂν ἄλλως οἷός τε ἦν τὰ πράγματα κυβερνᾶν μόνος καὶ κατὰ γῆν ἐπιχειρήσας καὶ θάλασσαν), εἰσποιεῖταί τινα υἱὸν τῇ διαμορφώσει τοῦ σώματος τὴν

18 a. 821 **41** die 15. mens. Aug. a. 797

cap. 5: Theoph. Cont. 49, 20—54, 7; Zon. III, 339, 13—341, 10; Glyc. 535, 9/10

ACVBMN FH **18** καὶ ante κατὰ add. M **21** στάσεως B **23** πολλή B **25** πρὸς om. C μεγ. πεφ. ταύτ. B **25/26** πεφοιτηκότα: καταλαβόντα A **26** εἰς τοσ. V **28/29** μὴ — φέρειν, δὲ καὶ om. B **30/31** τολμ. ποιν. A **31** καταλλήλαις ACBM: καταλλήλοις V: καταλλήλως N χρᾶσθαι A ταῖς ante πράξ. add. M **32** χρόνου VM **33** τούτῳ ἡ πρ. ἐκ. διατριβή MN **34** Μωάμεθ MN: Μωάμεδ AC: Μωάμ VB **35** ἀποδείκνυσι τὸν ἀρχηγὸν τῶν ante Χριστ. add. B **36** βασιλέως C αὐτῶν ACVN: ἑαυτῶν M: αὐτοῦ B χεῖρα om. AC θεῖναι **39** διά: χεῖρα MNF **37** ὡς ante ἀλλόπ. add. AB ἀλλόπιστος VBMN: ἄπιστος AC **39** διὰ: αὐτοῦ B **40** ὕπουλον καὶ om. B **43/44** οἷός τε ἦν: οἷός τινες B **44** τ' CV τε om. AB **45** κατὰ ante θάλ. add. ACB

τῆς ψυχῆς δηλοῦντα ἀπόνοιαν. τοῦτον Κωνστάντιον μετονομάσας καὶ χεῖρα ἀρκοῦσαν παρεσχηκὼς πρὸς ἕτερον μέρος ἀπέστειλε, τὰ Ῥωμαίων ἄγειν καὶ φέρειν προστάξας. αὐτός τε καθ' ἕτερον ἐπῄει κείρων καὶ κατακόπτων τὰ ἐν ποσί. Λέων τότε καιροῦ ὁ ἐξ Ἀρμενίας τὰς τῆς βασιλείας κατεῖχεν ἡνίας. ὃς δύναμίν τινα κατ' αὐτοῦ ἐκπέμψας οὐκ ἀξιόλογον καὶ τοῖς ὅλοις σφαλεὶς θρασύτερον αὐτὸν καὶ ἐπὶ πλέον ὁρμητικὸν ἀπειργάσατο. καὶ ὁ μὲν πρῶτος καὶ πολὺς οὕτως ἔχειν περὶ τῆς τοιαύτης κινήσεως πιστεύεται λόγος. ἅτερος δὲ τοῦτον εἶναί φησι τὸν Θωμᾶν τὸν τῷ Βαρδανίῳ πάλαι συνόντα, περὶ οὗ καὶ ὁ ἐν Φιλομιλίῳ μονα|χὸς τὴν πρόρρησιν ἀπεφοίβασε, παρὰ τοῦ βασιλέως δὲ Λέοντος ἀναχθέντα εἰς τὴν ἀρχὴν τοῦ τῶν φοιδεράτων τάγματος. ὃς ἐπεὶ μεμαθήκοι τὸν Λέοντα ὑπὸ τοῦ Μιχαὴλ ἀνῃρῆσθαι, ἐκδικῶν τάχα τὸν εὐεργέτην, ὁμοῦ δὲ καὶ θυμὸν ἴδιον ἐμπιπλάς (ἐτύγχανε γάρ πως ἐξ ἡλικιωτῶν διαφερόμενος πρὸς τὸν Μιχαήλ), ἅμα δὲ καὶ τὰς περὶ αὐτοῦ τοῦ ἐν τῷ Φιλομιλίῳ μοναχοῦ προρρήσεις φοβούμενος, χεῖρα ἐναντίαν κινεῖ τοῦ τῶν Ἀνατολικῶν ἀρξάμενος θέματος, ὅπῃ δὴ καὶ διέτριβε, δύναμιν οὐκ ἀσθενῆ τινα καὶ μικράν, ἀλλὰ βαρεῖαν καὶ ἀνδρώδη συνηθροικώς, πάντα τὸν ὅπλον τὸ ὁτιοῦν κινεῖν δυνάμενον ἕπεσθαί οἱ καταναγκάσας, ὃν μὲν βίᾳ, ὃν δὲ φιλίᾳ τῇ πρὸς αὐτόν, ὃν δὲ καὶ ἐλπίδι διαρπαγῆς λαφύρων, ὃν δὲ καὶ τῷ πρὸς τὸν Μιχαὴλ μίσει. ἐτύγχανε γὰρ οὗτος ὑπὸ πάντων διὰ σκαιοτροπίαν μισούμενος καὶ διὰ τὸ τῆς τῶν Ἀθιγγάνων θιασώτης εἶναι αἱρέσεως καὶ διὰ τὴν τῆς γλώττης τραυλότητα καὶ διὰ ἀνανδρίαν καὶ μαλακίαν συμπεισθέντων αὐτῷ συστρατεύεσθαι. ὁ Θωμᾶς δέ, εἰ καὶ θάτερον τῶν ποδῶν εἶχε πεπηρωμένον καὶ τὸ γένος βάρβαρος ἦν, ἀλλ' οὖν τῇ γε πολιᾷ αἰδέσιμος ἐτύγχανεν ὢν καὶ τὸ εὐπροσήγορον καὶ ἀστεῖον εἶχεν, ἅπερ φιλεῖ ὁ στρατιώτης λεώς, καὶ τῶν κατὰ γενναιότητα σώματος οὗ τινος ἐφαίνετο δεύτερος. οὗτος τοίνυν ὁ Θωμᾶς πᾶσαν τὴν ἕω παραλαβὼν καὶ τοὺς τῶν δημοσίων πράκτορας φόρων ὑφ' ἑαυτὸν ποιησάμενος καὶ μεγαλοφροσύνῃ καὶ ἐπιδόσει ἄκρᾳ | χρησάμενος πολὺς ἐκ μικροῦ γέγονε καὶ ἐξ ἀσθενοῦς ἰσχυρός. τοὺς μὲν γὰρ ἦγε πειθοῖ καὶ φιλίᾳ, ὁπόσοις ὁ τῶν καινῶν πραγ-

ACVBMN FH 48 φέρειν καὶ ἄγειν M 50 εἶχεν M 52 ὁρμητικὸν ACMN: ὁρμητικώτερον VB 54 Θωμᾶν τὸν Βαρδάνιον B 55 ἀπεφοίβαζεν B 56 ἀναχθέντος C φοιβεράτων VMNF 57 μεμαθήκει B τάχα VBMN: καὶ AC 58 δὲ om. B ἐκπιπλὰς B πως om. B 59/60 περὶ αὐτὸν M 62 ἀλλά: παρὰ B ἀνδρῶδες M 63 πάντα — κινεῖν: πάντα τὸν ὁτιοῦν ὅπλον κινεῖν V: πάντα οὖν ὁτιοῦν ὅπλον κινεῖν B ὅπλον τὸ ὁτιοῦν: ὅπλον τὸ οἱονοῦν MNH: ὅπλον τόν οἱονὸν F κινεῖν VBMN: κινῆσαι AC 66 ὑπὸ πάντων post μισούμενος MN τῶν om. VB 67 θιασώτην AB 68 δι' B 69 δέ: δ' MN: γάρ ACVBF τῶν ποδῶν ACMN: τοῖν ποδοῖν VB 70 γε dittogr. post οὖν add. MN 71 εὐπροσηγόρητον B 74 πράκτορας VBMN: πρακτόρων AC φόρων: φόρον M: φόρους A 75/76 πολὺς — ἰσχυρός om. AC 76 ἦγε: εἶχε M κενῶν VMN

μάτων καὶ τοῦ φιλοπλουτεῖν ἔρως ἐνῆν, τοὺς δὲ ἀνάγκη καὶ βίᾳ ὑπήγετο, ὅσοις δὴ τὰ τῶν ἐμφυλίων στάσεων κακὰ ἐμισεῖτο. ἐντεῦθεν οἱ ἐμφύλιοι ἀναρρηγνύμενοι πόλεμοι καὶ οἷόν τινες ποταμοῦ καταρράκται φερόμενοι οὐχ ὕδασιν, ἀλλ' αἵμασι τὴν γῆν κατέκλυζον. πᾶσα μὲν οὖν ἡ Ἀσία πορθουμένη καὶ ληϊζομένη ἐδυσθανάτα, τῶν ἐν αὐτῇ πόλεων τῶν μὲν προστιθεμένων τῷ Θωμᾷ διὰ τὸν φόβον, τῶν δ' ὅσαι τὰ πιστὰ τῷ κρατοῦντι ἐτήρουν λεηλατουμένων καὶ ἀνδραποδιζομένων. καὶ τὰ μὲν τῆς Ἀσίας ἅπαντα ὑπήκοα γέγονε τῷ ἀποστάτῃ ἐξῃρημένου τοῦ θέματος τοῦ Ὀψικίου (τούτου γὰρ στρατηγῶν ὁ Κατάκυλας διετήρησεν ἄχρι τέλους τῷ βασιλεῖ εὔνοιαν), ἔτι δὲ καὶ τοῦ τῶν Ἀρμενιακῶν. καὶ τοῦτο γὰρ τὸ θέμα, στρατηγὸς ὢν ἐν αὐτῷ ὁ Ὀλβιανός, εὔνοιαν ἐτήρησε τῷ βασιλεῖ. οἷς τισιν ἀπονέμων ἀμοιβὰς ὁ βασιλεὺς τὸ εἰς τὸ βασιλικὸν ταμιεῖον εἰσαγόμενον δημόσιον τέλος, ὃ καπνικὸν καλεῖν εἰώθασιν, ἐδωρήσατο.

6. Μανθάνουσι δὲ τοῖς Ἀγαρηνοῖς τὴν ἐμφύλιον στάσιν χαίρειν ἐπῄει καὶ σκιρτᾶν. καιροῦ γὰρ λαβόμενοι πᾶσαν νῆσον καὶ χώραν κατέτρεχον ἀδεῶς. δείσας οὖν ὁ Θωμᾶς, ὡς μὴ πτοηθέντες οἱ σὺν αὐτῷ στρατιῶται τὴν τῶν Ἀγαρηνῶν ἔφοδον, λείαν, ὡς εἴρηται, ποιουμένων πάντα τὰ ἐν ποσὶ καὶ αἰχμαλωτιζόντων τὰ προστυχόντα, καταλιπόντες αὐτὸν οἰχήσονται, δέον ἐγνώκει τέως ἀναχαιτίσαι τὴν αὐτῶν ὁρμὴν δι' ἐπι|φανείας αὐτοῦ καὶ τῷ πλήθει τῶν ἑπομένων δυνάμεων ἐκπλῆξαί τε καὶ πρὸς εἰρήνην πανούργως αὐτοὺς ἐκκαλέσασθαι. ὃ καὶ συνέβη. ἄρτι γὰρ τοῖς Σαρακηνοῖς τὴν ἔξω ληϊζομένοις αἰφνίδιος ἐπιφανεὶς ἐξέπληξε καὶ εἰς λόγους ἐλθὼν ἐσπείσατο ὑποσχόμενος προδοῦναι τούτοις τὰ Ῥωμαίων ὅρια καὶ τὴν αὐτῶν αὐτοῖς ὑποχείριον θέσθαι ἀρχήν. ἀπαλλαγεὶς δὲ τοῦ ἀπὸ τούτων δέους βασιλέα ἑαυτὸν ἀνεῖπε καὶ διάδημα τῇ κεφαλῇ περιέθετο καὶ αὐτοκράτωρ ἐν Ἀντιοχείᾳ ἀναγορεύεται παρὰ τοῦ τηνικαῦτα τὴν ἐκεῖσε ποιμαίνοντος ἐκκλησίαν Ἰώβ. χεῖρα δὲ πολλὴν αὐτὸς

cap. 6: Theoph. 54, 8—55, 11; Zon. III, 340, 10—341, 4

ACVBMN FH 77 καὶ τὸ φιλ. M 79 ἀναρρηγνόμενοι B ποταμοὶ A 81 ἐδυσθανάτω C τῶν ἑαυτῆς πόλεων A 82 τῷ Θωμᾷ VBMN: αὐτῷ AC 83 δὲ post λεηλ. add. M 84 ἀποστάτῃ ACVBF: τυράννῳ MN 85 θέματος: δρόμου αὐτοῦ B Κατάκυλος B 86 Ἀρμενικῶν M 87 καὶ τούτου γὰρ τοῦ θέματος B ἐν αὐτῷ om. B 88 τισιν om. A 88/89 ἀπονέμων — ὃ: ἀπονέμων αὐτὸς ἀμοιβ. τὸ ἐξ αὐτῶν πραττόμενον τέλος. ὃ B 89 τέλος δημόσιον A καλεῖν: λέγεσθαι A 90 εἰώθασιν VBMN: εἴωθεν AC 91 δὲ VBMN: οὖν AC 92 ἐποίει M 92/93 νῆσον — ἀδεῶς: νῆσον κατέτρ. ἀδεῶς καὶ πᾶσαν χώραν A 93 ὡς om. B 94 πάντα om. A 3 αὐτ. πανούργ. B ἐκκαλέσασθαι VBN: ἐγκαλέσασθαι M: ἐπισπάσασθαι C: ἐπισπάσεσθαι A 4 αἰφνίδιον M 8 ἀνηγορεύθη B 9 τὴν: τοῦ B

τε συλλέγει καὶ παρὰ τῶν Ἀγαρηνῶν λαμβάνει, οὐ μόνον δὴ τῶν προσοίκων ἡμῖν, ἀλλὰ καὶ τῶν ἐκ τῆς περαίας Αἰγυπτίων, Ἰνδῶν, Περσῶν, Ἀσσυρίων, Ἀρμενίων, Χάλδων, Ἰβήρων, Ζεχῶν καὶ Καβείρων. τούτοις ἅπασι κατοχυρωθεὶς καὶ ἑαυτὸν περιφράξας ἄριστον ἐνόμισεν εἶναι καὶ βοηθὸν καὶ συνεργὸν τῆς ἀρχῆς προσλαβέσθαι τήν τε ἑαυτοῦ κλῆσιν ἀλλάξασθαι καὶ υἱὸν εἰσποιήσασθαι.

7. Ἐκεῖθεν ὁρμηθεὶς ἅπασαν ἐδῄου καὶ ἐπόρθει τὴν ἀνατολήν. ἃ δὴ ὁ βασιλεύων ἀκηκοὼς καὶ αὐτὸς πρὸς ἀντιπαράταξιν ηὐτρεπίσθη. καὶ στρατιὰν καὶ στρατηγὸν οὐκ ἀξιόμαχον πρὸς αὐτὸν ἀποστέλλει, ᾗ τινι συρραγεὶς ὁ Θωμᾶς ἄρδην ἠφάνισε, μέρος μὲν τῆς δυνάμεως ἀνελών, τὸ δ' ἄλλο τρεψάμενος εἰς φυγήν. καὶ λοιπὸν ἀδείας τυχὼν διέθετο τὰ καθ' ἑαυτὸν κραταιότερον, ναῦς ἐξαρτύων πολεμικὰς καὶ ἑτέρας σιταγωγοὺς καὶ ἱππαγωγούς. γίνεται δὲ καὶ | τοῦ βασιλικοῦ στόλου κύριος καὶ πρὸς τὴν Λέσβον ἅπαν ἀθροίζει τὸ ναυτικόν. αὐτὸς δὲ ὀκτὼ μυριάδων κατάρχων στρατοῦ ἐπὶ Ἄβυδον ᾔει, ὡς ἐκεῖθεν εἰς τὴν περαίαν διαβησόμενος, καὶ πάντα τὰ ἐν παρόδῳ καταδραμὼν καὶ σποδὸν ποιήσας οὐ τὰ ταπεινὰ καὶ εὐχείρωτα, ἀλλὰ καὶ τὰ ἐπικαιρότατα καὶ δυσάλωτα. ἦν δέ τι χωρίον ἐρυμνὸν τὴν ἐς τὸν βασιλέα πίστιν τηροῦν· ἐπ' αὐτὸ τὸν εἰσποιητὸν ἐκπέμπει υἱόν. ὁ δὲ θρασέως ἱππαζόμενος καὶ ἀτάκτως, τῷ οἴεσθαι γυμνὸν ἀντιπάλων εἶναι τὸ χωρίον, λόχῳ δή τινι περιπίπτει τοῦ Ὀλβιανοῦ καὶ τὴν κεφαλὴν ἀποτμηθεὶς ἔμαθε μὴ θρασύνεσθαι. τὴν μὲν οὖν κεφαλὴν τοῦ δειλαίου ἐκείνου ἔπεμψε τῷ βασιλεῖ ὁ Ὀλβιανός, οὗτος δὲ πάλιν Θωμᾷ τῷ ἐκείνου πατρὶ μετὰ φρυάγματος βαίνοντι καὶ μεγαλαυχουμένῳ. ἥνπερ οὗτος δεξάμενος καὶ κατὰ μηδὲν τοῦ φρονήματος ὑπενδοὺς πρὸς τὴν Θρᾴκην ἀπὸ τοῦ χωρίου, ὃ καλοῦσιν Ὁρκώσιον, περαιοῦται νύκτα κατατηρήσας συνοδικήν. ἔμελε δὲ περὶ τούτου καὶ πρὸ τούτου τῷ Μιχαὴλ καὶ τὴν ἐκείνου προλαβὼν περαίωσιν

cap. 7: Theoph. Cont. 55, 12—57, 7; Zon. III, 341, 10—342, 4

ACVBMN F **10** δὴ ACVB: δὲ MN **11/12** περαίας — Χάλδων om. B **12** Ζεχῶν CMN: Ζέχων A: Ζιχῶν VB: Ζηχῶν Theoph. Cont. 55, 7 Καβήρων AB **13** περιφράξας AVMN: παραφράξας C: ἐπιφράξας B ἐνόμισε VB εἶναι om. VB **13/14** καὶ συνεργὸν καὶ βοηθὸν B αὐτῷ (αὐτοῦ B) post ἀρχῆς add. VB τήν τε ἑαυτοῦ ACMN: τήν τε αὐτοῦ V: ταύτην αὐτοῦ B **16** τε ante ὁρμ. add. B καὶ ἐπόρθει post ἀνατ. M ἀνατολήν: ἕω B **17** πρὸς τὴν ἀντιπαρ. post ηὐτρέπιστο B **18** καὶ στρατιὰν om. B καὶ στρατηγὸν καὶ στρατιὰν M **20** διετίθετο CB **21** καθ' ἑαυτὸν VBM: καθ' αὐτὸν CN: κατ' αὐτὸν A κραταιότερον ACMN: κραταιότατα VB πολ. τε ἑτέρ. B ἑτέρους C **23** κύριος om. B **24** ᾔει: ἦλθεν B τὴν ante ἐκ. add. B **26** μόνον post εὐχ. add. B **27** τηροῦν ACVBF: τηρῶν MN **28** ἐπ' αὐτὸν B **29** ἀντιπάλων om. B λόχῳ AVMN: λόγχῳ B: λόβῳ C **31** μὲν om. B **32/33** μετὰ — μεγαλ.: μεγαλ. καὶ μ. φρ. βαίν. B **34** ἀπὸ τοῦ χωρίου om. M **35** Ὡρκώσιον N κατατηρήσας ACMN: τηρήσας VB **36** περαίωσιν προλαβὼν M

αὐτὸς τάς τε πόλεις ἀνελάμβανε καὶ τοὺς στρατιώτας ἐστήριζε καὶ τὰ ἀσθενῆ τῶν χωρίων ὠχύρου, κἂν μηδὲν ἐκ τῆς τοιαύτης σπουδῆς ἀπώνατο, ἅμα τῇ ἐκείνου πρὸς τὴν πόλιν ὑποστροφῇ καὶ τῇ τοῦ Θωμᾶ περαιώσει πάντων τὴν ἐκείνου πίστιν ἀπαρνησαμένων καὶ προσκεχωρηκότων τῷ ἀποστάτῃ καὶ μετ' αὐτοῦ στρατεύεσθαι κατὰ τῆς βασιλίδος προθυμουμένων.

8. Ὁ δὲ βασιλεὺς κατὰ τὸ ἐγχωροῦν | στρατὸν ἀγηοχὼς καὶ δύναμιν τῷ δοκεῖν ἀξιόλογον συστησάμενος, στρατηγούς τε ἐπιστήσας αὐτῇ τόν τε ῥηθέντα Κατάκυλαν καὶ τὸν Ὀλβιανόν, ἐπαφίησι κατὰ τοῦ τυράννου. ἐπεμελεῖτο δὲ καὶ τῶν κατὰ θάλασσαν, ὡς ἀνυστὸν ἦν. ὥσπερ δέ τις χείμαρρος ἐξ ὑψηλῶν ὀρέων ὁ τύραννος ἐπελθὼν τήν τε κατὰ χέρσον δύναμιν καὶ τὴν κατὰ θάλασσαν διεσκέδασε καὶ τοσαύτην ἐνέθηκε πτοίαν τῷ βασιλεῖ, ὡς καὶ σιδηρᾶν ἅλυσιν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὸ καταντικρὺ πολίχνιον ἀποτεῖναι, τὴν ἔσωθεν ἄβατον τηροῦσαν θάλασσαν. ἦν δέ τις ἀνὴρ στρατηγὸς ὑπερόριος ἐν Σκύρῳ τῇ νήσῳ (μία δὲ αὕτη τῶν Κυκλάδων), ἀδελφιδοῦς μὲν τυγχάνων Λέοντος τοῦ βασιλέως, τούτου δὲ ἀναιρεθέντος παρρησιασάμενος πολλάκις καὶ τὸν Μιχαὴλ εἰς πρόσωπον ὀνειδίσας διὰ τὸν φόνον καὶ διὰ τοῦτο τὴν ὑπερορίαν κατακριθείς. τοῦτον προσεταιρισάμενος ὁ Θωμᾶς στρατεύματός τινος κατὰ γῆν ὡσεὶ χιλιάδων δέκα ἀναδείκνυσι στρατηγόν. καὶ τὸν κατὰ θάλατταν δὲ στόλον εὐτρεπισάμενος καὶ ἕτερον αὐτῷ ἐπιστήσας στρατηγόν, οἷόν τινας προδρόμους ἐξέπεμψε κατὰ τῆς βασιλίδος, διά τε γῆς καὶ θαλάσσης ὠφέλιμον εἶναι κρίνας ποιεῖσθαι τὰς προσβολάς. οὗ γενομένου, καὶ κατὰ ταὐτὸν ἀναφανέντων τῶν τε ναυτικῶν καὶ πεζικῶν δυνάμεων ἐν τῷ πρὸς Βλαχέρναις κόλπῳ, ἀντισχεῖν ὅλως μὴ δυνηθείσης, ὡς εἴρηται, τῆς ἐκτεταμένης σιδηρᾶς ἁλύσεως, προσβολαὶ

61 mens. Dec. a. 821

---

cap. 8: Theoph. Cont. 57, 8–61, 10; Zon. III, 342, 5–342, 16; Glyc. 535, 12–535, 14

ACVBMN FH **37** ἐλάμβανε M **38** ἐκ VBMN: ἀπὸ AC ὤνατο A **39** ὑποστροφῇ ACVB: ἀποστροφῇ MN **40** πάντων τὴν ἐκείνου ACVN: πάντων τῶν ἐκείνου M: πάντων τὴν εἰς ἐκεῖνον B **41** βασιλείας C **45** Κατάκυλον B **46** θάλατταν V ὡς ἀν. ἦν: ὡς ἐνὸν ἦν B ἀνυστὸν AC: ἀνοιστὸν VMNF **48** χείμαρρος VBMN: τύραννος AC ὀρέων ACMN: ῥέων VB **49** ἀπὸ: ἐκ B **51** ἀνὴρ om. ACMNFH (sed cf. Theoph. Cont. 57, 17) ὑπερόριος ACVBF: ἐνσκόριος N: Γρηγόριος M τῇ ante Σκύρῳ add. VB **54** διὰ om. AC **55** ὁ om. B **57** θάλασσαν AC Theoph. Cont. 58, 6 **58** ἐξέπεμψε post βασιλίδος AB **59** θαλάττης MN ὡς ante ὠφέλ. add. B ποιεῖσθαι om. MN (sed non F) **60** κατ' αὐτὸν M **61** τῶν ante πεζ. add. VB δυνάμεων CVMN: στρατευμάτων A: ταγμάτων B **62** ὡς εἴρ. post ἐκτεταμ. B

τοῖς τείχεσι πανταχόθεν ἐγίνοντο. ἐπῆλθε δὲ μετ' ὀλίγον καὶ ὁ Θωμᾶς καὶ ἐνεργὸς πάντοθεν ἐγίνετο ἡ πολιορκία. οὐδὲν δέ, ὅ τι καὶ λόγου ἄξιον διεπράττετο τῶν ἔνδον εὐρώστως ἀμυνομένων καὶ | τὰς ἑλεπόλεις ἐκκρουομένων. ᾤετο μὲν γὰρ ὁ Θωμᾶς ἅμα τε ἐπιφανῆναι τῇ βασιλίδι, καὶ ἅμα τοὺς πολίτας ἀναπετάσαι αὐτῷ τὰς πύλας διὰ τὸ πρὸς τὸν Μιχαὴλ μῖσος, καὶ διὰ τοῦτο τόν τε Γρηγόριον, ὡς εἴπομεν, πρότερον ἔπεμψε καὶ αὐτὸς πανσυδὶ μετὰ καὶ τοῦ υἱοθετηθέντος αὐτῷ Ἀναστασίου, ἄρτι τὸν μοναχικὸν ἀρνησαμένου βίον καὶ πρὸς τὸν κοσμικὸν ἀποκλίναντος, κατόπιν ἐπηκολούθησεν. ὡς δὲ οὐδὲν τῶν κατ' ἐλπίδας αὐτῷ ὑπήντησεν, ἀλλὰ καὶ ὕβρεσι μᾶλλον ὑπὸ τῶν ἔνδον ἐπλύνετο, τότε μὲν παρεμβολὴν ἐν τοῖς Παυλίνου, ἔνθα τὸ τῶν θαυματουργῶν Ἀναργύρων τέμενος ἵδρυται, ὀχυρὰν ἐπήξατο, λαὸν δὲ πεπομφὼς ἄχρι τοῦ Εὐξείνου πόντου καὶ τοῦ καλουμένου Ἱεροῦ ἀπεπειρᾶτο τῶν πολιχνίων, εἴ πως αὐτὰ προσαγάγοι καὶ μή τινα κατὰ νώτου ἔχοι ἐχθρόν. ταῦτα δὲ καταστησάμενος, καί τινας ἡμέρας εἰς παρασκευὴν δοὺς ἑαυτῷ, ὡς ἔκ τινος ἀπόπτου κατεῖδε τὸν μὲν Μιχαὴλ τὸ πολεμικὸν σημεῖον ἐπὶ τοῦ τέγους τοῦ τῆς θεοτόκου τοῦ ἐν Βλαχέρναις πεπηγότα ναοῦ, κἀκεῖθεν τὴν κατὰ τῶν ἐναντίων ἰσχὺν ἐξαιτούμενόν τε καὶ προσλαμβάνοντα, τὸν υἱὸν δὲ αὐτοῦ Θεόφιλον πάντα τὸν τῆς πόλεως περίβολον μετὰ τοῦ πατριάρχου καὶ τοῦ ὑπ' αὐτὸν τάγματος περικυκλοῦντα τό τε ζῳοποιὸν τοῦ σταυροῦ ξύλον ἐπιφερόμενον καὶ τὴν ἐσθῆτα τῆς πανάγνου θεοτόκου, εἰς πολλὴν τῶν πραγμάτων ἐνέπιπτε δυσελπιστίαν καὶ παντοῖος ταῖς γνώμαις ἐγίνετο. οὐκ ἔχων δ' ὅ τι καὶ πράξειεν, ἄλλως τε δὲ καὶ ὄχλῳ τοσούτῳ θαρρῶν, τὸ ὅλον διὰ μάχης κριθῆναι ἠπείγετο. ὅθεν τῇ | ἑξῆς ἅμα φωτὶ σημάνας τὸ ἐνυάλιον τοὺς ἄνδρας ἐξῆγε. καὶ τῷ μὲν υἱῷ τὸν κατὰ τοῦ χερσαίου τείχους ἐπέτρεψε πόλεμον, αὐτὸς δὲ τὸ πολὺ τῆς δυνάμεως ἔχων καὶ τὰς καρτερὰς ἑλεπόλεις καὶ μηχανὰς κατὰ τοὺς τῶν Βλαχερνῶν πύργους ἐποιεῖτο τὴν προσβολὴν κλίμακάς τε προσφέρων τοῖς τείχεσιν ἀναλογούσας τῷ ὕψει, καὶ ἀλλαχοῦ μὲν χελώνας, ἀλλαχοῦ δὲ κριούς. τοξεύμασι δὲ πανταχόθεν καὶ πετροβόλοις χρώμενος ἠπείγετο παντοῖος φαινόμενος καταπλῆξαι μὲν τοὺς πολίτας, κρατῆσαι δὲ τῆς πόλεως, περιστοιχίσας καὶ τὰ λοιπὰ

ACVBMN FH 63 ὁ om. MN 64 ἐνεργὸς AVMN: ἐνεργὴς C: ἐνεργῶς B 65/66 καὶ τὰς ἑλεπ. ἐκκρ. om. VB 66 τε ACVBF: τῷ MN 67 αὐτῷ τὰς πύλας CVMN: τὰς πύλας αὐτῷ A: τὰς πύλας αὐτῆς B 72 ἀπήντησεν B 74 Ἀναργύρων om. B ἵδρυτο A 76 προσαγάγοι ACVB: προσαγάγῃ MN κατὰ νώτου ἔχοι ACMN: ἔχοι κατὰ νώτου V: ἔχει κατὰ νῶτον B 77 κατασκευὴν A 78 τὸν Μιχ. om. B μὲν ante πολ. B 79 στέγους BM τέγους — ναοῦ: στέγους τοῦ ναοῦ τῆς θεοτ. τοῦ ἐν Βλαχ. πεπηγ. τὸν βασιλέα B πεπηγότος C 80 τὴν om. MN 81 τὸν δὲ υἱὸν αὐτοῦ AC (cf. τὸν δ' υἱὸν αὐτοῦ Theoph. Cont. 59, 11) 85 παντοίοις M δέ, ὅ τι MN 86 πράξοιεν B δὲ om. B τοσ. ὄχλῳ M 90 τῶν om. B 91 προφέρων M 92 πανταχόθεν ACVB: πάντοθεν, post 93 πετροβ. MN 93 πετροβόλοις ACMN: περιβόλοις V: ἐκηβόλοις B

τείχη τῇ ναυτικῇ δυνάμει, πυρί τε καὶ τοξεύμασιν ἐκφοβῶν. ἀλλ' οὐδὲν τῶν εἰς ὄνησιν φερόντων αὐτῷ ἡ τοσαύτη δύναμις καὶ φαντασία κατεπράξατο. τὸ μὲν γὰρ ναυτικὸν εὐθύς τις ἐπιπνεύσας ἐναντίος ἄνεμος διέλυσέ τε καὶ ἄλλην ἄλλῃ διασπαρῆναι ἐποίησε τῶν σκαφῶν, ἅτε καὶ χειμῶνος ἐξαισίου ὑπάρχοντος. κατὰ δὲ τὴν ἤπειρον γενναίως τῶν ἀπὸ τῆς πόλεως ἀγωνιζομένων, καὶ ἀχρήστους αὐτῷ ποιούντων τὰς μηχανάς, διαπορηθεὶς τοῖς πᾶσιν ἀνέζευξε καὶ ἡ πολιορκουμένη πόλις ἀνεθάρσησε καὶ τοσοῦτον ἀνδρικώτερον ἐπετίθετο τοῖς τοῦ ἀποστάτου, ὡς καί τινας τῶν ἔνδον πυλίδας ἀνοιγνύντας τῆς πόλεως ἐξιέναι καὶ τοῖς πολεμίοις συμπλέκεσθαι. ἔγνω οὖν ὁ ἀποστάτης διὰ τὸ τῆς Θρᾴκης δυσχείμερον ἐπὶ παραχειμασίαν τραπῆναι καὶ τὸν λαὸν σκεδάσαι ἐν ἀλεεινοτέροις χωρίοις.

9. Ὃ δὴ καὶ ποιήσας, ὡς ἤδη τὸ ἔαρ ἐπέλαμπεν, ἀμφοτέρωθεν αὖθις κατὰ γῆν τε καὶ θάλατταν ἔκρινε προσβάλλειν τῇ Κωνσταντίνου. ἀλλ' ἤδη καὶ τὸν Μιχαὴλ οὐχ | ὡς τὸ πρότερον, ἄρτι δὲ στρατιωτικήν τινα δύναμιν εὕρισκε συλλεξάμενον καὶ ἑτέραν κατὰ θάλασσαν ναυτικήν. κατ' ἐκεῖνο γοῦν πάλιν ᾔει τὸ μέρος ὁπλισάμενος, ᾗ καὶ πρότερον, τὸν κόλπον τῶν Βλαχερνῶν, καὶ σύνθημα δοὺς τὸ πολεμικὸν ἐνεργὸς ἦν τὰς μηχανὰς προσάγων καὶ τὰ τείχη κατασείειν πειρώμενος. ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, εἰς λόγους ὁ Μιχαὴλ ἦλθέ τισι τῶν συστρατευομένων τῷ ἀποστάτῃ, ἀμνηστίαν τε κακῶν αὐτοῖς ἐπαγγελλόμενος καὶ καθυπισχνούμενος δώσειν ἀγαθὰ πολλά, εἰ μόνον δὴ μετατάξοιντο καὶ αἵμασιν ἐμφυλίοις ἀπόσχοιντο χραίνεσθαι. ἐπέραινε δὲ οὐδέν, ἀλλὰ θαρραλεωτέρους, ὅτι δὴ καὶ παρακαλοῖντο, τοὺς ἀκούοντας ἐποίει καὶ τῆς ἐκ τοῦ φόβου συστάσεως λελυμένους, καὶ βεβαιοτέρους τῷ ἀποστάτῃ εἰργάσατο. τῆς τοιαύτης δὲ πείρας ἀπεγνωκὼς καὶ πολλὰ τοὺς σὺν αὐτῷ παρακαλέσας ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ μὴ προέσθαι ἀλάστορι τυράννῳ τὴν ἐλευθερίαν, ἄφνω ἐκ πολλῶν πυλίδων ἐξελθὼν ἀπροσδοκήτως ἐπιτίθεται τοῖς ἐναντίοις. καὶ τῷ παραδόξῳ καταπληξάμενος τοὺς ἀντιτεταγμένους ἐτρέψατο φθόρον ἱκανὸν ἐργασάμενος καὶ νίκην

cap. 9: Theoph. Cont. 61, 11–62, 18; Zon. III, 343, 16–344, 3

ACVBMN F **1/2** διεπράξατο A **2** εὐθύς τις: εὐθύτης B ἐπιπνεύσας: πνεύσας A ἐναντ. ἐπιπν. VB (cf. ἐναντ. ἐπιγενόμενος, Theoph. Cont. 60, 12) **3** ἀλλαχοῦ post ἄλλην add. M ἄλλῃ VBMN: ἀλλαχῇ AC ἐποίησε VBMN: πεποίηκε AC σκαφῶν: νεῶν B **5** ἐπαγωνιζ. M ποιουμένων A **10** δυσχείμαρον C **13** θάλασσαν CN ἔκρινε VBMN: ἔγνωκε AC Κωνσταντινουπόλει M **14** τινα om. B **15** δύναμιν post συλλεξ. B εὕρισκε om. AC συεύρισκεν ante **14** ἄρτι B **16** πάλιν om. B ὁπλισ. om. B ᾗ: ὁ B **19** συστρατευομένων VMN: συστρατευσαμένων AC: συστρατευμάτων B **22** καὶ post ἀλλὰ add. B θαρραλεώτερον A **24** τῷ ἀποστάτῃ om. AC **25/26** παρακαλ. post πολλὰ B **27** ἐξελθὼν ACMN: προελθὼν VB **28** ἐπιτίθετο M **29** ἀντιταγμένους M

λαμπρὰν ἐνεγκάμενος. καὶ τὰ ναυτικὰ δὲ κακῶς ἠνέχθη τοῦ ἀποστάτου. ὡς γὰρ αἱ βασιλικαὶ τριήρεις ἀνήγοντο καὶ ἤδη συμπλέκεσθαι ἔμελλον, δείμασί τισι καὶ θορύβοις περικτυπηθέντος τοῦ ἐναντίου στόλου, πρύμναν αἱ νῆες ἐκρούσαντο καὶ πρὸς τὴν χέρσον κατήγοντο, καὶ οἱ μὲν τῶν ἀνδρῶν ηὐτομόλουν πρὸς βασιλέα, οἱ δὲ πρὸς τὸ οἰκεῖον στρατόπεδον τὸ κατὰ γῆν ἀπεδίδρασκον. καὶ | οὕτω μὲν ἀπονητὶ διελύθη τοῦ τυράννου τὸ ναυτικόν.

10. Ὅθεν καὶ Γρηγόριος, ὁ τοῦ βασιλέως ἀδελφιδοῦς Λέοντος, συνεωρακὼς εὐκαταφρόνητον ὄντα τὸν Θωμᾶν (ὑπετόπαζε δὲ καὶ προϊόντος τοῦ χρόνου γενησόμενον ἐπὶ πλέον), διά τινος μοναχοῦ τῶν ἀπὸ τῆς μονῆς τοῦ Στουδίου κοινολογησάμενος βασιλεῖ, μοῖράν τινα τοῦ ὑφ' ἑαυτὸν τάγματος εἰληφὼς ῥῆξιν ἐννοεῖ καὶ κατὰ νώτου γίνεται τῷ τυράννῳ, ὁμοῦ μὲν τοῦτον ἐκδειματῶν, ὁμοῦ δὲ καὶ βασιλέα ἐξιλασκόμενος, ὁμοῦ δὲ καὶ γυναικὶ καὶ τέκνοις (ἔτυχον γὰρ καθειργμένοι τούτου τῷ Θωμᾷ προσχωρήσαντος) σωτηρίαν πραγματευόμενος. ἀλλ' οὔτε ὁ βασιλεὺς ταῦτα ἔφθασε διακοῦσαι, καὶ ὁ Θωμᾶς τὸ μὴ πολὺν ἐξαίφνης τοῦτον γενέσθαι κατορρωδῶν καὶ φόβον ἐν τοῖς ἑαυτοῦ ἐμποιῆσαι βουλόμενος, τὴν μὲν στρατοπεδείαν τῆς πόλεως οὐ μετεκίνησε, τὸ μὴ διωχθῆναι ἐξόπισθεν δεδοικώς, ὅσους δὲ ᾔδει ἀξιομάχους εἶναι τῆς πρὸς τὸν Γρηγόριον συμπλοκῆς παραλαβὼν στρατιώτας ἐξῄει πρὸς αὐτόν, καὶ μάχῃ τρεψάμενος φεύγοντα καταλαβὼν ἀναιρεῖ. καὶ αὖθις διὰ ταχέων πρὸς τὰς προσεδρευούσας τῇ πόλει δυνάμεις ἐπάνεισι καὶ γράμμασιν ἐπιστέλλων ἁπανταχοῦ ἐπεφήμιζεν, ὡς εἴη νενικηκώς, ὅπερ οὐκ ἦν, καὶ ὅπερ εἶχε κατὰ τὴν Ἑλλάδα ναυτικὸν ταχέως ἐκέλευεν ἀναχθῆναι, ὡς αὖθις τῶν κατὰ θάλατταν ἀνθεξόμενος πραγμάτων. καὶ τὸ μὲν ναυτικὸν εὐθυπλοῆσαν ταχέως ἀνάγεται καὶ τῷ χωρίῳ προσορμίζεται τῷ Βηρύδων, ἐκ πεντήκοντα καὶ τριακοσίων συνιστάμενον πλοίων πολεμικῶν τε καὶ σιταγωγῶν. οἱ δὲ τοῦ βασιλι|κοῦ στόλου κατάρχοντες τὴν τούτων ἐπεγνωκότες ἔλευσιν νυκτὸς ἐπιτίθενται ναυλοχοῦσι τοῖς ἐναντίοις,

cap. 10: Theoph. Cont. 62, 19—64, 9; Zon. III, 344, 3—344, 8

ACVBMN F 30 τὰ post ἠνέχθη add. B 32 θορύβοις AC: θορύβῳ VBMN: θορύβου F 34 πρὸς βασιλέα AC: εἰς βασ. VMN: ἐς βασ. BF 38 δὲ om. B 40 τοῦ Στ.: τῶν Στ. B τῷ ante βασ. add. B 42 τὸν ante βασ. add. B 43 ὁμοῦ: ἅμα B γυναικὶ ACVB: γυναιξὶ MN: γυναῖκα F 45 ταῦτα om. B 45/46 γενέσθαι τοῦτον ἐξαίφνης A τοῦτον ACVBF: om. MN ἐν om. ACB 49 παραλαβὼν: παρὰ B 51 γράμματα B 52 ἀπανταχῇ B 54 θάλασσαν C πραγμάτων om. B 55 εὐθυπλοῆσαν ταχέως VBMN: ταχυπλοῆσαν εὐθέως C: ταχυπλοῆσαν τάχιον εὐθέως A τῷ alt. ACMN: τῶν VB 55/56 Βυρίδων B (cf. τῷ τῶν Βυρίδων ... λιμένι Theoph. Cont. 64, 3) 56 ν' C 57 βασιλικοῦ: βασιλέως B 58 ἔλευσιν VBMN: ἐπέλευσιν AC

καὶ τῷ αἰφνιδίῳ καταπληξάμενοι πολλὰς μὲν αὐτάνδρους ἔσχον τῶν νηῶν, τινὰς δὲ καὶ τῷ σκευαστῷ πυρπολοῦσι πυρί, ὀλίγων παντελῶς ἔξω γενομένων τοῦ πάθους καὶ πρὸς τὸν κόλπον τῶν Βλαχερνῶν κατᾶραι ἐπειγομένων, ὡς ἂν εἶεν ἡνωμέναι τῇ κατὰ γῆν στρατιᾷ. ὃ δὴ καὶ γέγονε.

11. Καὶ τὰ μὲν κατὰ θάλατταν τοῦτον εἶχε τὸν τρόπον. κατὰ γῆν δὲ ἀκροβολισμῶν συνεχῶν γινομένων, νῦν μὲν τοῦ Μιχαήλ, νῦν δὲ τοῦ υἱοῦ αὐτοῦ Θεοφίλου ἐπεξιόντος τοῖς ἀποστάταις μετὰ τοῦ Ὀλβιανοῦ καὶ τοῦ Κατάκυλα, ποτὲ μὲν τὰ τοῦ βασιλέως ἐπικρατέστερα ἦν, ποτὲ δὲ τὰ τοῦ ἀποστάτου, οὐ μὴν ἀγῶνές τινες λαμπροὶ καὶ νεανικοὶ ἐκ παρατάξεως συνέστησαν, ἅτε δὴ πολλῷ τοῦ βασιλέως ἐλαττουμένου τῷ πλήθει καὶ μὴ πρὸς τὴν τοῦ τυράννου δύναμιν ἀντιτάσσεσθαι δυναμένου.

12. Ἐν τούτοις ὄντων αὐτῶν Μορτάγων ὁ τῶν Βουλγάρων βασιλεύς (καὶ γὰρ ἔφθασεν ἡ φήμη πληρῶσαι τὴν οἰκουμένην, ὡς ὁ βασιλεὺς τῶν Ῥωμαίων συγκλεισθεὶς τειχήρης ἐστὶ καὶ πολιορκεῖται) λάθρᾳ τινὰ πεπομφὼς εἰς αὐτὸν ἐξαποστεῖλαι βοήθειαν αὐτομάτῳ ἐπηγγέλλετο γνώμῃ καὶ συμμαχίαν. ὁ δὲ Μιχαήλ, εἴτε τῇ ἀληθείᾳ τὸ τῶν ὁμοφύλων οἰκτείρων πλῆθος, εἴτε καὶ χρημάτων φειδόμενος (ἐτύγχανε γὰρ τῶν πώποτε βασιλέων σμικρολογώτατος), τὴν μὲν γνώμην τοῦ Βουλγάρου ἠξίου ἀποδοχῆς, τὴν δὲ βοήθειαν παρῃτεῖτο. ἀλλ' ὅ γε Μορτάγων χαίρων μὲν καὶ ἄλλως πολέμοις καὶ τὰς ἐκ τούτων λείας καρποῦσθαι φιλῶν, καὶ τὰς πρὸς τὸν βασιλέα δὲ τριακον|τούτεις σπονδὰς παρὰ τοῦ προβεβασιλευκότος Λέοντος γεγενημένας ἐπιβεβαιῶσαι καὶ ἰσχυροτέρας ποιῆσαι ζητῶν, τὴν κατὰ τοῦ τυράννου στρατιὰν ηὐτρέπιζε, καὶ δὴ τῶν Ῥωμαίων ὅρων ἔντοσθεν γεγονὼς κατὰ τὸν Κηδούκτου χῶρον οὕτω καλούμενον τὴν παρεμβολὴν ἐπήξατο. ἠκούετο δέ, καὶ λαθεῖν ταῦτα τὸν ἀποστάτην οὐκ ἦν. καὶ ἐδονήθη μέν, ὡς εἰκός, καὶ τὰς φρένας κατεκτυπήθη, ἐν ἑαυτῷ δ' ὅμως πάλιν γενόμενος τὴν ἑαυτοῦ στρατιὰν ἐξώ-

71 a. 821/822 **81** post mens. Apr. a. 814

cap. 11: Theoph. Cont. 64, 9—64,18; Zon. III, 344, 9—344, 12 cap. 12: Theoph. Cont. 64, 19—68, 10; Zon. III, 344, 12—346, 3

60 νεῶν C **65** γενομένων B **68** τὰ ACE (a verbo **67** Κατάκ.) VBMN F **71** Μουρτάγων M **71/72** βασιλεύς: ἡγεμών B **72/73** ὁ τῶν Ῥωμ. βασ. B **73** τῶν om. ACE **74** εἰς αὐτὸν ACE: ἐς βασιλέα Theoph. Cont. 64, 22: ὡς αὐτὸν VBMNF ἀποστεῖλαι E **77** πώποτε: πάλαι B **78** Μουρτάγων E om. M λαμπροί τιν. ἀγ. B **68/69** ἐκ παρατάξεως om. B **82** εὐτρέπισε C **83** Ῥωμαίων VMNF Theoph. Cont. 65, 11: Ῥωμαϊκῶν ACEB τοῦ ante Κηδ. add. VB Κηδούκτου ACEVN: Κοδούκτου B: Κηδούκτον M **84** ἐπήξ. τὴν παρεμβ. A ἠκούετο δὲ om. B καὶ λαθεῖν: λαθεῖν δὲ B **85** ἀποστάτην: τύραννον M **85/86** κατεκτυπήσθη M **86** τὴν οἰκείαν ἐξώπλιζε στρ. B

πλιζεν. ἐπεὶ δὲ εἰς δύο μεριζόμενος ἐδόκει παντελῶς ἀσθενής τε εἶναι καὶ εὐχείρωτος (ἥ τε γὰρ βασιλὶς τῶν πόλεων οὐκ εὐαριθμήτου, ἀλλὰ πλείστου καὶ ἀξιολόγου στρατοῦ ἐδέετο πολιορκουμένη), ἤδη καὶ τοῦ βασιλέως συνειλοχότος δυνάμεις οὐκ ἀγεννεῖς καὶ κατὰ πρόσωπον ἵστασθαι δυναμένου, καὶ ἡ τῶν Βουλγάρων δὲ δύναμις οὐ μικρᾶς τινος, πολλῆς δὲ καὶ οὐ τῆς τυχούσης ἐδέετο ἀντιπαρατάξεως, ὡς ἂν μὴ εἰς δύο τινὰ διαιρούμενος εὐχείρωτος γένηται, ἀπαίρει μὲν τῆς πόλεως, πρὸς τὸν Βούλγαρον δὲ ἀξιόμαχον κρίνας ἑαυτὸν κατὰ τὸν εἰρημένον ἀντιπαρατάσσεται τόπον. καὶ δῆτα συμβολῆς γενομένης ἡττᾶται κατὰ κράτος ὁ τύραννος καὶ φόνος γίνεται πολὺς τῶν περὶ αὐτόν, οἱ δὲ περισωθέντες φυγῇ τὴν σωτηρίαν πορίζονται καὶ ἔν τινι χώρῳ δυσβάτῳ συναχθέντες τὸ μέλλον ἐσκόπουν. ὁ δὲ τῶν Βουλγάρων ἀρχηγὸς τά τε σώματα, ὧν ἐγένετο κύριος, καὶ λείαν πολλὴν προσλαβόμενος πρὸς τὴν οἰκείαν ὑπέστρεψε χώραν, τῇ νίκῃ ἐπαιρόμενός τε καὶ γαυριῶν. τὸ δὲ καταλειφθὲν ναυτικὸν ἐν τῇ πολιορκίᾳ τῆς πόλεως | πυθόμενον τὴν ἧτταν τοῦ ἀποστάτου προσκεχώρηκεν ἅπαν τῷ βασιλεῖ. ὁ δ' ἀποστάτης ἐς τοῦτο ἀφῖκτο μανίας παρὰ τῶν συμμαχούντων, ὡς ἔοικεν, αὐτῷ δαιμόνων, καὶ τὴν τῆς βασιλείας εἰσέτι ὠνειροπόλει κατάσχεσιν, ὅτι πάντοθεν συντριβόμενος καὶ μικρὸς ἐκ μεγάλου γινόμενος, ἔτι προσελιπάρει τῇ πολιορκίᾳ. ὡς δ' ἐγνώκει μάτην πονῶν, ἄρας παντὶ τῷ στρατῷ εἴς τι πεδίον Διάβασιν κατονομαζόμενον, σταδίους ἀπέχον τῆς πόλεως ἱκανούς, εὐφυῶς ἔχον πρός τε νομὰς καὶ ὑδάτων ἐπιρροάς, στρατοπεδείαν ἐπήξατο, κἀκεῖθεν ποιούμενος προνομὰς τῶν τῆς πόλεως προαστείων τὰς ἀγλαΐας ἀπέκειρεν. ἐνεφανίζετο δὲ τοῖς κατὰ τὴν πόλιν, ὡς τὸ πρότερον, οὐδαμῶς. τοῦτο δὲ συνεὶς ὁ Μιχαὴλ ἀξιόλογον συστησάμενος στράτευμα καὶ στρατηγοὺς ἐπιστήσας αὐτῷ τὸν Κατάκυλαν καὶ τὸν Ὀλβιανόν, αὐτός τε τὰς φυλαττούσας ἐν τῷ παλατίῳ σχολὰς εἰληφὼς καὶ τὰς ἑταιρείας ἔξεισι κατὰ τοῦ τυράννου, διὰ σταδαίας μάχης κρῖναι τὸ πᾶν βουληθείς. ἔνθα δὴ καὶ ὁ τύραννος κατεστρατοπεδευμένος εὐρώστως ὑπεδέξατο τὸν βασιλέα, καὶ συμπλοκῆς γενομένης καταστρατηγῆσαι τάχα τοὺς ἀντιπάλους βουλόμενος ὁ Θωμᾶς ἅμα τῇ

ACEVBMN FH   **87** δ' εἰς B   τε om. ACEB   **88** γὰρ τῶν πολ. βασ. B   **89** ἀξιομάχου B   **90** συνειληχότος ACE   καὶ om. M   **93** τινὰ om. B   **94** Βούλγ. ἀξ. δὲ κρ. A   **95** ἀντιπαρατάσσεται VBMN: ἀντιτάσσεται ACE   **2** φυγῇ: πεζῇ E   τινι: τι C   χωρίῳ E   **2/3** συναχθ. δυσβ. B   **5** ἐπέστρεψε M   χώρ. ὑπέστρ. B   **7** ὁ δὲ ἀποστ. B   **8** εἰς τοῦτο B   τοῦτο: τοσοῦτο M Theoph. Cont. 66, 13 (cod. V τοσοῦτον)   συμμαχούντων — αὐτῷ VBMN: συμμαχ. αὐτῷ, ὡς ἔοικε ACE   **9** δαιμ., ὡς καὶ εἰσέτι τ. τ. βασ. κατάσχ. ὀνειροπολεῖν B   ὅτι: ὅθεν B   **10** μεγάλων E (cf. ἐκ πολλῶν γινόμενος Theoph. Cont. 66, 15/16 cod. V)   **12** ἀπέχων CEB   **15** τὴν om. B   **16** τὸ om. B   οὐδαμοῦ B   **17** Κατάκυλον B   **18** αὐτὸς δὲ M   **20** καὶ om. E   κατεστρατ. om. B   κατεστρατ. ὢν post **21** βασ. A   **22** βουλόμενος post τάχα VBMNFH (cf. Theoph. Cont. 67, 8)   ὁ Θωμ. om. B

συμβολῇ νῶτα δοῦναι τοῖς περὶ αὐτὸν προσέταξεν, εἶτα τῶν ἐναντίων εἰς διωγμὸν τραπέντων ἐκ παλιώξεως ἐπιστραφῆναι τούτους καὶ τῷ παραδόξῳ τρέψασθαι τῆς ὑποστροφῆς. καὶ ἦν μὲν αὐτῷ τοιαύτη παραγγελία, οὐκ ἔμελλε δὲ ἄρα εἰς ἔργον ἐκβῆναι τὰ μεμελετημένα. οἱ γὰρ σὺν αὐτῷ στρατιῶται πολὺν χρόνον γυναικῶν καὶ τέκνων | στερισκόμενοι δι' αὐτὸν καὶ τὰς χεῖρας χραίνοντες ὁμογνίοις αἵμασιν, ἅμα δὲ καὶ τῷ χρόνῳ πεπιεσμένοι (τρίτος γὰρ ἐξηνύετο καὶ ἀνηνύτοις ἐδόκουν ἐπιχειρεῖν, ἀνδρὸς ἑνὸς ἀπονοίᾳ καὶ ἐπιθυμίᾳ δουλεύοντες), τὸ κελευσθὲν ὡς ἕρμαιόν τι λαβόντες, τῆς σάλπιγγος ἠχησάσης τὸ ἐνυάλιον καὶ εἰς χεῖρας συμπλοκῆς τῶν ταγμάτων ἐλθόντων οὐ δοκήσει τὴν τροπήν, ὡς παρηγγέλθησαν, ἐποιοῦντο, ἀλλ' ἀτάκτως καὶ κόσμου χωρὶς τὴν τάξιν διαλελυκότες ἐσκεδάννυντο. καὶ οὕτως νῦν μὲν ὀλίγοι, αὖθις δὲ πλείους τῷ βασιλεῖ προσχωροῦσιν. ὁ δὲ Θωμᾶς σὺν ὀλίγοις τισὶν εἰς Ἀδριανούπολιν διασῴζεται. ὁ δὲ τούτου παράγραπτος καὶ νόθος υἱὸς Ἀναστάσιος τὸ τῆς Βιζύης φεύγων κατέσχε φρούριον.

13. Ὁ δὲ βασιλεὺς ἐκ ποδὸς τούτοις ἑπόμενος πρῶτον ἔγνω πολιορκεῖν τὸν Θωμᾶν. ὅθεν ἐπάγει αὐτῷ πολιορκίαν, οὐ διὰ μηχανῶν καὶ ἑλεπόλεων σπουδάζων αὐτὸν καθελεῖν, ἅμα μὲν τὸν ἐμφύλιον εὐλαβούμενος πόλεμον, ἅμα δὲ καὶ τοὺς προσοικοῦντας τῇ Ἀδριανουπόλει Σκύθας μὴ ἐθέλων τῶν πολιορκητικῶν ὀργάνων πεῖραν λαβεῖν, ἀλλὰ λιμῷ καὶ ἀνάγκῃ τῶν ἐπιτηδείων ἐπειγόμενος τὸν ἀντίπαλον παραστήσασθαι. καὶ δὴ περικαθίσας τὴν Ἀδριανούπολιν καὶ χάρακι καὶ σταυρώμασι στεφανώσας ἐνεργῶς ἐπολιόρκει. ὁ δὲ Θωμᾶς πρῶτον μὲν πᾶσαν ἄχρηστον ἡλικίαν καὶ πᾶν ζῷον ἀνεπιτήδειον τῆς πόλεως ἐξωθεῖ, ἔπειτα, ὡς ἤδη ἤκμαζεν ὁ λιμὸς καὶ σωτηρίας ἐλπὶς οὐδαμοῦ, οἱ μὲν τῶν συνόντων αὐτῷ λάθρᾳ διά τινων πυλίδων κλέπτοντες τὴν

24 παλίωξις: cf. Hom. M 71 cap. 13: Theoph. Cont. 68, 11–71, 14; Zon. III. 346, 3–347, 7; Glyc. 535, 15–535, 19

ACEVBMN FH **24** παλιώξεως VBMN: παλινδιώξεως ACEFH τούτων B **25** ὑποστροφῆς ACEVN: ἐπιστροφῆς M: τροφῆς B **25/26** τοιοῦτον παράγγελμα B **26** ἐκβῆναι εἰς ἔργον M μελετώμενα B **27** τέκν. καὶ γυν. B στερισκόμενοι VBMN: στερόμενοι AC: στερούμενοι E (cf. στερουμένων τε δι' αὐτὸν Theoph. Cont. 67, 12 cod. V) **28** δι' αὐτὸν om. B χεῖρ. ὁμ. αἱμ. χραίν. B **29** τρίτον MNF τρίτος — καὶ: τρίτον γὰρ ἐξ. ἔτος καὶ ACE (sed cf. Theoph. Cont. 67, 16) **32** χειρῶν συμπλοκὴν B **33** ἀλλὰ E **34** διαλύσαντες A ὡς ἔτυχεν post διαλ. add. B μὲν νῦν C **35** τῷ βασ. προσχωροῦσιν CEVMN: προσχωροῦσιν τῷ βασ. A: προσεχώρουν τῷ βασ. B **35/36** Ἀνδριαν, B (ut 41 et 44) **36** παρέγγραπτος B **38** ἐκποδῶν C **39** τε post μηχ. add. B **40** σπουδ. αὐτὸν καθελ. om. B **42** θέλων AB πολιορκητῶν C **43** λιμῷ καὶ τ. ἐπιτ. ἐνδείᾳ B ἐπειγ. ante παραστ. B **43/44** παραστήσεσθαι AE **44** περικαθίσας ACEV: παρακαθίσας BMN: παρακαθήσας F **45** σταυρώμασι CEVMN: σταυρώματι B: τεφρώμασι A ἐνεργῶς om. B πρῶτον VBMN: πρῶτα AE: πρῶτος C **47** ἤδη om. B **48** αὐτῷ om. ACE

ἐξέλευσιν, οἱ δὲ διὰ τῶν τειχῶν | καθιμώμενοι νύκτωρ φέροντες ἑαυτοὺς τῷ βασιλεῖ παρεδίδοσαν, ἄλλοι δὲ πρὸς τὸν τοῦ ἀποστάτου νόθον υἱὸν Ἀναστάσιον εἰς τὸ Βιζύης πτολίεθρον ἀπεδίδρασκον. ἐπεὶ δὲ τοῖς πολιορκουμένοις ἤδη τὰ ἀναγκαῖα κατεδήδοτο, ἥψαντο δὴ καί τινων ἀήθων βρωμάτων, ἐχώρει δὲ ἡ ἀνάγκη καὶ μέχρι τῶν σεσημμένων σκυτῶν καὶ τῶν κασσυμάτων, καὶ τούτοις ἀναγκαζόμενοι ἐσιτοῦντο, λάθρᾳ πρὸς λόγους ἐλθόντες τῷ Μιχαήλ, καὶ τῶν ἡμαρτημένων συγχώρησιν ἐξαιτήσαντες καὶ λαβόντες, περισχόντες τὸν Θωμᾶν πεδήτην προσάγουσι τῷ ἐχθρῷ. ὁ δὲ τὸ δόξαν πάλαι τοῖς βασιλεῦσι καὶ εἰς συνήθειαν ἤδη ἐλθὸν πρῶτον τελέσας καὶ ἐπ' ἐδάφους ἁπλώσας αὐτὸν καὶ τῷ ποδὶ τὸν αὐχένα τούτου πατήσας ἀκρωτηριάζει ποδῶν αὐτὸν καὶ χειρῶν, ὄνῳ τε ἐπικαθίσας θεατρίζει διὰ τοῦ στρατοπέδου, οὐδὲν ἄλλο ἐπιβοώμενον, ἀλλ' ἢ 'ἐλέησόν με, ἀληθῶς βασιλεῦ.' ἐρομένου δὲ τοῦ βασιλέως, εἴ τινες τῶν αὐτῷ συνόντων φίλων καὶ ἕτεροι εἶεν τὰ αὐτοῦ φρονοῦντες, τάχα ἂν κατεῖπε πολλῶν, εἰ μὴ ὁ πατρίκιος Ἰωάννης ὁ Ἑξαβούλιος 'οὐ δέον', ἔφησεν, 'ὦ βασιλεῦ, ἀλλὰ καὶ λίαν ἀλόγιστον ἐχθροῖς πιστεύειν κατὰ τῶν φίλων', καὶ τούτῳ τῷ λόγῳ διέλυσε τὰς κατὰ τῶν ταλαιπώρων πολιτῶν καὶ φίλων αὐτοῦ μελλούσας ἐγείρεσθαι τιμωρίας. καὶ ὁ ἀποστάτης δὲ κατέλυσε τὸν βίον ἀπορρήξας τὸ πνεῦμα ταῖς κατὰ μικρὸν ποιναῖς, μεσοῦντος Ὀκτωβρίου μηνός, κατὰ μὲν τὰς ἀρχὰς μεγαλεπήβολος δοκῶν γενέσθαι καὶ τολμηρὸς καὶ τοῦ προτεθέντος ἐξεργαστικός, προβαίνων δὲ ἐπὶ τὰ ἔμπροσθεν πολὺ καταδεέστερος | ἑαυτοῦ φανεὶς καὶ τῆς τῶν ἐκτὸς προσδοκίας. καὶ οἱ ἐκ Βιζύης δὲ τοῦ φρουρίου ἑτέρας ταχέως ἐγένοντο γνώμης, τὸν ἐπηρτημένον ὑφορώμενοι κίνδυνον. ἅμα γὰρ τῷ πυθέσθαι τὰ κατὰ τὸν Θωμᾶν ἀτυχήματα τὰ ὅμοια πεποιηκότες καὶ τὸν Ἀναστάσιον συσχόντες δεδεμένον χεῖρας καὶ πόδας προσήγαγον τῷ βασιλεῖ. πέπονθε δὲ καὶ οὗτος τὰ παραπλήσια τῷ πατρὶ καὶ τὸν βίον βιαίως μετήλλαξε. καὶ τῶν τυράννων δὲ καθαιρεθέντων αἱ παράλιοι τῆς Θρᾴκης πόλεις, τό τε Πάνιον καὶ ἡ Ἡράκλεια, ἔτι τὰ τοῦ τυράννου φρονοῦσαι ἀντεῖχον μίσει τε τῷ πρὸς

68 a. 823

ACEVBMN FH **50** νόθον: εἰσποιητὸν B **51** πολίεθρον CBMNF ἀπεδίδρακον N **52** ἥψατο AC **53** δὲ om. M **54** καττυμάτων A ἀναγκαζόμενοι: βιαζόμενοι B **56** περισχόντες om. ACE **59** τῷ ποδὶ ACEBF: τὼ πόδε V: τῶ πόδε M: τοῖν ποδοῖν N: τοῖς ποσὶ Cedrenus II, 89, 11 αὐτόν: αὐτῶν M **61** ἐπιβοώμενος M **62/63** τὰ αὐτοῦ ACEB: τὰ αὐτῷ VMN: τὰ αὐτὰ F **64** ἔφη B **66** τῶν ante φίλων add. C αὐτοῦ ACEB: αὐτῷ VMNF (sed cf. Theoph. Cont. 69, 17) **68** Ὀκτωμβρίου CEBN **69** μεγαλεπίβουλος M **70** δ' ἐπὶ B **71** φανεὶς ἑαυτοῦ A δὲ: καὶ AC **72** τοῦ om. M ταχέως om. B γνώμης ἐγένοντο A ἐπηρμένον B **75** προσήγαγον ACE: ἤγαγον Theoph. Cont. 71, 1: προσήνεγκαν VBMNF **76** τῷ om. C **76/77** τυραννίδων E **77** Πάριον C

τὸν Μιχαὴλ καὶ διὰ τὸ μὴ ἐθέλειν τοῦτον τὰς θείας ἀναστηλῶσαι εἰκόνας. καὶ τὸ μὲν Πάνιον ἑάλω τοῦ τείχους καταβληθέντος ἀπό τινος ἐπιγενομένου σεισμοῦ, ἡ δ' Ἡράκλεια ἐκυριεύθη ἀπὸ τῶν ἐκ θαλάσσης μερῶν.

14. Καὶ τὰ μὲν κατὰ τὸν Θωμᾶν τοιοῦτον ἔσχε τὸ τέλος, καὶ οὕτως ὁ βασιλεὺς τροπαιοφόρος ἐκ τῶν κατὰ Θρᾴκην ἔρχεται πόλεων οὐδὲν ἕτερον κατὰ τῶν συναποστατησάντων τῷ Θωμᾷ ἐννοήσας καὶ τῷ πολέμῳ ἁλόντων, ἀλλ' ἱπποδρομίας γενομένης ὄνοις ἐποχουμένους περιαχθῆναι καὶ ὑπερορίᾳ παραπεμφθῆναι.

15. Ἔμεινε δὲ ζώπυρον τῆς ἀποστασίας τὸ φρούριον ἡ Καβάλα καὶ ἡ Σανίανα, ὧν τὴν μὲν ὁ Χοιρέας κατεῖχε, τὸ δ' ὁ Γαζαρηνός, ἐξ ὧν ὁρμώμενοι ληστείας ἐποιοῦντο καὶ προνομάς. ἀλλὰ καὶ οὗτοι, ὡς οὐκ ἐδέξαντο τὰς ἀθῳούσας αὐτοὺς βασιλικὰς συλλαβὰς καὶ τὰ πεμφθέντα ἀξιώματα (καὶ ἄμφω γὰρ μαγίστρω πεποίηκεν ὁ βασιλεύς), | ὑποφθαρέντων τῶν ἔσω, ὡς ἐξῆλθον οὗτοι πρὸς τὰς συνήθεις διαρπαγάς, ἐκλείσθησαν τῶν φρουρίων αἱ πύλαι αὐτοῖς, καὶ φεύγοντες πρὸς Συρίαν ὑπὸ τῶν τὰς ἄκρας διεπόντων στρατηγῶν κατασχεθέντες ἀνεσκολοπίσθησαν.

16. Καὶ οὕτω μὲν τὰ τῆς ἀποστασίας ἀπέσβη τελέως καὶ ᾤχετο, οὐκ ἔμελλε δὲ ἄχρι τούτων στήσεσθαι ἡ φορὰ τῶν κακῶν, ἀλλὰ τῶν δύο ἠπείρων, Ἀσίας φαμὲν καὶ Εὐρώπης, ἐν θυμῷ κυρίου οἱόν τινος κεφαλῆς καὶ οὐρᾶς, εἰ καὶ μὴ συνίεσαν, παιδευθεισῶν φόνοις, ἐμπρησμοῖς, σεισμοῖς, ἁρπαγαῖς, ἐμφυλίοις καταδρομαῖς, πόλεων ἀνελπίστοις μεταναστάσεσι, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, τέλος καὶ ταῖς ταλαιπώροις νήσοις, οἱόν τινα μέσην, ἵν' ὁλόσωμος εἴη ἡ πληγή, ἐπέδραμε τὰ δεινά. ἀλλ' οὐκ ἦν παιδευθῆναι τοὺς τὴν θεάνθρωπον ἐξηρνημένους

cap. 14: Theoph. Cont. 71, 15—71, 20.; Zon. III, 347, 7—347, 11 cap. 15: Theoph. Cont. 71, 21—73, 4; Zon. III, 347, 11—347, 13 cap. 16: Theoph. Cont. 73, 5—78, 3: Zon. III, 347, 14—348, 18

ACEVBMN FH 79 τὸν om. ACMN διὰ om. M θέλειν ACEH 80 Πάριον C 80/81 ἐπιγενομένου MN: om. B: ἐπιγινομένου V Theoph. Cont. 71, 9: γενομένου CE: συμβάντος A 81 δ': δὲ MN 84 συναποστησάντων C 85 ἢ post ἀλλ' add. VB (cf. ἢ Theoph. Cont. 71, 8) γινομένης B ὄνους CE 87 ἀποστάσεως B 88 ἡ om. MN Τανίανα B Ζαγορινός B 89 μὲν post οὗτοι add. B 90 αὐτοὺς CEF: αὐτὰς A: αὐτοῖς MN: om. VB 91 γὰρ om. B 92 ἔσω: ἔνδον V τὰς om. M 93 αἱ πύλαι τῶν φρουρίων B 1 ἀποστάσεως B τελέως CEVMN: τελείως A: τέλη B 2 ἔμελλεν B 3 φαμὲν ACEVBF: φημὶ MN 3/4 ἐν θυμῷ κυρίου post συνίεσαν VB 4 εἰ om. B 4/5 ἁρπαγ. post φόνοις A 5 μεταστάσεσι B 6/7 τὰς ταλαιπώρους νήσους E 7 τινι μέσῃ B ὁλοσώματος B ᾖ B 8 ἐξαρνημένους M

μορφὴν προσκυνεῖν. ἄρτι γὰρ τοῦ κατὰ τὸν Θωμᾶν ἄρξαντος νεωτερισμοῦ, ἐπεὶ ταῦτα ἠκούετο πανταχοῦ, οἱ τὸν ἑσπέριον κόλπον τῆς Ἰβηρίας οἰκοῦντες Ἀγαρηνοί, πρόσχωροι τῷ Ὠκεανῷ ὄντες (Ἱσπάνους τούτους κατονομάζουσιν), εἰς εὐανδρίαν ἐληλακότες καὶ ἣν ᾤκουν γῆν λυπρὰν οὖσαν καὶ μετρίως εὐδαίμονα ὁρῶντες καὶ διὰ τοῦτο τρέφειν μὴ δυναμένην αὐτούς, προσελθόντες τῷ ἑαυτῶν ἄρχοντι Ἀπόχαψ (ἀμερμουμνῆν οἶδε τοῦτον ἡ ἐγχώριος γλῶσσα καλεῖν) ἀποικίαν καὶ γῆς μετανάστασιν ἀπῄτουν γενέσθαι αὐτοῖς, πλήθει τε στενοχωρουμένοις καὶ τῶν ἀναγκαίων σπανί|ζουσιν. ὁ δὲ ἀσπασίως τὸν λόγον δεξάμενος πλοῖα εὐθέως ἐπισκευάσας μακρὰ καὶ δύναμιν τούτοις ἐξ αὐτῶν ἐμβιβάσας ἐπὶ λῃστείαν, τέως λανθάνουσαν ἔχων τὴν ἔννοιαν, τῶν πρὸς τὴν ἕω κειμένων νήσων καὶ ἡμετέρων ἐτράπετο, ὁμοῦ μὲν τὸ τοῖς ὑπηκόοις ὀρεκτὸν ἐκπληρῶν καὶ ἐκ τῶν ἀλλοτρίων αὐτοὺς κορεννύς, ὁμοῦ δὲ κατασκεψόμενος, εἴ τίς ἐστιν εὔφορος τῶν νήσων καὶ πρὸς μετοικίαν ἐπιτηδεία αὐτοῖς. ποιησάμενος δὲ τὸν ἀπόπλουν ἔαρος ὥρᾳ, καὶ πολλὰς ἐπιὼν τῶν νήσων, οὐδένα εὕρισκε τὸν ἀντιπαραταττόμενον. ἐχήρευον γὰρ πᾶσαι βοηθείας, τοῦ εἰωθότος φυλάττειν στόλου παντὸς συστρατευομένου τῷ Θωμᾷ. διὸ καὶ μεγάλας ὠφελείας ἐκ πασῶν, αἷς καὶ προσώρμιζεν, ἐκαρποῦτο. ἧκε δέ ποτε καὶ εἰς Κρήτην καὶ ταύτην καταδραμὼν καὶ ἀνδραποδισάμενος, ὡς ἐνῆν, καὶ τὴν τῆς νήσου καταμαθὼν ἀρετὴν καὶ χάριν, τοῦτο ἔφη πρὸς τοὺς ὑπηκόους· 'ἰδοὺ γῆ ἡ ῥέουσα μέλι καὶ γάλα.' καὶ τότε μὲν ἔφη πλέον οὐδέν, παντοίων δὲ τὸν στόλον ἐμπεπληκὼς ἀγαθῶν τῶν ἐπ' οἴκου νόστων ἐμέμνητο. ὡς δ' ὁ χειμὼν ὑπέληγε καὶ τὸ ἔαρ ὑπέλαμπε, τεσσαράκοντα ναῦς πληρώσας ἀνδρῶν μαχίμων καὶ οὔριον ἄνεμον ἐπιτηρήσας πρὸς Κρήτην ἀπέπλει, τὰς ἄλλας τῶν νήσων παρατρέχων ἐπιεικῶς. καταλαβὼν δὲ τὴν νῆσον τῷ ἀκρωτηρίῳ τῷ καλουμένῳ Χάρακι προσορμίζεται. ὡς δ' οὐδὲν αὐτῷ οὔτε

35 inter a. 823 et a. 828

29 Exod. 3, 8; Lev. 20, 24; Num. 13, 27; Deut. 6, 3 etc. cf. Constantinus Porphyrogenitus, De administrando imperio, 114, 33 Moravcsik

ACEVBMN FH **9** κατὰ τοῦ Θωμᾶν B ἀρξαμένου B **10/11** οἰκοῦντες τῆς Ἰβηρίας M **11** Ἱσπανοὺς B **12** κατονομάζουσι, καὶ εἰς B εὐανδίαν A **13** λυπηρὰν M ὡς οὐδὲ ante μετρ. add. B **14** ἑαυτῶν ACEMN: αὐτῶν VB Ἀπόχαν E **15** ἀμερμουμνὴν AVBMN οἶδε τοῦτον ACEMN: τοῦτον οἶδεν VB γλῶττα AM **16** ἀπῄτουν: ἐζήτουν B **18** ἐπισκευάσας ACVBN: μετασκευάσας E: σκευάσας M μικρὰ C **20** τῇ ἕῳ AV Theoph. Cont. 74, 9 ἐτρέπετο M **21** αὐτούς ACVB: αὐτοῖς EMNH κεραννύς E **22** καὶ ante κατασκεψ. add. VBMNH κατασκεψάμενος B εἴ τις: ἥτις C ἔφορος B **23** ἐπιτηδείαν E **24** οὐδένα AEVBF: οὐδέν(ας) C: οὐδὲν MN ἀντιπαραταττόμενον VBMN: παραταττόμενον ACE **25** γὰρ – βοηθείας VBMN: γὰρ βοηθ. αἱ νῆσοι ACE **26** τοῦ Θ. E καὶ alt. om. E **27** καὶ pr. om. E **28** καταμαθὼν VBMN: καθελὼν ACE **29** τοῦτο om. B ἡ om. B **29/30** γάλα καὶ μέλι CE **30** τότε: τὸ B **31** οἶκον A **32** ὑπέληγε VBMN: ἔληγε ACE **33** ἄνεμον: πνεῦμα B **35** καλουμένῳ: λεγομένῳ A προσωρμίζετο B

κατὰ τὴν ἀπόβασιν οὔτε κατὰ τὴν καταγωγὴν ἐφάνη πολέμιον, παρεμβολὴν ὀχυρὰν πηξάμενος | τοὺς μὲν ἐπιτηδείους εἰς προνομὰς ἐξαπέστειλεν, αὐτὸς δὲ τοὺς λοιποὺς ἔχων, ἄρτι δὴ τοῦ πνεύματος ἐπακμάζοντος κἀκείνων πορρωτέρω σταδίων δέκα ἢ καὶ δεκαπέντε γενομένων, πῦρ ἐμβαλὼν ταῖς ναυσὶ τὰς πάσας κατέφλεξε) φεισάμενος τὸ παράπαν οὐδεμιᾶς. ὁ δὲ στρατὸς (καὶ γὰρ ἐπαλινόστουν εὐθέως ἐκδειματωθέντες, τῷ παραδόξῳ τοῦ πράγματος καταπλαγέντες) τὴν αἰτίαν ἐπυνθάνοντο καὶ εἰς λόγους ἦλθον νεωτερικούς. ἐπεὶ δὲ ἤκουον, ἃ πάλαι ὤδινον, ὡς 'αὐτοί τε τούτων ὑμεῖς αἴτιοι, ἀποικίαν ζητοῦντες καὶ γῆν ἀγαθήν, ἐμοὶ δὲ ταύτης οὐδετέρα νενόμισται κρείττων, εἰς ταύτην ἦλθον τὴν ὁδὸν τὰ ὑμῖν τε θυμήρη πράττων καὶ ἐμαυτὸν τῆς ἐξ ὑμῶν ἀπαλλάττων ὀχλήσεως.' ὡς δὲ καὶ γυναικῶν καὶ παίδων ἐμέμνητο, 'καὶ γυναῖκες', ἔφη ὁ 'Απόχαψ, 'ὧδε ὑμέτεραι αἱ αἰχμάλωτοι, καὶ παῖδες οὐ μετὰ μικρὸν ἐξ αὐτῶν.' τούτοις τοῖς λόγοις κατασιγασθέντες καὶ ἀποδοχῆς ἄξια κρίναντες τὰ λεγόμενα, τάφρον μὲν ἤγειραν πρῶτον βαθεῖαν, καὶ χάρακας ἐν ταύτῃ καταπήξαντες, ἔνθα καὶ νῦν λαβὼν τὴν ἐπωνυμίαν ὁ τόπος σῴζει τὴν προσηγορίαν, Χάνδαξ ὀνομαζόμενος, ἐκεῖσε διενυκτέρευον. χρόνος οὐκ ἐρρύη πολύς, καὶ τὰ πραττόμενα ἡ φήμη τὸν βασιλέα ἐδίδασκε. καὶ ὃς τῷ πρωτοσπαθαρίῳ Φωτεινῷ τῶν 'Ανατολικῶν στρατηγοῦντι τὰ τῆς Κρήτης ἅπαντα ἀνατίθησιν. οὗτος ἐκεῖσε παραγενόμενος καὶ τὰ πάντα καταμαθὼν τὸν βασιλέα ἀνεδίδασκε τὰ πραττόμενα, καὶ δύναμιν ἠξίου πέμπειν τὴν ἐκεῖθεν ἀποσοβήσουσαν τοὺς ἐχθρούς. Δαμιανὸν γοῦν | τινα κόμητα ὄντα τοῦ βασιλικοῦ ἱπποστασίου καὶ πρωτοσπαθάριον μετὰ πολλῆς δυνάμεως καὶ παρασκευῆς ὁ βασιλεὺς ἀπέστειλεν εἰς βοήθειαν τοῦ στρατηγοῦ Φωτεινοῦ, οἳ καὶ ἑνωθέντες κατὰ τῶν 'Αγαρηνῶν ὡπλίζοντο. εἰς οὐδὲν δὲ χρήσιμον αὐτοῖς τὸ τέλος ἐνεπεράνθη. αὐτός τε γὰρ ὁ Δαμιανὸς κατὰ τὴν πρώτην προσβολὴν καιρίαν πληγεὶς καὶ θανὼν καὶ τοῖς λοιποῖς τροπῆς γέγονεν αἴτιος, καὶ ὁ Φωτεινὸς μόλις ἐν δρόμωνι διασῴζεται καὶ τῷ βασιλεῖ τῶν πραχθέντων αὐτάγγελος γίνεται. ἀλλ' οὗτος μέν, ἐπεὶ διὰ τιμῆς ἤγετο τῷ βασιλεῖ πάντοτε, τὴν τῆς Σικελίας στρατηγίδα αὖθις τῆς Κρήτης ἀλλάσσεται. τοῖς δὲ Σαρακηνοῖς, ἐν ταραχῇ καὶ μερίμνῃ διάγουσιν

ACEVBMN FH **36** κατὰ alt. om. B **37** πηξάμενος ὀχυρὰν ACE προνομὰς VBMN: προνομὴν ACE **39** πορρωτέρω ACEVB: πορρωτέρων MN δεκαπέντε CEF Theoph. Cont. 75, 13: δέκα καὶ πέντε VMN: πεντεκαίδεκα AB **41** μηδεμιᾶς E στρατηγὸς E **44** τε om. VB ἡμεῖς EB **45** οὐδ' ἑτέρα VBMN **46** τε om. B **47** καὶ pr. om. B **48** ὁ 'Απόχ. ἔφη B ὁ om. M ἡμέτεροι E αἱ om. CEBNF **51** ἔνθα καὶ νῦν: ὅθεν B **52** σῴζει καὶ νῦν τὴν προσηγ. B ἐκεῖθεν B **53/54** ἐδίδασκεν. ὃς ACE **54** πρωτοσπαθαρίῳ ACEVN: πρωτοσπαθάρι M: πρωτοσπάθει B **56** ἐδίδασκε EB **57** ἀποσοβήσουσαν ACEVB: ἀποσοβήσασαν MNF **61** ὡπλ. κ. τ. 'Αγαρ. B **62** τε om. ACE **63** λοιποῖς: ἄλλοις B **66** αὖθις om. B

ἔτι, μοναχός τις ἐκ τῶν ὀρέων τῆς νήσου ἐπικαταβὰς ἁμαρτάνειν ἔφησεν, εἰ ἀσφαλῶς οἴονται ἕξειν ἱδρυθέντες ἐν τῷδε τῷ τόπῳ, καὶ ἅμα λέγων τὸν Χάνδακα τούτοις ὑπέδειξε, δεξιὸν τόπον καὶ εὐφυῆ πρὸς πᾶσαν εὐετηρίαν. ἐν τούτῳ πόλιν ἱδρύσαντες, καὶ οἷόν τινα πάσης ἀκρόπολιν τῆς νήσου, καὶ ἐκ ταύτης ὁρμώμενοι τὴν ὅλην κατέτρεχον νῆσον καὶ τὰς λοιπάς. ἐδουλώσαντο δὲ τοὺς αὐτόχθονας καὶ τὰς ἐν τῇ Κρήτῃ πόλεις πλὴν μιᾶς. τότε δὴ καὶ Κύριλλος ὁ Γορτύνης πρόεδρος στέφει τελειοῦται μαρτυρικῷ, μὴ θελήσας ἀρνήσασθαι τὸν Χριστόν. καὶ Κρήτη μὲν ἑάλω τοῦτον τὸν τρόπον.

17. Τῶν ἐμφυλίων δὲ πολέμων ἀπαλλαγεὶς ὁ βασιλεὺς Μιχαὴλ οὐ τῷ θεῷ τὴν νίκην ἐπέγραφεν, ἀλλὰ τῇ ἑαυτοῦ φρονήσει καὶ στρατηγίᾳ. διὸ καὶ ὑπὸ φρονήματος φυσηθεὶς ἀκάθεκτος ἦν ταῖς | ὁρμαῖς. τῆς γαμετῆς οὖν τελευτησάσης αὐτοῦ ὑπεποιεῖτο μὲν τὸν ἄζυγα βίον, λάθρᾳ δὲ πρὸς τοὺς προὔχοντας τῆς συγκλήτου μηνύματα πέμπων ἀνέπεισεν ὑπ' αὐτῶν παρακαλεῖσθαι ἑτέρᾳ συζευχθῆναι γυναικί, εἰ μὴ πεισθείη δέ, καὶ βίαν ἐπενεγκεῖν ἀπειλούντων. πρόφασιν δῆθεν εὔσχημον προτεινομένων, ὡς οὐ δέον αὐτοὺς μὲν ὑπὸ βασιλέα τάττεσθαι, τὰς δὲ αὐτῶν συζύγους δεσποίνης στερεῖσθαι καὶ βασιλίδος. ἐπέπειστο οὖν ὀψέ ποτε διὰ τῶν ἐπιπλάστων λόγων. καὶ πρῶτον μὲν ἀπῄτει χειρόγραφα τοὺς ὑπηκόους εὐνοίας, ὡς αὐτὴν μὲν τὴν ἐσομένην αὐτῷ γυναῖκα καὶ τὰ ἐξ αὐτῆς τεχθησόμενα μετὰ τὸν αὐτοῦ θάνατον ὑπερβαλλόντως τιμήσουσι καὶ μετ' ἐκεῖνον βασιλέας ἔχοιεν, κἀκείνην δέσποιναν. οὕτως οὐ τοῦ κατ' ἐκεῖνον, ἀλλὰ καὶ τοῦ μετ' αὐτὸν ᾤετο κρατήσειν αἰῶνος. εἶτα καὶ ταῖς μετὰ τέχνης αἰτήσεσι πείθεται τῆς συγκλήτου καὶ ἠγάγετο πρὸς γάμον γυναῖκά τινα πάλαι νυμφευθεῖσαν Χριστῷ καὶ τὸν μοναδικὸν ἀσπασαμένην βίον κἀν τῷ ἐν Πριγκίπῳ μοναστηρίῳ μονάζουσαν ἐκ παιδός. Εὐφροσύνη ταύτης ἡ κλῆσις, πατρὸς δ' ἐλέγετο εἶναι Κωνσταντίνου τοῦ βασιλέως, ὃν ἡ μήτηρ Εἰρήνη δικαίως διὰ τὰς σφετέρας ἀπετύφλωσεν ἀκολασίας. καὶ ταῦτα μὲν ἐπράττετο τῇδε.

cap. 17: Theoph. Cont. 78, 3—78, 12; Zon. III, 349, 1—350, 2

ACEVBMN F 68 ἐκ — νήσου: ἐκ τῶν τῆς νήσ. ὀρέων B ἐκ τῶν VBMN: ἐξ ACE 69 ἱδρυνθέντες VMNF 70 ὑπέδειξεν N 71/72 ἀκροπ. πάσης VB 74 πόλεις om. B Μαρτύνης AE 75 ἀρνήσας B 77 βασιλεὺς om. M 78 μᾶλλον post θεῷ add. B αὐτοῦ M 80 ὑπεποιεῖτο ACEVN: ἐπεποιεῖτο (?) M: προσεποιεῖτο B ἄζυγον M πρὸς om. M 82 συζ. ἑτ. B καὶ om. B 83 ὑπενεγκεῖν AC ἀπειλήσασθαι B εὐσχήμονα B 84 βασιλέα ACN: βασιλέως EVBM 85 οὖν om. B 86 πρῶτα AE μὲν τοὺς ὑπηκ. ἐζήτει χειρ. B 87 εὐνοίας om. B 88 καὶ ante μετὰ add. E αὐτοῦ: αὐτῆς CE 89 ἔχοιε B 91 ἠγάγεται M 91/92 γυν. πρ. γάμ. E 92 Χρ. νυμφ. A 93 Πριγκήπῳ ACE μονάζουσαν ἐκ παιδός: ἐνασκουμένην παιδόθεν A 94 δὲ ἐλέγετο AM 95 βασιλέως ACEVB: βασιλείας MN Εἰρήνη δικαίως om. ACE 95/1 σφετ. παρανομίας καὶ ἀκολ. ἀπετύφλ. B

18. Ὁ δὲ Μιχαὴλ ἕτερον στόλον ἐκπέμπει κατὰ τῶν ἐν Κρήτῃ Σαρακηνῶν, στρατηγὸν ἐπιστήσας αὐτοῖς Κρατερὸν τὸν τῶν Κιβυρραιωτῶν διέποντα τὴν ἀρχήν. ὃς ἑβδομήκοντα διήρεις τὰς ὑφ' ἑαυτὸν λαβὼν καὶ τὰς ἐκ τῶν ἄλλων νήσων ἁπάσας, κἀν τῇ Κρήτῃ | γενόμενος μετὰ μεγίστου φρυάγματος οὐδὲ τοὺς Ἀγαρηνοὺς ὑποκλινομένους εὗρεν, ἀλλὰ καὶ αὐτοὺς γενναίως ὑποστάντας τὸν κίνδυνον. συμπλοκῆς δὲ γενομένης, ἤδη τοῦ ἡλίου τὰς ἀκρωρείας αὐγάζοντος, ἄχρι μεσούσης ἡμέρας οὐδέτερον μέρος ἀπέκλινεν, ἀλλὰ γενναίως ἀντέχοντες ἐκαρτέρουν. ἄρτι δὲ τῆς ἡμέρας κλινούσης πονήσαντες οἱ Κρῆτες ἐνέδωκαν εἰς φυγήν, καὶ πολλοὶ μὲν αὐτῶν ἐν τῷ πολέμῳ ἀπέθανον, πλείονες δὲ τὰ ὅπλα ῥίψαντες ᾐχμαλωτίσθησαν. τάχα δ' ἂν ἑάλω καὶ ἡ πόλις αὐθημερόν, εἰ μὴ νὺξ ἐπιγενομένη ἀνέτρεψε τελέως τὰ πράγματα. Ῥωμαῖοι μὲν γάρ, ὡς ἤδη τάχα νενικηκότες καὶ πάντας αὔριον ἐν βραχεῖ βραχεῖς ὄντας ἐλπίσαντες συλλαβεῖν, ὡς ἐν οἰκείᾳ, ἀλλ' οὐκ ἐν ἀλλοτρίᾳ διάγοντες, πρὸς πότους καὶ τρυφὰς ἐξεβάκχευον, μήτε τινὸς φυλακῆς μήτ' ἄλλης σωτηρίας φροντίσαντες, ὕπνου δὲ μόνου καὶ τῆς πάντα ῥᾳδίως ἀνατρεπούσης ἀναπαύλης τε καὶ ῥᾳστώνης. ὅθεν περὶ μέσας νύκτας οἱ Κρῆτες, ἐπεὶ διὰ τῶν ἑαυτῶν φυλάκων, ὡς ἐν ἀπορίᾳ ἀγρυπνοῦντες, ὕπνῳ καὶ οἴνῳ τοὺς τῆς Ῥωμαϊκῆς παρεμβολῆς ἐμάνθανον κατεχομένους, αὐθωρὸν ἐπιπεσόντες μετ' ἀλαλαγμοῦ καὶ μέθῃ κατισχημένους εὑρόντες ἅπαντας ἄρδην ἀπώλεσαν, ὡς μηδ' ἄγγελον, τοῦτο δὴ τὸ τοῦ λόγου, περιλειφθῆναι. μόνος δ' ὁ στρατηγὸς ἐμπορικοῦ τινος ἐπιβὰς πλοίου τὴν σωτηρίαν ἑαυτῷ ἐμνηστεύετο. ὡς δὲ πολλὰ ζητήσας ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς τοῦτον οὐχ εὕρισκεν οὔτ' ἐν τοῖς πεσοῦσιν, οὔτ' ἐν τοῖς αἰχμαλώτοις, ἔμαθε δ', ὅτι φυγὰς ᾤχετο, τοὺς καταδιώξοντας | ἔπεμψεν. οἳ καὶ καταλαβόντες αὐτὸν ἐν Κῷ τῇ νήσῳ ξύλῳ κρεμάσαντες ἀπέκτειναν.

cap. 18: Theoph. Cont. 79, 13—81, 5; Zon. III, 350, 7—351, 2

ACEVBMN F 2 βασιλεὺς ante Μιχαὴλ add. A ἕτ. πέμπει στόλον A ἐν Κρήτῃ om. MN 2/3 Σαρακηνῶν: Ἀγαρηνῶν M 3 Καρτερὸν B 3/4 τὸν τὴν Κιβ. διέπ. ἀρχ. A 3 Κιβυρραιωτῶν AVMN Theoph. 79, 15: Κιβυραιωτῶν E: Κιβυρετῶν B: Κιβερεωτῶν C 4 διέποντος C ὑφ' ἑαυτὸν EVBMN: ὑπ' αὐτὸν A: ὑφ' αὐτὸν C 5 μεγάλου B 8 οὐδ' ἕτερον VBMN 9 ἀντέσχοντες B 11 αὐτῶν om. M ἐξ αὐτῶν post ἀπέθ. add. M πλείους B τὰ om. MN (sed non F) 11/12 ῥίψαντες ante τὰ ὅπλα B 13 ἐπιγινομένη E ἀνέστρεψε B τελέως CEVMN: τελείως A: γενναίως B μὲν om. B 16 πότον C τρυφ. καὶ πότ. B ἐξεβακχεύοντο B μήτε ἄλλης M 17 καὶ ante μόν. add. ACE 18 ἀναπ. τε om. B ἐπεὶ διὰ VB: ἐπειδὴ ACEMNF (sed cf. Theoph. Cont. 80, 14) 20 τοὺς τῆς: τοῦ τῆς E: τοὺς εἰς B κατεχ. ἐμάνθ. AB 21 ἅπαντας ACEV: ἅπαν MN: πάντας B 24 ἐμνηστεύσατο M 25 οὔτε ἐν ... οὔτε ἐν E 26 δέ, ὅτι B Κῷ om. V καταδιώξαντας VBM 27 καὶ om. B ἐν Κῷ τῇ νήσῳ om. B

19. Μετὰ δὲ ταῦτα ἀνήρ τις πολεμικὸς καὶ φρονήσεως καὶ ἀγχινοίας οὐκ ἄμοιρος, ᾧ τὸ ἐπώνυμον ᾽Ωορύφας, στρατόν τινα προστάξει ἀθροίσας βασιλικῇ, τὸν τεσσαρακοντάριον τότε καλούμενον ἐκ τοῦ διανεμηθῆναι αὐτοῖς ἀνὰ τεσσαράκοντα χρυσίνους, τάς τε ἄλλας νήσους ἐπιὼν ἀνῄρει τοὺς προνομεύοντας ᾽Αραγηνούς, τοῖς μὲν λόχους ἐπάγων, τοῖς δὲ φανερῶς πολεμῶν, καὶ τοὺς Κρῆτας συνέστειλε καὶ τῆς πολλῆς καὶ ἀσχέτου ὁρμῆς ἀνεχαίτισε.

20. Καὶ ταῦτα μὲν συνηνέχθη τῇδε. κατὰ δὲ τὸν αὐτὸν καιρὸν Εὐφήμιός τις ἀνὴρ κατὰ Σικελίαν λαοῦ τινος ἐξηγούμενος ἐρασθεὶς παρθένου τινὸς τὸ μοναχικὸν ἐκ παιδὸς ἀναλαβούσης σχῆμα περὶ πολλοῦ ἐποιεῖτο τὸν οἰκεῖον ἔρωτα ἐκπληρῶσαι, τῶν νόμων οὐδὲ φροντίζων ὅλως, ἀλλ᾽ ὡς εἰς παράδειγμα μόνον ἀποβλέπων τὸν βασιλέα, τοιοῦτόν τι τολμήσαντα καὶ αὐτόν. ἁρπάζει γοῦν τὴν παρθένον τοῦ ἀσκητηρίου καὶ πρὸς ἑαυτὸν ἄκουσαν ἄγει. ταύτης οὖν οἱ ἀδελφοὶ προσίασι τῷ Μιχαὴλ τὰ τοῦ δράματος διηγούμενοι. ὁ δὲ κελεύει τῷ στρατηγῷ, εἰ οὕτως καταλάβοι ἔχουσαν τὴν ἀλήθειαν, τὴν ῥῖνα τοῦ τετολμηκότος Εὐφημίου ἀποτεμεῖν. ὅπερ μαθὼν ὁ Εὐφήμιος συνωμότας λαβὼν τούτους τε τοὺς ὑπὸ τὴν αὐτοῦ χεῖρα καί τινας τῶν συντουρμαρχῶν, τὸν στρατηγὸν ἐπὶ τούτῳ παραγενόμενον ἀπελαύνει καὶ πρὸς τὸν τῆς ᾽Αφρικῆς ἀποδιδράσκει ἡγούμενον, πᾶσαν τὴν Σικε|λίαν ὑπ᾽ ἐκείνῳ ποιῆσαι καθυπισχνούμενος καὶ διδόναι φόρους αὐτῷ πολλούς, εἰ μόνον ἀναγορευθείη ῾Ρωμαίων βασιλεύς. δεξάμενος οὖν τὸν λόγον ὁ ἀμηρᾶς ἀναγορεύει τοῦτον βασιλέα ῾Ρωμαίων, καὶ χεῖρα δίδωσι πολλήν, καὶ τῆς Σικελίας γίνεται ἐγκρατὴς παρ᾽ αὐτοῦ τούτου λαβὼν αὐτήν. πλὴν ὁ μὲν Εὐφήμιος οὐ πολὺν χρόνον τοῦ βασιλικοῦ ἀπολαύσας ἀξιώματος

44 inter diem 13. mens. Apr. a. 826 et diem 1. mens. Apr. a. 827

cap. 19: Theoph. Cont. 81, 6–81, 15; Zon. III, 351, 2–351, 6 cap. 20: Theoph. Cont. 81, 16–83, 11; Zon. III, 351, 7–352, 2

ACEVBMN F 28 καὶ pr. om. A τε post φρον. add. A 29 ᾽Ωορύφας AE Theoph. Cont. 81, 8: ᾽Ωρρύφας B: ᾽Ορύφας CVMN 31 χρυσίν. τεσσ. A ἐπιὼν νήσ. M 32 λόγους C 32/33 τοῖς δέ: τοὺς δὲ B 33–35 πολλῆς – τῇδε: πολλῆς. καὶ τὰ μὲν κατὰ τοὺς Κρ. συνην. ὧδε B 33 καὶ alt. om. M 35 τῇδε ACEMN: ὧδε VB 36 ἐραστὴς B 37 μοναδικὸν AE 37/38 περὶ πολλοῦ ἐποιεῖτο post πληρῶσαι A 38 ἐκπληρῶσαι VBMN: πληρῶσαι ACE οὐδὲν E 39 τὸν βασ. ἀποβλ. A 41 ἄγ. ἄκ. B οὖν om. B 43 οὕτω AE 44 ἐκτεμεῖν B 46 ἐπὶ τοῦτο B παραγενόμενον VBMN: γενόμενον ACE 47 ἡγούμενον: κατάρχοντα B ὑπ᾽ ἐκεῖνον B 48 ποιῆσαι CEVNF Theoph. Cont. 82, 11: ποιήσειν ABM καθυποσχόμενος EB καὶ διδόναι – πολλούς om. M 49 ἀναγορευθῇ A βασ. ῾Ρωμ. VB ὁ om. E 51 αὐτοῦ τούτῳ C 52 μὲν om. B τοῦ βασιλικοῦ: τοῦ τῆς βασιλείας B ἀξιώματος: ὀνόματος B

ἀφαιρεῖται τὴν κεφαλὴν τῆς οἰκείας ἀποστασίας καὶ παρανομίας τοῦτον λαβὼν τὸν μισθόν. ἄξιον δὲ καὶ τὸν τρόπον εἰπεῖν τῆς αὐτοῦ ἀναιρέσεως. ὡς γὰρ ἐν σχήματι βασιλικῷ περιῄει τὴν Σικελίαν ἀνευφημούμενος, ἀπῄει καὶ κατὰ τὴν Συράκουσαν. ἄποθεν δὲ γενόμενος τῆς ἑαυτοῦ τάξεως καὶ τῶν δορυφόρων καὶ ὅσον ἀπὸ τόξου βολῆς τῇ πόλει προσεγγίσας ὡμίλει τοῖς πολίταις καὶ πρὸς ἑαυτὸν λόγοις τὴν ἐκείνων ἐφείλκετο εὔνοιαν. μεμονωμένον δὲ τοῦτον ἰδόντες ἀδελφοὶ δύο Συρακούσιοι πρὸς ἑαυτοὺς βουλευσάμενοι καὶ σύμπνοοι γενόμενοι καὶ τὸ ἓν φρονήσαντες προσέρχονται τούτῳ εἰρωνικῶς τε καὶ τωθαστικῶς, ὡς βασιλεῖ τάχα τὴν προσήκουσαν τιμὴν ἀπονέμοντες. ὁ δ' Εὐφήμιος μὴ συνεὶς τὸν δόλον τὴν παρ' αὐτῶν ἀναγόρευσιν καὶ τὸν ἀσπασμὸν προσδεξάμενος προσεκάλει τούτους μετὰ φιλοφροσύνης, ὡς καὶ αὐτὸς τὸν οἰκεῖον ἀσπασμὸν ἀποδώσων. καὶ δὴ κλίνας τὴν κεφαλὴν καὶ τὸ στόμα προσερείσας τῷ στόματι θατέρου τῶν ἀδελφῶν, θριξὶ μὲν κατέχεται ἰσχυρῶς παρὰ τούτου, πρὸς δὲ τοῦ ἑτέρου τῶν ἀδελφῶν τὴν κεφαλὴν | ἀποτέμνεται. καὶ οὗτος μὲν ταύτην ἔτισε δίκην τῆς οἰκείας ἀπονοίας.

21. Οἱ δ' Ἀγαρηνοὶ οὐ τῆς Σικελίας ἔκτοτε μόνον, ἀλλὰ καὶ Καλαβρίας καὶ τῶν πλειόνων τῆς Ἰταλίας ἐγένοντο ἐγκρατεῖς, πάντα κατατρέχοντες καὶ διαπορθοῦντες.

22. Ὁ Μιχαὴλ δὲ ἐπὶ μῆνας ὀκτὼ καὶ ἔτη ἐννέα τῆς βασιλείας γενόμενος ἐγκρατὴς δυσεντερίας ἁλοὺς ἀρρωστήματι καταστρέφει τὸν βίον, τοσούτων παραίτιος τῇ πολιτείᾳ Ῥωμαίων γενόμενος κακῶν, δι' ἣν εἶχεν ἀσέβειαν πρὸς θεὸν καὶ πρὸς τὰ πράγματα μοχθηρίαν, ὅσων προλαβὼν ἐπεμνήσθη ὁ λόγος. ἀπεστάτησε δ' ἐπ' αὐτοῦ καὶ πᾶσα

73 mense Oct. 829

---

cap. 21: Theoph. Cont. 83, 12–83, 16; cap. 22: Theoph. Cont. 83, 16–84, 11; Zon. III, 352, 3–352 12

ACEVBMN F **53** ἀποστάσεως B τοῦτον om. ACE **54** ἀπολαβὼν BM **55** ἀνευφημούμενος ACEMN: εὐφημούμενος VB **56** καὶ VB Theoph. Cont. 82, 23: om. ACEMNF γινόμενος B **58/59** ἐφέλκετο M **59** δύο ἀδελφ. M **63** τοῦ προσδόλου A παρ': ἀπ' B **63/64** προσδεξάμενος ACVMN: δεξάμενος E: προσεικάμενος B **65** ἀποδ. ἀσπ. B καὶ alt. om. B **66** θρὶξ MN τὸ om. M οἰκείας ACEB: ἰδίας **67** τῶν ἀδελφῶν om. B **68** οὕτως B ἔκτισε V VMNF **69** μόνον ἔκτοτε NF Theoph. Cont. 83, 12 **72** ὁ δὴ Μιχαὴλ ἐπὶ E ἐπὶ — ἐννέα VBMN: ἐπὶ χρόνους (ἔτη A) ὀκτὼ καὶ μῆνας ἐννέα ACE γεγονὼς A **73** ἁλοὺς ἀρρωστήματι: νόσῳ ἁλοὺς A **74** τοσ. κακ. παραίτ. τῇ Ῥωμ. πόλ. γεν. A Ῥωμαίων om. B **76** ἐπεμνήσθην V

ἡ Δαλματία. ἐφέρετο δὲ καὶ χρησμὸς παλαιὸς περὶ αὐτοῦ περιέχων οὕτως·

ἀρχὴ κακῶν γε προσπεσεῖται τῇ χθονί,
ὅταν κατάρξῃ τῆς Βαβυλῶνος δράκων
δύσγλωττος οὗτος καὶ φιλόχρυσος λίαν.

ἐτάφη δὲ ὁ τούτου νεκρὸς ἐν τῷ κατὰ τοὺς ἁγίους ἀποστόλους μεγάλῳ ἡρῴῳ Ἰουστινιανοῦ ἐν λάρνακι πρασίνῳ Θετταλικῇ.

ACEVBMN F 77 παλαιὸς post αὐτοῦ M περὶ αὐτοῦ om. B 78 γε VB Theoph. Cont. 84, 7: δὲ F: οὐ ACMN: οὗ E προπεσεῖται C 82 post Θεττ. add. E (alia m.): οὗτος ὁ βασιλεὺς Μιχαὴλ ἐβασίλευσεν ἐν ἀκριβείᾳ ἔτη η', μῆνας θ'. ἐκράτησε γὰρ κατὰ τὴν κε' τοῦ Δεκεμβρίου μηνός, ἐτελεύτησε δὲ κατὰ τὴν η' τοῦ Ὀκτωμβρίου. ἐτάφη δὲ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν λάρνακι πρασίνῳ

ΘΕΟΦΙΛΟΣ

1. Μετὰ δὲ τὸν τοῦ Μιχαὴλ θάνατον ὁ υἱὸς αὐτοῦ Θεόφιλος, ἀνδρὸς ἤδη ἡλικίαν ἔχων, διεδέξατο τὴν πατρῴαν ἀρχὴν κατὰ τὸν Ὀκτώβριον μῆνα τῆς ὀγδόης ἰνδικτιῶνος, λόγῳ μὲν τῆς δικαιοσύνης ἔμπυρος ἐραστὴς καλεῖσθαι βουλόμενος νόμων τε φύλαξ πολιτικῶν ἀκριβής, τῇ δ' ἀληθείᾳ ἔξωθεν ἑαυτὸν τῶν ἐπιβουλευόντων διατηρῶν, ὡς ἂν μή τις κατ' αὐτοῦ νεανικόν τι τολμήσειε, | ταῦτα ὑπεκρίνετο. εὐθὺς οὖν ἐκ προοιμίων τοὺς τῷ πατρὶ αὐτοῦ συναραμένους εἰς τὸν τοῦ Λέοντος θάνατον ἔγνω πάντας ὀλέθρῳ παραδοῦναι καὶ ἀπωλείᾳ. ὅθεν ἐξέθετο δόγμα, τοὺς τῶν βασιλικῶν ἅπαντας ἀπολαύοντας φιλοτιμιῶν, προσέτι δὲ καὶ βασιλικῆς τιμῆς μετασχόντας τῆς οἱασοῦν κατὰ τὴν Μαγναύραν ἤτοι τὸ Πενταπύργιον συναθροισθῆναι. ὡς δὲ τοῦτο ἐγένετο καὶ πάντες ἠθροίσθησαν, ὡς ἐκέλευσεν, ὡς ἐν σκότῳ τέως τὴν τῆς ψυχῆς κρύψας θηριωδίαν, πραείᾳ καὶ ἠρεμαίᾳ φωνῇ ἔφη πρὸς τοὺς συνειλεγμένους· 'ἐβούλετο μὲν καὶ δι' ἐπιθυμίας εἶχεν, ὦ λαὸς καὶ κλῆρος ἐμός, ὁ ἐμὸς μακαρίτης πατὴρ τοὺς ἀντιλαβομένους καὶ τῆς βασιλείας ὑπερμαχήσαντας πολλῶν μὲν τιμῶν, πολλῶν δὲ τούτους ἀγαθῶν καὶ ἑτέρων καταξιῶσαι γερῶν, καταχθεὶς δ' ὑπὸ τοῦ χρεὼν ἐμὲ τὸν τῆς βασιλείας διάδοχον, ἵνα μὴ ἀχάριστος δόξῃ τοῖς εὐεργέταις, ὀφειλέτην κατέλιπε. διὸ ἕκαστος χωρισθεὶς τοῦ πλήθους δεικνύτω ἡμῖν ἑαυτὸν ἐμφανῆ, ἵνα γνόντες τοὺς φίλους ἀξίως ὑμᾶς ἀμειψαίμεθα.' τούτοις τοῖς λόγοις παρακλαπέντες οἱ δείλαιοι καὶ συλαγωγηθέντες τὸν νοῦν ἕκαστος τῶν ὅσοι τῷ φόνῳ συνήργησαν τοῦ Λέοντος ἑαυτὸν παρεγύμνου. εὐθὺς οὖν ὁ Θεόφιλος, ἐντὸς σαγήνης ἔχων τὴν θήραν, ἐγκελεύεται τῷ ἐπάρχῳ

85 a. 829

cap. 1: Theoph. Cont. 84, 12—86, 8; Zon. III 352, 13—353, 17

ACEVBMN F   83 Θεόφιλος ACV: Θεόφιλος ὁ υἱὸς Μιχαὴλ τοῦ τραυλοῦ E: Βασιλεία Θεοφίλου τοῦ εἰκονομάχου B M (i. m.): om. N   85 ἤδη om. B Ὀκτωμβρίου CB   86 η' A   ἔμπυρος ACEVB: ἔμπειρος MNF   87 τῇ δ' ACEVB: εἰ δ' MN   88 ἑαυτόν: αὐτῶν B   ἐπιβουλευόντων: μὴ βουλευόντων M   89 μὲν post εὐθὺς add. B   92 φιλοτιμιῶν VBMN: δωρεῶν ACE   93 βασ. om. ACE μετασχ. τιμ. B τὴν om. B   94 γέγονε A   1 ἠρεμίᾳ B   ἔφησε C   3 ἀντιλαμβανομένους B   οἱ ante τῆς βασ. B   4 δέ: γε M   5 κατασχεθεὶς B 7 ἑαυτὸν ἡμῖν ACEMNF (sed cf. Theoph. Cont. 85, 21/22)   8 ἀξίους E 9 παρακλαπέντας M   συλλαγωγηθέντες CBMNF (sed cf. Theoph. Cont. 85, 22) 10 συνήργ. τῷ φόνῳ B   παρεγύμνουν B   οὖν om. B   11 τὴν θήραν: τὸ θήραμα E

τοῖς πολιτικοῖς χρήσασθαι νόμοις, οὕτως εἰπών· 'ἄγε δή, ὦ ἔπαρχε, ἐκ θεοῦ καὶ τῆς ἡμῶν γαληνότητος τὸ κρίνειν λαβὼν τούτοις ἀξίας τῶν ἔργων ἀπόδος τὰς ἀμοιβάς, οὐχ ὅτι τὰς χεῖρας ἐμίαναν αἵματι ἀνθρωπίνῳ, ἀλλ' ὅτι καὶ χριστὸν κυρίου ἀνεῖλον ἔνδον θυσιαστηρίου.' ταῦτα δὲ φθεγξάμενος διέλυσε τὸν θαυμα|στὸν ἐκεῖνον καὶ πρῶτον σύλλογον, οἱ ἄθλιοι δ' ἐκεῖνοι συλληφθέντες παρὰ τοῦ ἐπάρχου ποιναῖς καθυπεβλήθησαν ἀνδροφόνων.

2. Ὁ δὲ Θεόφιλος καὶ τὴν αὐτοῦ μητρυιὰν ἀπελάσας τῶν βασιλείων εἰς τὸ μοναστήριον ἠνάγκασεν ἀπελθεῖν, ἐν ᾧ τὸ πρῶτον τὴν κοσμικὴν ἀπέθετο τρίχα, μηδὲν ὠφελησάντων τῶν ὅρκων, οὓς ἡ σύγκλητος πρὸς τὸν Μιχαὴλ ἐποιήσατο.

3. Καὶ ταῦτα μὲν ἐν προοιμίοις τῷ Θεοφίλῳ, τὰ δ' ἑξῆς οὐκ ἐπαίνων ἀνάξια. ἀντιποιούμενος γὰρ τῆς δικαιοσύνης ἅπασιν ἦν τοῖς πονηροῖς φοβερός, τοῖς δ' ἀγαθοῖς θαυμαστός, τοῖς μὲν ὅτι μισοπόνηρός τε καὶ δίκαιος ἐδόκει, τοῖς δ' ὅτι ἐμβριθής τε καὶ αὐστηρός. οὐκ ἦν δὲ πάντως αὐτὸν πάντων τῶν κακῶν καθαρεύειν. εἴχετο μὲν γὰρ τῆς ἐπὶ θεὸν πίστεως, εἴχετο δὲ πλέον τῆς πατροπαραδότου μιαρᾶς τῶν εἰκονομάχων αἱρέσεως καὶ τὸν εὐσεβῆ καὶ πανάγιον ἐκάκου λαὸν παρὰ πάντα τὸν τῆς βασιλείας αὐτοῦ χρόνον ἠρεμῆσαι μὴ συγχωρήσας. ὅθεν οὐδ' ἐν πολέμοις εὐτύχησέ ποτε, ἀεὶ δὲ ἥττητο καὶ οὐ κατὰ βασιλέα ὑπέστρεφεν. ἐχόμενος δ' οὖν τῆς δικαιοσύνης καὶ τῆς πρὸς Χριστὸν καὶ τὴν αὐτοῦ μητέρα, ὡς ᾤετο, πίστεως καὶ προθυμίας ἀπῄει ἑκάστης ἑβδομάδος ἔφιππος διὰ τῆς λεωφόρου ἐπὶ τὸν ἐν Βλαχέρναις τῆς θεομήτορος θεῖον ναόν, ὑπὸ τῶν δορυφόρων παραπεμπόμενος. ἀπῄει δὲ πᾶσι μέν, προηγουμένως τοῖς ἀδικουμένοις διδοὺς ἑαυτόν, ὡς ἂν ἔχοιεν τὰ αὐτῶν ἐκτραγῳδεῖν ἀδικήματα καὶ μὴ παρά τινων ἀδίκων κωλύοιντο ὑφορωμένων τὴν ἐξ αὐτοῦ τιμωρίαν, | εἶθ' ἵνα καὶ κατὰ τὴν ἀγορὰν διερχό-

12 τούτοις . . . τὰς ἀμοιβάς: cf. Prov. 24, 12 15 χριστὸν κυρίου: cf. Luc. 2, 26
cap. 2: Theoph. Cont. 86, 8—86, 18; Zon. III, 353, 17—354, 2 cap. 3: Theoph. Cont. 86, 19—88, 3; Zon. III, 355, 9—356, 1; Glyc. 536, 6—536, 11

ACEVBMN F **13** ἀξίοις B **14** ἀπόδος VBMN: ἐπίδος CE: ἀντίδος A **15** ἔνδ. θυσ. ἀνεῖλον B τοῦ ante θυσ. add. ACEM **16** δὲ om. M **17** δὲ ἐκ. B **20** εἰς τὸ μοναστήριον: εἰς τὴν μονὴν B **20/21** τὸ πρῶτον post τρίχα M πρῶτον — τρίχα: πρότερον ἦν B **23** δὲ EVBMN (sed cf. Theoph. Cont. 86, 19) οὐκ: καὶ B **24** ἀνάξια ACMN: ἄξια EVB τῆς γὰρ δικ. ἀντιπ. A **25** δὲ VMNF **26** ἐδόκει: ἦν A δὲ ὅτι B ἐμβριθής ACEV Theoph. Cont. 86, 22: ἐμβρισθής MN: ἀμβρισθής B ἐδόκει post αὐστ. add. A **31** πολέμῳ B ηὐτύχησε A ἡττᾶτο B **32** τὸν ante Χρ. add. ACE **33** αὐτοῦ ACEVB: ἑαυτοῦ MN **34** διὰ: κατὰ B **35** δὲ ACEVBF: γὰρ MN **36/37** τὰ κατ' αὐτῶν ἐκτρ. B **37** μὴ om. B **38** ἐξ αὐτῶν B ἀγορὰν VBMN: ὁδὸν ACE

μενος θεατὴς γίνοιτο τῶν ὠνίων. ἠρώτα γοῦν περὶ ἑκάστου τῶν πιπρασκομένων, πόσου πωλεῖται γινόμενος κατὰ τὴν ἀγοράν. ἠρώτα δὲ οὐ παρέργως, οὐδὲ ἑνὶ εἴδει, ἀλλ' ἐπί τε τοῖς βρωτοῖς εἴδεσι καὶ τοῖς ποτοῖς καὶ τοῖς εἰς θάλψιν καὶ ἀμφίασιν ἐπιτηδείοις καὶ πᾶσιν ἁπλῶς τοῖς κατὰ τὴν ἀγορὰν προκειμένοις. καὶ διὰ πάντων πολλὴν ἐνεδείκνυτο σπουδὴν καὶ ἐπιμέλειαν πρὸς τὰ κοινά, νῦν μὲν ἐν κριτηρίοις, νῦν δέ, ὡς εἴρηται, κατὰ τὰς προόδους τῆς ἑβδομάδος.

4. Καί ποτε δὲ ψυχαγωγίας χάριν προκύπτων ἀπὸ τῶν πρὸς θάλασσαν τοῦ παλατίου τειχῶν ἐθεάσατο ναῦν τινα μυριοφόρον ἐξ οὐρίων πλέουσαν ἀναπεπταμένοις δὴ τοῖς ἱστίοις, μεγέθει τε ἀνυπέρβλητον καὶ ἀπαράμιλλον κάλλει. ἣν θεασάμενος εἰς θάμβος ἐνέπιπτεν. ἠρώτα δ' ὅμως, τίνος τε ἡ ὁλκὰς εἴη καὶ ὅ τι φέροι τῶν ἀγωγίμων. ὡς δὲ τῆς αὐγούστης εἶναι ἐμάνθανε, τότε μὲν ἐφησύχασε καὶ παρέπεμψε τὸν καιρὸν ἄχρι καὶ ἧς εἰώθεν ἡμέρας ἀπιέναι πρὸς τὸν ἐν Βλαχέρναις θεῖον ναόν. ὡς δ' ἤδη παρῆν ἡ κυρία καὶ ὁ τοῦ πλοίου ὅρμος δῆλος ἐγεγόνει τῷ βασιλεῖ πυθομένῳ παρά τινος, τῆς εἰς αὐτὸ φερούσης ὁδοῦ εἴχετο καὶ πλησιάσας ἔστη παρὰ τὴν πρύμναν καὶ τοὺς παρόντας ἠρώτα πολλάκις, ὅτου τις ἔχοι χρείαν τῶν ἀγωγίμων, σίτου τυχὸν ἢ οἴνου ἢ ἄλλου τινὸς εἴδους. ὡς δὲ πολλάκις ἐρωτηθέντες ἅπαξ ἀπεκρίθησαν μόλις 'μηδενὸς λείπεσθαι τοὺς ὑπὸ τῆς σῆς προμηθουμένους δεσποτείας καὶ βασιλείας', 'ἀλλ' οὐκ ἴστε δή', ἔφησεν ὁ βασιλεύς, 'ὅτι με ὑπὸ θεοῦ βασιλέα γεγενημένον ἡ αὐγοῦστά μου | καὶ σύμβιος ναύκληρον εἰργάσατο;' προσέθετο δὲ μετὰ πικρίας καὶ τοῦτο· 'τίς ποτε βασιλέα Ῥωμαίων ἢ τὴν αὐτοῦ γαμετὴν ἔμπορον ἐθεάσατο;' ταῦτα δὲ εἰπὼν ἐκέλευσεν αὐθωρὸν μόνους ἐξελθεῖν τοὺς ἀνθρώπους, τὴν δὲ ναῦν ἐκείνην παραδοῦναι πυρὶ αὐτοῖς ἱστίοις καὶ τοῖς ἄλλοις ἅπασιν ἀγωγίμοις. περιέβαλε καὶ τὴν δέσποιναν ὕβρεσι καὶ τῆς ζωῆς ἐξαγαγεῖν ἠπείλησεν, εἰ φωραθείη ἔκτοτε τοιοῦτόν τι ποιοῦσα.

cap. 4: Theoph. Cont. 88, 4—89, 14; Zon. III, 357, 6—358, 6; Glyc. 536, 16—537, 1

ACEVBMN F 39 γένηται B 41 οὐδὲ ἑνὶ VB: οὐδ' ἐν ἑνὶ ACMN: οὐδὲ ἐν ἑνὶ E: οὐδ' ἑνὶ F 43 ἐδείκνυτο V 45 τῶν ἑβδομάδων A 46 τὴν ante θάλ. add. M 47 μυροφ. B 48 δὴ τοῖς ACEVB: διττοῖς MN: δὲ τοῖς F 50 δὲ ὅμως MN φέρει BM 51 ἀνεμάνθανε V 52 ἄχρις B 53 δὲ MN ἐγεγόνει VBMN: ἐγένετο ACE 54 τῆς πρὸς αὐτὸν φερ. B 56 ἔχοι ACEVF: ἔχει BMN 56/57 σίτου — εἴδους om. B 58 δεσπ. καὶ om. B 58/59 βασ. καὶ δεσπ. MN 59 δή: δέ M τοῦ ante θεοῦ add. ACE 60 μου om. B εἰργάσατο VBMN: ἀπειργάσατο ACE 61 καὶ τοῦτο μετὰ πικρ. B βασιλεὺς C 62 δὲ om. B 63 παραδοῦν B 64 περιέβαλλε V 65 δὲ post περιέβαλε add. AB 66 τοιοῦτονὶ ποιοῦσα B

5. Ὥρμητο δ' ἡ βασιλὶς Θεοδώρα ἐκ τῆς χώρας τῶν Παφλαγόνων γεννήτορας αὐχοῦσα Μαρῖνον οὐκ ἄσημον ἄνδρα καὶ μητέρα Θεοκτίστην, τὴν οὕτω Φλωρῖναν κατονομαζομένην, ἀμφοτέρους εὐσεβείᾳ ἐκτεθραμμένους καὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν οὐκ ἐξαρνουμένους, ὡς οἱ κατ' ἐκεῖνο πάντες καιροῦ, ἀσπαζομένους δὲ καὶ ἐνστερνιζομένους ὑπερφυῶς. διαδήματι δὲ τῆς Θεοδώρας καταστεφθείσης καὶ ἡ ταύτης μήτηρ Θεοκτίστη ζωστή τε καὶ πατρικία τετίμητο. αὕτη δὴ οὖν ἡ Θεοκτίστη κατὰ τὸν ἑαυτῆς οἶκον, ἔγγιστα διακείμενον τῆς μονῆς τῶν Γαστρίων, τὰς τῆς Θεοδώρας μετακαλουμένη παῖδας (πέντε δὲ ἦσαν τὸν ἀριθμόν, ἥ τε Θέκλα, Ἄννα, Ἀναστασία, Πουλχερία τε καὶ Μαρία) ἄλλαις τε δωρεαῖς, αἷς ὑποσύρεσθαι τὸ θῆλυ πέφυκεν, ἐδεξιοῦτο καὶ ἰδίᾳ παραλαμβάνουσα μὴ μαλακίζεσθαι, μηδὲ μένειν θηλείας, ὅπερ ἦσαν, ἐξελιπάρει, ἀνδρίζεσθαι δὲ καὶ τῆς μητρῴας θηλῆς ἄξια διανοεῖσθαι καὶ πρέποντα, τὴν πατρῴαν μὲν αἵρεσιν μυσαττομένας, κατασπαζομένας δὲ τὰς τῶν ἁγίων εἰκόνων μορφάς. καὶ | ἅμα ταύτας εἰς χεῖρας ἐμβάλλουσα (ἐφύλαττε δὲ ἔν τινι κιβωτίῳ) τῷ τε προσώπῳ, καὶ τοῖς χείλεσιν αὐτῶν ἐπιτιθεμένη ἡγίαζε καὶ πρὸς τὸ ἐκείνων ἀνηρέθιζε φίλτρον. τοῦτο οὖν ἐνδελεχῶς ποιοῦσα καὶ ταῖς ἐγγόνοις τὸν περὶ τὰς θείας εἰκόνας πόθον ἀνάπτουσα οὐκ ἔλαθε τὸν Θεόφιλον πυνθανόμενον, ὅ τι τε αὐταῖς παρὰ τῆς μάμμης δεδώρηται καὶ ὅ τι χάριτος ἐξείργασται ἄξιον. αἱ μὲν οὖν ἄλλαι τὰς τούτου πεύσεις, σταθηρὸν ἔχουσαι φρόνημα, ὥσπερ τινὰς λαβὰς ἐρρωμένως παρέτρεχον. ἡ δὲ Πουλχερία κατὰ τὴν ἡλικίαν νηπιάζουσα τάς τε φιλοφροσύνας κατέλεγε καὶ τὸ πλῆθος τῶν ὀπωρῶν, προσετίθει δὲ καὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν, οὕτω δὴ ἁπαλὰ φρονοῦσα καὶ λέγουσα, ὡς νινία πολλὰ εἴη αὐτῇ κατὰ τὸ κιβώτιον, 'καὶ ταῦτα τῇ κεφαλῇ καὶ τοῖς προσώποις ἡμῶν ἐπιτίθησι μετὰ τὰ φιλήματα'. ταῦτα τὸν βασιλέα

cap. 5: Theoph. Cont. 89, 15–92, 17; Zon. III, 358, 7–361, 4; Glyc. 537, 7–537,16

ACEVBMN FH **68** αὐχοῦσα: ἔχουσα EB **69** Φλωρίαν M ἐπονομαζ. B **69/70** ἐντεθρ. B (Theoph. Cont. 89, 19 ἐκτεθρ. cod. V) **70/71** οὐκ ἐξαρν. προσκύν. A **71** οἱ om. E **73** ζωστή CEVBN: ζωή A: ζωστική M τε om. C **74** δὴ οὖν VB Theoph. Cont. 90, 2: δ' οὖν ACE: δὲ οὖν MN **74/75** τῆς τῶν Γ. μον. B **75** Γαστρίων: Μαγίστρων A **76** ἥ τε om. B Θάκλα C Ἄννα, Αναστασία ACEVB: Ἀναστασία, Ἄννα MN **79** ἐξελιπ., ὅπερ ἦσαν M **82** ἐμβάλλουσα om. B δ' ἔν τ. E **83** αὐτῶν om. B **84** ἀνηρέθισε VBMNH: ἀνερρίπιζε ACE: ἀπορριπιζομένας Theoph. Cont. 90, 11 **83/84** πρὸς τὸ … φίλτρῳ MN **85** ἐγγόνοις VBMN: ἐκγόνοις ACE τὸν alt. om. M **86** δεδώρηται ACEVB: δεδώρηνται MNF **87** οὖν om. M τὰς dittogr. add. V πεύσεις τὰς τούτου M **88** σταθερὸν E τὸ ante φρόν. add. A, τὸ τούτων add. CE παρατρέχων B **89** Πλουχερία V **90** τὸ τῶν ὀπ. πλ. B **91** δή: δὲ B ἁπλᾶ V **92** εἴη ACEVB: ἦν MN

εἰς μανίαν διήγειρε, πρᾶξαι δέ τι τῶν δραστικωτέρων εἰς αὐτὴν ἐκωλύετο τῇ τε πρὸς τὴν γυναῖκα αἰδοῖ καὶ εὐλαβείᾳ, καὶ πλέον, ᾗ ἐκέχρητο παρρησίᾳ εἰργόμενος (καὶ γὰρ ἦν ἀριδήλως ἐπισκώπτουσα τοῦτον καὶ διελέγχουσα ἐπί τε τοῖς καθ' ἡμέραν τῶν ὁμολογητῶν διωγμοῖς καὶ τῇ δηλωθείσῃ αἱρέσει καὶ μόνη μικροῦ φανερὰν ποιοῦσα τὴν πρὸς αὐτὸν τῶν ἁπάντων ἀπέχθειαν), ἐκώλυε δὲ μόνον τὴν πρὸς τὴν Θεοκτίστην τῶν θυγατέρων αὐτοῦ ἄφιξιν. τούτοις παραπλήσια συμβέβηκε καὶ τῇ βασιλίδι Θεοδώρᾳ. ἐτρέφετο παρὰ τοῖς βασιλείοις ἀνδράριον παρακεκομμένον καὶ τῷ | Ὁμηρικῷ Θερσίτῃ παρόμοιον, Δένδερις ὄνομα τούτῳ, ἄσημά τε φθεγγόμενον καὶ γέλωτας κινοῦν καὶ θυμηδίας ἕνεκεν τοῖς βασιλείοις ἐνδιαιτώμενον. τοῦτο γοῦν εἰσπηδῆσάν ποτε κατὰ τὸν τῆς αὐγούστης κοιτωνίσκον θείας εἰκόνας κατέλαβεν αὐτὴν περιπτυσσομένην. ταύτας ἰδὼν οὗτος ὁ παραπαίων τί τε εἰσὶν ἐπυνθάνετο καὶ πλησιαίτερον ἐλθὼν κατεμάνθανεν. ἡ δὲ βασιλίς, 'τὰ καλά μου', ἔφησεν ἀγροικικῶς οὕτως, 'νινία, καὶ ἀγαπῶ ταῦτα πολλά.' εἱστιᾶτο τηνικαῦτα ὁ βασιλεὺς καὶ δὴ πρὸς αὐτὸν διαβάντα τὸν αἰσχρὸν τοῦτον νεανίσκον ἤρετο, ὅποι ποτὲ ἐτύγχανεν ὤν. ὁ δὲ παρὰ τὴν μάνναν ἔφησεν εἶναι, τὴν Θεοδώραν οὕτω καλῶν, καὶ θεάσασθαι ἐν αὐτῇ καλὰ νινία τοῦ προσκεφαλαίου ἐξαίρουσαν. συνῆκεν οὖν ὁ βασιλεὺς καὶ πλήρης ὀργῆς γενόμενος ἐξανέστη τε τῆς τραπέζης καὶ πρὸς αὐτὴν ἀπῆλθεν εὐθὺς ἄλλαις τε πολλαῖς ὕβρεσι πλύνων καὶ εἰδώλων λάτριν ἀκολάστῳ γλώσσῃ ἀποκαλῶν. καὶ ἅμα διεξῄει τοὺς λόγους τοῦ μυσαροῦ. ἡ δὲ τέως μὲν τὸν θυμὸν καταστορεννῦσα τοῦ βασιλέως· 'κακῶς ὑπείληφας,' ἔλεγεν, 'ὦ βασιλεῦ. οὐχ ὡς ὑπώπτευσας ἔχει καὶ ἡ ἀλήθεια. τῷ δὲ κατόπτρῳ μου ἤμην ἐνατενίζουσα μετὰ τῶν θεραπαινίδων, καὶ τὰς κατόπτρῳ μου ἤμην ἐνατενίζουσα μετὰ τῶν θεραπαινίδων, καὶ τὰς τικτομένας ἰδὼν ὁ Δένδερις ἐκ τούτου μορφὰς ἐλθὼν ἀπήγγειλεν ἀφρόνως τὰ μηνυθέντα'. καὶ τὸν μὲν βασιλέως θυμὸν τοῖσδε κατεπράϋνε

7 Hom. B 212. 244. 246

ACEVBMN FH 95 ἐκέκτητο B 1 παρρησίαν E 3 φανερὰ MN 4 πάντων M ἐκώλυε ACE Theoph. Cont. 91, 4: ἐκώλυσε VBMNFH 5 παραπλησίως AEB 6/7 κεκομμένον M 7 Δενδέρης MN 8 γέλωτας VB Theoph. Cont. 91, 14: γέλωτα ACEMNF ἕνεκεν CEVBN: ἕνεκε M: ἕνεκα A 8/9 τοῖς βασιλείοις ACEVBF: τῷ βασιλεῖ MN 10 αὐγούστης VBMN: βασιλίδος ACE κοιτῶνα B 10/11 εἰκόνας — περιπτυσσομένην: εἰκόνας περιπτ. ταύτην κατέλαβε A 12 πλησιαίτερον EVBMN: πλησιαίστερον A: πλησιώτερον C 13 ἀγροίκως B οὕτως ἀγρ. M οὕτως om. B καὶ om. B 15 τοῦτον dittogr. post νεανίαν add. CE ποτὲ: τε V ποτὲ om. B ἐτύγχανον M παρὰ: περὶ A 17 ἐξαίρουσαν EVBF Theoph. Cont. 81, 24: ἐξαίρουσα CMN: ἐξαιρουμν' A ὁ om. B 18 τε om M 19 καταπλύνων E εἰδώλων λάτριν VBMN: εἰδωλολάτριν ACE 19/20 ἀκολ. γλώσσῃ om. ACE (suppl. m. rec.) 21 καταστορνιύσαν (?) B 22 ἔλεγε τῷ βασιλεῖ, 'οὐχ C ὦ βασ. om. B ἔχει: ἔφη B 23 μοῦ post θερ. add. M 24 Δένδερης MN τούτων E ἐκ τούτου dittogr. post ἀπήγγειλε add. AE 24/25 ἀφρόνως — μηνυθέντα VBMN: τὰ μην. ἀφρ. ACE 25 τὸν — βασιλέως VBMN: τὸν μὲν θυμὸν τοῦ βασ. ACE

τοῖς λόγοις, τὸν Δένδεριν δὲ παιδείᾳ καθυπέβαλε πρεπούσῃ, πείσασα μή ποτε λέγειν περὶ τῶν νινίων τινί. διὸ τῆς δεσποίνης κατεπαιρόμενός ποτε ὁ Θεόφιλο; ἠρώτα τὸν Δένδεριν, εἰ πάλιν ἄρα τὰ καλὰ νινία ἡ μάννα ἀσπάζεται. ὁ δὲ | τοῖς χείλεσιν ἐπιθεὶς τὴν δεξιάν· ʽσίγα, σίγα περὶ τῶν νινίων,ʼ ἀντέφησε, ʽβασιλεῦʼ. καὶ ταῦτα μὲν συνεκύρησεν ὧδε.

6. Στρατιώτου δέ τινος χεῖρά τε νεανικὴν καὶ ἵππον ἔχοντος δεξιὸν ὁ στρατηγός, ὑφʼ ὃν οὗτος ἐτέλει, ἔρωτι κατασχεθεὶς τοῦ ἵππου, ὑφʼ οὗ πολλάκις ὁ ἄνθρωπος ἐκ πολέμου ἐρρύσθη, ἐζήτει τοῦτον, καθυπισχνούμενος δώσειν πολλά. ἀπαναινομένου δʼ ἐκείνου καὶ βίαν προσῆγε. μηδʼ οὕτω δὲ πείθων ἀποδοθῆναί οἱ τὸν ἵππον, ἀνανδρίας ἔγκλημα προσάψας εἰς βασιλέα μετεκίνησε τοῦτον ἧς μετῄει στρατείας. ἐγένετο ζήτησις παρὰ Θεοφίλου ἵππου ἀκροφυοῦς καὶ διατάγματα κατεπέμπετο πανταχοῦ, τοιόνδε ἵππον εὑρεθῆναι καὶ πεμφθῆναι αὐτῷ. δραξάμενος ἀφορμῆς ὁ στρατηγὸς ἀφαιρεῖται καὶ ἄκοντος τοῦ ἀνδρὸς τὸν ἵππον καὶ πρὸς βασιλέα ὡς οἰκεῖον ἐκπέμπει κτῆμα. χρείας γενομένης ἐν πολέμῳ πλειόνων στρατιωτῶν, καὶ τοῦ βασιλέως κελεύσαντος ἁπαξαπλῶς πάντα στρατεύεσθαι τὸν ὅπλον κινεῖν δυνάμενον, ἐστρατεύσατο καὶ ὁ ῥηθεὶς στρατιώτης, τροπῆς δὲ γενομένης ἔπεσε, μὴ ἔχων ἵππον σῶσαι τοῦτον δυνάμενον. ἔπεσε δὲ γυναῖκα καταλελοιπὼς καὶ τέκνα. ἥτις τὸ φιλοδίκαιον ἀκούουσα τοῦ βασιλέως, ἐκκαιομένη δὲ καὶ τῷ τοῦ ἀνδρὸς φίλτρῳ, καὶ τοῖς τέκνοις ἐπιχορηγεῖν ἀτονοῦσα τὰ ἀναγκαῖα, τὴν βασιλίδα καταλαμβάνει. καὶ τὸν Θεόφιλον καθʼ ἣν ἡμέραν εἴθιστο ἀπιέναι πρὸς τὸν ἐν Βλαχέρναις θεῖον ναόν, ἔποχον τῷ τοῦ ἀνδρὸς αὐτῆς ἵππῳ κατιδοῦσα, δρόμῳ πολλῷ τὸν χαλινὸν κατέχει τοῦ ἵππου, οἰκεῖον εἶναι τοῦτον λέγουσα, καὶ μὴ ἄλλον τινὰ αἴτιον, ἀλλʼ αὐ|τὸν

cap. 6: Theoph. Cont. 92, 18—94, 18 Pseudo-Codinos: Traité des offices, ed. J. Verpeaux. Paris 1966, p. 170

ACEVBMN F 26 Δένδερην MN 27 μηδέποτε E λέγειν μή ποτε B κατεπαιρόμενός: παρόυ (?) B 28 Θεόφιλος ACEMN: βασιλεὺς VB Δένδερην M 30 ἀντέφησεν B βασιλεῦ om. B 32 νεανικὸν C 34 τοῦ ante πολ. add. E πολέμων B 35 δόσεις πολλάς B ἀναινομ. A 36 μηδʼ οὕτως πείθων B οἱ om. C 37 ἐς βασ. B τοῦτον ἧς ACEMN: τοῦτον τῆς ἣν VB γέγονε B 38 δὲ post ἐγέν. vel γέγ. add. EB 38/39 κατεπέμπετο VMN: καταπέμποντος B: ἐπέμπετο ACE 41 πρὸς βασ.: τῷ βασιλεῖ AB κτῆμα ἐκπ. A κτῆμα om. B δὲ post χρείας add. AE 42 ἐν πολέμῳ om. B 43 κινεῖν: φέρειν B 44 στρατ. καὶ γεν. τροπ. A τὸν post ἵππον add. VBMNF 45 αὐτὸν σῶσαι B τοῦτον ACEMN: αὐτὸν VB ἔπεσε δὲ: τέθνηκε δὲ B 46 ἀκούουσα AEV Theoph. Cont. 93, 16: ἀκούσασα CMNF: μαθοῦσα B ἐκκαιομένη ACEMN: ἐκκεκαιομένη VB 46/47 τῷ — φίλτρῳ: τὸ περὶ τὸν ἄνδρα πάθος B 50 αὐτῆς om. ACE 51 εἶναι τοῦτον ACEVB: τοῦτον εἶναι MN μή τινα αἴτιον ἄλλον B

ὑπάρχειν τὸν βασιλέα τῆς τοῦ ἀνδρὸς ταύτης σφαγῆς. ἐκπλαγεὶς οὖν ὁ βασιλεὺς τέως μὲν αὐτὴν προσμένειν διωρίσατο ἄχρι τῆς ἐπὶ τὰ ἀνάκτορα ἐπανόδου αὐτοῦ, ἤδη δὲ ἐπαναδραμὼν εὐθέως αὐτὴν παρεστήσατο καὶ διεπυνθάνετο σαφέστερόν τι περὶ τῶν λεγομένων μαθεῖν. ἀναλαβοῦσα δὲ ἡ γυνὴ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους διδάσκει τὸν βασιλέα. παρεστήσατο γοῦν εὐθέως τὸν στρατηγὸν καὶ ζήτησιν περὶ τοῦ ἵππου ποιεῖται νεανικήν, τῆς γυναικὸς τέως προστάξει κρυπτομένης βασιλικῇ. ἐνισταμένου δὲ τοῦ στρατηγοῦ οἰκεῖον εἶναι τὸν ἵππον, καὶ μὴ ἐξ ἁρπαγῆς κτηθέντα αὐτῷ, ἐξάγει παραχρῆμα τοῦ παραπετάσματος τὴν γυναῖκα, ἔλεγχον ἀψευδέστατον καὶ κατήγορον τῶν λεγομένων. ἣν ὁ στρατηγὸς θεασάμενος ἀπεπάγη καὶ ἐπὶ πολὺν χρόνον ἵστατο ἐνεός. μόλις δ' οὖν εἰς ἑαυτὸν γενόμενος τῶν ποδῶν ἅπτεται τοῦ βασιλέως μετὰ κλαυθμοῦ καὶ ἱκέτης ἐλεεινὸς γίνεται, τὴν ἁμαρτάδα ἐξαγορεύσας. τί οὖν ὁ βασιλεύς; τὴν μὲν γυναῖκα μετὰ τῶν παίδων ἀδελφοὺς ἐξ ἴσου καὶ κληρονόμους τῆς ἐκείνου δείκνυσιν ὑποστάσεως, αὐτὸν δὲ τῆς ἀρχῆς παραλύει καὶ ὑπερορίᾳ διηνεκεῖ παραδίδωσιν. οὕτω φιλαπεχθήμων ἦν πρὸς τοὺς ἅρπαγας καὶ τοὺς ἐξ ἀδικίας πλουτεῖν ἐθέλοντας.

7. Ἐνέκειτο δὲ καὶ ταῖς οἰκοδομαῖς ὁ αὐτὸς βασιλεὺς καὶ τῶν τειχῶν τῆς πόλεως μεγίστην ἐπεδείξατο ἐπιμέλειαν, τὰ χθαμαλώτερα καταστρέψας καὶ ἀνυψώσας καὶ ἄβατα πεποιηκὼς τοῖς ἐχθροῖς. ἃ καὶ νῦν ἵστανται, τὴν ἐκείνου προσηγορίαν ἐγγεγραμμένην ἔχοντα. οὐ μὴν ἀλλὰ καὶ πόρνας ἀπελάσας ἐξ οἰκημάτων | τινῶν καὶ καθάρας ὅλον ἐκεῖνον τὸν χῶρον ξενῶνα τὴν ἐκείνου φέροντα προσηγορίαν, κάλλει τε κάλλιστον καὶ μέγιστον, κατεσκεύασεν.

8. Οὕτως ἐκεῖνος εἶχε πρὸς τὴν πορνείαν. πλὴν ὅτι γέ φασιν αὐτὸν κάλλει ποτὲ θεραπαινίδος ἁλόντα ὑπηρετούσης τῇ βασιλίδι συμφθα-

cap. 7: Theoph. Cont. 94, 19–95, 7; Zon. III, 364, 1–364, 6 cap. 8: Theoph. Cont. 95, 7–95, 18; Zon. III , 364, 7–364, 12

ACEVBMN F **52** τῆς σφ. τοῦ ἀνδρ. αὐτῆς B **53** μὲν αὐτὸν VM **54** δ' ἐπανελθὼν B εὐθέως: ταχέως A **56** δὲ ACEMN: δ' VB ἀναδιδάσκει VNF **59/60** καὶ μὴ — αὐτῷ om. B **60** κτησθέντα M παραχρῆμα ACEMN: παραυτίκα V: τηνικαῦτα B καταπετάσματος E **60/61** τὸ γύναιον τοῦ παραπ. B **61** ἀψευδέστατον — λεγομένων: ἀκριβέστατον καὶ τῶν λεγ. κατήγ. ἀψευδ. A **62/63** καὶ ἐπὶ — ἐνεός om. B **64** μετὰ κλαυθμοῦ om. B ἁμαρτίαν M **64/65** ἐξαγορεύων B **65** τί γοῦν B **68/69** τοὺς πλουτ. ἐξ ἀδ. ἐθ. B **71** μεγάλην B ἐπεδείξατο: ἐποιήσατο A **73** οὐ: καὶ B **74/75** ὅλον — χῶρον CEMN: ὅλ. τ. χωρ. ἐκ. AV: τ. χωρ. ὅλ. ἐκ. B **75** κάλλει om. B κάλλ. τε B **77** γέ om. VB **78** κάλλος B βασιλίσσῃ E

ρῆναι αὐτῇ, ῥᾳθύμως τότε βιοῦντα. ἐπεὶ δὲ ᾔσθετο ὠλισθηκώς, ἔγνω δὲ καὶ τὴν Θεοδώραν ὅλην γενομένην τοῦ πάθους καὶ κατηφιῶσαν, φασὶν ἐξειπεῖν ἐπομνύμενον καὶ τὰς χεῖρας αἴροντα πρὸς θεόν, ἦ μὴν τότε μόνον διολισθῆναι καὶ συγγνώμην αἰτεῖν παρὰ τῆς ἑαυτοῦ γυναικός. κατεσκεύασε δὲ καὶ ἀνάκτορα ταῖς ἑαυτοῦ θυγατράσι παρὰ τὸν οὕτω καλούμενον χῶρον τὰ Καριανοῦ, ὧν καὶ ἐς ἡμᾶς τῷ χρόνῳ κατεργασθέντων λείψανα περισῴζονται.

9. Βουλόμενος δὲ καὶ τοῖς Σαρακηνοῖς τὴν τῆς βασιλείας δύναμιν ποιήσασθαι κατάδηλον, εἴτε δὴ κοινωνοὺς τῆς εὐφροσύνης λαμβάνων, εἴτε καὶ φοβερὸς αὐτοῖς βουλόμενος ἔσεσθαι, Ἰωάννην τὸν σύγκελλον διδάσκαλον αὐτοῦ πρὶν χρηματίσαντα, πολιτικῆς εὐταξίας ἄνδρα πεπληρωμένον καὶ τῇ αὐτοῦ αἱρέσει κατειλημμένον καὶ πρὸς τοὺς ἀντιρρητικοὺς λόγους δεινότατον, πρὸς τὸν τῆς Συρίας ἄρχοντα ἀποστέλλει, ἄλλα τε δοὺς αὐτῷ πολλά, οἷς θαυμάζεται βασιλεία Ῥωμαίων καὶ τὸ τῶν ἀλλοεθνῶν γένος ἐκπλήσσεται, προσεπιδοὺς δὲ καὶ χρυσίου κεντηνάρια τεσσαράκοντα. ἀλλὰ τὰ μὲν ἄλλα τῶν εἰδῶν τῷ ἀμερμουμνῇ ὡς δῶρα πέπομφε, τὸ χρυσίον δέ, ὅπως εἴη αὐτῷ παροχὴ τῆς φιλοτιμίας χάριν ἐπιδείξεως. εἰ γὰρ ἄμμου δίκην ὁ ἀποσταλεὶς τὸ χρυσίον ἔχει σκεδάζειν, ὡς βούλεται, πολλῷ δήπουθεν μᾶλλον ὁ ἀποστείλας θαυμάζεσθαι ἄξιος. δέδωκε δὲ καὶ σκεύη πρὸς τούτοις δύο ἐκ χρυσοῦ τε καὶ λίθων πολυτελῶν κατεσκευασμένα, ἅπερ ἡ κοινολεξία καλεῖ χερνιβόξεστα, πάντοθεν ἐξαίρων τὸν αὐτοῦ καὶ κοσμῶν πρεσβευτήν. ὃς δὴ ἀφικόμενος πρὸς τὴν Βαβυλῶνα, Βαγδὰ νῦν ὀνομαζομένην, πολὺς μὲν ἐφαίνετο ἐκ τῆς τοῦ λόγου εὐροίας, πολὺς δὲ καὶ ἐκ τοῦ ἔξωθεν αὐτῷ ἐπανθοῦντος πλούτου, οὐ μικρά τινα τοῖς ἀποστελλομένοις ὡς αὐτὸν καὶ φοιτῶσι διδούς, μεγάλα δὲ καὶ τῷ βασιλεῖ Ῥωμαίων προσήκοντα. ἐθαυμάζετό τε παρὰ τῶν Σαρακηνῶν καὶ ἐπὶ μέγα ἐξῄρετο. ἀλλὰ ταῦτα μὲν ἐγίνετο τῶν βαρβαρικῶν ὁρίων ἐπιβάντος αὐτοῦ. ἐπεὶ δὲ πλησιάσοι

86 non multum post mens. Oct. a. 829

cap. 9: Theoph. Cont. 95, 18—99, 3; Zon. III, 361, 12—363, 18

ACEVBMN F **82** διολισθῆναι VMN: διολισθῆσαι ACEB **83** παρεσκεύασε B περὶ C **84/85** ὧν τῶν χρόνων κατεργ. λείψ. εἰς ἡμ. περισῴζ. B **86/87** δύναμιν ποιήσασθαι ACEMN: ποιήσ. δύν. VB **87** ποιήσεσθαι A **89** χρηματ. πρίν M **90** τοὺς om. EB **91** δυνατώτατον B στέλλει B **92** ἄλλα τα VN **93** ἀλλοεθνῶν: ἐθνῶν B γένος: ἔθνος E δὲ om. CEMNF (sed cf. Theoph. Cont. 96, 7) **94** ἄλλα om. B **95** αὐτῷ om. E παροχὴ τῆς VBMN: παροχή τις ACE **3** πρὸς τούτοις post δέδ. δὲ EB χρυσίου B **4** πολυτελῶν om. C **5** τὸν ἑαυτοῦ E πρεσβ. ante καὶ κοσμ. B **6** Βαγδὰ ACEB: Βάνδα V: Βαγδὰν MN δὲ add. post Βαγδὰ E πολὺς: πολλάκις B **7** τοῦ post ἐκ pr. add. B καὶ om. B **7/8** αὐτῷ ἐπανθοῦντος ACEMN: ἐπανθ. αὐτῷ VB **8** εἰς αὐτὸν EB **9** τῇ βασιλείᾳ B προσήκατο C **10** τε: τότε A **11** ἐπιβάντος ACEVB: ὑπερβάντος MN

καὶ τῷ ἄρχοντι καὶ τοὺς ἐκ βασιλέως δεδώκει λόγους, ἄπεισι πρὸς τὸ τῆς ἀναπαύσεως καταγώγιον. ἐνταῦθα τὸ ἑαυτοῦ διέδειξε μεγαλόφρον καὶ πρὸς ἅπαντα δεξιόν. ἐξαίρων γὰρ τὰ Ῥωμαίων πράγματα καὶ μεγαλύνων τοῖς ἐφ' οἱᾳδήποτε αἰτίᾳ πρὸς | αὐτὸν φοιτῶσι καὶ πεμπομένοις μεγάλῃ τε καὶ μικρᾷ σκεῦός τι ἀργύρεον χρυσίου πληρῶν ἐπεδίδου. καί ποτε δὲ τοῖς βαρβάροις συνεστιώμενος τῶν εἰρημένων δύο πολυτελῶν ἐκείνων σκευῶν παρήγγειλε τοῖς διακόνοις ἑκουσίως ἀπολέσαι τὸ ἕτερον. ὡς δὲ θροῦς τις οὐκ ἀγεννὴς ἐπὶ τῇ τούτου ἀπωλείᾳ ἐγένετο καὶ πάντες οἱ βάρβαροι τῷ κάλλει τοῦ σκεύους ἐκπεπληγμένοι ἐτέτρωντο τὴν ψυχὴν καὶ πολλὴν ἐποιοῦντο ἔρευναν καὶ ζήτησιν, ὥστε τὸ κλαπὲν εὑρεθῆναι, τηνικαῦτα οὗτος τὸ ἕτερον ἐκβαλεῖν κελεύσας, καὶ τὸ ἀπολωλὸς ἐᾶν φθείρεσθαι ἐπειπών, εἰς θάμβος ἤγαγε τοὺς Σαρακηνούς, τὴν τοιαύτην ζήτησιν ὁμαλῶς καταπαύσας. οὐ μὴν ἀλλὰ καὶ ὁ τῶν Ἀράβων ἄρχων ἀντιφιλοτιμούμενος καὶ τούτου δεύτερος ὀφθῆναι μὴ βουλόμενος ἄλλοις τε δώροις αὐτὸν ἐθεράπευεν, οἷς αὐτὸς οὐχ ἡλίσκετο, ἀλλ' ὡς χοῦν κατὰ πρόσωπον αὐτοῦ ἀπερρίπτει, ἐδωρήσατο δὲ καὶ αἰχμαλώτους ἑκατόν, ἄρτι τῆς φρουρᾶς τούτους ἐξαγαγὼν καὶ ἀμφιάσεσιν εὐπρεπέσι κοσμήσας, τὰ πενθικὰ τῆς αἰχμαλωσίας ῥάκη περιελών. ἀλλὰ καὶ οὕτως ὁ Ἰωάννης ἐπῄνει μὲν τὸ μεγαλόδωρον τοῦ διδόντος, ἐλάμβανε δὲ οὐδαμῶς, εἰπὼν ἐν ἀνέσει μένειν τέως καὶ ἐλευθερίᾳ παρ' ἑαυτοῖς τοὺς ἄνδρας, μέχρις ἂν πρέπουσαν τὴν ἀντισήκωσιν ἐξεργάσηται καὶ ἄλλους αἰχμαλώτους ἀντιδῷ Σαρακηνοὺς ἐν ταῖς Ῥωμαϊκαῖς κατεχομένους φρουραῖς ἰσαρίθμους αὐτοῖς. τούτοις ἐξέπληττε τὸν Σαρακηνόν. καὶ οὐκέθ' ὡς ξένον, ἀλλ' ὡς οἰκεῖον ἦγεν αὐτόν, συνεχῶς μετακαλούμενος καὶ θησαυροὺς τοὺς οἰκείους ἐπιδεικνὺς καὶ τὰ τῶν οἰκημάτων κάλλη. καὶ ἐτίμα τοῦτον διαφερόντως ἄχρι τῆς ἐς Ῥωμαίους ἐπανόδου. ἐπανελθὼν οὖν πρὸς Θεόφιλον ὁ Ἰωάννης καὶ τὰ κατὰ Συρίαν διεξιὼν ἔπεισε τὸν βασιλέα τὰ τοῦ Βρύαντος ἀνάκτορα πρὸς τὴν τῶν Σαρακηνικῶν

39 a. 836

ACEVBMN F **13** κἀνταῦθα B ἑαυτοῦ VBMN: οἰκεῖον ACE ἔδειξε B **14** ἅπαντα ACEV: ἅπαντας BMN Ῥωμαίων ACEVB: Ῥωμαϊκὰ MN **15** οἱδήποτε B πρὸς ACE Theoph. Cont. 97, 9: ὡς VMNF: εἰς B καὶ πεμπομ. om. B πεμπομένοις: γενομένοις M **16** σμικρᾷ A χρυσίου om. M **17** δὲ ACVMN: δὴ B: om. E **18** ἐκείνων om. VB ἑκουσ. om. ACEMNF (sed cf. Theoph. Cont. 97, 13) **19** οὐκ om. C οὐκ ἀγενν. om. B ἐγένετο: ἠγέρθη A **20** τῷ τοῦ σκ. κάλλ. A ἐμπεπληγμένοι M ἐτέτρωτο E **21** ἐποίουν N τὸ κλαπέν: κατακλαπὲν M **24** ἀλλὰ om. B Ἀγαρηνῶν B **24/25** ἄρχων ἀντιφιλοτιμούμενος ACEMN: ἀντιφιλ. ἀρχ. VB **25** βουλόμενος: ἀνεχόμενος B **26** τε: τισὶ MN αὐτὸς om. B **27** κατὰ πρόσ. αὐτοῦ om. B **28** φρουρᾶς ACEMN: φυλακῆς VB ἀμφιάσμασιν C **29** κοσμήσας VBMN: κατακοσμήσας ACEF τὰ πενθ. — περιελὼν om. B πενθηρὰ C τε post πενθ. add. A **33/34** ἄλλους ἀντιδῷ αἰχμ. Σ. κατεχ. ἐν Ῥωμ. φρ. B **33** Σ. ἀντιδῷ ταῖς Ῥωμ. A **34** ἐξέπλ. τούτοις B **37** εἰς M **38** τὸν ante Θεόφ. add. E **39** Σαρακηνῶν B

οἰκημάτων κατασκευασθῆναι ὁμοίωσιν, σχήματί τε καὶ ποικιλίᾳ μηδὲν ἐκείνων τὸ σύνολον ἀποδέοντα, ἐκείνου τούτοις ἐφισταμένου καὶ τῇ οἰκοδομῇ ἀρχιτεκτονοῦντος. ἔπεισε τὸν βασιλέα καὶ τὰ ἔργα ἐπερατοῦντο κατὰ τὴν Ἰωάννου ἐξήγησιν, ἑνὸς μόνου κατὰ προσθήκην ἐργασθέντος τοῦ ἀνεγερθέντος εἰς ὄνομα τῆς θεοτόκου ναοῦ κατ' αὐτὸν τὸν κοιτῶνα. ἐδομήθη δὲ κατὰ τὸ προαύλιον τῶν τοιούτων παλατίων τρίκογχος ναὸς κάλλει τε κάλλιστος καὶ μεγέθει πολλῶν διαφέρων, οὗ τὸ μὲν μέσον εἰς ὄνομα γέγονε τοῦ ἀρχιστρατήγου Μιχαήλ, τὰ δὲ κάτωθεν τούτου εἰς μαρτύρων γυναικῶν ἁγίων ὀνόματα.

10. Καὶ περὶ μὲν τὰ τοιαῦτα ἐδόκει τε καὶ ἐνομίζετο μεγαλοπρεπής τε καὶ θαυμαστός, περὶ δὲ τοὺς τὰς θείας καὶ ἀχράντους προσκυνοῦντας εἰκόνας λίαν βαρύς τις καὶ αὐστηρὸς καὶ πάντας τοὺς πρὸ αὐτοῦ τυράννους ὠμότητι παρελάσαι φιλο|νεικῶν. οἱ μὲν γὰρ προλαβόντες Λέων τε ἦσαν καὶ Μιχαὴλ ὁ τούτου πατὴρ ὁ τραυλός. ὁ μὲν ἐθέσπισε μή τινι τῶν γεγραμμένων εἰκόνων, κἂν που γραφόμεναι τύχοιεν, τὴν ἅγιος φωνὴν ἐγχαράττεσθαι ὡς οὐκ ἄλλῳ τινὶ τῆς τοιαύτης ἁρμοζούσης φωνῆς ἢ μόνῳ τῷ θείῳ, οὐκ εὐστόχως βαλὼν τῷ νοΐ. τῆς γὰρ θεὸς φωνῆς τοῖς ἀνθρώποις μεταδοὺς ὁ θεὸς ὑψηλοτέρας οὔσης παρὰ τὸ ἅγιος πρόσρημα, ταπεινοτέρας οὔσης τῆς ἅγιος κατὰ πολύ, οὐκ ἂν τούτους ἀποστερήσειε. πλὴν τοῦτο μὲν οὗτος ἐθέσπισεν, ὁ πρὸ αὐτοῦ δέ, ὁ Λέων, τὸ μηδὲ προσκυνεῖσθαι ὅλως αὐτάς, Θεόφιλος δὲ τὸ μηδὲ χρώμασι ταύτας μορφοῦσθαι. χαμαίζηλον γὰρ τὸ πρὸς τὰ τοιαῦτα ἐπτοῆσθαι, μόνην δὲ σκοπεῖν τὴν ἀλήθειαν. καθῃροῦντο μὲν οὖν ἐντεῦθεν κατὰ πᾶσαν ἐκκλησίαν αἱ θεῖαι μορφαί, θηρία δὲ καὶ ὄρνιθες ἀντὶ τούτων ἀνεστηλοῦντο,

60 fortasse a. 832

---

cap. 10: Theoph. Cont. 99, 4—106, 11; Zon. III, 364, 12—366, 15

ACEVBMN F **40** σχήματος B μηδενὶ E **41** τῶν ante ἐκείν. add. MN **42** ἔπεισε τὸν βασ. om. B ἐπερατοῦντο VB: ἐπερατοῦτο ACEMNF **43** Ἰωάννου VN: ἐκείνου ACEBM τοῦ Ἰωάννου post ἐξήγ. add. M ἀπεργασθέντος A **46** μὲν om. M **47** τὰ VBMN: τὸ ACE δὲ κάτωθεν: δ' ἑκατέρωθεν B **48** γυν. μαρτ. B ἁγίων om. VB **49** τε καὶ ἐνομίζ. om. EB **50** θείας καὶ ἀχράντους: σεπτὰς B καὶ ἀχράντους om. ACE **50/51** εἰκ. προσκ. B **51** τις: τε E αὐξηρὸς N καὶ alt. om. M **52** ὠμοτάτως B παρελάσαι: νικῆσαι A τε: δὲ A **53** ἦσαν om. VB ὁ τρ. post Μιχ. AV ὁ τρ. om. B **54** γραφησόμεναι B τύχοιε C ἅγιος VBMN: ἁγίαν ACE **56/57** τοῖς γὰρ ἀνθρ. τῆς θεὸς φων. μεταδοὺς A **57** μεταδιδοὺς τοῖς ἀνθρ. B ὁ θεὸς post πρόσρ. A περὶ C **58** τούτους ACVBN: τούτοις E: τοῦτο M **59** οὗτος ACEVN: οὕτως M: ἐκεῖνος B **61** μηδὲ post γὰρ τὸ (τῷ C) add. ACE ἔλεγεν post τοιαῦτα add. B **62** οὖν om. B ἐνταῦθα M

τὴν τούτου θηριώδη καὶ ἀνδραποδώδη ἄνοιαν ἐξελέγχοντα. ἐντεῦθεν βεβήλοις χερσὶ τὰ ἅγια καὶ ἱερὰ κειμήλια ἐπὶ τῆς ἀγορᾶς ἐρριπτοῦντο καὶ ἐφυβρίζοντο. ἐντεῦθεν τὰ τῶν κακούργων ἐπληροῦτο δεσμωτήρια τῶν διὰ τιμῆς ἀγόντων τὰς θείας μορφάς, μοναζόντων, ἐπισκόπων, ποιμαινομένων, καὶ τῶν γραφόντων αὐτῶν. πλήρη δὲ καὶ τὰ ὄρη καὶ σπήλαια τῶν ὡς κακούργων λιμῷ ἀναιρεθέντων καὶ δίψει. ἀβάτους γὰρ τηρεῖσθαι τοῖς μοναχοῖς τὰς πόλεις ἐγκελευσάμενος καὶ πάντα τρόπον αὐτοὺς ἀπελαύνεσθαι θεσπίσας, μᾶλλον δὲ μηδὲ κατὰ χώραν ὁρᾶσθαι τολμᾶν, εἰργά|σατο τὰ μοναστήρια καὶ ἡσυχαστήρια περιφανῆ πολυάνδρια, τῶν ἱερῶν ἀνδρῶν προδοῦναι τὴν ἀρετὴν καὶ τὸ ἱερὸν ἔνδυμα μὴ βουλομένων, λιμῷ δὲ καὶ κακουχίαις προαιρουμένων τὴν ζωὴν καταστρέφειν, ἐνίων δὲ περιβολῆς κατολιγωρούντων καὶ παρὰ τοῦτο ἀπολλυμένων. πολλοὶ δὲ καὶ τῶν ῥᾳθυμότερον διαζώντων τὸν ἄνετον καὶ ἐκλελυμένον ἠσπάσαντο βίον, ὕμνων θείων καὶ ᾠδῶν καὶ αὐτοῦ τοῦ σχήματος ἀφειδήσαντες. καὶ γὰρ οὐδὲ τούτους τελεῖσθαι τοὺς συλλόγους ὁ τύραννος συνεχώρησεν, οἳ πολλάκις καὶ μόνοι δύνανται τηρεῖν καὶ οἷον χαλινός τις εἶναι τοῖς πρὸς τὰ πάθη ἀτάκτως κατολισθαίνουσι. πλὴν οὐ παντάπασι τῶν ἀνθρώπων οὐδὲ τότε τὸ παρρησιαστικὸν καὶ ἐλευθέριον ἀπεφοίτησεν, ἀλλά τινες τῶν θερμοτέρων, πολλοὶ μὲν καὶ καθ' ἕκαστον, τινὲς δὲ καὶ κατὰ συστάδην, ὥσπερ οἱ τῆς τῶν Ἀβραμιτῶν ὁρμώμενοι μονῆς μοναχοί, μετὰ παρρησίας ὀφθέντες αὐτῷ λογικῶς ἔκ τε τῶν τοῖς ἁγίοις πατράσιν ἡμῶν εἰρημένων, Διονυσίῳ τῷ μεγάλῳ, Ἱεροθέῳ καὶ Εἰρηναίῳ, ἀπεδείκνυσαν, ὡς οὐ χθὲς καὶ πρῴην ἡ τῶν μοναχῶν πολιτεία τε ἐφεύρηται καὶ κατάστασις, παλαιὰ δέ τις καὶ ἀρχέγονος. οὐ μὴν δὲ ἀλλὰ καὶ τὰ τῶν θείων εἰκόνων μορφώματα ἀπεδείκνυον σύντροφά τε τοῖς ἀποστόλοις καὶ ὁμοδίαιτα, εἴγε Λουκᾶς μὲν ὁ θεῖος ἀπόστολος τὴν τῆς θεοτόκου μορφὴν ἀνετύπωσεν, αὐτὸς δὲ Χριστὸς ὁ δεσπότης ἡμῶν καὶ θεὸς τὴν ἑαυτοῦ ἐπί τινος ὀθόνης ἀπομαξάμενος ἀχειρότευκτον ἡμῖν καταλέλοιπεν. οὗτοι γοῦν οἱ θειότατοι ἄνδρες τὴν τοῦ τυράννου ἄνοιαν | ἐξελέγξαντες, καὶ τὴν θηριωδίαν τῷ σφόδρα

ACEVBMN F 64 τούτων E θηριώδη VBMN: θηριωδίαν ACE ἀνδραπώδη B 65 χερσὶν ἐπὶ τ. ἀγ. τὰ ἱερὰ κειμ. ἐρρ. (ἐρρ. κειμ. B) VB 66 ὑβρίζοντο B ἐπληροῦντο CN 68 αὐτὰς B 70 τὰς πόλ. τοῖς μον. VBMNF (sed cf. Theoph. Cont. 100, 10) 71 μηδὲ om. M 73/74 μὴ βουλομένων: ἀνασχομένων B 74 καὶ κακουχίαις: ὡς κακούργων B 74/75 προαιρ. post καταστρ. A 75 ἐν. δὲ καὶ παραβολῇ B περὶ C 76 ῥᾳθυμοτέρων B 78 τούτου τελ. B 79 συνεχώρει A μόνον B 80 ἀτάκτως ACEVB: ἀλόγως MNF 81 οὐδὲ τότε (τότε καὶ om. E) post παρρ. ACE 82 τινος C 82/83 καθ' ἕνα B 83 τινὲς δὲ: πολλοὶ δὲ B ὥσπερ οἱ τῆς: ὥσπερ τινὲς τῶν B 84 μονῆς om. B μοναχοὶ μονῆς E 85 ἡμῖν E 86 ἡ om. B 87 τε om. M ἐφεύρ. πολ. τε B ἐστι post τίς add. B 88 ἀλλὰ om. B εἰκόνων om. ACE 89 σύντροφα: σύγχρονα B ὁμοδίαιτα: ἀρχαιότατα B 90 ἀπετύπωσεν B ὁ ante Χρ. add. ACEB 91 ὁ δεσπ. ἡμ. om. A 93 ἔννοιαν C ἐξελέγξαντες ACEVB: ἐξέλεγξαν MN: ἐξήλεγξαν F θηριώδη B

παρρησιασθῆναι ἐκκαλεσάμενοι μετὰ πολλὰς αἰκίας τε καὶ βασάνους τῆς πόλεως ἐξωρίσθησαν, τὸν δὲ τοῦ προδρόμου θεῖον ναόν τὸν οὕτω καλούμενον τοῦ Φοβεροῦ κἀν τῷ Εὐξείνῳ διακείμενον πόντῳ καταλαβόντες καὶ ταῖς ἐκ τῶν μαστίγων πληγαῖς τελέως καταπονηθέντες τῆς ἄνω λήξεως ἠξιώθησαν. ὧν καὶ τὰ τίμια σώματα ἄταφα ἐρριμμένα εἰς τοὔδαφος σῶα ἐπὶ πλεῖστον διετηρήθησαν χρόνον, μέχρις ὅτου πιστοί τινες ἀνελόμενοι ταῦτα ἐκήδευσάν τε καὶ καταλλήλως ἐτίμησαν τοῖς ὑπὲρ Χριστοῦ τοῦ θεοῦ μαρτυρήσασιν. ἐφάμιλλα τούτοις καὶ ἀδελφὰ καί τις μοναχὸς ἕτερος ἐπεδείξατο, πρὸς ἀρχὴν ἱερωσύνης ἄρτι ἀναδραμών· ζήλου γὰρ θείου πλησθεὶς κατὰ πρόσωπον ἔστη τοῦ τυράννου καὶ ἄλλα μὲν διεξιὼν οὐκ ὀλίγα καὶ τὸ τοῦ ἀποστόλου δὲ Παύλου ῥητὸν τοῦτο δὴ τὸ φάσκον· 'εἴ τις ὑμῖν εὐαγγελίζεται, παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.' ἀλλὰ καὶ τούτῳ πληγὰς ἐπιθεὶς οὐκ ὀλίγας, ἐπεὶ σταθηρότερος ἔδοξεν ἐν τῇ διαλέξει, πρὸς τὸν Ἰαννῆν ἐξαπεστέλλετο, καθηγητὴν τοῦ τυράννου γεγονότα καὶ διδάσκαλον, διαλεκτικαῖς ἀποδείξεσι τοῦτον πεῖσαι ἐγκελευσάμενος. ἀλλὰ καὶ τοῦτον ὁ γενναῖος ἀγωνιστὴς οὐ σοφιστικαῖς ἢ διαλεκτικαῖς ἀποδείξεσιν, ἀποστολικοῖς δὲ καὶ εὐαγγελικοῖς ῥήμασιν ἀφωνότερον ἰχθύων ἀπέδειξε. καὶ τότε μὲν οὐκ ὀλίγας πάλιν λαβὼν ἐξοστρακίζεται, ὕστερον δὲ τῷ μεγάλῳ συστὰς Ἰγνατίῳ καὶ χρόνον τινὰ συνδιατρίψας αὐτῷ καὶ | περὶ τῶν μελλόντων ἀναδιδάξας βασιλέων (ἦν γὰρ καὶ προορατικοῦ ἠξιωμένος χαρίσματος) πρὸς κύριον ἐξεδήμησε. ταῖς δὲ θείαις εἰκόσιν ὁ τύραννος ἀπεχθανόμενος ἔσπευδε πάντας ζωγράφους ἐξ ἀνθρώπων ποιεῖν, ἢ τὸ ζῆν αἱρουμένους ἐμπτύειν τε ταύταις καὶ ὡς βέβηλά τινα ἐπ' ἐδάφους καταπατεῖν. πρὸς τοῖς ἄλλοις δὲ συγκατεσχέθη καὶ ὁ μοναχὸς Λάζαρος, περιβόητος τηνικαῦτα κατὰ τὴν ζωγραφικὴν ὑπάρχων τέχνην. καὶ πρότερον μὲν ὁ θεομάχος θωπείαις αὐτὸν ἐπειρᾶτο ὑποποιεῖσθαι. ὡς δὲ κρείττονα τοῦτον ἑώρα κολακείας ἁπάσης, πρὸς τὴν σύντροφον ἀπεῖδε βίαν καὶ τοσοῦτον αὐτὸν ταῖς

10/11 Gal. 1, 9 **16** ἀφωνότερον ἰχθύων: prov., fons mitri ignotus: cf. ἀφωνότερος κίχλης Mac. 5, 45

ACEVBMN F **94** ἐγκαλεσάμενοι M **95** τὸν δ' ἱερὸν τ. προδρ. ναὸν B **1** Εὐξείνου C πόντῳ ACEVB: πόντον MN **2** τελείως AC (Theoph. Cont. 101, 17 cod. V om. τελείως καταπονηθέντες, quod habet Bekker) **4** μέχρι B ὅτου om. B **5** τε om. VBMNF (sed cf. Theoph. Cont. 101, 21) **6** ἡμῶν post θεοῦ add. B **9** τὸ om. B **10** τοῦτο δὴ om. M **11** ἀνάθεμά ἐστιν B ἐπεὶ ACEVBF: ἐπειδὴ MN σταθηρότερα C **12** Ἰαννὴν ACEBM **13/14** διαλεκτικαῖς — ἐγκελευσάμενος: ὡς ἂν διαλ. τοῦτον πείσῃ ταῖς ἀποδ. B **14** ἐγκελ. πεῖσαι M **15** ἀποδεικτικαῖς διαλέξεσιν A ἀποστολικαῖς B **17** ἐξοστρακίζεται VBMN: ἐξωστρακίζεται E: ἐξωστρακίζετο AC πάλιν post μεγ. add. ACE **18** ἀναδιδάξας: προειπὼν B **21** ποιεῖν VBMN: ἀφανίσαι ACE ἐμπτύειν: ἐμπίπτειν B **23** ὁ om. AE κατὰ VBMN: διὰ CE: om. A **24** ζωγραφικὴν — τέχνην: ζωγρ. τέχν. ὢν A ὑπάρχων: τυγχάνων B **25** ἐπεπειρᾶτο E

βασάνοις κατῄκισεν, ὡς μηδὲ περιγενέσθαι ἐκ τούτων νομίζεσθαι, καὶ οὕτως ἔχοντα πονήρως τοῦ σώματος δεσμωτηρίῳ καθείργνυσιν. ἐπεὶ δὲ ἐπύθετο, ὡς ἀναρραΐσας αὖθις ἀναστηλοῖ τὰς θείας μορφάς, ἐκέλευσε πέταλα σιδηρᾶ ἀπανθρακώσαντας ταῖς παλάμαις αὐτοῦ ἐπιτεθῆναι. ἐβόσκετο οὖν τὸ πῦρ τὰς σάρκας, ἄχρι ποτὲ ἀπαγορεύσας ὁ ἀθλητὴς ἔκειτο ἡμιθνής. ἀλλ' ἔδει τοῦτον ὑπὸ τῆς θείας χάριτος διατηρεῖσθαι καὶ τοῖς ὕστερον ἔναυσμα, ὅθεν ὁ τύραννος, ἐπειδὴ τὰ τελευταῖα πνεῖν τὸν θεσπέσιον ἀνεμάνθανεν, ἱκεσίαις τῆς δεσποίνης καί τινων ἄλλων γνησιωτάτων αὐτῷ ἀπολύεται τῆς εἱρκτῆς καὶ πρὸς τὸν ναὸν τοῦ προδρόμου τὸν οὕτω καλούμενον τοῦ Φοβεροῦ ἐναπεκρύβη, καὶ οὕτως, ὡς εἶχε πληγῶν, εἰκόνα διετύπωσε τοῦ προδρόμου μέχρι πολλοῦ διασῳζομένην καὶ ἰάσεις ἐπιτελοῦσαν. καὶ ταῦτα μὲν τότε, μετὰ δὲ τὴν τοῦ τυράννου κατάλυσιν τῆς | ὀρθοδοξίας ἀναλαμψάσης τὴν ἐν τῇ Χαλκῇ εἰκόνα τοῦ θεανθρώπου Ἰησοῦ Χριστοῦ οἰκείαις χερσὶν ἀνεστήλωσεν. οὗτος ὁ μακαρίτης Λάζαρος παρακαλούμενος ὑπὸ τῆς θαυμαστῆς Θεοδώρας τῆς βασιλίδος συγγνώμην δοῦναί τε καὶ αἰτήσασθαι τῷ ταύτης ἀνδρί· 'οὐκ ἄδικος', ἔφη, 'ὁ θεός, ὦ βασίλεια, ἐπιλαθέσθαι τῆς ἡμῶν ἀγάπης καὶ τῶν πρὸς αὐτὸν κόπων, ἐκείνου δὲ τὸ μῖσος προτιμῆσαι καὶ τὴν ὑπερβάλλουσαν μανίαν.' ἀλλὰ ταῦτα μὲν ὕστερον. ὁ δὲ μιαρὸς τύραννος τὸν ὁμολογητὴν Θεοφάνην καὶ Θεόδωρον τὸν αὐτοῦ ἀδελφόν, ἐπὶ σοφίᾳ διαφέροντας εἰδὼς τῶν πολλῶν κατὰ τὸν τοῦ Λαυσιακοῦ τρίκλινον παρεστήσατο δημοσίᾳ διαλεξομένους περὶ τῆς πίστεως. καὶ 'ἄγε δή', φησίν, 'ὑμεῖς, ὦ κατάρατοι, τίσι πειθόμενοι ῥήσεσι τῆς γραφῆς τὰ εἴδωλα', τὰς ἁγίας εἰκόνας ἀκολάστῳ γνώμῃ καὶ γλώττῃ καλῶν οὕτω, 'προσκυνεῖτε καὶ τοὺς πολλοὺς καὶ ἀκεραίους οὕτω ποιεῖν ἀναπείθετε;' προσετίθει δὲ καὶ ἄλλ' ἄττα βλάσφημα καὶ ἀπηχῆ κατὰ τῆς εἰκόνος Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναιδεστέρᾳ φωνῇ. οἱ δὲ μακάριοι· 'ἐμφραχθείη τὸ στόμα,' εἶπον, 'τὸ λαλοῦν κατὰ τοῦ θεοῦ ἀνομίαν.' ὁ δὲ κρύπτει μὲν τέως τὴν λεοντῆν, τὴν δὲ ἀλωπεκῆν ὑποκρίνεται, καὶ χρήσεις προφητικὰς ἀπῄτει καὶ

53 cf. Ps. 30, 19 et 106, 42 54 ὁ δὲ . . . ὑποκρίνεται: cf. Plut. Lys. 7; Zenob. 1, 93; Greg. Cypr. cod. Mosq. 1, 83; Apost. 4, 19a; cf. etiam Mac. 8, 16

ACEVBMN F 28 δὲ ACEVB: δ' MN 29 ῥαΐσας E θείας om. B θείας μορφάς: εἰκόνας M 30 ἐπιθεῖναι B 31 αὐτοῦ post σάρκας add. B 32 ἡμιθανής BM 33 ἔνασμα AB 33/34 τὸν θεσπ. πνεῖν B ἐμάνθανε τὸν θεσπ. A 35 αὐτῷ om. E ἀπολύει B εἱρκτῆς: ἀρχῆς A ὃς ante πρὸς τὸν add. B 36 ὑπεκρύβη, ἔνθα οὕτως B 37 διετύπωσε ACEMN: ἐτύπωσε VB 40/41 χερσὶν οὗτος ὁ μακ. Λ. ἀνεστ. παρακαλ. δὲ ὑπὸ B 42 βασιλίσσης A 43 ὦ βασ. ὁ θεὸς A βασίλισσα B 43/44 τῶν πρὸς αὐτὸν κόπων: τῶν δι' αὐτῶν πόνων B 46 τὸν αὐτάδελφον αὐτοῦ B 47 διαφέροντας (διαφέροντα C) ἰδὼς ACEMN: διαφ. τῶν (τῶν om. B) πολλῶν εἰδὼς VB τὸν τοῦ Λαυσιακοῦ VMN: τὸν Λαυσιακὸν ιACEB 48 διαλεξομένους ACEVF Theoph. Cont. 104, 6: διαλεξαμένους BMN 49 ῥήσεσι om. E 50 οὕτως post εἰκόνας B γλώσσῃ καὶ γνώμῃ B γλώττῃ VMNF Theoph. Cont. 104, 9 cod. V: γλώσσῃ ACEB 51 ποιεῖν: φρονεῖν A 51/52 προσετέθει τε καὶ M 52 ἄλλα τὰ C 53 ἐμφραγείη A 54 τέως: εὐθέως B

μαρτυρίας τὰς εἰκόνας προσκυνεῖσθαι ἐπιτρεπούσας. θατέρου δὲ τῶν ἀδελφῶν τοῦ μακαρίτου Θεοφάνους ῥῆσίν τινα ἐκ τῆς τοῦ Ἡσαΐου προφέροντος προφητείας, οὐκ ἔχειν οὕτως | ταύτην ἀντέλεγεν ὁ Θεόφιλος, καὶ ἅμα τὴν ἑαυτοῦ βίβλον ἀνελίττων ἐδείκνυ τάχα τοὺς λόγους πιστούς. ὡς δὲ νενοθεῦσθαι ὑπ' αὐτοῦ δὴ ταύτην οὐ μόνον ὁ ἅγιος ἐπεβόα, ἀλλὰ καὶ πάσας τὰς ὅσαι εἰς τὴν αὐτοῦ ἐλθοῦσαι ἔτυχον χεῖρα, ἐκείνην ἔλεγε προτιθεὶς ἰέναι πρὸς αὐτὸν τὴν βίβλον τὴν κατὰ τὴν πατριαρχικὴν ἐν τῷ Θωμαΐτῃ κατὰ τήνδε τὴν θέσιν κειμένην βιβλιοθήκην εἰς πίστωσιν τῶν λεγομένων. ἐπεὶ γοῦν ἀπέσταλτό τις, καὶ θᾶττον ἢ λόγος ἤγαγε τὸ βιβλίον, ἑκὼν μὲν ὁ βασιλεὺς ἀνελίττων ἡμάρτανε τοῦ ῥητοῦ καὶ αἰσχυνόμενος ὑπερεπήδα μὲν τὴν ζητουμένην φράσιν, ἐν ἄλλοις δὲ καὶ ἄλλοις ἐποιεῖτο τὴν ζήτησιν. ὡς δ' ὑπὸ τοῦ μακαρίτου Θεοφάνους ἀνεδιδάσκετο δακτυλοδεικτοῦντος, ὡς 'ἔτι τρία φύλλα διαβιβάσας τὸ ζητούμενον καταλάβοις', τότε δὴ μὴ φέρων τοὺς τῆς παρρησίας ἐλέγχους, συνειδὼς δὲ καὶ τὴν ἀλήθειαν ἔχουσαν οὕτως, τὸ ἕως τότε μακρόθυμον ἀπορρίψας καὶ τὸν θῆρα ἀνακαλύψας· 'οὐ δίκαιον', ἔφησε, 'βασιλέα ὑπὸ τοιούτων ἀνδρῶν ἐνυβρίζεσθαι', καὶ λοιπὸν προσέταξεν ἐν τῷ τοῦ Λαυσιακοῦ μεσοκηπίῳ τούτους ἀπαχθέντας ῥαβδισθῆναι ῥάβδων φοραῖς βαρυτάτων ἄχρι τῶν διακοσίων καὶ τοῖς μετώποις αὐτῶν ἐπιγραφῆναι βαρβαρικῶς ἐκκεντηθέντας οὓς συντέθεικε λήρους ἰαμβικούς. εἰσὶ δὲ οὗτοι·

πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν,
ὅπου πάναγνοι τοῦ θεοῦ λόγου πόδες |
ἔστησαν εἰς σύστημα τῆς οἰκουμένης,
ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
σκεύη πονηρὰ δεισιδαίμονος πλάνης.
ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀπιστίας
πράξαντες αἰσχρὰ δεινὰ δυσσεβοφρόνως,
ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.

ACEVBMN F **57** Θεοφάνους AEVMN: Θεοφάνου B: Θεοφάνη C **57/58** ἐκ τοῦ Ἡσ. προφ. προφήτου B **57** τοῦ alt. om. E **58** οὕτω A ταύτην om. B **59** ἑαυτοῦ: ἐκείνου M οἰκείους ante λόγ. add. M **60** δὴ — μόνον VB: οὐ μόνον δὴ ταύτην ACEMNF (sed cf. Theoph. Cont. 104, 21/22) **61** τὰς om. B εἰς τὰς … χεῖρας B **62** προστιθεὶς B ἰέναι: κομισθῆναι B **63** πίστωσιν MN (cf. βεβαίωσιν Theoph. Cont. 105, 3): πίστιν ACEVBF γοῦν ACEVBF: οὖν MN **64** τις om. ACEMNF (sed cf. Theoph. Cont. 105, 4) **67** Θεοφάνη B **68** καὶ λέγοντος post δακτ. add. B διαβιβάσεις MN **70** συνιδὼν B τότε: τούτου A **72** βασιλεὺς C Ῥωμαίων post βασ. add. M **73** τοῦ om. M **73/74** ῥαβδισθῆναι — βαρυτάτων CEMN: ῥαβδισθῆν ῥάβδ. βαρυτάταις φόρ. B: ῥαβδισθῆναι ῥάβδων βαρυτάτων φοραῖς AV **74** τοῖς μετώποις: ταῖς ὄψεσιν B **75** γραφῆναι N συνέθηκε E **79** σύστασιν CBMN (sed cf. Theoph. Cont. 105, 18; Bibl. Graeca medii aevi, ed. C.N. Sathas, vol. VII, 1894, p. 133, 3; Symeon mag., p. 641, 22 Bekker; Georg. mon., p. 807, 13 Bekker) **82—88** perperam B (ordo versuum: 83 et 84 commixti, 83, 86, 89, 88.87 om.)

πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες
οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρίας.
ὅθεν γραφέντες ὡς κακοῦργοι τὴν θέαν
κατακρίνονται καὶ διώκονται πάλιν.

τούτου δὲ θᾶττον γενομένου ἐκεῖνοι μὲν τὸν τῆς ὁμολογίας καὶ μαρτυρίας ἀνεδήσαντο στέφανον, οὗτος δὲ ὁ σοβαρὸς καὶ πάντων ἀθλίων ἀθλιώτερος πᾶσιν ἀνεδείχθη βλάσφημος καὶ διώκτης καὶ τῶν πώποτε κακοδόξων κακοδοξότερος. | πρὸς τούτοις δὲ καὶ τὸν μακαρίτην Μιχαήλ, τὸν σύγκελλον τῆς κατὰ τὴν ἁγίαν πόλιν ἐκκλησίας, σὺν ἑτέροις πολλοῖς ἀσκηταῖς τῇ φυλακῇ καθεῖρξε, τῇ πολυχρονίῳ κακώσει ὑπάξαι τούτους καραδοκῶν. καὶ τὰ μὲν κατὰ τῶν ἁγίων τοιαῦτα αὐτῷ νεανιεύματα, καὶ οὕτως τὸν μὲν δι' ἡμᾶς ὀφθέντα ἄνθρωπον, θεὸν ὄντα ἀληθινόν, ὕβριζε καὶ τοὺς ἑαυτοῦ ἀληθινοὺς θεράποντας οὐ βραχεῖ χρόνῳ καὶ περιωρισμένῳ, κατὰ πάντα δὲ τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἐκάκου καὶ ἀνηκέστοις καθυπέβαλλε συμφοραῖς.

11. Ἐφιλοτιμεῖτο δὲ καὶ μελῳδὸς εἶναι. διὸ καὶ ὕμνους ποιῶν τινας καὶ στιχηρὰ μελίζων ᾄδεσθαι προετρέπετο. μεθ' ὧν καὶ τὸ τοῦ τετάρτου ἤχου 'εὐλογεῖτε' ἐκ τοῦ κατὰ τὴν ὀγδόην ᾠδὴν 'ἄκουε κόρη' μεθαρμοσάμενος καὶ ῥυθμὸν ἕτερον παρασχὼν ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ εἰς ἐπήκοον ᾄδεσθαι διωρίσατο. φέρεται δὲ καί τις λόγος, ὡς ἔρωτι τοῦ μέλους βαλλόμενος κατὰ τὴν μεγάλην ἐκκλησίαν ἐν φαιδρᾷ πανη|γύρει οὐ παρῃτήσατο τὸ χειρονομεῖν, δοὺς τῷ κλήρῳ ὑπὲρ τούτου χρυσίου λίτρας ἑκατόν. καὶ τὸ στιχηρὸν δὲ τὸ κατὰ τὴν βαϊοφόρον, τὸ 'ἐξέλθατε ἔθνη, ἐξέλθατε καὶ λαοὶ' τῆς ἐκείνου φασὶν εἶναι τόκον ψυχῆς.

cap. 11: Theoph. Cont. 106, 17—107, 5; Zon. III, 366, 16—367, 2   7—14 cf. H. Follieri, Initia hymnorum ecclesiae Graecae, 1 (1960) 73, 486, 551 (Studi e testi 211)

ACEVBMN F   **85** πεφευγότες ACEVB Symeon mag. 642,5; Georg. mon. 807, 18; Bibl. Graeca VII, 133, 9: προσφευγότες M: προσφευγόντες N   **89** θᾶττον om. B   **90** ἀνεδέξαντο A   ἀθλίων om. ACEB   ἀθλιώτερος VBMN: ἀθλιώτατος ACE   **91** ἀνεδείχθη VBMN: ἀπεδείχθη ACE   **92** καὶ om. E   τὸν alt. om. C   **92/93** Μιχ. καὶ συγκ. A   **95** αὐτῷ: τούτου A   αὐτοῦ νεαν. τοι. B   **1** ἄνθρωπον om. B ἡμῶν post θεὸν add. B   ὄντα ἀληθ. om. B   **2** ἑαυτοῦ MN: αὐτοῦ ACVB: αὐτῷ E (sed cf. Theoph. Cont. 106, 14)   ἀληθινοὺς om. CE   **2/3** καὶ περιωρ. om. B   **3** κατὰ πᾶσαν δὲ τὴν αὐτοῦ ζωὴν ἐκάκου B   καθυπέβαλλε V: καθυπέβαλε ACEMNF   **6** στιχερὰ ACEVBMN (sed cf. Theoph. Cont. 106, 67) τὸ om. C   τὸ τοῦ τετάρτου: ἐξ B   **8—10** καὶ ῥυθμὸν — βαλλόμενος om. A   **11** τὸ om. AEM (sed cf. Theoph. Cont. 107, 2)   ὑπὲρ τούτου τῷ κλήρῳ B   **12** στιχερὸν ACVBMN   ψαλλομένων post βαϊοφ. add. A   **12/13** ἐξέλθατε — λαοὶ CEVMN: ἐξέλθετε ἔθνη, ἐξέλθετε καὶ (καὶ om. A) λαοὶ AB Theoph. Cont. 107, 4: ἐξέλθετε ἔθνη, ἐξέλθατε καὶ λαοί F   **13** καὶ om. C

12. Ἐπεὶ δὲ καὶ τὰς περὶ τὴν κεφαλὴν τρίχας ὀλίγας ἐκ φύσεως εἶχεν, ἀναφάλας τις ὤν, θέσπισμα ἐξέθετο πανταχοῦ ἐν χρῷ τὰς τρίχας ἀποκείρειν, καὶ μή τινα Ῥωμαῖον ὄντα περαιτέρω ταύτας τοῦ τραχήλου φέρεσθαι συγχωρεῖν, τὸν δὲ τὸ δόγμα παρορῶντα πολλαῖς αἰκίζεσθαι μάστιξι, τὴν τῶν προγόνων Ῥωμαίων ἐπανάγειν ἀρετὴν βρενθυόμενος

13. Πέντε δὲ θυγατέρων ὑπάρχων πατήρ, ὡς προλαβὼν ὁ λόγος ἀπέφηνε, καὶ ἄρρενος ἔρημος γονῆς, τὴν πασῶν ἐσχάτην Μαρίαν ὑπερβαλλόντως ἀγαπωμένην αὐτῷ δεῖν ᾠήθη συζεῦξαι ἀνδρί. ὁ νυμφίος δὲ ἦν τῆς τῶν Κρινιτῶν γενεᾶς, χώρας τῶν Ἀρμενίων, Ἀλέξιος τοὔνομα, Μωσηλὲ τὴν ἐπωνυμίαν, τῷ εἴδει ὡραῖος, ἀκμάζων τὴν ἡλικίαν. πρῶτον μὲν τῇ τῶν πατρικίων καὶ ἀνθυπάτων τιμήσας ἀξίᾳ, εἶτα καὶ μάγιστρον καὶ ὕστερον καίσαρα, στρατεύματά τε δοὺς ἱκανὰ πρὸς τὴν Λογγιβαρδίαν ἐξέπεμψε, χρείας κατεπειγούσης τινός. καὶ ὁ μὲν ἀπήει, καλῶς τὰ κατ᾽ αὐτὸν ἐξανύων καὶ ὡς ἐδόκει τῷ βασιλεῖ. διὸ καὶ ἤκμαζε μὲν ὁ πρὸς αὐτὸν πόθος, συνήκμαζε δὲ καὶ ὁ ἐξ ἀνθρώπων φθόνος, καὶ διέβαλλον αὐτὸν ὡς τῆς βασιλείας ἐπιθυμοῦντα, προστι|θέντες, ὡς δεῖ ποτε τὸ ἄλφα τοῦ θῆτα κατακυριεῦσαι. ἅπερ δὴ πυνθανόμενος ὁ καῖσαρ καὶ τὸν φθόνον ὥσπερ ἀποκρουόμενος πολλὰ τοῦ βασιλέως ἐδέετο συγχωρηθῆναι πρὸς τὸν μονήρη μετατάξασθαι βίον. ἀλλὰ τοῦτο μὲν ὁ βασιλεὺς οὐκ ἐπέτρεψε, τὴν χηρείαν τῆς θυγατρὸς εὐλαβούμενος, καὶ ὁ καῖσαρ ἔμενεν ἐφ᾽ ἡσυχίας τοῖς δημοσίοις ἐνασχολούμενος. ὡς δ᾽ ἀπετέχθη τῷ βασιλεῖ ὁ Μιχαὴλ καὶ ἡ τοῦ καίσαρος γαμετὴ Μαρία τὸν βίον μετήλλαξε, ταύτην μὲν οὕτως ἐτίμησεν, ὡς τὸν νεκρὸν αὐτῆς ἐν λάρνακι θεῖναι περιηργυρωμένῃ, καὶ ἀσυλίαν δοῦναι τῷ τάφῳ τοῖς ἐφ᾽ οἵοις δήποτε ἐγκλήμασιν

34 a. 837/38 **35/36** die 9./10. mens. Ian. 840 secundum Mango, 833 secundum Wasilewski **37** a. 837/838

---

cap. 12: Theoph. Cont. 107, 6—107, 13 cap. 13: Theoph. Cont. 107, 14—109,16; Zon. III, 367, 3—367, 19; Glyc. 541, 7/8

ACEVBMN F **14** παρὰ C τὴν om. B **16** μή τινα: μή τι C τὰς τρίχας post ὄντα add. B ταύτας om. B **18** ταῖς ante μάστ. add. V βρενθυόμενον CE **21** ἀπέφηνε AC: ἀπέφηνεν B: ἀπέφαινε VN: ἀπέφανε EMF καὶ om. B Μαρίαν om. B **23** τῶν pr. om. B Κρινητῶν B **24** ἀκμάζων, ὡραῖος A πρῶτον CMN Theoph. Cont. 108, 1: πρῶτα AEVBF **25** τῶν om. B ἀξίαν, εἶτα δὴ καὶ E καὶ alt. om. A **26** τε om. E πρὸς Λαγγιβ. B **28** ἤκμαζεν ὁ πρὸς B **29** διέβαλλον VMF: διέβαλον ACEBN **30** ἐπιθυμοῦντα: ἐρῶντα A ὡς δήποτε B **31** α τοῦ θ ACE κατακυριεῦσαι BMN Theoph. Cont. 108, 10: κατακατακυριεῦσαι V: κατακρατῆσαι ACE δὴ om. ACE **32** πολλὰ om. B **33** τοῦτον B **34** ἐπέτρεπε AB **35** ἀπετάχθη E **36** ταύτῃ E **37** οὗτος B **38** ἐφ᾽ οἷς δήπ. B

ἀλοῦσιν ἀνθρώποις, τὸν δὲ Ἀλέξιον λάθρᾳ μεταταξάμενον καὶ τὸ μοναχικὸν ἀμφιασάμενον σχῆμα, ἐπεὶ μὴ ἔπειθε τοῦτο ἀποβαλεῖν, μόλις ἐᾶσαι, δεδωκὼς αὐτῷ εἰς ἐνδιαίτημα τό τε κατὰ Χρυσούπολιν βασιλικὸν μοναστήριον, ἔτι δὲ καὶ τὸ τοῦ Βυρσέως καὶ τὸ κατὰ τὸν Ἐλαίαν. ἐκεῖνος δὲ τῷ κατὰ Χρυσούπολιν ὄντι ἐνδιαιτώμενος, ἐπεί ποτε περιπάτου ἐδεήθη καὶ κατὰ τὸν Ἀνθεμίου λεγόμενον ἐγένετο τόπον, εἵλετο τοῦτον διὰ βασιλικῆς προστάξεως ἐξωνήσασθαι. ἐν ᾧ καὶ μοναστήριον κατασκευάσας πολυτελὲς τὸν βίον ἐκλιμπάνων ἐτέθη ἐκεῖσε, σὺν αὐτῷ δὲ καὶ ὁ τούτου ἀδελφὸς Θεοδόσιος ἐς πατρικίους τελέσας, πολλὰ γνωρίσματα τῆς αὐτοῦ ἀρίστης βιοτῆς ἐν τῷ μοναστηρίῳ καταλιπών.

14. Τοῦ δ' ἀρχηγοῦ τῶν Ἀράβων Ἰμβραὴλ κατὰ Ῥωμαίων ἐκ|στρατεύσαντος καὶ ὁ Θεόφιλος ἀντιφιλοτιμούμενος ἔξεισιν ἅπαν δέος ἀποβαλών. εἰ γάρ τι καὶ προσῆν, ἀλλ' ἡ τῶν συνόντων αὐτῷ ἀνδρῶν κατὰ πολέμους πεῖρα καὶ γενναιότης ὡς πορρωτάτω τοῦτο ἐτίθει. Θεόφοβος οἱ ἄνδρες ἦσαν καὶ Μανουήλ· ἀλλ' ὁ μὲν Μανουὴλ δῆλος ἦν ἐπ' ἀνδρείᾳ καὶ αὐτοῖς τοῖς ἐναντίοις, τοῦ στρατοῦ τῶν Ἀνατολικῶν κατάρξας ἐπὶ τοῦ Λέοντος καὶ τοῦ πρὸ αὐτοῦ Μιχαὴλ ἱπποκόμων ὁ πρῶτος γενόμενος· πρωτοστράτορα τοῦτόν φασι.

15. Δηλώσει δὲ καὶ τὸν Θεόφοβον ὁ λόγος, ὅθεν τε καὶ ὅπως ἐκ Περσῶν καταγόμενος τῷ βασιλεῖ γέγονε γνώριμος καὶ τὴν ἀδελφὴν αὐτοῦ εἰς γάμον ἡρμόσατο. εἰς πρεσβείαν τίς ποτε τῶν ἐκ βασιλικῆς σειρᾶς Περσῶν ἀφικόμενος εἰς τὴν Κωνσταντίνου οὐκ ἐκ νομίμου συναφείας, ἐκ λαθραίας δὲ καὶ κρυφίας τοῦτον ἀποτεκὼν ἀπεδήμησεν. ἐπεὶ δὲ νόμος ἀπαράβατος τοῖς Πέρσαις ἐστὶ μή τινα τῆς αὐτῶν ἀρχῆς ἐγκρατῆ γενέσθαι, μὴ τῆς βασιλικῆς ὄντα σειρᾶς, ἐξέλιπον δὲ ἐκ τῶν συνεχῶν

39 post a. *839* **49** a. *849* circiter

---

cap. 14: Theoph. Cont. 109, 17—110, 5; Zon. III, 368, 1—368, 6 cap. 15: Theoph. Cont. 110, 5—112, 21

ACEVBMN F **39** μοναχικὸν VBMN; μοναδικὸν ACE **40** ἀπολιπεῖν A **41** Χρυσόπολιν AE **42** Βυρσέως ACEMN: Βρυσέως VB καὶ alt. om. E τὸν: τὴν ACB **43** τὴν add. ante Χρυσ. EMN (sed non F) Χρυσόπολιν AE ἐνδιαιτώμενος ACEVBF: διαιτώμενος MN **46** ἐκλιπὼν B **47** πατρικίου M **49** δὲ ἀρχ. M Ἰμβραὴλ ACEVB: Ἰμβριὴλ MN **50** ἀποβαλών ACEVBF: ἀπολιπών MN **51** αὐτῷ om. M κατὰ πολέμους om. B **52** τε post πεῖρα add. V γενναιότητος E πορρώτατον C τοῦτον C **53** ἀνδρείᾳ VBM: ἀνδρίᾳ ACEN **54** τοῦ — Ἀνατολικῶν VBMN: τῶν Ἀν. τοῦ στρ. ACE **56** πρωτοστάτορα M **57** τὸν Θεόφοβον: τὰ κατὰ σφᾶς C **58** Περσῶν CVB: Πέρσων AEMN **58/59** αὐτοῦ ἀδελ. B **60** Περσῶν om. CF **61** καὶ κρυφίας om. A **63** γενέσθαι ACEB Theoph. Cont. 110, 12: γίνεσθαι VMNF ἐξέλιπον ACEVBF: ἐξέλιπε MN καὶ post δὲ add. B

πολέμων ὑπὸ τῶν Ἀγαρηνῶν ἐλαθέντες οἱ τῆς βασιλικῆς φυλῆς, ἐφέρετο δὲ καὶ λόγος πολὺς ἐν Περσίδι, ὡς εἴη τις κατὰ τὸ Βυζάντιον ὠνομασμένος Θεόφοβος (καὶ γὰρ ἦν διαδοθεὶς ὑπὸ τοῦ σπείραντος τοῦτον πατρός), ἔδοξε τῇ τῶν Περσῶν γερουσίᾳ κρύφα τινὰς | ἐκπέμψαι εἰς ἔρευναν τοῦ ζητουμένου, καὶ δὴ καταλαβόντες τὴν ἡμετέραν καὶ πολλὰ διερευνησάμενοι εὗρον αὐτὸν κατὰ τὴν Ὀξείαν τῇ μητρὶ συνόντα. ὡς δ' οὐκ ἐκ μόνων ἰνδαλμάτων, ἀλλὰ καὶ τῶν τῆς ψυχῆς καὶ σώματος γνωρισμάτων ὁ ζητούμενος ἐδηλοῦτό τε καὶ ἐγνωρίζετο, προσεμαρτύρει δὲ καί τις τῶν ἐκ γειτόνων τὴν γενομένην τῇ γυναικὶ πρὸς τὸν Πέρσην συνάφειαν (οὐ γάρ τι κρυπτόν, ὃ τοῖς πολλοῖς οὐ γνωσθήσεται), δήλους ἑαυτοὺς οἱ σταλέντες καθιστᾶσι τῷ βασιλεῖ καὶ τὰ τοῦ σκοποῦ σαφηνίζουσιν, εἰρήνην καὶ σπονδὰς καὶ παντὸς τοῦ ἔθνους ὑποταγὴν ὑπισχνούμενοι, εἰ τὸν Θεόφοβον αὐτοῖς ἀποδοῦναι οὐ παραιτήσεται. ἥσθη γοῦν τοῖς ὑποσχεθεῖσιν ὁ βασιλεύς, καὶ ἐπείπερ οὕτως ἔχουσαν εὗρε τὴν ἀλήθειαν, προσλαμβάνεται τοῦτον ἐν τοῖς βασιλείοις καὶ μαθημάτων καὶ παιδείας μετεδίδου ἐλευθερίου. ἕτερος δὲ λόγος φησὶ μὴ ἐκ πρέσβεώς τινος τὴν σπορὰν δέξασθαι τὸν Θεόφοβον, ἀλλὰ κατά τινα περιπέτειαν τῶν ἐν πολέμοις συμβαινόντων. καὶ τὸν τούτου πατέρα, εἴτε καὶ βασιλεύοντα, εἴτε καὶ βασιλέως ἔγγιστα ὄντα κατὰ συγγένειαν φυγεῖν ἐκ Περσίδος καὶ πρὸς τὴν βασιλεύουσαν ἐλθεῖν, πένητα διατελοῦντα βίον, κἀκεῖσε καπηλίδι τινὶ γυναικὶ δουλεύοντα ἁλῶναι τῷ ταύτης ἔρωτι, καὶ νομίμῳ συναφείᾳ τὸν Θεόφοβον ἀποτεκεῖν. ἀλλ' ὁ μὲν πατὴρ ἐξ ἀνθρώπων ἐγένετο, ἀστρονομίᾳ δέ τινι καὶ μαντείᾳ (καὶ γάρ φασι ταύτας τὰς ἐπιστήμας ἀκμάζειν ἔτι ἐν Περσίδι) μαθεῖν περὶ τοῦ Θεοφόβου τοὺς Πέρσας, ὡς ἔστι τις ἐκ βασιλικῆς φυλῆς καταγόμενος ἐν Βυζαντίῳ, καὶ ἐπείπερ ἔμαθον, σπουδῇ τὴν Κωνσταντίνου καταλαβεῖν πρὸς τὴν τοῦ ζητουμένου εὕρεσιν, καὶ γνωστὸν οὕτω γενέσθαι τῷ βασιλεῖ. ἐπεὶ δὲ ἡ τούτου ἐμφάνεια ἅπασιν ἐγνώσθη τοῖς ἐν Περσίδι διὰ τῶν ὑποστρεψάντων πρέσβεων, ἥδιστον ἐφάνη πᾶσιν ἀπόστασίν τινα ἐννοῆσαι κατὰ τῶν Ἀγαρηνῶν καὶ τῇ Ῥωμαίων ἀρχῇ προσχωρῆσαι, ὡς ἂν τοῦ κατὰ

72/73 Luc. 8, 17

ACEVBMN F **65** ἐστι B **67** τῶν om. B εἰς ἔρ. ἐκπ. B **67/68** τοῦ ζητουμ. πρὸς ἔρ. A **68** οἱ πεμφθέντες post καταλ. add. B **71** τε om. ACEB **72** πρὸς om. C **73** γνωσθήσεται: γενήσεται C **74** καθιστᾶσι ACMN: καθιστῶσι EVB **75** σπονδὴν B **76** εἰ — παραιτήσεται VBMN: εἰ τ. Θ. αὐτοῖς οὐ παραιτήσεται παραδοῦναι (δοθῆναι E) CE: εἰ μὴ παραιτήσαιτο τ. Θ. παραδοῦναι αὐτοῖς A **77** εὗρε: κατέλαβεν B καὶ ante τὴν ἀλήθ. add. MN (sed non F) **79** μεταδίδωσιν A τινος om. B **81** τοῖς ante πολέμοις add. VB συμβαινουσῶν B καὶ alt. om. B **82** κατὰ: καὶ C **83** διατελοῦντα ACVMN: διαντλοῦντα E: διανύοντα B δὲ add. post κάκ. B **84** καπηλίδι ACEVB: καπηλίτιδι MN τῷ ταύτ. ἀλ. ἔρ. A **85** Θεόφον C ἀποτεκεῖν: τεκεῖν, post συναφ. B **86** τινὶ post μαντείᾳ B φησι B **87** ἔτι: ἐστὶ E **88** ἔστι: ἔτι E **89** ἐν Βυζαντίῳ post ἔμαθον add. ACE σπουδῇ VBMN: σπουδαίως, ante καταλαβεῖν ACE τὴν Κωνστ. om. ACE **90** γενέσθαι E δ' ἡ B **92** κατὰ om. C

γένος ἀρχηγοῦ εὐμοιρήσωσιν. ἔτυχε δὲ καὶ ἄλλως ὁ τῶν Περσῶν ἀρχηγὸς Βάβετ ἤδη πενταετίαν ἔχων ἐξ Ἀγαρηνῶν ἀποστὰς σὺν χιλιάσιν ἑπτά. ὃς καὶ τῷ πρὸς τὸν Θεόφοβον πόθῳ καὶ τῷ ἐξ Ἀγαρηνῶν φόβῳ βαλλόμενος εἰς τὴν Ῥωμαϊκὴν ἐπικράτειαν ἔρχεται κατὰ πόλιν Σινώπην καὶ τῷ βασιλεῖ ἑαυτόν τε ποιεῖ καὶ τὸ ὅλον ἔθνος ὑπήκοον. διά τοι τοῦτο τόν τε Θεόφοβον ὁ Θεόφιλος ἀνάγει εἰς πατρικίων τιμὴν | καὶ τῇ ἑαυτοῦ ἀδελφῇ συνοικίζει, ἕκα|στόν τε τῶν Περσῶν νομοθετεῖ κατ' ἐπιγαμίαν συνάπτεσθαι τοῖς Ῥωμαίοις, πολλοὺς ἐκ τούτων τοῖς βασιλικοῖς ἐμπρέπειν πεποιηκὼς ἀξιώμασι, καὶ κώδιξι στρατιωτικοῖς ἀναγράφεται τάγμα Περσικὸν οὕτω καλούμενον ὀνομάσας καὶ τοῖς κατὰ τῶν Ἀγαρηνῶν ἐξιοῦσι Ῥωμαίοις ἐναριθμεῖσθαι προσέταξε.

16. Τούτοις τοίνυν τοῖς δυσὶ θαρρήσας Θεόφιλος, τῷ Μανουὴλ καὶ τῷ Θεοφόβῳ, ἔξεισι κατὰ τῶν Ἀγαρηνῶν. ἐγγὺς δὲ γενομένων ἀλλήλοις τῶν στρα|τευμάτων ἐδέησε βουλῆς. καὶ ὁ μὲν Μανουὴλ οὐ δίκαιον ἔλεγε βασιλέα Ῥωμαίων πρὸς ἀμερμουμνῆν πολεμεῖν, ἀλλά τινα μέρος λαβόντα τῶν στρατηγῶν ἐξιέναι κατὰ πρόσωπον τῶν ἐχθρῶν. ὁ Θεόφοβος δὲ καὶ αὐτὸν ἐπὶ παρατάξεως εἶναι τὸν βασιλέα ἐβούλετο καὶ νύκτωρ ἐπιθήσεσθαι τοῖς ἐχθροῖς μετὰ τοῦ πεζικοῦ συνεβούλευε, συνεπιθήσεσθαι δέ, ὅτε δεήσοι, καὶ τὸ ἱππικόν. ἀλλ' οὐκ ἔπεισε τὸν βασιλέα πολλῶν εἰπόντων σφετερίζεσθαι τὸν Θεόφοβον τὴν τῶν Ῥωμαίων δόξαν καὶ διὰ τοῦτο βούλεσθαι ἐν νυκτὶ πολεμεῖν. ἔδοξεν οὖν εἰς τοὐμφανὲς μεθ' ἡμέραν συρράξαι τὸν πόλεμον. ὁ μὲν οὖν ἀμερμουμνῆς Ἰμβραήλ, εἴτ' ἄλλως καταλαζονευόμενος, εἴτε δὴ καὶ τὸν βασιλέα κατορρωδήσας, μέρος τοῦ στρατοῦ λαβὼν ἀνεχώρησεν, Ἀβουζάχαρ δέ τινα τῶν ἑαυτοῦ στρατηγῶν πρὸς τὸν κατὰ βασιλέως πόλεμον μετὰ μυριάδων ὀκτὼ ἐξαπέστειλεν. ἐγγισάντων δὲ τῶν στρατευμάτων, συμπλοκῆς γενομένης καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων τέλος ἔκλιναν αἱ σχολαὶ μετὰ τοῦ δομεστίκου καὶ πρὸς

cap. 16: Theoph. Cont. 112, 22—114, 22

ACEVBMN F **94** γένος AC Theoph. Cont. 112, 7: γένους EVBMNF εὐμοιρήσωσιν: εὐμηρήσωσιν C: εὐμυρήσουσιν E τῶν om. VB **95** ἔχων ACEMN Theoph. Cont. 112, 9: ἄγων VB **1** τὸν om. B **2** ἀνέρχεται M **3** ποιεῖν B ἔθνος om. E **4** ἀνάγει om. ACE **4/5** τῇ αὐτοῦ ἀδ. M **5** ἐπιγευμικὰ (?) B **6** ἐμπρέπειν ante τοῖς βασιλ. ACEMNF (sed cf. Theoph. Cont. 112, 17) **9** προσέταξε: πεποίηκε A **10** τοῖς δυσὶ om. A θαρσήσας AC ὁ ante Θ. add. A **11** κατὰ om. E **12** βουλῆς (β. om. B) γενομένης post καὶ add. VB Μανουὴλ VBMN: βασιλεὺς ACE **13** βασιλέα: βασιλεὺς C ἀμερμουμνὴν EMN τινα ACEMN: τι VB τινὰ post μέρος add. B **14** στρατευμάτων M προσώπου E **15** παρατάξων E **16** τοῖς ἐχθροῖς — συνεπιθήσεσθαι om. C δέ, ὅτε: καὶ ὅτε Theoph. Cont. 113, 7: δ' ὅτε F: δ' ὅτι ACEVMN: δ' εἰ B **17** δεήσει EB **19** ἔδοξε εἰς B συρρήξαι B **20** οὖν om. B ἀμερμουμνῆς EVMN **21** δὴ om. B τοῦ om. V **22** τὸν om. M **25** ἔκλιναν ACEMN: ἐνέκλιναν VB

πολέμων ὑπὸ τῶν Ἀγαρηνῶν ἐλαθέντες οἱ τῆς βασιλικῆς φυλῆς, ἐφέρετο δὲ καὶ λόγος πολὺς ἐν Περσίδι, ὡς εἴη τις κατὰ τὸ Βυζάντιον ὠνομασμένος Θεόφοβος (καὶ γὰρ ἦν διαδοθεὶς ὑπὸ τοῦ σπείραντος τοῦτον πατρός), ἔδοξε τῇ τῶν Περσῶν γερουσίᾳ κρύφα τινὰς | ἐκπέμψαι εἰς ἔρευναν τοῦ ζητουμένου, καὶ δὴ καταλαβόντες τὴν ἡμετέραν καὶ πολλὰ διερευνησάμενοι εὗρον αὐτὸν κατὰ τὴν Ὀξεῖαν τῇ μητρὶ συνόντα. ὡς δ' οὐκ ἐκ μόνων ἰνδαλμάτων, ἀλλὰ καὶ τῶν τῆς ψυχῆς καὶ σώματος γνωρισμάτων ὁ ζητούμενος ἐδηλοῦτό τε καὶ ἐγνωρίζετο, προσεμαρτύρει δὲ καί τις τῶν ἐκ γειτόνων τὴν γενομένην τῇ γυναικὶ πρὸς τὸν Πέρσην συνάφειαν (οὐ γάρ τι κρυπτόν, ὃ τοῖς πολλοῖς οὐ γνωσθήσεται), δήλους ἑαυτοὺς οἱ σταλέντες καθιστᾶσι τῷ βασιλεῖ καὶ τὰ τοῦ σκοποῦ σαφηνίζουσιν, εἰρήνην καὶ σπονδὰς καὶ παντὸς τοῦ ἔθνους ὑποταγὴν ὑπισχνούμενοι, εἰ τὸν Θεόφοβον αὐτοῖς ἀποδοῦναι οὐ παραιτήσεται. ἥσθη γοῦν τοῖς ὑποσχεθεῖσιν ὁ βασιλεύς, καὶ ἐπείπερ οὕτως ἔχουσαν εὗρε τὴν ἀλήθειαν, προσλαμβάνεται τοῦτον ἐν τοῖς βασιλείοις καὶ μαθημάτων καὶ παιδείας μετεδίδου ἐλευθερίου. ἕτερος δὲ λόγος φησὶ μὴ ἐκ πρέσβεώς τινος τὴν σπορὰν δέξασθαι τὸν Θεόφοβον, ἀλλὰ κατά τινα περιπέτειαν τῶν ἐν πολέμοις συμβαινόντων. καὶ τὸν τούτου πατέρα, εἴτε καὶ βασιλεύοντα, εἴτε καὶ βασιλέως ἔγγιστα ὄντα κατὰ συγγένειαν φυγεῖν ἐκ Περσίδος καὶ πρὸς τὴν βασιλεύουσαν ἐλθεῖν, πένητα διατελοῦντα βίον, κἀκεῖσε καπηλίδι τινὶ γυναικὶ δουλεύοντα ἁλῶναι τῷ ταύτης ἔρωτι, καὶ νομίμῳ συναφείᾳ τὸν Θεόφοβον ἀποτεκεῖν. ἀλλ' ὁ μὲν πατὴρ ἐξ ἀνθρώπων ἐγένετο, ἀστρονομίᾳ δέ τινι καὶ μαντείᾳ (καὶ γάρ φασι ταύτας τὰς ἐπιστήμας ἀκμάζειν ἔτι ἐν Περσίδι) μαθεῖν περὶ τοῦ Θεοφόβου τοὺς Πέρσας, ὡς ἔστι τις ἐκ βασιλικῆς φυλῆς καταγόμενος ἐν Βυζαντίῳ, καὶ ἐπείπερ ἔμαθον, σπουδῇ τὴν Κωνσταντίνου καταλαβεῖν πρὸς τὴν τοῦ ζητουμένου εὕρεσιν, καὶ γνωστὸν οὕτω γενέσθαι τῷ βασιλεῖ. ἐπεὶ δὲ ἡ τούτου ἐμφάνεια ἅπασιν ἐγνώσθη τοῖς ἐν Περσίδι διὰ τῶν ὑποστρεψάντων πρέσβεων, ἥδιστον ἐφάνη πᾶσιν ἀπόστασίν τινα ἐννοῆσαι κατὰ τῶν Ἀγαρηνῶν καὶ τῇ Ῥωμαίων ἀρχῇ προσχωρῆσαι, ὡς ἂν τοῦ κατὰ

72/73 Luc. 8, 17

ACEVBMN F **65** ἐστι B **67** τῶν om. B εἰς ἔρ. ἐκπ. B **67/68** τοῦ ζητουμ. πρὸς ἔρ. A **68** οἱ πεμφθέντες post καταλ. add. B **71** τε om. ACEB **72** πρὸς om. C **73** γνωσθήσεται: γενήσεται C **74** καθιστᾶσι ACMN: καθιστῶσι EVB **75** σπονδὴν B **76** εἰ — παραιτήσεται VBMN: εἰ τ. Θ. αὐτοῖς οὐ παραιτήσεται παραδοῦναι (δοθῆναι E) CE: εἰ μὴ παραιτήσαιτο τ. Θ. παραδοῦναι αὐτοῖς A **77** εὗρε: κατέλαβεν B καὶ ante τὴν ἀλήθ. add. MN (sed non F) **79** μεταδίδωσιν A τινος om. B **81** τοῖς ante πολέμοις add. VB συμβαινουσῶν B καὶ alt. om. B **82** κατὰ: καὶ C **83** διατελοῦντα ACVMN: διαντλοῦντα E: διανύοντα B δὲ add. post κάκ. B **84** καπηλίδι ACEVB: καπηλίτιδι MN τῷ ταύτ. ἀλ. ἔρ. A **85** Θεόφον C ἀποτεκεῖν: τεκεῖν, post συναφ. B **86** τινὶ post μαντείᾳ B φησι B **87** ἔτι: ἐστὶ E **88** ἔστι: ἔτι E **89** ἐν Βυζαντίῳ post ἔμαθον add. ACE σπουδῇ VBMN: σπουδαίως, ante καταλαβεῖν ACE τὴν Κωνστ. om. ACE **90** γενέσθαι E δ' ἡ B **92** κατὰ om. C

γένος ἀρχηγοῦ εὐμοιρήσωσιν. ἔτυχε δὲ καὶ ἄλλως ὁ τῶν Περσῶν ἀρχηγὸς Βάβετ ἤδη πενταετίαν ἔχων ἐξ Ἀγαρηνῶν ἀποστὰς σὺν χιλιάσιν ἑπτά. ὃς καὶ τῷ πρὸς τὸν Θεόφοβον πόθῳ καὶ τῷ ἐξ Ἀγαρηνῶν φόβῳ βαλλόμενος εἰς τὴν Ῥωμαϊκὴν ἐπικράτειαν ἔρχεται κατὰ πόλιν Σινώπην καὶ τῷ βασιλεῖ ἑαυτόν τε ποιεῖ καὶ τὸ ὅλον ἔθνος ὑπήκοον. διά τοι τοῦτο τόν τε Θεόφοβον ὁ Θεόφιλος ἀνάγει εἰς πατρικίων τιμὴν | καὶ τῇ ἑαυτοῦ ἀδελφῇ συνοικίζει, ἑκα|στόν τε τῶν Περσῶν νομοθετεῖ κατ' ἐπιγαμίαν συνάπτεσθαι τοῖς Ῥωμαίοις, πολλοὺς ἐκ τούτων τοῖς βασιλικοῖς ἐμπρέπειν πεποιηκὼς ἀξιώμασι, καὶ κώδιξι στρατιωτικοῖς ἀναγράφεται τάγμα Περσικὸν οὕτω καλούμενον ὀνομάσας καὶ τοῖς κατὰ τῶν Ἀγαρηνῶν ἐξιοῦσι Ῥωμαίοις ἐναριθμεῖσθαι προσέταξε.

16. Τούτοις τοίνυν τοῖς δυσὶ θαρρήσας Θεόφιλος, τῷ Μανουὴλ καὶ τῷ Θεοφόβῳ, ἔξεισι κατὰ τῶν Ἀγαρηνῶν. ἐγγὺς δὲ γενομένων ἀλλήλοις τῶν στρα|τευμάτων ἐδέησε βουλῆς. καὶ ὁ μὲν Μανουὴλ οὐ δίκαιον ἔλεγε βασιλέα Ῥωμαίων πρὸς ἀμερμουμνῆν πολεμεῖν, ἀλλά τινα μέρος λαβόντα τῶν στρατηγῶν ἐξιέναι κατὰ πρόσωπον τῶν ἐχθρῶν. ὁ Θεόφοβος δὲ καὶ αὐτὸν ἐπὶ παρατάξεως εἶναι τὸν βασιλέα ἐβούλετο καὶ νύκτωρ ἐπιθήσεσθαι τοῖς ἐχθροῖς μετὰ τοῦ πεζικοῦ συνεβούλευε, συνεπιθήσεσθαι δέ, ὅτε δεήσοι, καὶ τὸ ἱππικόν. ἀλλ' οὐκ ἔπεισε τὸν βασιλέα πολλῶν εἰπόντων σφετερίζεσθαι τὸν Θεόφοβον τὴν τῶν Ῥωμαίων δόξαν καὶ διὰ τοῦτο βούλεσθαι ἐν νυκτὶ πολεμεῖν. ἔδοξεν οὖν εἰς τοὐμφανὲς μεθ' ἡμέραν συρράξαι τὸν πόλεμον. ὁ μὲν οὖν ἀμερμουμνῆς Ἰμβραήλ, εἴτ' ἄλλως καταλαζονευόμενος, εἴτε δὴ καὶ τὸν βασιλέα κατορρωδήσας, μέρος τοῦ στρατοῦ λαβὼν ἀνεχώρησεν, Ἀβουζάχαρ δέ τινα τῶν ἑαυτοῦ στρατηγῶν πρὸς τὸν κατὰ βασιλέως πόλεμον μετὰ μυριάδων ὀκτὼ ἐξαπέστειλεν. ἐγγισάντων δὲ τῶν στρατευμάτων, συμπλοκῆς γενομένης καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων τέλος ἔκλιναν αἱ σχολαὶ μετὰ τοῦ δομεστίκου καὶ πρὸς

cap. 16: Theoph. Cont. 112, 22—114, 22

ACEVBMN F **94** γένος AC Theoph. Cont. 112, 7: γένους EVBMNF εὐμοιρήσωσιν: εὐμηρήσωσιν C: εὐμυρήσουσιν E τῶν om. VB **95** ἔχων ACEMN Theoph. Cont. 112, 9: ἄγων VB **1** τὸν om. B **2** ἀνέρχεται M **3** ποιεῖν B ἔθνος om. E **4** ἀνάγει om. ACE **4/5** τῇ αὐτοῦ ἀδ. M **5** ἐπιγευμικὰ (?) B **6** ἐμπρέπειν ante τοῖς βασιλ. ACEMNF (sed cf. Theoph. Cont. 112, 17) **9** προσέταξε: πεποίηκε A **10** τοῖς δυσὶ om. A θαρσήσας AC ὁ ante Θ. add. A **11** κατὰ om. E **12** βουλῆς (β. om. B) γενομένης post καὶ add. VB **13** βασιλέα: βασιλεὺς C Μανουὴλ VBMN: βασιλεὺς ACE **14** στρατευμάτων M ἀμερμουμνὴν EMN τινα ACEMN: τι VB τινὰ post μέρος add. B **15** παρατάξων E προσώπου E **16** τοῖς ἐχθροῖς — συνεπιθήσεσθαι om. C δέ, ὅτε: καὶ ὅτε Theoph. Cont. 113, 7: δ' ὅτε F: δ' ὅτι ACEVMN: δ' εἰ B **17** δεήσει EB **19** ἔδοξε εἰς B συρρῆξαι B **20** οὖν om. B ἀμερμουμνὴς EVMN **21** δὴ om. B τοῦ om. V **22** τὸν om. M **25** ἔκλιναν ACEMN: ἐνέκλιναν VB

ὑπαγωγὴν ἐκινήθησαν. ὁ βασιλεὺς δὲ μετὰ τῆς βασιλικῆς φάλαγγος καὶ δύο χιλιάδων Περσῶν, προσόντος αὐτοῖς καὶ τοῦ Θεοφόβου, ἐπί τινα βουνὸν ἄνεισι. περιστοιχισάντων δὲ τοῦτον τῶν Σαρακηνῶν, ἄχρι μὲν ἑσπέρας πολὺς ἦν ὁ περὶ αὐτὸν πόλεμος, τῶν μὲν ἐλπιζόντων αἰχμάλωτον τοῦτον λαβεῖν, τῶν δὲ ἀμυνομένων καὶ μὴ προδοῦναι τὸν βασιλέα ἀνεχομένων. διὸ νυκτὸς ἐπιγενομένης | κατεσοφίσατο τοὺς Σαρακηνοὺς ὁ Θεόφοβος τοῖς στρατιώταις ἐγκελευσάμενος κρότοις τε καὶ ἀλαλαγμοῖς χρῆσθαι κινύραις τε καὶ χορδαῖς καὶ σαλπίγγων φωναῖς, ὡς τάχα βοηθείας ἑτέρας προσγινομένης αὐτοῖς. τοῦτο γὰρ δὴ καὶ ὑποτοπάσαντες οἱ Σαρακηνοὶ μίλια ἓξ ὑπεχώρησαν εἰς τοὐπίσω κύκλωσιν κατορρωδήσαντες. ὅθεν ἀδείας τυχόντες μικρᾶς οἱ περὶ τὸν βασιλέα φυγῇ χρησάμενοι τὴν σωτηρίαν ἐπραγματεύσαντο καὶ πρὸς τὸ διαπεφευγὸς στράτευμα διεσώθησαν. μεμψάμενος οὖν τὸ προδεδωκὸς στράτευμα μόνον ὁ βασιλεύς, οὐδὲν δὲ πλέον ἄχαρι πράξας, χάρισι καὶ διαφερούσαις τιμαῖς τοὺς περὶ τὸν Θεόφοβον ἐγέραιρεν. ὅθεν οἱ Πέρσαι πλείονα τὸν πόθον πρὸς τὸν Θεόφοβον ἀνῆπτον καὶ μόνοι μετ' αὐτοῦ τὸν κατ' Ἀγαρηνῶν ὑποδύεσθαι πόλεμον καθικέτευον καὶ τρέπεσθαι διεβεβαιοῦντο τὸν βασιλέα. διὸ καὶ τοῖς λόγοις αὐτῶν κατακηλούμενος ὁ βασιλεὺς οὐδένα ἄλλον, ἀλλὰ τὸν Θεόφοβον αὐτῶν ἡγεμονεύειν ἐβούλετο. τῷ δ' ἐπιόντι ἐνιαυτῷ ἔξεισι πάλιν ὁ βασιλεὺς μετὰ τῶν δυνάμεων, καὶ κατὰ τὸ Χαρσιανὸν τοῖς Ἀγαρηνοῖς συμπλακεὶς τρέπεται τούτους καὶ οὐκ ὀλίγους χειροῦται, αἰχμαλώτους κατασχὼν ἄχρι τῶν εἴκοσι καὶ πέντε χιλιάδων, καὶ μετὰ νίκης λαμπρᾶς ἐπάνεισι πρὸς τὴν βασιλεύουσαν.

17. Ἐλήφθη τις αἰχμάλωτος ἐκ τῶν Ἀγαρηνῶν κατὰ χεῖρά τε γενναῖος καὶ χειρῶν εὐφυΐᾳ ὀνομαστός, ὃς καὶ γνωστὸς ἦν τῷ τῶν σχολῶν δομεστίκῳ καὶ ἐμαρτυρεῖτο παρ' | αὐτοῦ, ὡς εἴη τε δεξιὸς περὶ τὴν ἱππασίαν καὶ ὡς ἐν τῷ ἱππάζεσθαι δυσὶ δόρασι χρώμενος ἐντέχνως ἄγαν καὶ εὐφυῶς καταβάλλει τοὺς ἐναντίους. ἐπεὶ δὲ ἔδει ἐν τῇ ἱπποδρομίᾳ τὸν τῆς νίκης θρίαμβον ἐκτελεῖν τὸν δομέστικον, προηγεῖτο δὲ οὗτος τοῦ

cap. 17: Theoph. Cont. 114, 22—116, 21; Zon. III, 369, 14—371, 2

AC (a 48 τὴν βασ. m. rec.) EVBMN FH 27 χιλιάδις B προσόντος ACEVB: προσόντως F: προσόντων MN 29 περὶ αὐτῶν M 31 ἀνερχομένων B 33 χρῆσθαι καὶ κινν. χ. M καὶ χορδαῖς om. A χορδαῖς VBMN: φωναῖς CE 34 προσγενομένης V τούτου C καὶ om. B 35 κύκλωσιν om. B 38 προσδεδ. B 39/40 ἐγέραιρε post τιμαῖς B 40 πόθον ἀνῆπτον περὶ τὸν Θ. B 41 τὸν κατ' Ἀγαρηνῶν ACE Theoph. Cont. 114, 14: τὸν κατὰ τῶν Ἀγαρηνῶν VMN: τῶν κατὰ τῶν Ἀγαρηνῶν F: τὸν πρὸς τοὺς Ἀγαρηνοὺς B 42 τὸν βασιλέα: αὐτούς B 44 ἡγουμενεύειν C ἐβούλ. ἡγεμ. M δὲ ἐπιόντι B 46 χειροῦνται B 47 εἰκοσιπέντε M 48 ἄνεισι M ἐπάνεισιν εἰς A 49 δὲ post ἐλήφθη add. AB ἀνὴρ ante αἰχμ. add. A 50 τῷ δομ. τῶν σχολῶν AE 51 περὶ αὐτοῦ MNF 52 ἄγαν: ἅμα C 53 ἐν τῷ ἱπποδρόμῳ B

θριάμβου, θεασάμενος αὐτὸν ὁ βασιλεὺς καὶ τοῖς ἐπαίνοις κλαπεὶς ἵππου τε ἐπιβῆναι ἐκέλευσε καὶ δόρατα λαβόντα δύο τὴν ἀριστείαν καὶ εὐφυΐαν ἁπάσῃ τῇ πόλει ἐνδείξασθαι. τούτου δὴ γενομένου καὶ τοῖς ἀπειροτέροις τέρψιν παρέχοντος τῇ ὁράσει, Θεόδωρος ὁ τὴν ἐπωνυμίαν Κρατερός, ὁ καὶ μετὰ βραχὺ τῆς τῶν ἁγίων τεσσαρακονταδύο μαρτύρων φάλαγγος ἀρχηγὸς γεγονώς, πλησίον τῷ βασιλεῖ παρεστὼς ἐξεμυκτήριζε τὸν Ἀγαρηνόν, μηδὲν ἀνδρεῖον φάσκων μηδὲ καταπληκτικὸν ἐνδεικνύμενον. ᾧ καὶ χαλεπήνας ὁ βασιλεύς· 'ἀλλὰ σύ, ὦ θηλυδρία καὶ ἄνανδρε, δύνασαί τι τοιοῦτον ἐργάσασθαι;' ὑπολαβὼν δὲ ὁ Κρατερός· 'δύο μέν, βασιλεῦ, μὴ μαθὼν οὐδὲ μεταχειρίσασθαι δόρατα δύναμαι. οὐδὲ γὰρ ἐν πολέμῳ τοιαύτης φλυαρίας χρεία. ἑνὶ δὲ χρησάμενος τὴν εἰς θεὸν πεποίθησιν ἔχω βεβαίαν, ὡς κρημνίσω τε τοῦτον καὶ τοῦ ἵππου καταβαλῶ.' ἐπὶ τῷ λόγῳ θυμωθεὶς ὁ βασιλεὺς ἦ μήν, ἔφησε, κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τὸν ὅρκον ἐπαγαγών, θανάτῳ παραδοῦναι τὸν ἅγιον, εἰ μὴ τοὺς λόγους εἰς ἔργον ἀγάγοι. ἀναβὰς οὖν εὐθὺς τὸν ἵππον ὁ Θεόδωρος καὶ δόρυ λαβὼν συνεπλέκετο τῷ Σαρακηνῷ, καὶ ἐν οὐ μακρῷ τῷ χρόνῳ τοῦ ἵππου αὐτὸν κατεκρήμνισεν. ᾐσχύνθη μὲν οὖν ὁ βασιλεὺς καταβεβλημένον ἰδὼν τὸν Σαρακηνὸν ὑπ' ἀνδρὸς εὐνούχου, ὅμως τὴν ἀρετὴν | αἰδεσθεὶς τοῦ ἀνδρὸς λόγοις τε ἐφιλοφρονήσατο καὶ στολὰς καὶ περιβολάς, τὴν πολιτείαν αἰδούμενος, ἐδωρήσατο. ἤδη δὲ τοῦ ἔαρος ὑπολάμποντος, δύναμιν πάλιν ἠθροικὼς ὁ Θεόφιλος ἔξεισι κατὰ τῶν Σαρακηνῶν καὶ τὸν ὅσιον Μεθόδιον ἔχων μεθ' ἑαυτοῦ, εἰθισμένον αὐτῷ ἐν τοῖς πολέμοις τοῦτο ποιεῖν, εἴτε τοῦ ἀσαφῆ ἕνεκεν καὶ πολλοῖς ἄγνωστα διαλύειν διὰ τῆς ἐνυπαρχούσης αὐτῷ σοφίας, εἴτε καὶ ἐπαναστάσεις φυλαττόμενος παρ' αὐτοῦ τινας παθεῖν διὰ τὸν κατὰ τῶν θείων καὶ σεπτῶν εἰκόνων πόλεμον. οὐ μικρῶς γὰρ ἐσέβετο τὸν ἄνδρα τὸ τῆς πολιτείας ἔκκριτον καὶ φιλόθεον. διά τοι τοῦτο κατόπιν ἐᾶν αὐτὸν οὐκ ἐφαίνετο συμφέρον τῷ βασιλεῖ.

18. Τέως δ' ὅμως συμπεσόντων ἀλλήλοις τῶν στρατευμάτων καὶ τῶν Ἰσμαηλιτῶν ὑπερτερούντων, κύκλωσιν ὑπέστη ὁ βασιλεὺς καὶ

cap. 18: Theoph. Cont. 116, 21—118, 3; Zon. III, 371, 3—372, 1

ACEVBMN F **55** αὐτόν: τοῦτον B **56** ἐπιβαίνειν C ἐκέλευε B λαβόντα ACEVN: λαβεῖν BM καὶ post δύο add. B **57** δή: δὲ EB **59** καὶ om. B μαρτύρων om. B **60** ἐμυκτήριζε AE **60/61** ἐξεμυκτήριζε — Ἀγαρηνόν: ἐξεμυκτήριζεν αὐτόν M **61** ὡς ante μηδὲν add. B καὶ ante μηδὲν add. E φάσκων om. B **62** θηλυθρία CE **63** φησί. post ἄνανδρε add. B **64** ὦ ante βασ. add. B δύν. δόρ. A **66** ἔχων CM **67** θυμωθ. δ' ἐπὶ τῷ λόγῳ B **69** εὐθὺς om. AE **70** συμπλέκεται E Ἀγαρηνῷ C **71** ἐξεκρήμνισεν A **72** Ἀγαρηνὸν M **73/74** στολαῖς καὶ περιβολαῖς CV **75** πάλιν om. B **76** Σαγαρηνῶν AE **77** τὰ ante ἀσαφῆ add. B πολλοῖς om. B **79** ὑπ' αὐτοῦ B τῶν: τὸν V **80** γὰρ dittogr. E ἐσέβοντο B τὸν ἄνδρα AECVB: τοῦ ἀνδρὸς MNF διὰ post ἄνδρα add. B **81** αὐτὸν ἐᾶν M **82** ἐφαίνετο: ἐδόκει B **83** δὲ ὅμως AE

ἤδη ἁλώσιμος ἦν. ὃ δὴ καταμαθὼν Μανουὴλ ὁ τοῦ στρατοῦ ἐξηγούμενος, καὶ δεινὸν ἡγησάμενος δορυάλωτον βασιλέα Ῥωμαίων ἰδεῖν, τοὺς περὶ αὐτὸν ἀναθαρρύνας εἰσῄει μετὰ θάρσους τὸν κίνδυνον. ὡς δ᾽ εὗρε καμόντα τὸν βασιλέα καὶ τὴν σωτηρίαν ἀπεγνωκότα, προφασιζόμενον δὲ μὴ βούλεσθαι τὸν λαὸν φυγόντα καταλιπεῖν, 'ἄγε δή', ἔφησεν, 'ὦ βασιλεῦ, ἕπου μοι προπορευομένῳ καὶ τὴν ὁδόν σοι εὐρύνοντι.' ὡς δ᾽ ὁ μὲν Μανουὴλ ἐξῄει, ὁ βασιλεὺς δὲ κατεπτηχὼς οὐχ εἵπετο, πάλιν ἐκ δευτέρου ὑποστρέψαι ἠναγκάσθη. ὡς δὲ καὶ πάλιν ἠστόχησε, τὸ τρίτον ἐπιστρα|φεὶς θάνατον ἠπείλησεν, εἰ μὴ ἕποιτο, καὶ οὕτως ὀψὲ καὶ μόλις τοῦ κινδύνου διέσωσε. διὸ τιμαῖς τε τοῦτον ἀνταξίοις ἐδεξιοῦτο καὶ δωρεαῖς ἐθεράπευεν, εὐεργέτην καὶ σωτῆρα ἀποκαλῶν.

19. Ἀλλ᾽ ὁ φθόνος ἴσχυσε κατὰ τοῦ τοιούτου ἀνδρός, καὶ εἰς καθοσίωσιν ἐκ λοιδορίας κατεγκληθεὶς καὶ κίνδυνον οὐ μικρὸν ἑαυτῷ ἐπηρτημένον κατανοήσας καὶ διά τινος τῶν πιστοτάτων πληροφορηθείς, δούλου μὲν γεγονότος αὐτοῦ, οἰνοχοοῦντος δὲ τότε τῷ Θεοφίλῳ, ὡς μέλλοι τοῦτον ἀποτυφλοῦν, ἀποστασίαν τολμᾷ καὶ πρὸς Ἀγαρηνοὺς μετατίθεται, μέγας παρ᾽ αὐτοῖς καὶ ὀφθεὶς καὶ μεγίσταις τιμαῖς γεραιρόμενος. στρατόν τε γὰρ ἐνεπιστεύθη πολὺν καὶ κατὰ τῶν γειτονούντων ἐχθρῶν, οἳ οὕτω δὴ Κορμάτοι καλοῦνται, ἐπέμφθη. ὃς μηδένα ἕτερον ἕπεσθαί οἱ θελήσας, ἀλλ᾽ ἢ μόνον τοὺς ἐν φυλακαῖς καθειργμένους Ῥωμαίους αὐτῷ συστρατεύεσθαι, νίκας μεγίστας καὶ καλλίστας ἠνέγκατο, ὡς καὶ αὐτὸ τὸ λεγόμενον Χωροσᾶν ἐκπολιορκῆσαι. οὐ γὰρ μόνον τὸ κατ᾽ ἀνδρείαν διάφορον ἐξέπληξε τοὺς ἐναντίους, ἀλλὰ καὶ ἡ τῆς διαλέκτου παραλλαγὴ καὶ ἡ τῶν σχημάτων μεταβολὴ καὶ ἡ τοῦ πολέμου παράδοξος ἐξαλλαγὴ

cap. 19: Theoph. Cont. 118, 4–121, 5; Zon. III, 372, 1–374, 4

ACEVBMN FH 85 Μανουὴλ post καταμαθὼν (καὶ μαθὼν F) AEMNFH: Μανουὴλ post ἐξηγούμ. CVB στρατοῦ: στρατηγοῦ E 86 δορυάλ. post ἰδεῖν AE 89 βουλ. φυγ. καταλ. τὸν λαόν B ἔφη M 90 πορευομένῳ CV εὐρόντι C 91 καταπεπτ. B 91/92 εἵπετο, ὑποστρ. καὶ δεύτερον ἠναγκ. B 93 διὰ ξίφους post θάν. add. B ἕψοιτο B 94 αὐτὸν post μόλις add. B 95 ἐθεράπευσεν A ὡς ante εὐεργ. add. C 2 οὐ μικρὸν post ἐπηρτ. AE ὑπηρτημένον C 3 ἐννοήσας A 4 αὐτῷ (ante γεγ. A) AE οἰνοχοοῦντος ACEVBF: οἰνοχοήσαντος MN μέλλει B 5 ἀπόστασίν τε τολμᾷ B τοὺς ante Ἀγαρ. add. E 6 καὶ pr. om. B 7 γὰρ om. B ἐχθρῶν: ἐθνῶν ἐστάλη B 8 Κορμάτοι AEVB: Κερμάται C: Κορμάται MN: Κορμᾶτοι Theoph. Cont. 118, 14 cod. V καλοῦνται ACEVB: καλούμενοι MN 9/10 ἀλλ᾽ — συστρατεύεσθαι om. CV μόνον — νίκας: μόνον τοὺς ἐκεῖσε κατεχομένους ἐν φρουρᾷ Χριστιανοὺς στρατιώτας, νίκας B 10/11 αὐτὸν τὸν λεγ. M 11 Χωροσᾶν EVB: Χωροσὰν AMN Theoph. Cont. 118, 19 cod. V: Χωρησᾶν C ἐκπολιορκῆσαι CEVB: ἐκπορθῆσαι A: πολιορκῆσαι MN 12 τοὺς ἐναντ. ἐξέπληττεν B 13 καὶ ἡ — ἐξαλλαγὴ om. B πολέμου om. C ἐναλλαγὴ E

εἰς δειλίαν οὐ τὴν τυχοῦσαν συνήλασε τοὺς πολεμίους. καὶ οὐ κατὰ τῶν ἐχθρῶν οὗτος ὤφθη γενναῖος, ἀλλὰ καὶ θηρίων ἀγρίων πημαινομένων τὴν χώραν ἠνδρίσατο. καὶ μεγάλων αἴτιος αὐτοῖς καλῶν γεγονὼς αὐτῷ τε | ἠγαπήθη διαφερόντως τῷ ἄρχοντι τῶν Σαρακηνῶν καὶ τῇ γερουσίᾳ αὐτοῦ. ταῦτα μανθάνων ὁ Θεόφιλος, ὡς εἰκός, ἠνιᾶτο καὶ πάντα λίθον ἐκίνει, ὡς ἂν τὸν ἄνδρα μετακαλέσοιτο. διὸ καὶ σταυρὸν καὶ χρυσοβούλλιον διά τινος ἀγύρτου μοναχοῦ ἐκπέμπει τῷ Μανουήλ, ἐκκαλούμενος ἐπαναστρέψαι καὶ πᾶσαν ἀμνηστίαν αὐτῷ κακῶν χαριζόμενος δι' αὐτῶν. ἃ διακομίσας ὁ εἰληφὼς εἰς χεῖρας λαθὼν τίθησι τῷ Μανουήλ. καὶ δεξάμενος οὗτος καὶ οἱονεὶ τὴν ψυχὴν ἐκκαυθείς, ἤδη δὲ καὶ πιστευόμενος ἐκ τῶν προτέρων ἔργων, μηνύει τῷ ἄρχοντι τῶν Σαρακηνῶν, ὡς πόθον τρέφει καὶ κατὰ τῶν Ῥωμαίων στρατεῦσαι καὶ τοὺς ἐχθρούς, οἳ κατεῖπον αὐτοῦ πρὸς τὸν βασιλέα, ἀμύνασθαι, κατὰ τὴν Καππαδοκίαν οἰκοῦντας. συνεκπεμφθῆναι δὲ αὐτῷ ἠξίου καὶ τὸν τούτου υἱὸν εἰς πλείονα τῆς ὑπονοίας ἀναίρεσιν. κατανεύει τοῖς αἰτηθεῖσιν ὁ Ἰσμαὴλ καὶ δίδωσιν αὐτῷ τοῦ ἐκστρατεύειν ἄδειαν. ὡς δ' ἤγγισε τοῖς Ῥωμαίων ὁρίοις, δῆλα ποιεῖ τὰ κατ' αὐτὸν τῷ τῆς Καππαδοκίας στρατηγῷ καὶ τὴν ἐσαῦθις ἐς Ῥωμαίους ἐπάνοδον, καὶ ἅμα ἐδίδασκεν, ὡς χρὴ κατὰ τὸν δεῖνα τόπον λόχον τινὰ καὶ ἐνέδραν γενέσθαι, 'ἵν' ὅταν ἐκεῖσε', φησί, 'γένωμαι, τοὺς μὲν τῶν Σαρακηνῶν προδρόμους ἐπ' ἄλλον τινὰ τόπον ἐξελαύνειν ποιήσω, αὐτὸς δὲ πρὸς τὰ Ῥωμαίων ἤθη ἀναδραμοῦμαι.' ὃ καὶ γέγονεν. ὡς γὰρ κατὰ τὸ σύνθημα τῷ ὁρισθέντι ἐπλησίαζον τόπῳ, πολλὰ τὸν τοῦ Ἰσμαὴλ υἱὸν κατασπασάμενος 'σὺ μὲν ὑγιής,' ἔφη, 'ἄπιθι, τέκνον, πρὸς τὸν σὸν πατέρα, ἐγὼ δὲ ἀπελεύσομαι πρὸς τὸν ἐμὸν βασιλέα | καὶ κύριον.' διασωθεὶς δ' ἐκεῖθεν πρὸς τὴν βασιλεύουσαν ἐντυγχάνει τῷ βασιλεῖ κατὰ τὸν ἐν Βλαχέρναις τῆς θεοτόκου ναὸν καὶ μάγιστρος παρ' αὐτοῦ τιμᾶται καὶ σύντεκνος ἔκτοτε χρηματίζει αὐτοῦ. καὶ τὰ μὲν περὶ τοῦ Μανουὴλ ἔσχεν οὕτως.

20 hieme a. 831/832

ACEVBMN F 14 ἤλασε M συνήλασε — πολεμίους: τοὺς πολ. ἐνέβαλε AE 15 οὕτως A κατὰ ante θηρ. add. AEB θηρῶν B 17 διαφερ. om. B τῶν Σαρ. om. M 18 μαθὼν B 19 μετακαλέσηται B χρυσόβουλλον AEB 20 ἀγρίτου MN 20—22 ἐκκαλούμενος — Μανουήλ om. AE 21 δι' αὐτῶν om. B 22 λαθὼν MN: ἐλθὼν CVB τῷ: τοῦ B 23 δὲ om. B 25 καὶ pr. om. B 26 Καππατῶν MNF *Theoph. Cont. 120, 3: om.* AECVB ἐκστρατεῦσαι B 26 Καππαδοκῶν AE 27 συμπεμφθῆναι AE δ' αὐτῷ CV 28 Ἰμβραὴλ A 29 Ῥωμαϊκοῖς E 31 εἰς B 32 καὶ ἐνέδραν om. B 33 γένωμαι AECVB: γενόμενοι MN 35/36 ἐπλησίαζε τόπον B 36 πολλὰ om. B Ἰμβραὴλ A 36/37 ἔφη post τέκνον CVB 37 σὸν πατέρα: πατέρα τὸν σόν B 37/38 πατέρα — βασιλέα CVBMNF: πατ., πρὸς δὲ τ. ἐ. ἐγὼ ἀπελ. βασ. κ. κ. AE 37 δὲ: δ' VB 40 παρ' αὐτοῦ: παραυτίκα B χρημ. ἐκτ. B 41 μὲν om. B τοῦ AEM: τὸν CVBNF

20. Θεοδότου δὲ τοῦ Μελισσηνοῦ, ὃν καὶ Κασσιτηρᾶν προσαγορεύεσθαι ὁ λόγος ἐγνώρισεν ἄνωθεν, ἐφ' ἱκανὸν τὸν τῆς Κωνσταντινουπόλεως θρόνον κατεσχηκότος, ἄρτι δὲ καταλύσαντος τὸν βίον, ὁ τοῦ Θεοφίλου παιδαγωγὸς Ἰαννὴς τὸν ἐκείνου διαδέχεται θρόνον, ἆθλον τὴν ἱερωσύνην λαβὼν ἀσεβείας καὶ ἀπιστίας.

21. Ζητοῦντι δὲ τῷ Θεοφίλῳ λίαν ἐπιστατικῶς περὶ τούτων, οἵτινες ἄρξουσι μετ' αὐτόν, γύναιόν τι ληφθὲν ἐκ τῶν Ἀγαρηνῶν κατά τινα τῶν προηγησαμένων πολέμων, εὐφυῶς ἔχον περὶ τὰς τοιαύτας προρρήσεις, παρέστη τῷ βασιλεῖ. ἤρετο δὴ οὖν ὁ βασιλεύς, ἃ δὴ καὶ ἐβούλετο, καὶ τίνων μακρὰν ἔσεσθαι τὴν διαδοχὴν τῆς βασιλείας ἀνειπεῖν προσέταττε. τοῦτο δὲ τὸ γύναιον, εἴτ' ἐξ ἐνθουσιασμοῦ, εἴτε καὶ ἐκ δαιμονίας ἐνεργείας κινούμενον, 'σοῦ μέν', ἔφησεν, 'ὦ βασιλεῦ, διάδοχος ἔσεται ὁ υἱὸς συνάμα τῇ ἰδίᾳ μητρί, μετὰ δὲ τούτους τὸ τῶν Μαρτινακίων γένος διαρκέσει ἐπὶ πολὺ τῇ βασιλείᾳ.' ὁ δὲ ἅμα τῷ λόγῳ τὸν Μαρτινάκιον, καίτοι στεργόμενον αὐτῷ, ἀπέκειρε μοναχὸν καὶ τὸν αὐτοῦ οἶκον ἀπέδειξε καταγώγιον μοναστῶν. οὐ τοῦτο δὲ μόνον τὸ ῥηθὲν γύναιον, ἀλλὰ καὶ ἄλλα πολλὰ τῶν μελλόντων προαπεθέσπισε. τόν τε γὰρ | Ἰαννὴν ἐκπεσεῖσθαι τοῦ πατριαρχικοῦ θρόνου προήγγειλε καὶ τὰς σεπτὰς εἰκόνας τὴν προσήκουσαν τιμὴν καὶ προσκύνησιν δέξασθαι. ἐφ' οἷς περιώδυνος γενόμενος ὁ Θεόφιλος παρεκάλει πολλάκις τὴν δέσποιναν καὶ τὸν τοῦ δρόμου λογοθέτην Θεόκτιστον καὶ ὅρκοις κατεδέσμει φρικωδεστάτοις, μετὰ τὸν ἑαυτοῦ θάνατον μήτε τὸν Ἰαννὴν μεταστῆσαι τῆς πατριαρχίας, μήτε τὴν προσκύνησιν τῶν εἰδώλων, τὰς σεπτὰς εἰκόνας οὕτω καλῶν, ἰδεῖν ἀνασχέσθαι. οὐ τὸ γύναιον δὲ μόνον προεφήτευσε ταῦτα, ἀλλὰ καὶ Ἰαννὴς διὰ λεκανομαντείας καθαρῶς ἀπέδειξεν αὐτῷ τὸν μέλλοντα τὴν ἀρχὴν διαδέξασθαι. οὐ τῷ βασιλεῖ δὲ μόνον τὸ γύναιον τὰς πεύσεις διέλυσεν, ἀλλὰ καὶ Κωνσταντίνῳ τῷ κατὰ τοὺς

47 a. 837

---

cap. 20: Theoph. Cont. 121, 6—121, 9; Zon. III, 374, 5—374, 11 cap. 21: Theoph. Cont. 121, 10—122, 15; Glyc. 539, 1—539, 3

ACEVBMN F **42** Κασσιτηρὰν EMN **43** φθάσας post λόγος add. A, ἤδη add. B ἐγνώρισε AE ἄνωθεν om. AEB **43/44** ἐφ' ἱκανὸν post θρόνον AE **44** κατασχόντος AE **45/46** ἀσεβείας post ἆθλον A καὶ ἀπιστίας om. A **47** βασιλεῖ ante Θ. add. AEMNF (sed cf. Theoph. Cont. 121, 10) λίαν om. AEMNF ἐπιτατικῶς A τούτων, οἵτινες: τῶν, οἱ B **48** κατά τινα προηγησάμενον πόλεμον B **49** περί: πρὸς B **50** δὴ pr. om. B δὴ καὶ om. B **51** εἰπεῖν B **52** εἴτ' ἐκ δαιμ. συνεργίας B **53** ἔφη EM **54** συνάμα: ἅμα B ἰδίᾳ om. AEB αὐτοῦ post μητ. add. B **55** τῇ βασ. ἐπὶ πολύ B **56** ἀπέδειξε καταγώγιον AEMN: καταγ. ἀπέδ. (ἀπετέλεσε B) CVB ταῦτα B μόνον dittogr. post ῥηθὲν add. CV **58** ἄλλα om. B **60** τιμ. δέξ. καὶ προσκύν. C **61** πολλάκις post δέσπ. A **62** φρικώδεσι B **65** μόνα A προεῖπε B

Τριφυλλίους μέγα δυναμένῳ τῷ τότε τὰ συμβησόμενα διετράνωσεν, αὐτόν τε καὶ τοὺς υἱοὺς μέλλειν εἰπὸν ὑπάρξεώς τε στερηθῆναι καὶ τὸ τῶν κληρικῶν ἀμφιέσασθαι σχῆμα. ὃ καὶ γέγονε μετὰ ταῦτα τοῦ Βασιλείου τὴν ἀρχὴν διϊθύνοντος. προεῖπε δὲ καὶ Γεωργίῳ τῷ Στρατιωτικῷ τὸν κατειληφότα αὐτὸν θάνατον ἐν τῇ σφενδόνῃ τοῦ ἱπποδρομίου. ἐκεῖσε γὰρ μετέπειτα τοῦ Βασιλείου βασιλεύοντος ἀποστασίας ἐγκλήματι περιπεσὼν ἀπετμήθη.

22. Ἤδη δὲ τοῦ ἦρος διαλάμποντος οἵ τε Ἀγαρηνοὶ καὶ ὁ Θεόφιλος κατ' ἀλλήλων ἐξώρμησαν, ἀλλήλους δὲ πτοηθέντες ὑπέστρεψαν ἄπρακτοι. ὑποστρέψας δὲ ὁ Θεόφιλος πρεσβείαν ἐδέξατο τοῦ χαγάνου Χαζαρίας ἐξαιτουμένου κτισθῆναι τὸ Σάρκελ ὀνομα|ζόμενον φρούριον. τοῦτο γὰρ ἐδόκει ἔρυμα καρτερὸν εἶναι, τῆς τῶν Πατζινάκων ἐφόδου διεῖργον αὐτοὺς πρὸς τὰ μέρη τοῦ Ταναΐδος ποταμοῦ. ὧν ὑπακούσας τῇ αἰτήσει ὁ βασιλεὺς ἐξαπέστειλέ τινα Πετρωνᾶν καὶ τὴν τούτων αἴτησιν εἰς πέρας ἤγαγεν. οὗτος ὑποστρέψας γνώμην ἐδεδώκει τῷ βασιλεῖ, ὡς οὐκ ἄλλως ἄρξει τῆς Χερσῶνος βεβαίως, ἢ στρατηγὸν προχειριζόμενος ἴδιον. μέχρι γὰρ ἐκείνου τοῦ χρόνου οὐδεὶς τῶν ἡμετέρων ἄρξων ἐκείνων ἐστέλλετο, ἀλλ' ἐγχώριός τις πρωτεύων τὴν προσηγορίαν τὰ τῆς πόλεως ἦν διοικῶν. προσδεξάμενος οὖν τὴν αὐτοῦ συμβουλὴν ὁ βασιλεὺς οὐκ ἄλλον, ἀλλ' ἐκεῖνον αὐτὸν ἐξαπέστειλε στρατηγεῖν τῆς χώρας, διατάγματα πέμψας τῷ πρωτεύοντι καὶ τοῖς ἄλλοις αὐτόχθοσι δυνατοῖς ὑπείκειν αὐτῷ ἀνενδοιάστως. ἔκτοτε οὖν ἐκράτησε στρατηγοὺς εἰς Χερσῶνα πέμπεσθαι.

23. Τῷ δ' ἐπιόντι ἐνιαυτῷ τῆς ἐαρινῆς ἐπιστάσης ὥρας ἔξεισι κατὰ τῶν Ἀγαρηνῶν ὁ Θεόφιλος μετὰ δυνάμεως καὶ χειρὸς πολλῆς. πρόεισί

79 a. circiter 837 **82** a. circiter 837

cap. 22: Theoph. Cont. 122, 16–124, 5 cap. 23: Theoph. Cont. 124, 6–134, 21; Zon. III, 376, 5–379, 12; Constantinus Porphyrogenitus, De adm. imp., 182–184 Moravcsik

AC (a **90** ἀν]ενδ. rursus m. prim.) EVBMN F **69** δυναμένους B διετράνου A **70** αὐτόν τε: φῆσαν αὐτὸν B εἰπὸν post στερηθ. MN: om. B τε alt. om. BM **71** ἀμφιέσασθαι CVMN: ἀμφιάσασθαι AEBF **72** βασιλέως B διανύοντος AE **73** αὐτῷ θάν. E **74** ἐκεῖ B **76** ἔαρος A **78** χαγάνου CVB: χαγάβου E: γαχάνου M: χαγ A **79** Σάρκελ: Σάρκελλ M: Σάρβηλον B **80** γὰρ ACEVBF: δὲ MN τὸ add. ante ἔρυμα AE κρατερὸν B Πατζινακῶν AC **81** ὧν AEMN: οὗ CVB **81/82** ὑπακ. τῆς αἰτήσεως B **82** Πετρονὰν M τούτων AEMN: τούτου CVB (sed cf. Theoph. Cont. 123, 1) **84** βεβαίως: βιαίως B **87** συμβουλίαν M **88** ἐκεῖνον om. M αὐτὸν ἐκεῖνον AE **89** τότε ante πρωτ. add. CVB **90** τότε γοῦν M **91** πέμπεσθαι: στέλλεσθαι, ante εἰς Χερσ. VB **92/93** ἔξεισι post Θεόφ. A

τε πορρωτέρω τῆς Συρίας, κείρων ὁμοῦ τὴν γῆν καὶ πορθῶν καὶ πᾶν τὸ προστυχὸν ληϊζόμενος. πόλεις τε γὰρ πολέμου νόμῳ κατέσχε δύο καὶ ἠνδραποδίσατο, καὶ αὐτὴν δὲ τὴν λεγομένην Σωζόπετραν ἐξεπολιόρκησε, πατρίδα τυγχάνουσαν τοῦ ἀμερμουμνῆ, ὑπὲρ ἧς πολλὰ κατεδεήθη διὰ γραμμάτων οὗτος, φείσασθαι ἐκλιπαρήσας τῆς ἑαυτοῦ πατρίδος, εἰ καὶ μὴ προσέσχε τοῖς γραφομένοις ὁ βασιλεύς. καὶ ταῦτα διοικησάμενος ἐπάνεισιν ὁ Θεόφιλος πρὸς τὴν βασιλεύουσαν, τὸν Θεόφοβον κατόπιν λιπών, ἐφ' ᾧ τε διαθέσθαι τὰ τοῦ στρατοῦ καλῶς καὶ διὰ ταχέων πρὸς αὐτὸν ἐπαναδραμεῖν. ἀλλ' οἱ Πέρσαι, διὰ τὸ σφῶν σιτηρέσιον ὑστερῆσαν ὄντες περιαλγεῖς, ἐν Σινώπῃ συσχόντες αὐτὸν βασιλέα καὶ ἄκοντα ἀνεκήρυξαν, πολλὰ λιπαροῦντα καὶ ποτνιώμενον ἀποσχέσθαι τῆς τοιαύτης ὁρμῆς, καὶ ἀπειλοῦντα δεινὰ πείσεσθαι τούτους ὅσον οὔπω χάριν τοῦ τοιούτου τολμήματος. ὡς δ' οὐ προσεῖχον αὐτῷ, ἀλλ' ὅλῃ γνώμῃ καὶ προαιρέσει τοῦ ἐγχειρήματος εἴχοντο, λάθρᾳ τὰ τελεσθέντα γνωρίζει τῷ βασιλεῖ, καὶ ἐνόρκως πληροφορεῖ, ὡς οὐκ αὐτός, οἱ Πέρσαι δὲ τῶν τολμηθέντων αἴτιοι. τότε μὲν τὴν ἐκείνου προαίρεσιν ὁ βασιλεὺς ἀποδέχεται καὶ πρὸς τὰ βασίλεια αὐτὸν εἰσκαλεῖ, τὴν προτέραν εὐκληρίαν ἀποδιδούς, συγγνώμην τε ἅπασι τοῖς Πέρσαις δίδωσι καὶ κακῶν ἀμνηστίαν. οὓς καὶ πεισθέντας ταῖς ὑποσχέσεσι καὶ τῆς Σινώπης ἀποδημήσαντας ἔγνω δεῖν ὁ βασιλεὺς διαστῆσαι καὶ μὴ τοσοῦτον πλῆθος ὁμοῦ διάγειν. καὶ ἐπείπερ εἰς τρεῖς μυριάδας τὸ πᾶν ἐκορυφοῦτο τῶν Περσῶν πλῆθος, καλῶς σκεψάμενος ἑκάστῳ θέματι χιλιάδας ἐξαπέστειλε δύο, ὑπὸ χεῖρα τελεῖν προστάξας τοῖς ἐν αὐτοῖς στρατηγοῦσιν. αὕτη ἡ αἰτία ὑπόπτους τε τοὺς Πέρσας ἐποίησε καὶ μετ' οὐ πολὺ τὸν Θεόφοβον ἐξήγαγε τῆς ζωῆς. ἐγένετο δέ τις καὶ δευτέρα αἰτία, ἣν ὁ λόγος δηλώσει κατὰ τὸν οἰκεῖον καιρόν. ὁ δ' ἀμερμουμνῆς τοσοῦτον ἐτρώθη τὴν ψυχὴν ἐπὶ τῇ καταλήψει τῆς ἐκπορθηθείσης πατρίδος αὐτοῦ, ὡς πανταχοῦ θε|σπίσαι πᾶσαν ἡλικίαν ἔκ τε Βαβυλῶνος καὶ Φοινίκης καὶ Παλαιστίνης καὶ κοίλης Συρίας, ἔτι δὲ καὶ τῆς

1 a. 838 15 ante mens. Ian. a. 842

ACEVBM (a 9 ἄκον]τα lac.) N FH 94 πᾶν τὸ: παντὸς M 1 λεγομένην: σῳζομένην C 2 τυγχάνουσαν: ὑπάρχουσαν B 3 οὗτος om. ACE ἐκλιπαρῶν B 4 γραφομένοις: λεγομένοις M 5 πρὸς VBMN: εἰς ACE 8 συσχόντες VBMN: κατασχόντες ACE 9 λιπαροῦντα καὶ ποτν. VBN: ποτν. καὶ λιπ. ACE 9/10 ἀποσχέσθαι post τοι. A 14 οἱ Π. δὲ: ἀλλ' οἱ Π. B οὖν post μὲν add. B 15 ἀποδέχεται AVN: ἀπεδέξατο B: ἀπεδέχετο C 16 τοῖς Π. ἅπ. A 18 ἔγνων C 19 μερίδας V 20 πλῆθος VBN: τάγμα ACE 21 ἐξαπέστειλε ACEN: ἐξαπέστελλε VB: ἀπέστελλεν Theoph. Cont. 125, 8 cod. V (: ἀπέσταλκεν Bekker) αὐτοῖς VBN: αὐτῇ AE: αὐτῷ C 22 στρατηγοῖς B τε post αὕτη add. B 23 δὲ om. VB 24 ἀμερμουμνὴς EVN 25 καταλήψει VBN: κατασχέσει ACE ἐκπορθείσης C 26 αὐτοῦ om. N παντ. θεσπ. π. ἡλ. om. B τε om. B

πορρωτέρω Λιβύης ἀθροίζεσθαι. πάντα δὲ τὸν στρατευόμενον γράφειν ἐπὶ τῆς οἰκείας ἀσπίδος 'Αμώριον, τὴν κατ' αὐτοῦ ὁρμὴν αἰνιττόμενος. συνήχθη γοῦν αὐτῷ πᾶς ὁ στρατὸς ἀνὰ τὴν Ταρσόν. ἐπεξῄει δὲ καὶ ὁ Θεόφιλος κατὰ τὸ Δορύλαιον, τριῶν ἡμερῶν ὁδὸν 'Αμωρίου ἀπέχον. πολλῶν οὖν συμβουλευόντων μετοικίσαι τὸν ἐν 'Αμωρίῳ οἰκοῦντα λαὸν καὶ ὑπενδοῦναι τῇ ἀσχέτῳ φορᾷ τῶν Σαρακηνῶν, τοῦτο μὲν ἄδοξον ἐδόκει τῷ Θεοφίλῳ καὶ ἄνανδρον, καλὸν δὲ καὶ πρὸς ἀνδρείαν εὔοδον τὸ μᾶλλον ἐποχυρῶσαι αὐτὸ καὶ στρατηγοῦ γενναίου διασῶσαι βουλαῖς. ἐξαπέστειλε γοῦν 'Αέτιον τὸν πατρίκιον καὶ τῶν 'Ανατολικῶν στρατηγόν, δοὺς αὐτῷ καὶ χεῖρα ἀρκοῦσαν εἰς ἀποτροπὴν τῶν ἐχθρῶν. ἐδίδου δὲ καὶ ἡγεμόνας τοῦ λαοῦ τοὺς μετὰ βραχὺ μαρτυρήσαντας, Θεόδωρον τὸν Κρατερὸν καὶ Θεόφιλον καὶ τὸν Βαβούτζικον καὶ τοὺς λοιπούς, οἵτινες οὐ μόνον τοῦ πεμφθέντος τότε λαοῦ, ἀλλὰ καὶ τῆς φάλαγγος τῶν τεσσαρακονταδύο μαρτύρων γεγόνασιν ἀρχηγοί. ὡς δὲ κατὰ τὴν Ταρσὸν ἐπέστη μετὰ παντὸς τοῦ λαοῦ ὁ τῶν Σαρακηνῶν ἡγεμών, βουλευσάμενος μετὰ τῶν συνόντων αὐτῷ καὶ μαντευσάμενος δέον ἔκρινε, μὴ εὐθέως χωρεῖν πρὸς 'Αμώριον, ἀποπειράσασθαι δὲ πρότερον τῆς τοῦ βασιλέως δυνάμεως διὰ τοῦ υἱοῦ αὐτοῦ, μέρος λαβόντος ⟨τοῦ στρατοῦ⟩, τοῦτο λογισάμενος, ὡς εἰ περιγένηται τοῦ βασιλέως | οὗτος, ἕψεται πάντως ἡ νίκη καὶ τῷ πατρί, εἰ δὲ μή, βέλτιον ἡσυχάζειν. ταῦτα βουλευσάμενός τε καὶ κρίνας ἐξέπεμψε τὸν υἱόν, λαβόντα μεθ' ἑαυτοῦ καὶ Ἄμερα τὸν τηνικαῦτα διέποντα τὴν Μελιτηνὴν καὶ Τούρκους ὡσεὶ χιλιάδας δέκα καὶ πᾶσαν τὴν ἐξ 'Αρμενίων στρατιὰν καὶ τὸν ἄρχοντα τῶν ἀρχόντων. ὃς κατὰ τὸν λεγόμενον Δαζιμῶνα γενόμενος παρεμβολὴν ἐπήξατο. ἀπήει γοῦν καὶ ὁ Θεόφιλος κατ' αὐτοῦ στρατόπεδον ἐπαγόμενος οὐκ ἀγεννές, ἔκ τε Περσῶν καὶ τῶν δυτικῶν καὶ τῶν πρὸς ἀνίσχοντα ἥλιον συνιστάμενον. γενόμενος δὲ κατὰ τὸν οὕτω καλούμενον χῶρον 'Ανζῆν ἐπεθύμει κατασκοπεῦσαι πρὸ τοῦ πολέμου καὶ τῆς προσβολῆς τὸ τῶν ἐναντίων ἄθροισμα. εἴς τινα δὲ ὑψηλοτάτην περιωπὴν ὑπὸ τοῦ δομεστίκου τῶν σχολῶν ἀνενεχθεὶς Μανουὴλ κατε-

ACEVBN FH 28 ἀθροίζεσθαι: ἀθροίζειν τοὺς ὑπ' αὐτόν B δὲ om. B προστάξαι ante γράφειν add. B 29 ἀσπίδος VBN: χώρας (corr. in ἀσπίδος E) ACE 29 'Αμώριον AF: 'Αμμόριον CEVN: 'Αμόριον B αἰνιττόμενον B 30 ἐπεξῄει VN: ἐξῄει B: ἐπέξεισι ACE (sed cf. Theoph. Cont. 126, 1) 31 κατ' αὐτοῦ post Θ. add. A 'Αμωρίου A: 'Αμορίου B: 'Αμμορίου CEVN ὁδὸν 'Αμ. ἀπέχ. ACE: 'Αμ. ἀπέχ. ὁδόν VN: ἀπέχ. ὁδ. 'Αμ. B 32 μετοικῆσαι BNF Theoph. Cont. 126, 3 'Αμωρίῳ: v. supra 29 33 ἐσχάτῳ B τοῦτο: τότε B 35 κατοχυρῶσαι VB 36 ἐξαπέστελλε B γοῦν: γὰρ C τὸν ante τῶν 'Ανατ. add. VBNF 37 αὐτοῖς A 38 δὲ om. C 39 Βαβούτζικον V Theoph. Cont. 126, 13: Βωβούτζ. A: Βοβούτζ. CN: Βουβούτζ. BF: Βιβούτζ. E 40 τότε om. A λαοῦ τότε VB 43 ἡγεμών: ἀρχηγός N 44 'Αμ.: v. supra 29 et 32 46 τοῦ στρατοῦ Theoph. Cont. 126, 20: om. ACEVBNFH 47 οὗτος om. VB 48 τε om. VB 49 Ἄμεραν VB Κούρτους N 51 καὶ ante κατὰ add. B 52 στρατὸν οὐκ ἀγεννῆ ἐπαγ. A 57 ἀνενεχθεὶς VBF (cf. ἀνήνεγκεν Theoph. Cont. 127, 9): ἀναχθεὶς (post περιωπὴν A) ACEN

σκόπει τὸ πλῆθος τῶν ἐναντίων καί πως ἐκ στοχασμοῦ βαρύτερον ἐδόκει τὸ τῶν Σαρακηνῶν πλῆθος. ἀλλ' ὁ Μανουήλ· 'μὴ πρὸς τὸ πλῆθος, ὦ βασιλεῦ, ἀπόβλεπε, πρὸς δὲ τὸν ἐκ τῶν δοράτων διάθρει καλαμῶνα τῶν ἀμφοτέρων.' ἐπεὶ δὲ ἰσχυρότερος ἐδόκει ὁ τῶν ἐναντίων στρατός, ἐβουλεύετο, ὅπως ἂν αὐτοῖς ἐπίθηται μετὰ δόλου. ὁ μὲν οὖν Μανουὴλ ἅμα τῷ Θεοφόβῳ νυκτὸς ἐπιθέσθαι τούτοις παρῄνει, οἱ δ' ἄλλοι τῶν στρατηγῶν ἡμέρας τὴν συμβολὴν γενέσθαι προέτρεπον, οἷς ἐπέπειστο καὶ ὁ βασιλεύς. ταύτης δὲ ἐπικρατεστέρας γενομένης τῆς γνώμης, ὡς ἤδη ἡ ἡμέρα ἐπέλαμπε, μάχη συρρήγνυται φοβερά. καὶ τῶν βασιλικῶν ταγμάτων ἐκθύμως ἀγωνισαμένων οἱ Ἰσμαηλῖται ἐνέκλιναν | εἰς φυγήν. τῶν δὲ Τούρκων ἐπιμόνῳ χρωμένων τῇ τοξείᾳ, καὶ τὸ καταδιῶκον τῶν Ῥωμαίων ἀνακεκρουκότων, παλίντροπον συνέβη γενέσθαι τὴν μάχην. μὴ δυνάμενοι γὰρ οἱ Ῥωμαῖοι τὰ Τούρκων φέρειν τοξεύματα τῷ βάλλεσθαι καρτερῶς νῶτα δόντες τὸν βασιλέα κατέλιπον. οὐ μὴν οἱ τῶν ταγμάτων ἔξαρχοι, οὐδ' οἱ Πέρσαι τοῦτο δρᾶσαι ἠνέσχοντο, ἀλλὰ περιστάντες τὸν βασιλέα εὐρώστως σῴζειν ἠπείγοντο. καὶ κἂν ἀπώλοντο πανδημεί, εἰ μὴ νὺξ ἐπῆλθε καὶ βραχὺς ἐξ οὐρανοῦ κατενεχθεὶς ὑετὸς τὰς μὲν νευρὰς τῶν τόξων χαλαρὰς εἰργάσατο, τοῖς δὲ Ῥωμαίοις ἄνεσιν τὴν ἐκ τῶν βελῶν περιεποίησε καὶ σωτηρίας ἐνέδωκεν ἀφορμάς. βαθείας δὲ νυκτὸς γενομένης, ὡς ἠσχόλητο περὶ τὰς φυλακὰς ὁ Μανουήλ, γλώττῃ πως ᾔσθετο τῇ Σαρακηνῶν τοὺς Πέρσας τοῖς Σαρακηνοῖς σπενδομένους καὶ τὸ στράτευμα τῶν Ῥωμαίων προδοῦναι καὶ πρὸς τὴν ἐνεγκοῦσαν παλινδρομῆσαι. δῆλα γοῦν εὐθὺς ταῦτα ποιεῖ τῷ βασιλεῖ καὶ σῴζειν ἑαυτὸν μετὰ τῶν λογάδων ἠξίου, καὶ μὴ περιμένειν τὴν ἅλωσιν. τοῦ δὲ βασιλέως 'καὶ πῶς τοῦτο ἔσεται' ἐπερωτήσαντος, 'τῶν δι' ἐμὲ προσμεινάντων ἀπολομένων;' ὑπολαβὼν ὁ Μανουὴλ 'σοὶ μόνον

66 die 22. mens. Iul. a. *838*

ACEVBM (ab **58** καί) N F **58** τὰ πλήθη A **59** τὸ — πλῆθος prim: τὸ στράτευμα τῶν Σαρακηνῶν A **60** εἶπε post ἀπόβλ. add. B ἐκ om. A τῶν om. A **61** στρατός: στρατηγός CN **62** ἐβούλετο B ἐπίθηται ACEVN: ἐπίθεται MF: ἐπίθοιτο B **63** ἐπιθέσθαι ACEMN: ἐπιθήσεσθαιι VB **65** καὶ om. E **66** ἡ om. BN **67** Ἰσμαηλῖται AB Theoph. Cont. 127, 19 cod. V ἐνέκλιναν ACEN Theoph. Cont. 127, 19: ἔκλιναν VBMF **68** τῇ τοξ. χρωμ. B τὸ καταδιῶκον: καταδιωκόντων M **69** γεν. συνέβη A **70** τῶν ante Τούρκων add. ACEB φέρειν post Ῥωμ. M **71** καρτερῶς VBMN Theoph. Cont. 128, 3: κρατερῶς ACE **75** εἰργ. χαλ. B εἰργάσατο VBMN Theoph. Cont. 128, 9: ἀπειργάσατο ACE **76** ἄνεσιν post περιεπ. B τῶν om. E βολῶν B ἐνέδωκεν ACEVM Theoph. Cont. 128, 11: ἐνέδωκαν N: ἔδωκεν B **77** γεν. νυκτ. ACE **78** γλώττῃ VMN Theoph. Cont. 128, 13: γλώττης B: γλώσσῃ ACE ᾔσθ. τῶν Σαρ. B σπενδουμένους E **79** καὶ pr. om. B στράτ. τὸ Ῥ. C **80** εὐθύς: αὖθις E ταῦτα om. E ποιεῖ CMN Theoph. Cont. 128, 17: ποιεῖται AEVBF **81** ἑαυτόν: αὑτὸν E **82** ἔσεται VBMN: ἔφησεν ACE ἐρωτήσαντος B **83** μόνον ACBN Theoph. Cont. 128, 20: μόνῳ EVM

ἔστω, βασιλεῦ;' ἔφη, 'τὸ σῴζεσθαι ἐκ θεοῦ, οὗτοι δὲ ταχέως τὰ κατ' αὐτοὺς διοικήσουσιν.' ὀψὲ γοῦν κατὰ τὸ περίορθρον τοῦ βασιλέως φυγῇ χρησαμένου καὶ πρὸς τὸ λεγόμενον Χιλιόκωμον διασωθέντος οἱ λειποτάκται ὑπήντων αὐτῷ καὶ ἀναξίους ἑαυτοὺς ἔφασκον τῆς ζωῆς, βασιλέα ἐν πολέμῳ καταπροέντες, καὶ ἅμα τοῖς | ἑαυτῶν ἐγυμνοῦντο ξίφεσιν. ἀλλ' ὁ Θεόφιλος τῷ θεάματι τρωθεὶς τὴν ψυχήν, 'εἰ ἐγώ', φησί, 'σέσωσμαι ἐκ θεοῦ, σώθητε καὶ ὑμεῖς.' αὕτη ἡ τῶν Περσῶν πρὸς τοὺς ἐξ Ἄγαρ κοινολογία τοῖς Θεοφόβου ἐχθροῖς καὶ θάνατον αὐτοῦ ψηφιζομένοις δευτέρα τις γέγονεν αἰτία καὶ ἀφορμὴ εὔκαιρος εἰς διαβολήν. τῷ δ' ἀμερμουμνῇ ἀκηκοότι τὴν νίκην ἔδοξε μὴ μέλλειν, ἀλλ' ἀπιέναι πρὸς τὸ Ἀμώριον. ἀγείρας οὖν τό τε οἰκεῖον στράτευμα, καὶ τῷ υἱῷ ἐπιστείλας παραπλησίως ποιεῖν, εἴχετο τῆς ὁδοῦ. ἑνωθέντων οὖν τῶν στρατευμάτων χάραξ τε ἐπήγνυτο ὀχυρὸς καὶ ἡ πόλις τάφρῳ βαθείᾳ ἐστεφανοῦτο καὶ ἡ πολιορκία ἔμπρακτος καὶ ἐνεργὸς ἐγίνετο, τῶν μὲν Τούρκων ἐπιμόνοις καὶ συνεχέσι χρωμένων τοξεύμασι, τῶν δὲ Σαρακηνῶν τὰς ἑλεπόλεις προσαγόντων τοῖς τείχεσι, τῶν δ' ἔνδον τοῦ τείχους ἐναπειλημμένων Ῥωμαίων εὐψύχως καὶ ἡρωϊκῶς ἀγωνιζομένων καὶ τὰ τῆς πολιορκίας ἀποκρουομένων εὐπετῶς ὄργανα. ἡ μὲν οὖν πολιορκία τῆς πόλεως ἐκ διαδοχῆς ἐνηργεῖτο καὶ συνεχὴς ἦν καὶ ἀδιάκοπος, Θεόφιλος δὲ ἐκ τῆς τροπῆς μόλις διαφυγὼν καὶ πρὸς τῷ Δορυλαίῳ γενόμενος ἐκεῖσε προσεκαρτέρει, τὴν ἔκβασιν ἐκδεχόμενος. ἀπεπειρᾶτο τῆς τοῦ ἀμερμουμνῆ γνώμης, εἴ πως δυνηθείη τοῦτον μεταστῆσαι τῆς πολιορκίας. ἐκπέμπονται οὖν πρεσβευταὶ μετὰ δώρων τιμίων καὶ ὑποσχέσεων οὐκ ὀλίγων τοῦτον ἐκδυσωπήσοντες, οἳ δὴ καὶ τὸ στρατόπεδον καταλαβόντες τῶν Σαρακηνῶν καὶ εἰς ὄψιν τῷ ἄρχοντι καταστάντες τὰ παρὰ τοῦ βασιλέως μηνυ|θέντα παρίστων. ὁ δὲ θυμῷ κατεχόμενος ἀσχέτῳ διὰ τὴν τῆς πατρίδος ἅλωσιν τὸν μὲν βασιλέα τῆς δειλίας κατεκερτόμει, ἐξουθένει δὲ καὶ τὴν πρεσβείαν καὶ ἐκωμῴδει καὶ τοὺς πρεσβευτὰς ἐν δεσμοῖς κατεῖχε, περιμένων τὴν τῆς πράξεως ἔκβασιν. τὴν δὲ πολιορ-

11 ante diem 1. mens. Aug. a. 838

ACEVBMN FH 84 ἔστω VBMN Theoph. Cont. 128, 20: ἔσται ACE ἔφη post θεοῦ B κατ' αὐτοὺς EVBMN Theoph. Cont. 128, 21: καθ' ἑαυτοὺς C: κατὰ σὲ A 86 διασωθέντες C 87 ὑπήντουν B 88 τῷ ante πολ. add. VB τοῖς: τοὺς B ἐγυμνοῦντο ξίφεσιν: τραχήλους ἐγύμνουν τοῖς ξ. B 90 σωθήσεσθαι B τοὺς Ἀγαρηνοὺς ACE 91 κοινολόγους B θάν. καταψηφιζομένοις αὐτοῦ δευτ. B 92 δὲ ἀμερμ. M 93 ἀμερμυμνῇ N ἀκηκοότα C νίκην: ἧτταν B ἔδοξε — μέλλειν: οὐκ ἔδοξε μέλλειν B 94 Ἀμώριον A: Ἀμμόριον CEVMN: Ἀμόριον B ἐγείρας M δὲ add. post υἱῷ MNF καὶ — ἐπιστείλας: ἐπιστείλας δὲ καὶ τῷ υἱῷ B 1 ὀχυρὸς ACEVB: ἰσχυρὸς MN 6 εὐπετ. ἀποκρ. A 8 Δορυλαίῳ EMN (cf. Theoph. Cont. 129, 17 κατὰ τὸ Δορύλαιον cod. V): Δορυλέῳ VB: Δορυελαίῳ A: Δορυλαίᾳ C 9 ἀπεπειρ. δὲ καὶ τῆς B τε post ἀπεπειρ. add. E 10 τοῦτον μεταστῆσαι VBMNF: μεταστῆσαι τοῦτον ACEH 11 ὑποσχέσεως οὐκ ὀλίγης A 12 ἐκδυσωπήσαντες B 15 τῆς om. B 16 καὶ sec. om. E 17 πράξεως: παρατάξεως C

κίαν ἐπὶ πλέον ἐπέτεινεν εἰς πολλὰ μέρη διελὼν τὸν στρατὸν καὶ ἐκ διαδοχῆς τὰς προσβολὰς ποιούμενος, ἵνα τῷ πλήθει καὶ τῇ ἀκμαιότητι τῶν ὑπαλλαττομένων ἀποκαμόντες οἱ ἔνδον καὶ πρὸς τοὺς πόνους ἀπειρηκότες ἐνδώσουσι. καρτερῶς δὲ καὶ τῶν ἔνδον ἀμυνομένων ἄπρακτοι αἱ ἐπιχειρήσεις τῆς πολιορκίας ἐγίνοντο. καὶ κἂν διέφυγεν ἡ πόλις τὴν ἅλωσιν, εἰ μή τις τῶν εἴσω δώροις ὑποκλαπεὶς καὶ τὴν τῶν Χριστιανῶν ἐξομοσάμενος πίστιν, διά τινα φιλονεικίαν εἰς τοσοῦτον κίνδυνον ὀλισθήσας, προδοσίᾳ προὔδωκε τὴν πατρίδα. Βοϊδίτζης κλῆσις τῷ ἀνδρί. οὗτος γὰρ λάθρᾳ τοῖς Σαρακηνοῖς ἐντυχών, καὶ ἔνθα τὸ τεῖχος εὐέφοδον ἦν ποιεῖσθαι τὰς προσβολὰς ὑποθέμενος, αἴτιος γέγονε τοῦ τὴν πόλιν ἁλῶναι. ἧς δὴ πολέμου νόμῳ ληφθείσης ποῖος ἱκανὸς λόγος ἐξειπεῖν τὸ πλῆθος τῶν ἀναιρεθέντων καὶ τῶν αἰχμαλωτισθέντων; θυμῷ γὰρ βαλλόμενοι οἱ Σαρακηνοὶ διὰ τὸ πολλοὺς τῶν ἐπιφανῶν κατὰ τὸν καιρὸν τῆς πολιορκίας ἀναιρεθῆναι οὐδένα οἶκτον τῶν προστυχόντων ἐλάμβανον, ἀλλ' ἀνῃροῦντο μὲν ἄνδρες, ἤγοντο δὲ γυναῖκες σὺν μειρακίοις καὶ νεανίσκοις, ἐπυρπολοῦντο τὰ κάλλιστα τῶν οἰκημάτων, καὶ ἐν οὐ μακρῷ τῷ χρόνῳ ἡ τῶν | ἑῴων πόλεων διαπρεπεστέρα ἐκλελειμμένον ἐδείκνυτο ἐρείπιον. ἤγοντο δὲ ζωγρίαι καὶ οἱ τῶν στρατευμάτων ἐξάρχοντες, Καλλιστός τε καὶ Κωνσταντῖνος καὶ Θεόδωρος ὁ Κρατερὸς οἱ πατρίκιοι καὶ ἄλλοι πλεῖστοι τῶν ἐν στρατηγίαις διαφανῶν, μεγίστοις ἐμπρέποντες ἀξιώμασιν. οὕτω δὲ χειρωθείσης τῆς πόλεως τοὺς πρέσβεις ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς τῶν πραχθέντων ἕκαστον ἐπισκοπῆσαι ἐγκελευσάμενος, ὥσπερ τις ἐντρυφῶν καὶ ἐνευωχούμενος τοῖς πραχθεῖσιν, αὐταγγέλους τῆς συμφορᾶς ἐκπέμπει τῷ βασιλεῖ. οὓς πάλιν ἐκεῖνος πρὸς τὸν ἀμερμουμνῆν ἐξαπέστειλεν, ἀποδοθῆναί οἱ ζητῶν τούς τε ληφθέντας διαφανεῖς ἄνδρας ἐν τῇ πολιορκίᾳ καὶ τοὺς κατὰ γένος αὐτῷ προσήκοντας καὶ τοὺς λοιποὺς αἰχμαλώτους, εἴκοσιν ἐπὶ τέσσαρσι κεντηνάρια δώσειν ὑπισχνούμενος ὑπὲρ λύτρων αὐτῶν.

28 die 12. mens. Aug. a. 838 **42** inter diem 13. mens. Aug. et mens. Nov. a. 838

ACEVBMN FH **20** ἀπαλλαττ. B **22** ἐπεχειρήσεις M **23** τείχους post εἴσω add. VB **25** προδοσίᾳ om. ACEB Βοϊδίτζις B κλῆσις ACE (cf. Theoph. Cont. 130, 11 ἐκαλεῖτο): ὄνομα VBMNFH **28** ληφθ. νόμῳ B λόγος ἱκ. B **29** τὸ πλῆθος om. B τε ante ἀναιρ. add. A τῶν alt. om. M **30** παρ' αὐτοῖς ante ἐπιφ. add. B **30/31** κατὰ — πολιορκίας: κατὰ τὴν πολιορκίαν B ἀναιρ. post ἐπιφ. M **32** οἱ ante ἄνδρες, αἱ ante γυν. add. ACE **33** πυρπολοῦνται τῶν οἰκοδομημάτων τὰ κάλλ. B **34** ἐν VBMN: ἐπ' ACE οὐ μακρῷ: βραχεῖ B ἐκλελυμένον A **35** ἐδείχθη B στρατηγῶν B **36** ὁ VBMN: καὶ ACE Καρτερὸς B **37** στρατηγίαις: στρατηγίᾳ B: στρατηγίοις C **38** δὲ VB MN: δὴ ACE **40/41** ὥσπερ — αὐταγγέλους VBMN: ὥσπερ τις (: τοῖς C: om. A) τοῖς πεπραγμένοις ἐντρ. καὶ ἐνευωχ. (εὐωχ. C), αὐτ. ACE **40** τις om. AB **42** πάλιν: αὖθις A ἀμερμουμνὴν MN **43** ζητῶν — πολιορκίᾳ: ζ. τοὺς διαφανεῖς ἄνδρας τοὺς ἐν τῇ πολ. ληφθ. B **45** κεντηνάρια: κεντηναρίοις C: κεντηναρίων B ὑπισχν. post αὐτῶν ACE λύτρων CEVB: λύτρον MN: λύτρου A

ὁ δὲ τὴν πρεσβείαν δεξάμενος πάλιν μεθ' ὕβρεων τοὺς πρέσβεις ἀπέπεμψεν, ἀνόητος ἂν εἶναι εἰπών, εἰ χίλια καταναλώσας κεντηνάρια ἐπὶ συλλογῇ τοῦ οἰκείου στρατοῦ τοσούτων ἀποδώσει τοὺς ἡλωκότας κεντηναρίων.

24. Ἀπράκτων δὲ τῶν πρέσβεων ὑποστρεψάντων τῇ ἀπληστίᾳ τῆς συμφορᾶς πληγεὶς ὁ Θεόφιλος πᾶσάν τε βρῶσιν καὶ πόσιν ἀποστρεφόμενος καὶ σχεδὸν ἀπόσιτος γεγονὼς καὶ μηδὲν ἕτερον προσιέμενος, ἢ τὸ ἐκ χιόνος ἀποθλιβόμενον ὕδωρ, δυσεντερίας ἑάλω νοσήματι. ἀλλὰ καίπερ οὕτως ἔχων πονήρως, οὐκ ἠρέμει, οὐδὲ μετρίως ἔφερε τὴν τοῦ Ἀμωρίου καταστροφήν, ἀλλὰ καιρὸν καὶ τρόπον ἐζήτει, πῶς ἂν ἀμύναιτο | τὸν ἐχθρόν. διὸ καὶ στέλλει πρὸς τὸν ῥῆγα Φραγγίας τὸν πατρίκιον Θεοδόσιον, ἐκ τοῦ τῶν Βαβουτζίκων καταγόμενον γένους, ἐπικουρίαν τε ἐξαιτῶν πεμφθῆναι αὐτῷ καὶ ἀποστεῖλαι δύναμιν ἀξιόμαχον καὶ κακῶσαι μέρη τινὰ τῆς Λιβύης τῷ ἀμερμουμνῇ διαφέροντα. ἀλλ' αὕτη μὲν ἡ πρεσβεία ἄπρακτος ἔμεινε, τοῦ Θεοδοσίου καθ' ὁδὸν τὴν ζωὴν καταστρέψαντος. ὁ δὲ Θεόφιλος καὶ ταύτης διεκπεσὼν τῆς ἐλπίδος ἐπὶ πλέον τε ὑπὸ τῆς νόσου σφιγγόμενος ἄνεισι κλινήρης πρὸς τὴν Μαγναύραν, ἐν ᾗ τήν τε σύγκλητον ἐκκλησιάσας καὶ τὸ λοιπὸν ἐμφανὲς μέρος τῆς πόλεως τὰ καθ' ἑαυτὸν ἐξετραγῴδει καὶ ὠλοφύρετο καὶ τοὺς συνειλεγμένους ἐζήτει τὴν εἰς αὐτὸν ἀπομνημονεύειν εὔνοιαν ἐν τῷ πίστιν καὶ εὐμένειαν τηρῆσαι πρός τε τὴν αὐτοῦ σύζυγον καὶ τὸν παῖδα καὶ διαφυλάξαι τούτοις τὴν βασιλείαν ἀνεπιβούλευτον. ἐπικλασθέντων δὲ τῶν συνηθροισμένων τοῖς ἐλεεινοῖς τούτοις ῥήμασι τοῦ βασιλέως ὀδυρμὸς ἤρθη καὶ κωκυτὸς παρὰ πάντων. καὶ πάντες θεοκλυτοῦντες ηὔχοντο μὲν τῷ βασιλεῖ ὑγείαν τε καὶ ζωήν, εἰ δ', ὅπερ

56 ante diem 20. mens. Ian. a. 842

---

cap. 24: Theoph. Cont. 135, 1—135, 15. 138, 1—139, 6; Zon. *III*, 379, 11—380, 8. 381, 5—381, 10; Glyc. 539, 1—539, 3. 541, 13—541, 15

ACEVBMN F **46** τὴν πρεσβ. δεξ. om. B μεθ' — ἀπέπεμψεν VBMN: τοὺς πρέσβεις ἀπέπεμψε μεθ' ὕβρεων ACE ὕβρεως M **47** ἂν om. B κεντηνάρια om. B **48** ἁλόντας A **50** τῇ ἀπληστίᾳ: τῷ μεγέθει B **53** ἀποθλιβόμενος E: om. B **55** Ἀμωρίου AF: Ἀμορίου B: Ἀμμορίου CEVMN τρόπον: τόπον A **56** Φαρκίας B **58** τε — αὐτῷ: τε ἐξ αὐτοῦ πεμφθ. αἰτῶν B ἀποστεῖλαι om. M **59** ἀλλὰ V **60** μὲν ante Θεοδ. add. AC **60/61** καθ' — καταστρέψαντος: τὴν ζωὴν καθ' ὁδὸν μεταστρέψαντος B **62** τε om. ACEB πρὸς: εἰς BM **65** τὴν: τῆς B ἀπομνημονεύειν: ἀποσῴζειν A **66** ἐν τῷ om. A τε post πίστιν add. A καὶ εὐμένειαν om. B τε om. B ἑαυτοῦ B **68** τῶν δὲ συν. ἐπικλ. A συνηθροισμένων: συνειλεγμένων B **69** καὶ κωκ. om. B παρὰ πάντων post ἤρθη A σφοδρὸς post πάντων add. B **70** θεοκυκλοῦντες MN μὲν om. B

ἀπευκτὸν ἦν αὐτοῖς, θάνατος, ἔλεγον, ἐπακολουθήσει, ὑπὲρ τῆς αὐτοῦ γαμετῆς, σφῶν δὲ δεσποίνης, καὶ τῶν παίδων ὑπισχνοῦντο καὶ αὐτάς, εἰ δεήσοι, προέσθαι τὰς ψυχὰς καὶ τηρῆσαι τούτοις τὴν βασιλείαν ἀδιαλώβητον. καὶ οἱ μὲν κατεπηγγείλαντο ταῦτα, ὁ δὲ βασιλεὺς ὑπὸ τῆς νόσου τελέως τακεὶς καὶ μικρὸν ἐπιβιοὺς τὸ κοινὸν ἀνεπλήρωσεν ὄφλημα, ἐπὶ δώδεκα ἔτεσι καὶ μησὶ τρισὶ τὴν βασιλείαν ἰθύνας.

25. Ἐπεὶ δέ, ὡς φθάσας ὁ λόγος | ἐδήλωσε, χώραν ἔσχον οἱ διαβάλλοντες τὸν Θεόφοβον ἀπὸ τῶν εἰρημένων αἰτιῶν, ὡς ἔγνω Θεόφιλος τὸ τέλος τῆς ἑαυτοῦ βιοτῆς, ἐν δεσμωτηρίῳ τίθησιν αὐτὸν ζοφωδεστάτῳ κατὰ τὸν Βουκολέοντα. καὶ ἤδη τοῦ τέλους ἐγγίζοντος προσέταξεν ἀποτεμεῖν τούτου τὴν κεφαλὴν καὶ αὐτῷ ἐνεγκεῖν. ἥνπερ δεξάμενος καὶ ταῖς χερσὶ τῶν τριχῶν ἐπαφώμενος ἔσχατον ἐπεῖπε λόγον, ὡς ʻἀπὸ τοῦ νῦν οὔτ' ἐγὼ Θεόφιλος, οὔτε σὺ Θεόφοβος.' τινὲς δὲ τῷ Ὠορύφᾳ δρουγγαρίῳ τῆς βίγλας τυγχάνοντι ἀνατιθέασι τὴν τοῦ Θεοφόβου σφαγήν, αὐθαιρέτως αὐτὴν ἐργασαμένῳ μηδενὸς κελεύσαντος.

75 die 20. mens. Ian. a. 842

---

cap. 25: Theoph. Cont. 135, 16—136, 23; Zon. III, 380, 8—381, 5; Glyc. **541, 9—541, 13**

ACEVBMN FH **71—73** ἀπευκτὸν— τηρῆσαι: ἀπευκτ. ἡμῖν, ἔλεγον, θάν. ἐπακ., ὑπισχν. καὶ αὐτάς, εἰ δέοι, προέσθαι τὰς ψυχὰς ὑπὲρ τῆς σφῶν δεσπ. καὶ τῶν παίδων αὐτῆς καὶ τηρ. B **71** ἔλεγον VBMN: αὐτῷ ACE **72** καὶ ante σφῶν add., δὲ om. A **73** δεήσοι MN: δεήσει ACE: δέοι VB τὰς ψυχ. προέσθαι A **74** ἀλώβητον E κατεπηγγείλαντο: κατεπηγγέλλοντο A: κατεπήγγειλαν B **75** τελείως A τελέως post **74** βασιλεὺς VB βιοὺς M πάλιν post κοινὸν add. B ἀνεπλήρωσεν VMN: ἀπεπλήρωσεν B: ἐπλήρωσεν ACE **76** τρισὶ μησὶ B **77** ὡς post ἐδήλωσεν ACE φθάσας ὁ λόγος VMN: ὁ λόγος φθάσας ACEB **79** τὸ τέλος om. B αὐτοῦ AB ἀσφαλεστάτῳ καὶ ante ζοφ. add. A ζοφωδεστάτῳ: ἀσφαλεστάτῳ B **81** τούτου τὴν: τὴν αὐτοῦ B **82** τριχῶν: τειχῶν AC ἀπεῖπε C **83** οὔτ' ἐγὼ ACE Theoph. Cont. 136, 17 cod. V (οὐδ' Bekker): οὔτε ἐγὼ VBMNF **83/84** τῷ — τυγχάνοντι: τὸν Ὀρύφα δρουγγάριον τῆς βιγλ. τυγχάνοντα C **83** Ὠορύφᾳ AB Theoph. Cont. 136, 18: Ὀρύφᾳ EVMN **84** βίγλης MN **85** αὐτὴν ACEBF: αὐτὸν VMNH ἐργασάμενον MN post κελεύσαντος add. E: οὗτος ὁ βασιλεὺς Θεόφιλος ἐβασίλευσεν ἔτη ιβ', ἡμέρας κ'. ἐκράτησε γὰρ κατὰ τὴν β' τοῦ Ὀκτωβρίου μηνός, ἐτελεύτησε δὲ κατὰ τὴν κβ' τοῦ αὐτοῦ μηνός. ἐτάφη ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῷ ἡρώῳ τοῦ Ἰουστινιανοῦ ἐν λάρνακι πρασίνῳ.

ΜΙΧΑΗΛ Ο ΥΙΟΣ ΘΕΟΦΙΛΟΥ ΣΥΝ ΤΗ ΜΗΤΡΙ ΑΥΤΟΥ

1. Καταστρέψαντος δὲ τοῦ Θεοφίλου τὴν ζωὴν ὁ υἱὸς αὐτοῦ Μιχαὴλ τὰ σκῆπτρα τῆς βασιλείας ἀναδέχεται σὺν τῇ μητρὶ Θεοδώρᾳ, ἐπιτρόπους ἔχων καὶ ῥυθμιστάς, οὓς αὐτῷ ἐν διαθήκαις ἐπέστησεν ὁ πατήρ, τόν τε μάγιστρον Μανουὴλ καὶ δομέστικον χρηματίσαντα τῶν σχολῶν, καὶ τὸν πατρίκιον Θεόκτιστον καὶ λογοθέτην τοῦ δρόμου. οἳ παραχρῆμα τοῦ θανεῖν τὸν Θεόφιλον ἐξελθόντες εἰς τὸν ἱππόδρομον κἀκεῖσε τὸν δῆμον ἐκκλησιάσαντες λόγους τε διῆλθον τῆς πρὸς αὐτοὺς ἀναμιμνήσκοντες εὐνοίας τοῦ βασιλέως καὶ ἐπαγωγὰ πολλὰ καὶ θελκτήρια λέξαντες τὴν τῶν ἀκουόντων εὐμένειαν ἐπεσπάσαντο, ὑποσχομένων τὸ ἑαυτῶν ἐκχέαι αἷμα ὑπὲρ τῆς σωτηρίας τοῦ βασιλέως. καὶ ὅρκοις εὐθὺς ἐνεπέδουν τοὺς λόγους.

2. Ἐγκρατοῦς δὲ τῆς βασιλείας σὺν τῷ υἱῷ γενομένης τῆς Θεοδώρας, εὐθὺς καὶ | ἐκ προοιμίων ὑποθήκαις ἀνδρῶν εὐσεβῶν τὰ τῆς αἱρέσεως ἀνεσκοπεῖτο τῶν εἰκονομάχων, ἀπὸ τῆς βασιλείας Λέοντος τοῦ ἐξ Ἀρμενίων καὶ μέχρι τῆς τελευτῆς Θεοφίλου τὴν ὑπὸ Ῥωμαίους διανεμομένης. *συνεπετίθετο δὲ τῇ καθαιρέσει ταύτης καὶ ὁ Θεόκτιστος.* ὁ δὲ Μανουὴλ ἐπί τινα καιρὸν ὀκλάζων ἦν, οὐδεὶς δὲ παρρησιάσασθαι ἐτόλμα καὶ εἰς τοὐμφανὲς ἐνεγκεῖν λόγον περὶ τῆς ταύτης καταστροφῆς, τοῦ πλείστου μέρους τῆς συγκλήτου καὶ τῆς συνόδου καὶ αὐτοῦ τοῦ πατριάρχου τῇ αἱρέσει κατισχημένων. μόνος δὲ τοῦτο ἐτόλμησε κινηθεὶς ἐκ θείας

87 die 21. mens. Ian. 842

---

cap. 1: Theoph. Cont. 148, 4—148, 14; Zon. III, 381, 11—381, 15; Glyc. 541, 16/17
cap. 2: Theoph. Cont. 148, 14—154, 12; Zon. 382, 1—384, 4

ACEVBMN FH 86 Μιχαὴλ — αὐτοῦ ACEVN (non pr. m.): Βασιλεία Μιχαὴλ τοῦ υἱοῦ Θεοφίλου μετὰ τῆς μητρὸς αὐτοῦ Θεοδώρας B: Ἀρχὴ βασιλείας Μιχαὴλ υἱοῦ Θεοφίλου τοῦ ἐξ Ἀμορίου τοῦ τραυλοῦ M Θεόφιλος C σὺν — αὐτοῦ om. C ὁ λεγόμενος μεθυστὴς post Θεοφ. add. E Θεοδώρᾳ post αὐτοῦ add. CE 87 υἱὸς AC Theoph. Cont. 148, 8: παῖς VBMNFH 92 τοῦ: τῷ A 93 δῆμον: δρόμον C εὐν. ἀναμιμν. ACE 94 ἐπαγωγὰς πολλὰς B 1 ἐνεπέδουν VBMN: ἐνεπέδωσαν ACE 5 ἀνεσκοπεῖτο VBMN: ἐσκοπεῖτο ACE 6 Ἀρμενίων ACEVMN: Ἰσαύρων B 7 συνεπετίθετο ACVBN: συνεπετέθετο E: συνεπιτίθετο M καὶ om. VF 8 δὲ: οὖν B 9 καὶ om. MN καὶ εἰς: ἢ (ante ἐνεγκεῖν) B ταύτης: τοιαύτης B 10 καὶ post μέρους add. B τῆς συνόδου καὶ τῆς συγκλήτου M 11 κατισχημένων: κεκρατημένων B μόνον B

ἐνεργείας ὁ Μανουήλ. πρότερον μὲν γάρ, ὡς εἴρηται, ἐνδοιάζων ἦν περὶ τὴν τῶν πανσέπτων εἰκόνων προσκύνησιν, ὕστερον δὲ ταύτην ἠσπάσατο ἐκ τοιαύτης αἰτίας. νόσῳ κατεσχέθη χαλεπωτάτῃ καὶ ἀπέγνωστο αὐτῷ ἡ ζωή, πάσης ἰατρικῆς τέχνης ἀποκαμούσης. ἦλθον οὖν τινες πρὸς αὐτὸν ἀκηκοότες τοῦτον τεθνάναι εὐλαβεῖς μοναχοὶ ἀπὸ τῆς τοῦ Στουδίου μονῆς. προσεγγίσαντες δὲ τῇ κλίνῃ καὶ γνόντες αὐτὸν ἔτι ζῆν τε καὶ ἐμπνεῖν, εὐηγγελίζοντο ζωὴν αὐτῷ καὶ ἀνάρρωσιν καὶ πρὸς τὴν ἔμπροσθεν ὑγείαν ἀποκατάστασιν. ὁ δὲ πρότερον μὲν διηπίστει. ὅμως ἐνισταμένων τῶν θείων ἀνδρῶν καὶ μὴ ἐνδοιάζειν λεγόντων πρὸς τὴν δύναμιν τοῦ θεοῦ τὴν ἀποκαλυφθεῖσαν αὐτοῖς, μικρὸν ἀνενεγκὼν τῆς νόσου οὗτός φησι πρὸς αὐτοὺς λεπτῷ καὶ ἀδρανεῖ τῷ ἄσθματι· 'καὶ πῶς ἔσται μοι τοῦτο, ὦ θεῖοι πατέρες; αἱ ψυχικαὶ δυνάμεις ἀπολελοίπασι, τὸ σῶμα τέλεον ἐξησθένησε καὶ κατέσκληκεν. ἐγὼ δὲ κεῖμαι τεταριχευμένος καὶ σκελετός, ἐν οὐδενὶ διαφέρων ἑτέρῳ τῶν τεθνηκότων, ἢ μόνῳ τῷ ἀναπνεῖν. τίς οὖν ἐλπὶς ἢ ποῖος λόγος ἔσεται ὁ πείσων με ἀναρρωσθήσεσθαι καὶ εἰς τὴν προτέραν εὐεξίαν ἐλθεῖν;' ὑπολαβόντες οὖν οἱ ὅσιοι ἔφησαν πρὸς αὐτόν· 'πάντα δυνατὰ καὶ οὐδὲν ἀδυνατεῖ τῷ θεῷ. εἰ οὖν σπουδάσεις ἀναρρωσθεὶς τὴν τῶν εἰκονομάχων ἀποσβέσαι πυρκαϊὰν καὶ τὰς ἱερὰς εἰκόνας κατὰ τοὺς παλαιοὺς καὶ πατρικοὺς θεσμοὺς ἀναστηλῶσαι, εὐαγγελιζόμεθά σοι τὴν ζωήν.' εἶπον, καὶ ὑπεχώρησαν. τῷ δὲ Μανουὴλ παραδόξως καὶ ὑπὲρ πᾶσαν προσδοκίαν ἥ τε νόσος ἐρράϊσε καὶ αἱ φυσικαὶ ἐνέργειαι ἀκωλύτως ἐπετελοῦντο καὶ ἐν βραχεῖ τῷ χρόνῳ τελέαν τοῦ ἀρρωστήματος ἐσχήκει ἀπαλλαγήν. ῥάων δὲ τῆς νόσου γενόμενος ἐξιππασάμενος εὐθὺς ἄπεισι πρὸς τὸ παλάτιον καὶ εἴσεισι πρὸς τὴν βασιλίδα καὶ πάντα τρόπον αὐτὴν παρεκίνει τὰς θείας ἀναστηλῶσαι εἰκόνας, πάλαι καὶ αὐτὴν ἀφορμῆς δράξασθαι γλιχομένην, διὰ παντὸς ἐρεθιζομένην παρὰ τῆς οἰκείας μητρὸς εἰς τοῦτο καὶ τῶν μητραδέλφων τῶν πατρικίων. ὅμως δὲ ἀντέπιπτεν ἡ Θεοδώρα τοῖς λόγοις τοῦ Μανουήλ, εἴτε τοὺς πρὸς τὸν ἄνδρα ὅρκους εὐλαβουμένη, εἴτε, ὡς ἔφαμεν, καὶ τὸ πλῆθος δεδοικυῖα τῶν τῇ αἱρέσει κατειλημμένων. ἐγκειμένου δὲ τοῦ

ACEVBMN FH **13** τὴν om. CB πανσέπτων: σεπτῶν B ἤσπατο E **14** αὐτῷ: αὐτοῦ B **15** οὖν om. VB πρὸς ACE (cf. Theoph. Cont. 148, 18): ὡς VMNFH: εἰς B **16** τοῦ om. E **17** προσεγγίσαντες — κλίνῃ om. B ἔτι ζῆν AVMN: ἐπιζῆν CE: ὅτι ζῇ B τε καὶ ἐμπνεῖν om. B **18** αὐτῷ ACEVB: τε MN (αὐτῷ — πρὸς om. F) **21** οὗτος τῆς νόσου V τῆς νόσου om. B **22** οὗτος: ἐκεῖνος B λεπτῷ: μικρῷ B **25** ἐν om. B ἑτέρῳ om. BM μόνον τὸ ἀναπνεῖν B **26** ἔσεται λόγος B ἀναρρωθήσεσθαι B **29** σβέσαι B **30** κατὰ ACEVB: καὶ MN ἀναστηλῶσαι θεσμούς B **31** σοι om. M καὶ post σοι add. B **33** ἀκωλύτως: παραδόξως (suprascr. ἀκωλύτως) E ἐπετελοῦντο ACEVB: ἐτελοῦτο MN τελέαν CEVMN: τελείαν A: τελείως B **34** δέ: τε B τῆς νόσου γενόμενος om. M **35** ἄπεισι post παλάτιον AB πρός: εἰς A **36** παρεκίνει αὐτὴν B **37** δράξασθαι ἀφορμῆς M γλιχομένην: βουλομένην A **38** εἰς: πρὸς B εἰς τοῦτο ante παρὰ A **40** ὡς ἔφαμεν om. B **41/42** ἐγκειμένου — Μανουὴλ om. A

Μανουὴλ ἔφησεν ἡ Θεοδώρα, ὡς 'ὁ ἐμός, ὦ μάγιστρε, ἀνήρ τε καὶ βασιλεὺς ἀκριβείας ἦν ἐραστὴς καὶ οὐδὲν ἀπερισκέπτως ἔπραξε πώποτε, καὶ τόδε τὸ δόγμα, εἰ μὴ ἀπηγορευμένον ἦν τοῖς ἱεροῖς νόμοις καὶ ταῖς ἁγίαις γραφαῖς, | οὐκ ἂν ἐξῶσε τοῦτο τῆς ἐκκλησίας.' ταῦτα δὲ ἐκείνης εἰπούσης ταχεῖαν ἠπείλησεν αὐτῇ καταστροφὴν τῆς ζωῆς καὶ τῆς βασιλείας ἔκπτωσιν, καὶ οὐκ αὐτῇ μόνον, ἀλλὰ καὶ τῷ ταύτης υἱῷ, εἰ μὴ τὸν θεῖον κόσμον τῶν ἱερῶν εἰκόνων ἀποδοίη ταῖς ἐκκλησίαις. τούτου τοῖς λόγοις εἴτ' ἐκδειματωθεῖσα, εἴτε καὶ ἄλλως ἀρεσκομένη, ὡς εἴπομεν, ἡ βασιλὶς ὅλη τοῦ ἔργου γίνεται. καὶ εὐθὺς ἀγείρεσθαι ἐν τοῖς σκηνώμασι τοῦ Θεοκτίστου προσέταττε πάντας τοὺς ἐπὶ συνέσει καὶ λόγῳ κεκοσμημένους ἔκ τε τῆς συγκλήτου καὶ τῆς συνόδου καὶ λόγους κινεῖν καὶ προβάλλεσθαι περὶ ὀρθοδοξίας. πάντων δέ, ὡς ἔπος εἰπεῖν, συναθροισθέντων καὶ λόγων πολλῶν ῥυέντων, καὶ μαρτυριῶν ἀπὸ τῆς θείας γραφῆς παραχθεισῶν οὐκ ὀλίγων, τὸ εὐσεβὲς ὑπερίσχυσε μέρος καὶ δόγμα γέγονε τὰς θείας παραχρῆμα ἀναστηλοῦσθαι εἰκόνας, τῶν ἀρχιερέων καὶ μοναχῶν καὶ συγκλητικῶν, ὅσοι τῷ πάθει κατείχοντο πρότερον, τῶν πλειόνων τὸ κρεῖττον μεταμαθόντων καὶ μεταστοιχειωθέντων πρὸς τὴν ἀλήθειαν, ὅσοις δὲ δευσοποιὰ καθίκετο ἡ τῆς ἀσεβείας βαφὴ καὶ ἀμεταθέτως εἶχον, ἀπεληλαμένων τῆς πόλεως καὶ ὑπερορίαις παραπεμφθέντων, καθαιρεθέντος καὶ τοῦ δυσσεβοῦς πατριάρχου καὶ τοῦ ἀρχιερατικοῦ θρόνου ἀπορριφέντος δι' ἀποστολῆς ἀξιολόγων ἀνδρῶν τῶν εἰς φυλακὴν τεταγμένων τοῦ παλατίου. οἷς πρότερον μὲν κατελθεῖν οὐκ ἐπείθετο, οὐδ' ἑκών γε αὐτῆς τῆς ἐκκλησίας ἐκστῆναι διεβεβαίου. ὡς δ' οὗτοι ὑποστρέψαντες | πρὸς τὴν πέμψασαν βασιλίδα γνώριμα τεθείκασι τὰ τῆς ἀπειθείας, ὁ πατρίκιος θᾶττον ἐκπέμπεται Βάρδας, ὁ τῆς δεσποίνης ἀδελφός, τοῦ χάριν πευσόμενος μὴ τῇ ὀρθοδόξῳ πίστει τοῦ πατριαρχείου

55 mens. Mart. a. 843 61 a. 843

ACEVBMN FH **42** ἡ Θεοδώρα: οὖν αὐτη A **42/43** ὦ μάγιστρε post βασιλεύς B τε om. B **44** τόδε ACVN: τότε δὲ E: τότε B: τοῦτο M **45** δὲ om. A δ' B **48** καὶ θείων post ἱερῶν add. A εἰκόνων om. *M* τούτου VBN: τούτοις ACEMF **49** εἴτ' om. B καὶ om. E ὡς εἴπομεν om. B **51** προσέταττεν post συνέσει B ἐπὶ om. B **52/53** καὶ λόγους — ὀρθοδοξίας: καὶ λόγον περὶ ὀρθ. κινεῖν καὶ προβάλλ. B κινεῖν — *ὀρθοδοξίας*: κινεῖν περὶ ὀρθ. καὶ προβάλλ. V **54** θείας παραχθεισῶν γραφῆς M **55** ὀλίγον AE **56** παραχρῆμα ante τὰς θείας B, post εἰκόνας A ἀναστηλῶσαι C **57** τῷ πάθει: τῇ αἱρέσει B κατείχοντο A*EMN*: *συνείχοντο CV*: *συνέσχοντο* B **58** πρὸς: εἰς V **59** ὅσων B δυσοποιὰ (m. alt. δεισοποιὰ) C εὐσεβείας AC **59/60** καὶ — εἶχον om. B **60** ὑπερορίᾳ B **61** δὲ post καθαιρ. add. B ἀσεβοῦς A ἱερατικοῦ B **62** ἀπορριφθέντος CE δι': διὰ B **64** αὐτῆς ACEMN: αὐτοῖς V: αὐτὸς B ἐκστῆναι ACEMN: ἀποστῆναι VB διεβεβαίου ACEMNF: διεβεβαιοῦτο VBH **65** πρὸς τὴν βασ. τὴν πέμψ. M **65/66** τεθείκασιν post ἀπειθείας A **66** θᾶττον om. B **67** τοῦ ACEMN: οὗ VB ὀρθοδοξίᾳ A συντιθέμενος add. ante πίστει B πίστει VBMN: πεισθεὶς ACE τοῦ alt.: τῇ M πατριάρχου B

οὐκ ἀπανίσταται. ὁ δ' Ἰαννῆς πανοῦργος ὢν καὶ γράψαι καὶ συκοφαντίας ῥάψαι εἴπερ τις εἰδὼς μολίβδῳ καταστίξας τὴν ἑαυτοῦ γαστέρα καὶ τὰ νῶτα καὶ τοὺς γλουτούς, ὡς δοκεῖν μαστιχθῆναι παρά τινων, καὶ παρὰ τῶν πεμφθέντων ταῦτα παθεῖν κεκραγὼς βαρβαρικῶς ἐπιθεμένων αὐτῷ, καὶ μᾶλλον παρὰ Κωνσταντίνου τοῦ δρουγγαρίου τῆς βίγλας, ἠντιβόλει συγχωρηθῆναι πρὸς μικρόν, ἔστ' ἂν ἀφανισθεῖεν αὐτοῦ τὰ στίγματα. καὶ ὁ μὲν Ἰαννῆς ταῦτα, ὁ δὲ Βάρδας τοῦ σκαιωρήματος ἀπελεγχθέντος εἰς θυμὸν κινηθεὶς καὶ ἄκοντα τοῦτον τοῦ πατριαρχείου κατάγει. οὗ κατενεχθέντος ἡ δέσποινα ἀντεισήγαγε τῇ ἐκκλησίᾳ πατριάρχην τὸν ἱερὸν καὶ θεῖον Μεθόδιον, ἔτι τῆς ὁμολογίας καὶ τοῦ μαρτυρίου ἐν τῇ σαρκὶ τὰ στίγματα περιφέροντα, πάντων τῶν εὐσεβῶν ἱερέων, λαϊκῶν τε καὶ μοναχῶν, ἀλλὰ καὶ τῶν ἐν τοῖς ὄρεσιν ἀσκουμένων μετὰ πολλῆς τῆς περιχαρείας ἀποδεξαμένων τὴν προβολὴν καὶ ἀθρόον τὴν βασιλίδα καταλαβόντων καὶ ὁμοφώνως αἰωνίῳ ἀναθέματι παραδεδωκότων τὴν αἵρεσιν. ταῦτα μὲν καὶ ἐν προοιμίοις τῇ ἀοιδίμῳ Θεοδώρᾳ καὶ τῷ ταύτης υἱῷ κατεπράχθη τὰ κατορθώματα.

3. Ὁ δ' ἀνίερος Ἰαννῆς μοναστηρίῳ τινὶ καθειρ|χθεὶς καὶ ἔν τινι μέρει τούτου ἀνεστηλωμένην θεασάμενος εἰκόνα Χριστοῦ τοῦ θεοῦ καὶ τῆς θεομήτορος καὶ τῶν ἀρχαγγέλων, τῷ ἑαυτοῦ διακόνῳ προσέταξεν ἀναβάντι τῶν σεβασμίων εἰκόνων ἀνορύξαι τοὺς ὀφθαλμούς, εἰπὼν μὴ ἔχειν αὐτοὺς τὴν τοῦ ὁρᾶν δύναμιν. ὡς οὖν ἐπύθετο ταῦτα ἡ εὐσεβὴς δέσποινα, ζήλῳ θείῳ ἐκπυρωθεῖσα τοὺς αὐτοῦ διορύξαι προσέταξεν ὀφθαλμούς. ἀλλὰ τοῦτο μὲν οὐκ ἐγίνετο μεσιτευσάντων ἐπιτηδείων τινῶν, δορυφόρους δ' ἐκπέμψασα μάστιξιν αὐτὸν κατῃκίσατο λώρων διακοσίων. ἤνεγκε δὲ τὸν Ἰαννὴν ἡ μεγαλόπολις αὕτη καὶ πασῶν προκαθημένη πόλεων, τῆς τῶν Μωροχαρζανίων καταγόμενον γενεᾶς.

77 a. 843

cap. 3: Theoph. Cont. 154, 12—156, 15. 157, 15—158, 2; Zon. III, 384, 5—384, 13

ACEVBMN F 68 καὶ γράψαι om. ACE συκοφαντίας VB: συκοφαντίαν ACEMN: om. F ῥάψαι συκ. VB 69 καταστίξας τὸν ἑαυτοῦ νῶτον καὶ τὴν γαστέρα B 70 τὸν νῶτον V (B v. supra) 72 τοῦ om. A 73 ἀφανισθῇ A 74 καὶ — ταῦτα om. B 75 ἀπελεχθέντος C πατριαρχικοῦ B 76 κατενεχθέντος: καθαιρεθέντος A 77 καὶ alt. om. M 78 τὰ στίγμ. ἐν τῇ σαρκὶ BM 79 καὶ ante λαϊκῶν add. A τοῖς om. E 80 τῆς om. B 81 τῶν πόλεων add. post καταλαβόντων B ὁμοφρόνως N 82 μὲν καὶ om. B καὶ pr. om. E 82/83 τῇ — κατεπράχθη om. E 83 τὰ om. V 85 τούτου μέρει B τούτου: τοῦτον E ἀναστηλωμένην M 86 ἀγγέλων M ἑαυτῷ E 87 ἐξορύξαι A 87/88 εἰπὼν — δύναμιν om. M 89 ἐκπυρωθεῖσα ACEMN: ἐμπυρωθεῖσα V: πυρωθεῖσα B διορυγῆναι A 90 ἐγίνετο ACEMN: ἐγένετο VBF δ' ante ἐπιτηδ. add. CE ἐπιτηδ. om. B 91 δ': δὲ B μάστιγξιν M 93 τῶν add. ante πόλεων ACEB τῶν om. M Μωροχαρζανίων: Μοροχαρζανίων B: Μοροχαρζαρίων M

ἁψάμενον δὲ ἤδη καὶ γεροντικῆς ἡλικίας ἡ μονὴ τῶν καλλινίκων μαρτύρων Σεργίου καὶ Βάκχου, ὥσπερ τινὰ δράκοντα ἐν ἐκκλησίᾳ ἐμφωλεύοντα εἶχεν ἡγούμενον ἐν αὐτῇ, ἐν ταῖς κατὰ μικρὸν γενόμενον ἀναβάσεσι τῇ τε τῶν εἰκονομάχων ἀθέῳ αἱρέσει ἰσχυρῶς προστετηκότα καὶ γοητείαις προσανέχοντα καὶ λεκανομαντείαις διὰ βίου παντός, διαφερόντως τε ἀγαπηθέντα τῷ πατρὶ Θεοφίλου Μιχαὴλ τῷ Τραυλῷ, εἴτε τῷ κοινωνεῖν τῆς αὐτοῦ αἱρέσεως, εἴτε καὶ τῷ λογιότητος κτήσασθαι δόξαν, τοῦ Θεοφίλου τε διδάσκαλον γεγονότα. καὶ ἐπεὶ οὗτος τὰς τῆς βασιλείας κατέσχεν ἡνίας, σύγκελλον μὲν πρῶτον τοῦτον τιμᾷ, εἶθ' ὕστερον καὶ πατριάρχην καθίστησι Κωνσταντινουπόλεως, προγνώσεις τινὰς διὰ λεκανομαντείας καὶ γοητείας αὐτῷ ἀπαγγέλλοντα. κατέτρεχέ | ποτε τὴν Ῥωμαίων ἔθνος ἄπιστον καὶ σκληρόν, ὑφ' ἡγεμόσι τρισὶ στρατηγούμενον. καί, ὡς εἰκός, ἐπὶ τούτῳ τοῦ Θεοφίλου ἀνιωμένου ἀποθέσθαι τὴν ἀθυμίαν ὁ Ἰαννὴς παρεκάλει καὶ θάρσους πληρωθῆναι, εἴγε μόνον τῇ αὐτοῦ συμβουλῇ πειθαρχήσειεν. ἡ δὲ συμβουλὴ ἦν τοιαύτη· ἐν τοῖς εἰς τὸν εὔριπον τοῦ ἱππικοῦ ἱσταμένοις χαλκοῖς ἀνδριᾶσι καί τις ἀνδριὰς ἵστασθαι ἐλέγετο τρισὶ διατυπούμενος κεφαλαῖς. προστάττει τοίνυν ὁ Ἰαννὴς ἰσαρίθμους σφύρας χαλκευθῆναι ταῖς κεφαλαῖς, ἀνδράσι τε ταύτας ἐγχειρισθῆναι κατὰ χεῖρα γενναίοις, κατά τινα δὲ τεταγμένην ὥραν νυκτερινὴν ἅμα αὐτῷ γενέσθαι πρὸς τὸν εἰρημένον ἀνδριάντα, καὶ ἡνίκα τούτοις κελεύσειε, παίειν ἰσχυρῶς ταῖς σφύραις τὰς κεφαλάς, μέχρις ἂν κατενεχθεῖεν εἰς γῆν ὡς ἐξ ἑνὸς κρούματός τε καὶ πλήξεως. ἡσθεὶς οὖν τοῖς λόγοις ὁ βασιλεὺς οὕτω γενέσθαι προσέταξε. καὶ γενομένων ἐκεῖσε τῶν ἀνδρῶν ἅμα τῷ Ἰαννῇ πόρρω νυκτῶν (ἦν δ' ὁ Ἰαννὴς μετὰ λαϊκοῦ σχήματος, ἵνα μὴ κατάφωρος γένηται) τοὺς στοιχειωτικοὺς λόγους ἐπειπὼν καὶ τὴν ἐνοῦσαν δύναμιν ἐκ τῶν τοιούτων τοῦ ἀνδριάντος ἀφελόμενος παίειν τοὺς ἄνδρας ἐκέλευε νεανικῶς τε καὶ ἰσχυρῶς. καὶ οἱ μὲν

8 a. 837

A (**10** lac. a ὑφ' ἡγ.) CEVBMN F **94** ἀψάμενος ἤδη V **94/95** μονὴ post Βάκχου B **95** ἐν ἐκκλησίᾳ om. B **1** ἡγουμενεύοντα B ἐν alt. om. B γενόμενον om. VB ἀναβάσεσι: ἀνέσεσι M **2** ἀθέῳ: ἀθέων C: om. BM ἰσχυρῶς: σφόδρα B: om. A γοητείᾳ B **3** λεκανομαντίᾳ B τε VBMN: δὲ ACE **4/5** εἴτε — εἴτε: εἴτε τῇ τῆς αὐτῆς αἱρέσεως αὐτοῦ κοινωνεῖν, εἴτε B **6** γεγονέναι B **7** τοῦτο πρῶτον B τοῦτον om. AEF εἶθ' VBMN: εἶτα ACE ὕστερον om. ACE **9** αὐτοῦ B ἐπαγγέλλοντα E δὲ ante ποτε add. M **12** αὐτὸν post παρεκ. add. B πλησθῆναι B **13** συμβουλῇ: βουλῇ E **14** τοῦ om. M χαλκοῖς om. B **15** διατυπούμενος CEMN: τυπούμενος VB **16** ταύταις M **18** παραγενέσθαι B πρὸς CEMN: εἰς VB **19** κελεύσειεν V σφύραις (cf. σφύρας Theoph. Cont. 155, 14): σφαίραις CEVBMN **19/20** μέχρις — πλήξεως: ὡς ἂν ἐκ μιᾶς καταφορᾶς τε καὶ ἐκπλήξεως κατενεχθεῖεν εἰς γῆν B **20** τὴν ante γῆν add. E ὡς om. V κρούματος CEVBNF Theoph. Cont. 155, 20 cod. V: κρούσματος M Theoph. Cont. 155, 20 Bekker τε om. MN (sed non F) **23** τοῦ ante σχήματος add. CMNF τούς: καὶ B **24** ἐκ — ἀνδριάντος CEMN: ἐν (ἐν om. B) τῷ τοιούτῳ ἀνδριάντι VB

δύο ἰσχυροτάταις χρησάμενοι ταῖς καταφοραῖς τὰς δύο τοῦ ἀνδριάντος ἀπέκοψαν κεφαλάς, ὁ τρίτος δὲ μαλακωτέραν ποιήσας τὴν πληγὴν μικρὸν μὲν κατέκλινεν, οὐ μὴν καὶ ὅλην τοῦ σώματος ἀπέτεμε τὴν κεφαλήν. οἷς δὴ παραπλησίως καὶ τὰ κατὰ τοὺς ἡγεμόνας τοῦ ἔθνους ἐπηκολούθησε, στάσεως γάρ τινος κραταιᾶς ἐπεισπεσούσης τῷ γένει, ταύτῃ δὲ καὶ μάχης ἐμφυλίου ἐπακολουθησάσης, | οἱ δύο τῶν ἡγεμόνων πίπτουσιν, ἐπλήγη δὲ καὶ ὁ τρίτος, οὐ μήν γε καιρίως, ἤργησε δ' ὅμως ἐκ τῆς πληγῆς, καὶ οὕτως τὸ ἔθνος ἠσθενηκὸς οἴκαδε ἀπενόστησε. καὶ τὰ μὲν τῆς γοητείας οὕτως.

4. Τῷ δὲ γόητι τούτῳ ἀδελφὸς ἦν σαρκικός, ὄνομα τῷ ἀνδρὶ Ἀρσαβήρ, τὴν τύχην πατρίκιος. τούτῳ προάστειον ἦν κατὰ τὸ εὐώνυμον μέρος τοῦ Στενοῦ, ἔγγιστα τῆς μονῆς τοῦ ἁγίου Φωκᾶ, οἰκοδομὰς ἔχον πολυτελεῖς, στοάς τε καὶ βαλανεῖα καὶ διατριβὰς ἄλλας ἐπιτερπεῖς. ἐκεῖσε δὴ ὁ γόης συχνὰς ποιῶν τὰς καταγωγάς, ὑπόγαιόν τι κατασκευάσας ἐνδιαίτημα καὶ τῷ Τροφωνίου παρόμοιον, ὄπισθεν δὲ πυλίδα δημιουργήσας εἴσω τοὺς θέλοντας παραπέμπουσαν, τοὺς βουλομένους ἐδέχετο ἐν ἐκείνῳ τῷ πονηρῷ ἐργαστηρίῳ, νῦν μὲν ἐταμιεύοντο θαλαμηπολούμεναι μονάζουσαί τε καὶ ἄλλως γυναῖκες τὸ κάλλος διαπρεπεῖς, αἷς συνεφθείρετο, νῦν δὲ ἡπατοσκοπίαι καὶ λεκανομαντεῖαι καὶ γοητεῖαι καὶ νεκυομαντεῖαι ἐνηργοῦντο, δι' ὧν πολλάκις συνεργίᾳ δαιμόνων τινὰ τῶν μελλόντων προέλεγεν. ἀλλὰ τοῦτο τὸ κτῆμα ἐλθὸν ὕστερον εἰς τὸν παρακοιμώμενον εἰς ἔδαφος κατεστράφη καὶ εἰς μονὴν κατεσκευάσθη ἐπ' ὀνόματι Φωκᾶ τοῦ μεγαλομάρτυρος. καθαιρέσει δέ, ὡς εἴπομεν, οὗτός τε καὶ οἱ τούτου μέτοχοι καθυποβληθέντες οὐδ' οὕτως ἡσυχίαν ἦγον, ἀλλὰ κατὰ τῶν ἁγίων ἔτι ἐνεανιεύοντο εἰκόνων καὶ πονηρὰ κατὰ τῶν εὐσεβῶν ἐμε|λέτων. συκοφαντίαν γὰρ ῥάψαντες κατὰ τοῦ μεγάλου Μεθοδίου ἐπειρῶντο διαβάλλειν τὸν ἀνεπίληπτον καὶ οὕτω τὸ τῶν

cap. 4: Theoph. Cont. *156, 16–160, 15*; *Zon. III, 384, 14–387, 2*

CEVBMN F **27** ποιήσας VBF: ἐποίησε M: ἐποίσας CEN: om. Theoph. Cont. 156, 8 cod. V **28** κατέκλινεν CMN Theoph. Cont. 156, 9: ἀπέκλινεν EV: ὑπέκλινεν B δὲ post μὴν add. C καὶ om. B τοῦ σώματος om. M ὅλην — κεφαλήν: ὅλην ἀπέτεμε τὴν κεφαλὴν τοῦ σώμ. B ἐναπέτεμε V: ἐναπέτεμεν Theoph. Cont. 156, 9 cod. V **30/31** στάσεως — ἐπακολουθησάσης om. VB **31** γὰρ post δύο add. VB **32** ἐμφυλίου στάσεως γενομένης post πίπτουσιν add. V (i. m.) B **32** ἤλγησε M **33** οὕτω CE **39** δή: δὲ CM **40** Τροφωνίου EVN Theoph. Cont. 156, 22: Τροφονίου CM: Τυφωνίου B δὲ om. BM πυλίδα VB Theoph. Cont. 156, 23: πυλίδας CEMNF **41** παραπέμπουσαν VB Theoph. Cont. 157, 1: παραπέμπων CEMNF τοὺς βουλομένους om. CE **42** καὶ ante νῦν add. B **43** ἄλλως: ἄλλαι B **45** ἐνεργοῦντο M **46** προέλεγον B **47** κατεστράφη BM: καταστρέφει VNF: καταστρέφεται CE μετεσκευάσθη B **48** ὀνόματος M μεγάλου μάρτυρος CM **49** τε om. EM **50** τα post ἀλλά add. M τε post κατά pr. add. VB **52** τὸ om. E

ὀρθοδόξων λυπῆσαι πλῆθος. χρυσίου γὰρ πολλοῦ ὑποφθείραντές τινα γυναῖκα καὶ ὑποσχέσεσιν, εἰ μόνον τούτοις συμφήσειε (μήτηρ τὸ γύναιον ἦν Μητροφάνους τοῦ μετέπειτα Σμύρνης προεδρεύσαντος), πείθουσι κατειπεῖν τοῦ ἁγίου πρός τε τὴν δέσποιναν καὶ τοὺς ἐπιτρόπους τοῦ βασιλέως, ὡς εἴη αὐτῇ πεπλησιακώς. βῆμα γοῦν εὐθέως φρίκης μεστὸν ἐκ πολιτικῶν καὶ ἱερῶν ἀνδρῶν συγκροτούμενον. παρῆσαν οἱ εὐσεβεῖς κατηφείας καὶ λύπης πεπληρωμένοι, οὐκ ἀπῆσαν οἱ ἀσεβεῖς μῶμον ἐκ τῆς πράξεως οὐ τὸν τυχόντα προστριβῆναι τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ οἰόμενοι. παρῆσαν οἱ συκοφάνται μέγα φρονοῦντες καὶ γεγαννυμένοι, ὡς τάχα τῆς κατηγορίας πρόχειρον ἐχούσης τὸν ἔλεγχον. παρῆγον εἰς μέσον τὸ γύναιον καὶ ἃ ἐδιδάχθη τοῖς δικάζουσιν ἐθριάμβευεν. ἐσκυθρώπαζον οἱ δικασταί, καὶ τῶν ἄλλων πλέον ὁ μάγιστρος Μανουήλ, εἰ δι' ἑνὸς ἀνθρώπου κινδυνεύσει τὸ τῶν ὀρθοδόξων πλήρωμα γέλως γενέσθαι τοῖς ἀντιθέτοις. τούτων πάντων ἐπῃσθημένος ὁ ἱερὸς Μεθόδιος, καὶ τοὺς μὲν ἀσεβεῖς τῶν ἐλπίδων μεταστῆσαι βουλόμενος, τοὺς δ' εὐσεβεῖς ἀπαλλάξαι τῆς κατασχούσης βαρυθυμίας καὶ τῇ ἐκκλησίᾳ μὴ λίθος γενέσθαι προσκόμματος, μηδὲν τὸν ὄχλον ὑποστειλάμενος, ἀποσεισάμενος τὴν ἀναβολὴν ἐπ' ὄψει πάντων τῶν θεωμένων ἀπογυμνοῖ τὰ αἰδοῖα ὁ πάσης αἰδοῦς καὶ τιμῆς ὄντως ἄξιος. καὶ ἐφάνη τοῖς πᾶσι ταῦτα μεμαρασμένα ἀπό τινος νόσου | καὶ τῆς φυσικῆς παντάπασιν ἐνεργείας ἄμοιρα. αἰσχύνης τὸ πρᾶγμα τοὺς χαιρεκάκους ἐνέπλησε καὶ τοὺς συκοφάντας, εὐφροσύνης δ' ὅτι πολλῆς καὶ θυμηδίας τοὺς εὐσεβεῖς. καὶ προσβαλόντες αὐτῷ μεθ' ὑπερβαλλούσης περιχαρείας κατησπάζοντο, περιεπλέκοντο, οὐκ εἶχον, ὅπως τῷ πλήθει χρήσονται τῆς χαρᾶς. καί τις τῶν γνησιωτέρων προσελθὼν ἠρέμα ἐπηρώτα τὸν πατριάρχην, τὸν τρόπον μαθεῖν ἐθέλων τοῦ μαρασμοῦ τῶν μορίων. ἀναλαβὼν δὲ οὗτος διηγεῖτο ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὅτιπερ· 'ἐν Ῥώμῃ πεμφθεὶς πρὸς τὸν πάπαν διὰ τὰς κατὰ Νικηφόρου τοῦ ἁγιωτάτου πατριάρχου ἀνεγερθείσας ἐπαγωγὰς κἀκεῖσε διάγων ἠνωχλήθην ὑπὸ τοῦ φιλοσάρκου

79 inter a. 809 et 815

69 Is. 8, 14. Rom. 9, 32; 1 Pt. 2, 8

CEVBMN F **53** γυναῖκά τινα B **54** συμφήσειε CEMN: συμφήσειεν V Theoph. Cont. 158, 7: συμφωνήσειε B **56** τε om. B **60** ἐκκλησίᾳ: πολιτείᾳ B **61** γεγαννυμένοι EBF: γεγαννωμένοι CVMN **63** ἐθριάμβευσεν B **65** τὸ — πλήρωμα: τὸ πλῆθος τῶν ὀρθ. B **66** ἐπῃσθημένος: ἐπαισθόμενος B: ἐπησθόμενος M **67** μεταστῆσαι: ἀπευκτῆσαι B δ': δὲ B **68** ἀπαλλάξαι om. B κατασχούσης VBN: κατεχούσης CEMF **69** γενέσθαι om. B ἀποσεισάμενος CEMN: ὑποσυράμενος VB **71** τιμῆς καὶ αἰδοῦς M **72** ἐνεργ. παντ. M **74** δ' om. VB πολλῆς VBMN: πλείστης CE **75** προσβαλόντες CEV: προσβαλλόντες F: προσβάλλοντες M: περιβάλλοντες B αὐτὸν B **76** χρήσονται CEMN: χρήσαιντο VB **77** ἠρέμα om. CE ἐπηρώτα CEMN: πως ἠρώτα VB **78** μαρισμοῦ C **79** διηγήσατο B τε post ἄνωθεν add. VB καὶ om. CE **80** κατὰ om. M **81** ἠνωχλήθην EVB: ἠνωχλήθη CMNF

δαίμονος, ὃς οὐκ ἐνέλιπε νύκτωρ καὶ μεθ' ἡμέραν γαργαλίζων καὶ μίξεώς μοι σαρκικῆς ἀνακινῶν ἔρωτας. ἀναφλεγόμενος δὲ τῷ πάθει, ὡς ἤδη καὶ ἡττώμενος ἔγνων, Πέτρῳ τῷ ἀποστόλῳ τῷ κορυφαίῳ ἀνέθηκα ἐμαυτὸν καὶ τοῦτον ἐξελιπάρουν ἀπαλλάξαι με τῆς σωματικῆς ταύτης ὀρέξεως·' καὶ τὸν ἐπιστάντα νυκτὸς ἅψασθαι τῇ δεξιᾷ χειρὶ τῶν αἰδοίων καὶ καταπρῆσαι, ἐπειπόντα τοῦ λοιποῦ μὴ πτοεῖσθαι τὴν φιλήδονον ὄρεξιν. 'διϋπνισθεὶς δὲ μετὰ σφοδρᾶς ἀλγηδόνος εὑρέθην ἔχων, ὡς ἐθεάσασθε.' ταῦτα τοῦ πατριάρχου εἰπόντος οὐκ ἀνασχετὸν ὁ Μανουὴλ νομίσας τὸ τύρευμα ἔγνω ἐξετάσει δοθῆναι τὸ γύναιον, ἐφ' ᾧ διασαφῆσαι τὴν μηχανορραφίαν. ξίφος τε οὖν εὐθὺς τούτῳ ἐπανετείνετο καὶ ῥάβδοι ἐκομίζοντο ἠκανθωμέναι, καὶ οἱ δήμιοι παρειστήκεισαν εὐτρεπεῖς. οἷς ἐκδειματωθεῖσα ἡ | δύστηνος τίθησιν ἔκπυστον τὴν ἀλήθειαν, τὴν μηχανήν, ὅπως ἐρράφη, τὴν ἀπάτην, ἣν ἠπατήθη διά τε τῆς δόσεως τοῦ χρυσίου καὶ τῶν πολλῶν ὑποσχέσεων, τὰ πράξαντα πρόσωπα καὶ τὴν ὅλην σκευωρίαν τοῦ δράματος. προσετίθει δ', ὅτι καὶ εἰ ἀπέλθοι τις εἰς τὴν ταύτης οἰκίαν, εὑρήσει τὸ χρυσίον ἐν βαλαντίῳ ἔν τινι κιβωτίῳ σίτου πεπληρωμένῳ. εὐθὺς ἀπεστέλλετό τις τῶν δορυφόρων, καὶ τὸ χρυσίον ἤχθη, καὶ ἠλέγχθη τὸ δραματούργημα. καὶ κἂν οἱ συκοφάνται ταῖς προσηκούσαις ποιναῖς παρεδόθησαν, εἰ μὴ ἀνεξικάκως ὁ πατριάρχης ἀφεθῆναι τούτοις τὸ ἔγκλημα ἐξῃτήσατο, τὸν οἰκεῖον δεσπότην μιμούμενος, τοῦτο μόνον εἰς ἔκτισιν λαβόντες καὶ τιμωρίαν, τὸ ἀνὰ πᾶν ἔτος κατὰ τὴν τῆς ὀρθοδοξίας πανήγυριν μετὰ λαμπάδων ἀπὸ τοῦ ἐν Βλαχέρναις τῆς παναχράντου ναοῦ πρὸς τὸν θεῖον τῆς ἁγίας σοφίας ἀφικνεῖσθαι νεὼν καὶ τὸ οἰκείοις ἐνηχεῖσθαι αὐτοῖς ὠσὶν ἀνάθημα. ὃ καὶ μέχρι τῆς αὐτῶν ἐταμιεύθη ζωῆς.

5. Καὶ ἡ μὲν τῶν εἰκονομάχων αἵρεσις τοιοῦτον ἔσχε τὸν τρόπον τῆς καταλύσεως, ἡ δὲ τῶν ὀρθοδόξων ἐκκλησία τὸν οἰκεῖον ἀπέλαβε κόσμον, τὴν τῶν σεπτῶν εἰκόνων ἀναστήλωσιν. ταύτην τῆς ὀρθοδοξίας τὴν

cap. 5: Theoph. Cont. 160, 10—161, 17

A (a verbo **84** ἡττώμενος) CEVBMN F **82** ἔλιπε B **84** τῶν ἀποστόλων τῷ κορυφ. VB ἐμαυτῷ B **85** ἐξελιπάρουν — ὀρέξεως: ἐξελ. τῆς σωμ. ὀρ. ἀπαλλ. με B **87** καταπρῆσαι CEBMN: καταπρέσαι V: καταπραῦναι A ἐπειπόντος C μὴ τοῦ λοιποῦ VB ποιεῖσθαι B **89** τῷ πατριάρχῃ εἰπόντι V **91** οὖν εὐθὺς τούτῳ: εὐθὺς οὖν ταύτῃ B εὐθὺς om. ACE **92** διεκομίζοντο VB παρειστήκεσαν ACE **93** τίθησιν om. VB ἔκπυστον: ἐκείνη ἔκπυστον πεποίηκεν B καὶ ante τὴν μηχ. add. B **94** ἠπατήθη ACEMN: ἠπατήθησαν V: ὑπατηθ' B τε om. VB **95** πολλῶν ὑποσχέσεως A **1** σκευωρίαν CEMN: σκεωρίαν V: σκαιωρίαν A: σκαιορίαν B **5** ποιναῖς VBMN: τιμωρίαις A: τιμαῖς CE παρεδόθησαν ACEVBF: παρεπέμφθησαν MN **5/6** τούτοις post ἀνεξικ. B **6** ἀφεθῆναι: ἀφαιρεθῆναι B **8** κατὰ om. B **10** ναὸν AB τὸ om. ACE ὠσὶν post οἰκ. ACEB αὐτούς, post ὠσὶν B τὸ ante ἀνάθεμα add. ACEB **14** ταύτης B

ἑορτὴν ἄγουσά ποτε ἡ μακαρῖτις βασίλισσα τὸ πλήρωμα εἱστία τῆς ἐκκλησίας εἰς τὰ ἐν τῇ τοποθεσίᾳ τοῦ Καριανοῦ ἀνάκτορα. ἠριθμοῦντο τοῖς ἑστιάτορσι καὶ Θεοφάνης καὶ ὁ τούτου ὁμαίμων Θεόδωρος οἱ γραπτοί. τῆς εὐωχίας δὲ παρακμαζούσης καὶ τῶν τραγημάτων, πλακούντων δηλαδὴ καὶ πεμμάτων, παρατιθεμένων, συνεχῶς ἡ βασίλισσα | εἰς τὰ τῶν πατέρων ἐνατενίζουσα πρόσωπα καὶ τὰ ἐνεστιγμένα τοῖς προσώποις αὐτῶν καταμανθάνουσα γράμματα στεναγμοὺς ἠφίει καὶ δάκρυα. εἷς δὲ τῶν πατέρων καταφωράσας τοῦτο τὴν αἰτίαν ἤρετο τῆς εἰς αὐτοὺς συχνῆς ἀτενίσεως. τῆς δὲ εἰπούσης· ʻτὴν καρτερίαν ὑμῶν θαυμάζω, ὅπως ἐγκολαφθῆναι τοῖς προσώποις ὑμῶν τοσαῦτα ὑπεμείνατε γράμματα. ταλανίζω δὲ καὶ τὴν τοῦ ταῦτα δράσαντος εἰς ὑμᾶς ἀπήνειαν', ὑπολαβὼν ὁ μακαρίτης Θεοφάνης· ʻὑπὲρ ταύτης, ὦ δέσποινα, τῆς γραφῆς', εἶπεν, ʻἐν τῷ τοῦ θεοῦ ἀδεκάστῳ βήματι δικασόμεθα σὺν τῷ ἀνδρί σου καὶ βασιλεῖ.' ἐπλήγη σὺν τῷ λόγῳ τὴν καρδίαν ἡ δέσποινα, καὶ μετὰ δακρύων ἔφησε πρὸς τὸν ἅγιον· ʻκαὶ αὕτη ἐστὶν ἡ ὑπόσχεσις ὑμῶν καὶ αἱ δι' ἐγγράφων ὁμολογίαι, ὡς μὴ μόνον συγκεχωρηκέναι, ἀλλὰ καὶ πρὸς ἀγῶνας ἐνάγειν τε καὶ καλεῖν;' ἀνακαλούμενος δὲ ταύτην ὁ πατριάρχης καὶ ὁ λοιπὸς τῶν ἀρχιερέων ἑσμὸς καὶ τὸ πολὺ τῆς λύπης ἐπικουφίζοντες, ἀναστάντες εὐθὺς ἔφησαν· ʻαἱ μὲν ἡμέτεραι, ὦ βασίλεια, ὁμολογίαι τε καὶ συνθῆκαι ἀδιάπτωτοι καὶ ἀμετακίνητοι, τούτου δὲ τὴν ὀλιγωρίαν ἐᾶν χαίρειν καλόν.' οὕτω μὲν κατεπραΰνθη τῇ δεσποίνῃ τὸ ἄλγος.

6. Ἀνεφύη δέ τις τηνικαῦτα αἵρεσις ἡ τῶν Ζιλίκων λεγομένη, ἥτις ἅμα τῷ ἀρχηγῷ Ζίλικι τοὔνομα, ἐν τοῖς ἀσηκρήτις τελοῦντι, ἀπέσβη καὶ διερρύηκεν, αὐτοῦ τε καὶ τῶν ἑπομένων αὐτῷ μετενεχθέντων πρὸς θεοσέβειαν καὶ τῷ θείῳ μύρῳ χρισθέντων τε καὶ τελειωθέντων. καὶ τὰ μὲν κατὰ πόλιν ἐφέρετο τῇδε. |

cap. 6: Theoph. Cont. 161, 18–162, 2

ACEVBMN F 15/16 βασίλισσα — ἐκκλησίας: βασ. εἱστία τῆς ἐκκλ. τὸ πλήρ. B 16 τοῦ Καριανοῦ ACEVB: τῶν Καριανοῦ M: τῶν Καριανῶν NF 16/17 ἠριθμοῦντο — ἑστιάτορσι: ἠριθμ. δὲ τοῖς ἑστιωμένοις B 17 Θεοφάνιος C 20 ῥηθέντων ante πατέρων add. B ἀτενίζουσα M ἐνστιχθέντα B 22 ὁ ante εἰς add. B 23 ἐνατενίσεως B 25 ταῦτα om. M 26 μακαρίτης ACEMN: μακάριος VB 27 δικασθησόμεθα βήματι B σὺν om. EB 29 ἔφη E καὶ alt. om. B 30 τῷ βασιλεῖ post συγκεχ. add. B 31 πρὸς: τοὺς V ἐνάγειν τε καὶ om. ACE 32 ἁγίων add. ante ἀρχιερ. M ἑσμὸς AVB: θεσμὸς CEMNF 33 ἔφησαν om. VB βασίλισσα E (corr. ex βασίλεια) BM 34 τούτῳ B 35 μὲν: δὴ B 37 Ζιλίκων VMN: Ζηλίκων Theoph. Cont. 161, 18: Ζιλικίων ACE: Λιζίκων B 38 ἐν om. V ἀσηκρήτις VB: ἀσηκρητ' AN: ἀσηκρῆτες CE: ἀσικρίταις M ταχέως ante ἀπέσβη add. B 39 ἑπομένων VBMN: συνεπομένων ACE πρὸς VB Theoph. Cont. 161, 20: εἰς ACEMNF 40 τε om. AB

7. Βόγορις δὲ ὁ Βουλγάρων ἀρχηγὸς γυναῖκα ἄρχειν Ῥωμαίων ἀκηκοὼς μετὰ παιδὸς ἁπαλοῦ εἰς θράσος ἤρετο. ὅθεν καί τινας ἀγγέλους ἀπέστειλε πρὸς τὴν βασιλίδα, ἀπειλῶν λύειν τὰς συνθήκας καὶ εἰσβολὴν ποιεῖσθαι κατὰ Ῥωμαίων. ἡ δὲ βασιλὶς μηδὲν ἀγεννὲς μηδὲ γυναικεῖον ἐννοήσασα· 'καὶ ἐμὲ εὑρήσεις', μηνύει, 'ἀντιστρατεύουσαν, θεοῦ δὲ νεύσει καὶ κατισχύουσαν. εἰ δ', ὅπερ οὐκ ἔνι, ὑπερέξεις αὐτός, καὶ οὕτως ἡ νίκη ἐμή. γυναῖκα γὰρ ἔσῃ, ἀλλ' οὐκ ἄνδρα νενικηκώς.' οἷς ὁ βάρβαρος διαταραχθεὶς ἡσυχίαν ἠσπάσατο καὶ τὰς προηγησαμένας ἀνενέου σπονδάς. διεπρεσβεύσαντο δ' ἀλλήλοις πάλιν ἥ τε βασιλὶς καὶ ὁ ἄρχων, ἡ μὲν περί τινος Θεοδώρου τὸ ἐπίκλην Κουφαρᾶ, ἀξιολόγου τινὸς ἀνδρὸς καὶ χρησίμου τῷ πολιτεύματι, αἰχμαλώτου ὄντος ἐν Βουλγαρίᾳ, ὁ δὲ περὶ τῆς οἰκείας ἀδελφῆς κατά τινα προνομὴν ληφθείσης κἀν τοῖς βασιλείοις διατριβούσης. αὕτη γὰρ πρὸ πολλοῦ ἀχθεῖσα αἰχμάλωτος τὰ Χριστιανῶν τε μυηθεῖσα καὶ γραμμάτων μετασχοῦσα κατὰ τὸν τῆς αἰχμαλωσίας καιρόν, ἄρτι δὲ τῆς αἰχμαλωσίας ἀπολυθεῖσα, οὐ διέλιπε πρὸς τὸν ἀδελφὸν τὰ Χριστιανῶν ἐκθειάζουσα καὶ τῇ αὐτοῦ καρδίᾳ πίστεως καταβάλλουσα σπέρματα, προμυηθέντος ἤδη παρὰ τοῦ Κουφαρᾶ τὰ θεῖα μυστήρια. τοῦ ἀλλαγίου δὲ γενομένου καὶ τῆς γυναικὸς ἀποδοθείσης τῷ ἀδελφῷ, ἀντιδοθέντος δὲ τῇ δεσποίνῃ τοῦ Κουφαρᾶ, εἰ καὶ προενήχητο ὁ ἄρχων καὶ προετελέσθη τὰ θεῖα, ἀλλ' ἔτι τὴν αὐτοῦ ἐφύλαττεν ἀπιστίαν, τῆς οἰκείας θρησκείας ἐξηρτημένος. λιμοῦ δὲ σφοδροῦ τὴν χώραν τῶν Βουλγάρων | κατεσχηκότος καὶ πάσης βοηθείας ἀργούσης τὸν τῶν Χριστιανῶν ὁ ἄρχων εἰς βοήθειαν ἐπεκαλεῖτο θεὸν τὸν ὑπὸ τοῦ Θεοδώρου καὶ τῆς αὐτοῦ ἀδελφῆς αὐτῷ μυσταγωγηθέντα. τὸ αὐτὸ δὲ τοῦτο καὶ τὸ

50 a. 844

cap. 7: Theoph. Cont. 162, 3—165, 10; Zon. III, 387, 3—389, 10

ACEVBMN F **42** Βόγορις ACEMN: Βώγωρις Theoph. Cont. 162, 3: Βόγαρις VB τῶν add. ante Βουλγ. CM Ῥωμ. ἄρχ. B **43** ἀκηκ. post ἁπαλοῦ C θράσος ACMN: θάρσος EVB ἤρτο E **44** εἰσβολὰς B **45** μηδὲ ἀγεννὲς E **47** ἔνι: ἔσται B ὑπερέξεις ACEMN: ὑπέρσχῃς VB **49** προηγησαμένους M σπονδὰς ἀνενέωσε B **50** διαπρεσβεύσαντες ἀλλήλοις E πάλιν om. VB περὶ CVB Theoph. Cont. 162, 14: παρὰ AEMNF **51** τὸ ἐπίκλην etiam Theoph. Cont. 162, 14 cod. V: τοῦ ἐπίκλην Bekker Κυφαρᾶ V τινὸς om. ACEB ἀνδρ. ἀξιολ. B **52** περὶ CVB Theoph. Cont. 162, 19: παρὰ AEMNF **53** ληφθεῖσα B **53—55** ληφθείσης — μυηθεῖσα: ληφθείσης αἰχμαλώτου, ἣ τὰ Χριστ. μυηθ. A **56** δὲ om. B διέλειπε M **57** Χριστιανῶν: θεῖα B καταβάλλουσα VBMN Theoph. Cont. 163, 4: προκαταβάλλουσα ACE **58** περὶ C Κουφαρᾶ ACEMN: Κυφαρᾶ V: Καφαρᾶ B **59/60** ἀδελφῷ — Κουφαρᾶ: ἀδελφῷ, καὶ τοῦ Κουφ. τῇ δεσπ. ἀντιδ. A **60** Κουφαρᾶ ACEMN: Κυφαρᾶ V: Καφαρᾶ B **61** αὐτοῦ AF Theoph. Cont. 163, 8: αὐτὴν CVBMN **62** σφόδρα MN (non F) **63** κατασχόντος A **64** ἐπικαλεῖτο E ἐπεκαλεῖ τὸν θεὸν C τὸν add. ante θεὸν V (v. C) **65** τῆς ἀδελφοῦ αὐτοῦ μυστ. E τῆς αὐταδέλφου αὐτῷ B **65/66** ποιεῖν post τοῦτο VB

ἔθνος ποιεῖν παρεσκεύασεν ἅπαν. καὶ τυχόντες ἀπαλλαγῆς, οὕτω δὴ πρὸς θεοσέβειαν μετατίθενται καὶ τῆς τοῦ λουτροῦ καταξιοῦται παλιγγενεσίας, Μιχαὴλ κατονομασθεὶς κατὰ τὸ ὄνομα τοῦ βασιλέως τῶν Ῥωμαίων παρὰ τοῦ πρὸς αὐτὸν ἀποσταλέντος ἀρχιερέως καὶ τοῦ θείου μεταδεδωκότος λουτροῦ. συνέβη δὲ καὶ ἕτερόν τι τὸ ὁδηγῆσαν καὶ βεβαιῶσαν τὸν ἄρχοντα πρὸς εὐσέβειαν. ἀπλήστως ἔχων οὗτος πρὸς τὰ κυνηγέσια καὶ βουλόμενος τούτοις ἐντρυφᾶν μὴ μόνον ὅτε πρὸς θήραν ἐξίοι, ἀλλὰ καὶ ὅτε σχολάζοι, διὰ ζωγραφίας ἐντρυφᾶν τοῖς τοιούτοις, οἶκον δημιουργήσας νέον Μεθόδιόν τινα μοναχόν, Ῥωμαῖον τὸ γένος, ζωγράφον τὴν τέχνην, ἐκέλευσεν ἱστορίας πληρῶσαι τὸ οἴκημα. ὥσπερ δ' ὑπό τινος ἐπιπνοίας ὁδηγούμενος θείας οὐκ ἐπέσκηψε ῥητῶς, ὁποῖα δεῖ καὶ τίνα τῶν ζῴων ἐξιστορεῖν, ἀλλ' ἐκέλευσε γράφειν, ἅττα καὶ βούλοιτο, φοβερὰ μέντοι εἶναι τὰ γραφόμενα καὶ πρὸς ἔκπληξιν καὶ δέος τῶν θεωμένων. ὁ δὲ μηδὲν ἕτερον εἰδὼς φρικωδέστερον τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας ταύτην ἐκεῖ καθυπέγραψε. πέρας δὲ λαβούσης τῆς γραφῆς ἰδὼν ὁ ἄρχων ἔνθεν μὲν τῶν δικαίων τὸν χορὸν στεφανούμενον, ἐκεῖθεν δὲ τὸν τῶν ἁμαρτωλῶν κολαζόμενον, καὶ παρὰ τοῦ ζωγράφου συνεὶς τὸν νοῦν τῆς ζωγραφίας, εὐθύς τε τὴν οἰκείαν ἐξόμνυται θρησκείαν καὶ κατηχηθείς, | ὡς εἴπομεν, παρὰ τοῦ θείου ἐπισκόπου τὰ θεῖα μυστήρια ἀωρὶ τῶν νυκτῶν τοῦ θείου μεταλαμβάνει βαπτίσματος. τοῦτο δ' ἐγνωκότες οἱ τοῦ ἔθνους ἄρχοντες, καὶ τὸ κοινὸν τὴν τῆς θρησκείας μεταβολήν, κατεξανίστανται τοῦ ἄρχοντος καὶ ἀνελεῖν ἐσπούδαζον. τούτους δ' ἐκεῖνος μετὰ τῶν περὶ αὐτὸν ὀλίγων ὄντων τρεψάμενος, τοῦ σταυρικοῦ τύπου προηγουμένου, τῷ παραδόξῳ καταπλαγέντας χριστιανίσαι πεποίηκε. μεταβληθέντος δὲ παντὸς τοῦ ἔθνους πρὸς θεοσέβειαν γράφει πρὸς τὴν δέσποιναν ἐξαιτῶν δοθῆναί οἱ γῆν, στενοχωρουμένων τῶν ὑφ' αὐτόν, ὑπισχνούμενος ἑνοποιῆσαι τὰ ἔθνη καὶ εἰρήνην ἐργάσασθαι ἀΐδιόν τε καὶ ἀμετάβλητον. ἡ δὲ βασιλὶς ἱλαρῶς λίαν τὴν ἱκεσίαν προσήκατο καὶ δέδωκεν ἔρημον οὖσαν τηνικαῦτα τὴν ἀπὸ τῆς καλουμένης Σιδηρᾶς, ὅριον τότε τυγχανούσης Ῥωμαίων τε καὶ Βουλγάρων, ἄχρι τῆς Δεβελ-

67 a. 864 **90** a. 863 (secundum F. Dölgeri Regg.)

67 λουτροῦ ... παλιγγενεσίας: cf. Tit. 3, 5

ACEVBMN F **67** μετατίθεται BN μετατίθ. τῆς γοῦν τοῦ λουτροῦ A **68** μετονομασθεὶς B τῶν om. B **70** αὐτῷ θείου add. ante λουτροῦ B **70/71** καὶ βεβαιῶσαν post ἀρχ. B **71** εὐσέβειαν ACEVF: θεοσέβειαν BMN πρὸς om. B τὰ om. VB κυνηγεσίαν B **72** μὴ ACEMN: οὐ VB **75** δ' om. V **76** ἐπέσκεψε E δεῖ: δὴ BM **78** γραφησόμενα B **79** εἰδὼς ἕτερον B φρικωδ. εἰδὼς ACE **81** μὲν om. VB τὸν pr. om. M τὸν alt. om. B **82** τῆς ζωηγραφ. τὸν νοῦν A **83** ζωγραφίας: γραφίας N θρησκ. ἐξόμν. B **84** θείου om. VB **87** αὐτὸν post ἀνελ. add. B τούτους δ': οὓς B **88** ὄντων om. B **89** προηγησαμένου C καταπλαγέντες EM **91** ὑπ' αὐτόν AB **92** εἰς ante εἰρήνην add. E **93** ἱκεσίαν ACEB: ἱκετείαν VMNF **95** τότε τυγχανούσης: οὖσαν τότε B Δεβελτῆς B

τοῦ, ἣν οἱ Βούλγαροι Ζαγορὰν κατωνόμασαν. τοῦτον οὖν τὸν τρόπον ἡ πᾶσα Βουλγαρία μετερρυθμίσθη πρὸς θεοσέβειαν καὶ ἡ δύσις εἰρήνης καθαρωτάτης ἀπήλαυσε.

8. Καὶ τὰ μὲν κατὰ τὴν ἑσπέραν αἰθρία εἶχε καὶ σταθηρὰ εὐσέβεια ἐπολιτεύετο. ἀγαλλομένη δὲ ἡ βασιλὶς ἐπὶ τῷ γεγονότι καὶ τερπομένη καὶ οἷον ἐπαυξῆσαι τὸ καλὸν σπουδάζουσα τοὺς κατὰ τὴν ἀνατολὴν Μανιχαίους, οὓς δὴ καὶ Παυλικιάνους ἀπὸ τῶν αἱρεσιαρχῶν ἡ κοινολεξία οἶδε καλεῖν, μεταγαγεῖν ἐσπούδασε πρὸς εὐσέβειαν, ἤ, εἰ μὴ τοῦτο, ἐξᾶραι τελέως καὶ ἀπ' ἀνθρώπων ποιῆσαι. ὃ δὴ καὶ πολλῶν συμφορῶν τὴν οἰκουμένην ἐνέπλησεν. οἱ γὰρ ἐπὶ τῷ | πρᾶξαι τὸ πρόσταγμα ἐκπεμφθέντες (ὁ τοῦ Ἀργυροῦ δὲ ἦν Λέων καὶ ὁ τοῦ Δουκὸς Ἀνδρόνικος καὶ ὁ Σουδάλης) μὴ μετρίως, ἀλλ' ἀγρίως τῷ ἐπιτάγματι χρώμενοι τοὺς μὲν ξύλῳ ἀνήρτων, τοὺς δὲ ξίφει παρεδίδοσαν, ἄλλους δὲ ἄλλαις κακῶν ἰδέαις παρέπεμπον καὶ ποικίλοις καὶ παντοδαποῖς κολάσεων τρόποις ὡσεὶ δέκα μυριάδας ἀνδρῶν ἀπώλεσαν καὶ τὰς ὑπάρξεις αὐτῶν ἐδημοσίευσαν, ὡς ἐντεῦθεν τὸ λοιπὸν ἀπαναγκασθὲν πλῆθος πρὸς ἀπόστασιν ἀπιδεῖν. ἡ δὲ ἀρχὴ τῆς ἀποστάσεως γέγονε τοῦτον τὸν τρόπον. ἐστρατήγει τῶν Ἀνατολικῶν Θεόδοτος ὁ Μελισσηνός, ὑπηρέτει τούτῳ τὴν τοῦ πρωτομανδάτορος πληρῶν ἀρχὴν ἀνήρ τις τὴν κλῆσιν Καρβέας, τῇ πίστει τῶν Μανιχαίων κατάσχετος. οὗτος τὸν ἑαυτοῦ πατέρα ἀνεσκολοπίσθαι μαθὼν καὶ πέρα δεινοῦ τὸ πραχθὲν ἡγησάμενος, φυγὰς μετὰ καὶ ἑτέρων ὁμοπίστων πεντακισχιλίων πρὸς Ἄμερα παραγίνεται τὸν τῆς Μελιτηνῆς ἀμηρᾶν, κἀκεῖθεν πρὸς τὸν ἀμερμουμνῆν. παρ' ἐκείνου δὲ μετὰ πολλῆς ἀποδεχθέντες τιμῆς καὶ λόγους ἀσφαλείας δόντες τε καὶ

8 a. 856 circiter

---

cap. 8: Theoph. Cont. 165, 11–167, 10; Zon. III, 389, 11–390, 7

ACEVBMN FH 1 Ζαγορὰν ACEVN: Ζαγωρὰν B: Ζάγωρα Theoph. Cont. 165, 5 cod. V: Ζαγουρὰν M 3 ἀπέλαυσε MNF 4 αἰθρία ACEMNF: αἰθρίαν VBH 5 ἐνεπολιτεύετο V 8 ἐσπούδαζε B εὐσέβειαν ACEMN Theoph. Cont. 165, 14: θεοσέβειαν VB 9 τελείως B ἀπ': ἐξ B 10 πρᾶξαι: ἐκπληρῶσαι B 11 δὲ om. BM 12 Σουδάλης ACVN Theoph. Cont. 165, 17: Σουδάλις BM: Σουλδάνης E 13 ξύλοις B ἄλλαις: ἄλλους C 15 αὐτῶν ὑπάρξ. B ὑπάρξεις: πράξεις M 16 ἀπαναγκασθὲν CEVN: ἀναγκασθὲν M: ἀπαναγκασθῆναι B: om. A τὸ ante πλῆθος add. C ἀπόστασιν ACEMN: ἀποστασίαν VBFH 17 ἀποστάσεως ACEN: ἀποστασίας VBMFH γέγονε τοῦτον: τοῦτον ἔσχε A 18 δὲ post ὑπηρ. add. A 19 πρωτομανδάτορος ACEBN: πρωτομανδάτωρος V Theoph. Cont. 166, 2: πρώτου μανδάτορος M ἀρχὴν ἐκπληρῶν A ἀρχὴν: στρατείαν B 20 πίστει: δόξῃ B ἀνασκολοπισθῆναι E 21 πέρα: πάρα B φυγὼν B 22 ὁμοδόξων B πεντακισχιλ. ὁμοπ. M γίνεται post πεντακισχιλ. add. A Ἄμετρα C 23 ἀμηρᾶν: ἀρχηγόν A ἀμερμουμνήν BMN 24 τε om. MNF

λαβόντες ἐξέρχονται μετ' οὐ πολὺ κατὰ τῆς 'Ρωμαίων γῆς. πόλεις τε οὖν ἤρξαντο κτίζειν τὴν 'Αργαοῦν λεγομένην καὶ τὴν "Αμαραν. καὶ ἐπεὶ πρὸς πολυανδρίαν ἐπεδίδοσαν, ἀεὶ συρρεόντων τῶν διὰ τὸν φόβον ἀποκεκρυμμένων Μανιχαίων, προσέθεσαν ταῖς δυσὶ πόλεσι καὶ τρίτην, ἣν Τεφρικὴν κατωνόμασαν. ἐξ ὧν ὁρμώμενοι καὶ τῷ τῆς Μελιτηνῆς ἀμηρᾷ συμμιγνύμενοι "Αμερι καὶ 'Αλεὶμ τῷ τῆς Ταρσοῦ οὐκ ἔληγον ἀφειδῶς τὴν 'Ρωμαίων κατα|τρέχοντες καὶ πημαινόμενοι γῆν. ἀλλ' ὁ μὲν 'Αλεὶμ ἔν τινι τῶν 'Αρμενίων χώρᾳ μετὰ τοῦ οἰκείου στρατοῦ ἀπελθὼν τὸν βίον κατέστρεψε σὺν παντὶ τῷ αὐτῷ ἑπομένῳ στρατεύματι. καὶ ὁ "Αμερ δὲ πρὸς ἐμφύλιον ἐμπεσὼν στάσιν, τοῦ συνάρχοντος αὐτῷ ἐπαναστάντος (ὁ τοῦ Σκληροῦ οὗτος ἐλέγετο), πρὸς τοῖς οἰκείοις εἶχε τὸν νοῦν καὶ ἑτέροις πολεμεῖν οὐκ ηὐκαίρει, μέχρις ἂν τὸ ἀντίπαλον καταγωνισάμενος ἀδείας ἔτυχε. τότε γὰρ ἐκεχειρίαν λαβὼν καὶ ἄλλως οὐκ εἰδὼς ἠρεμεῖν τῷ Καρβέᾳ τε ἥνωτο καὶ κατὰ 'Ρωμαίων ἔξεισι πανσυδί. ἀντιστρατεύει δὲ κατ' αὐτῶν ὁ τῆς βασιλίδος ἀδελφὸς Πετρωνᾶς, τὴν τοῦ δομεστίκου τῶν σχολῶν ἀρχὴν διοικῶν, λόγῳ μὲν τῷ πρεσβυτέρῳ ἀδελφῷ Βάρδᾳ προσήκουσαν, ἔργῳ δὲ παρ' αὐτοῦ διοικουμένην τῷ μὴ ἐκεῖνον σχολάζειν, ἀλλὰ περὶ τὴν ἐπιτροπὴν τοῦ βασιλέως προσέχειν τὸν νοῦν. οὗτος τοίνυν ὁ Πετρωνᾶς στρατηγὸς τυγχάνων τῶν Θρᾳκησίων ἀντιπαρατάττεται κατά τε "Αμερ καὶ τοῦ Καρβέα. ὅπως δὲ συνεπλάκη καὶ οἷα ἔδρασε, κατὰ τὸν οἰκεῖον τόπον ἡ ἱστορία δηλώσει.

9. 'Ο βασιλεὺς δὲ Μιχαὴλ ἤδη τὴν παιδικὴν παραμείψας καὶ τῆς ἀνδρικῆς ἁπτόμενος ἡλικίας ἱμείρετο τῶν πραγμάτων δι' ἑαυτοῦ ἀντέχεσθαι, παραθηγόμενος εἰς τοῦτο καὶ παρὰ τοῦ ἐπιτρόπου καὶ θείου Βάρδα τοῦ τῆς βασιλίδος ἀδελφοῦ. οὗτος γὰρ ἔρωτα περικαῆ τῆς βασιλείας ἐσχηκὼς οὐδὲν ἄλλο ἐπραγματεύετο, ἀλλ' ἢ τὰ πρὸς τὸ σπουδαζόμενον

43 a. 856

cap. 9: Theoph. Cont. 167, 11–172, 6; Zon. III, 390, 8–393, 5; Glyc. 541, 17–541, 19

ACEVBMN F 25 τῶν add. ante 'Ρωμ. VMNF (sed non H) Theoph. Cont. 166, 10 cod. V (sed non Bekker) 25/26 πόλεις — "Αμαραν om. M 25 οὖν om. B 26 'Αργαοὺν VNF τὴν "Α. AEB: τὸν "Α. CVNF 27 πολυανθρωπίαν E ἀποκεκρυμμένων VMN: κεκρυμμένων ACEB 28 προσετέθησαν E ταύταις post δυσὶ add. ACE τὴν ante τρίτην add. E 30 'Αλὶμ B 31 'Αλὶμ B 33 αὐτῷ ACEVB: αὐτοῦ MNF ἑπομένῳ om. MN (sed non F) ὁ om. VB 35 τοὺς οἰκείους A 37 λαβὼν: ἐσχηκὼς B 39 τὴν ante ἀρχὴν add. V 40 τῷ πρεσβυτέρῳ ἀδελφῷ AEVB: τῷ πρεσβυτέρου ἀδελφῷ C: τῷ πρέσβυ τοῦ ἀδελφοῦ M: τῷ πρεσβυτοῦ ἀδε˜ N αὐτοῦ add. post πρεσβυτέρῳ VB 41 παρ' αὐτῷ E 42 Πετρωνὰς M 43 τε om. M 44 τοῦ om. B 46/47 ἡλικίας: ἡλικίαν, post παραμείψας B 47 δι' ἑαυτοῦ τῶν πραγμ. B 48 εἰς ACEMN: πρὸς VB καὶ pr. om. E 49 περικαῆ post βασιλείας B

συμβαλλόμενα. ἀλλ' ἵνα σαφέστερον | τὸν λόγον τοῖς ἐντυγχάνουσι θήσωμεν, πορρωτέρω τοῦτον ἀγάγωμεν. ἐγένετο δὴ τῷ Μανουὴλ πρὸς τὸν λογοθέτην Θεόκτιστον, καὶ αὐτοῖς ἐπιτρόποις οὖσι τοῦ βασιλέως καὶ εἰς τὰ ἀνάκτορα διαιτωμένοις, διαφορά τις, ἣ καθοσιώσεως ἐγκλήματι ὑπέβαλλε τὸν Μανουήλ. ὅπερ οὗτος εὐλαβούμενος, δεδιὼς δὲ καὶ τὸν φθόνον, ᾠήθη δεῖν ἔξω τοῦ παλατίου γενέσθαι καὶ τῶν συνεχῶν ἀποστῆναι ὁμιλιῶν τε καὶ διοικήσεων. κάτεισι γοῦν εἰς τὸν οἶκον αὐτοῦ, ἱδρυμένον κατὰ τὴν κινστέρναν τὴν Ἄσπαρος, ὃν καὶ εἰς σεμνείου τόπον ὕστερον μετεσκεύασε καὶ τὸν χοῦν ἐκεῖσε κατέθετο. ἐκεῖθεν ἑκάστοτε ἀφικνούμενος κοινωνὸς ἐγίνετο τῶν διοικήσεων. ἀποσεισάμενος δὲ ὁ Βάρδας τὸν Μανουὴλ οὐ δι' ἑαυτοῦ, ἀλλὰ διὰ τοῦ Θεοκτίστου, ἔσπευδε καιροῦ δραξάμενος ἀνύσαι τὸ σπουδαζόμενον. ἐμπόδιον δ' ἔχειν τὸν Θεόκτιστον εἰκότως οἰόμενος ἔσπευδε καὶ αὐτὸν ποιήσασθαι ἐκποδών, τὸ πλέον δ', ὅτι ὠνείδιζεν αὐτῷ συνεχῶς διὰ τὴν πρὸς τὴν οἰκείαν νύμφην λαθραίαν ὁμιλίαν. ὁ δὲ τρόπος τῆς ἐγχειρήσεως εἴληφε τοιαύτην ἀρχήν. ὑπῆρχε τῷ βασιλεῖ Μιχαὴλ παιδαγωγὸς ἀνάγωγός τε καὶ πονηρός. τοῦτον ἀνωτέρω τῶν βασιλικῶν ἀξιωμάτων ἀναγαγεῖν ἠξίου ὁ βασιλεύς, καὶ εἰς μείζονα στῆσαι τιμὴν τήν τε μητέρα παρεκάλει καὶ τὸν Θεόκτιστον. οὐκ ἔπειθε δὲ τὸν Θεόκτιστον, 'ἐπαξίως', λέγοντα, 'ἀλλ' οὐκ ἀναξίως τὰ τῆς βασιλείας χρὴ διοικεῖσθαι.' τοῦτον οὖν τὸν παιδαγωγὸν ὄργανον ὁ Βάρδας λαβὼν πονηρὸν οὐκ ἐπαύετο ζιζάνιά τινα κατὰ τοῦ Θεοκτίστου τῇ τοῦ βασιλέως ἐνσπείρων ψυχῇ, νῦν μὲν | λέγων, ὡς οὐ καλῶς οἰκονομεῖται τὰ κοινά, νῦν δέ, ὡς βούλεται τὴν μητέρα σου ἀνδρὶ συναρμόσαι, ἢ μίαν τῶν σῶν ἀδελφῶν, καὶ τοὺς σοὺς ἐξορύξαι ὀφθαλμοὺς καὶ τῆς βασιλείας ἐξεῶσαι. ταῦτα δὲ πυκνῶς ἐνηχῶν προσετίθει, ὡς συνετωτάτης δεῖ καὶ ταχίστης βουλῆς. ὡς δὲ πολλάκις περὶ τοῦ αὐτοῦ συνήρχοντο πράγματος καὶ σκέψεις προὐτίθεσαν, ἔγνωσαν τελευταῖον τὸν Θεόκτιστον ποιήσασθαι ἐκποδών. ἐδέδοκτο ταῦτα, καὶ πέρας ἐτυπώθη τοιοῦτον τοῖς βουλευθεῖσιν ἐπενε-

79 die 20. mens. Nov. a. 855

ACEVBMN FH 51 συμβαλλόμενα: μελετώμενα E ἐντυγχάνουσι: θέλουσι M 54 καὶ — διαιτωμένοις om. ACE ὑπέβαλεν ἐγκλήματι CNF 55 ὑπέβαλλε (cf. Theoph. Cont. 168, 11 ἐπεκάλει): ὑπέβαλεν CEN: ὑπέβαλε M: καθυπέβαλλε V: καθυπέβαλε B: ὑπετίθει A 58 κατὰ τὴν: κατὴν V τὴν alt.: τοῦ B Ἄσπορον M (cf. Ἄσπαρον Theoph. Cont. 168, 16 cod. V) σεμνείου τόπον VMN Theoph. Cont. 168, 16 cod. V (σ. τύπον Bekker): σεμνεῖον ACEB 59 δ' add. post ἐκεῖθεν B 60 ἐγένετο BM δ' VB 61 ἑαυτοῦ: αὐτοῦ B 63 ποιήσεσθαι A 64 αὐτῷ: αὐτὸν A 65 εἴληφε τοιαύτην: τοιαύτην εὗρεν 67 ἀγαγεῖν B 68 στῆσαι: τιμῆσαι M 69 οὐκ — Θεόκτ. om. E δὲ om. B 70 χρὴ: δεῖ B οὖν: δὴ B 71 λαβὼν: εὑρὼν A ἐπαύσατο B 72 πονηρὰ post τινα add. VB παρενσπείρων A 75 ἐξεῶσαι CEVN: ἐξῶσαι AB: ἐξιῶσαι M πυκνὰ M 76 προσετίθει om. C ὡς — ταχίστης: ὡς ταχ. καὶ συνετ. δεῖ A δεῖ post ταχ. CE βουλῆς VBMN Theoph. Cont. 169, 19: συμβουλῆς ACE 77 πολλάκις om. B σκέψει M 79 δέδοκτο A

χθῆναι, ἐν τῷ μέλλειν πρὸς τὸν Λαυσιακὸν ἐξέρχεσθαι μετὰ τὴν τῶν ἀναφορῶν διοίκησιν τὸν Θεόκτιστον ἐπακολουθῆσαι μικρὸν τὸν βασιλέα, καὶ τοῦτο μόνον ἀνακραγεῖν· 'ἄρατε αὐτόν.' ὡς οὖν ὁ Θεόκτιστος προέκυπτεν ἐξιὼν τό τε σύνθημα δοθὲν ἔγνω, φυγῇ τὴν σωτηρίαν πραγματεύσασθαι ᾠήθη. ἡ φυγὴ δὲ πρὸς τὸν ἱππόδρομον, κατὰ τὰ ἀσηκρητεῖα. ἐκεῖσε γὰρ τότε τὸ τῶν ἀσηκρήτις ἦν καταγώγιον. ἀλλ' ὑπὸ πολλῶν ὁ εἷς συλληφθεὶς μένειν κατηναγκάζετο, ἐσπασμένου τοῦ Βάρδα ξίφος καὶ παίσειν ἐπαπειλοῦντος τὸν κωλύσειν ἢ βοηθήσειν ἐπιχειρήσοντα. ἤγετο μὲν οὖν πρὸς τὰ Σκύλα φρουρᾷ τέως παραδοθησόμενος, μέχρις ἂν τὰ κατ' αὐτοῦ ἀποφήνωνται. τέλος, μὴ συμφέρον εἶναι κρίναντες αὐτοῖς τὸ ζῆν αὐτὸν δέει τῆς αὐγούστης, ἐκπέμπουσί τινα τῶν τῆς ἑταιρείας γυμνὸν ἐπισεῖσαι ξίφος αὐτῷ. οὗτος δὲ ξιφήρη τὸν ἄνθρωπον ἐπιόντα ἰδὼν ὑπέδυ σκάμνον τινὰ τὴν πληγὴν βουλόμενος ἐκφυγεῖν. ἀλλὰ καιρίαν κατὰ γαστέρα πληγεὶς τῶν ἐγκάτων ἐκχυθέντων αὐτοῦ | παρεδόθη θανάτῳ. καὶ ὁ μὲν Θεόκτιστος ἀνῃρέθη τοῦτον τὸν τρόπον, τὴν δὲ ἀναίρεσιν τούτου πυθόμενος ὁ Μανουὴλ εὐθὺς ἧκε πρὸς τὰ βασίλεια, καὶ ὥσπερ ἐνθουσιάσας εἰπεῖν λέγεται πρὸς τὸν Βάρδαν.

'ξίφος γυμνώσας εἰς Θεοκτίστου φόνον
ὅπλιζε σαυτὸν εἰς σφαγὰς καθ' ἡμέραν.'

μετὰ δὲ τὴν τοῦ Θεοκτίστου σφαγὴν ὁ Βάρδας τὴν τοῦ κανικλείου τιμὴν εἰς ἑαυτὸν ἀνελάμβανεν. ἡ βασιλὶς δὲ Θεοδώρα ὡς ᾔσθετο τῶν πεπραγμένων, λυσίκομός τε ἔθει καὶ ὀδυρμῶν ἐπλήρου τὰ βασίλεια, ἀμφοτέρους τε τόν τε υἱὸν καὶ τὸν ἀδελφὸν λόγοις ὀνειδιστικοῖς καὶ ἀραῖς καθυπέβαλλε καὶ τοιοῦτον θάνατον ὑποσχεῖν κατηρᾶτο. οἱ δὲ τοὺς ὀνειδισμοὺς ταύτης μὴ φέροντες, ἅμα δὲ καὶ ὁ Βάρδας τῶν κατὰ σκοπὸν ἐχόμενος, ἔγνωσαν καὶ ταύτην ποιήσασθαι ἐκποδὼν καὶ λοιπὸν ἀδεῶς καὶ ἀνεμποδίστως τὸ δοκοῦν διαπράττεσθαι. ὅπερ ἐκείνη καταφωράσασα (καὶ γὰρ ἦν ἰδεῖν καὶ στοχάσασθαι δυνατή), ἀντιπράττειν μὲν οὐκ ᾤετο

ACEVBMN F 80 Λαυσικὸν B 82 τοῦτο ACVN: τοῦτον EM: τοῦ B οὖν: γοῦν B 83 πραγματεύσασθαι ᾠήθη: ᾠήθη πραγμ. A: ᾠήθη πορίσασθαι B 84 ἀσηκρητεῖα: ἀσηκρήτις B τότε τὸ τῶν ἀσηκρήτις (ἀσηκρήτης B) VB: τότε τὸ τῶν ἀσηκρητῶν (ἀσηκρήτων Bekker) Theoph. Cont. 170, 8 cod. V: τότε τοῖς ἀσηκρητ' ACE: τότε τοῖς ἀσικρήταις F: τότε τὸ τῆς ἀσικρίτου M: τότε τὸ τοῖς ἀσηκρητ' N 86 ἐσπαμένου E 87 κωλῦσαι ἢ βοηθῆσαι A 88 οὖν om. B τὰ om. VB 89 αὐτοῦ: αὐτὸν M 90 αὐτοῖς M: αὐτοῖς ACENF: om. VB 92 ἐπιὼν E ἐπιόντα — ὑπέδυ: ἰδὼν ἐπιόντα αὐτῷ, ὑπέδυ A 93 πληγεὶς ACE Theoph. Cont. 170, 19 Bekker: τυπεὶς VBMNF: βληθεὶς Theoph. Cont. 170, 19 cod. V 94 αὐτοῦ VB Theoph. Cont. 170, 20: αὐτῷ MNF: om. ACE παρεδόθη θανάτῳ ACEMN: παρεδόθη τῷ θανάτῳ V: τῷ θανάτῳ παρεδόθη B 2 καὶ ante πρὸς add. V 3 φόνον VBMN Theoph. Cont. 171, 1: μόρον ACE 7 ἀμφοτέροις C 9 καθυπέβαλλε VB: καθυποβάλλουσα Theoph. Cont. 171, 8: ὑπέβαλλε MN: ὑπέβαλε ACEF ἐκατηρᾶτο B 10 δὲ: τε B ὁ om. MN (sed non F) 11 ποιήσεσθαι A 13 ἦν om. C συνιδεῖν B

δεῖν, φόνους καὶ χύσεις αἱμάτων ἐκφεύγουσα, τὸν δ' ἐναποκείμενον τοῖς ἀνακτόροις πλοῦτον ἔκρινε τῇ συγκλήτῳ ποιήσασθαι φανερόν, τοῦ τε υἱοῦ τὴν ἀκρατῆ δαπάνην κωλύουσα καὶ τὴν ἰδίαν οἰκονομίαν κηρύττουσα. τὴν σύγκλητον οὖν ἐκκλησιάσασα καὶ εἰς ἐπήκοον στᾶσα τοιούτους ἀπέδοτο λόγους· 'χίλια μέν, ὦ πατέρες, πρὸς τοῖς ἐννενήκοντα τῷ βασιλικῷ ταμείῳ χρυσοῦ ἐναπόκεινται κεντηνάρια, ἀργυρίου δὲ ὡσεὶ τριῶν χιλιάδων, ὧν τὰ μὲν ὁ ἐμὸς ἀνὴρ ἐπορίσατο, τὰ δ' αὐτὴ μετὰ τὸν ἐκείνου συνέ|λεξα θάνατον, ἄλλος τε πλοῦτος πολὺς καὶ ποικίλος. διὰ τοῦτο δὲ τοῦτον ἐκπομπεύω ὑμῖν, ἵν', εἰ μετὰ τὴν ἐμὴν ἀπὸ τῶν ἀνακτόρων κάθοδον ὁ ἐμὸς ἔχει λέγειν υἱὸς καὶ ὑμέτερος βασιλεύς, ὡς ἐνδεῆ καταλέλοιπα κατελθοῦσα τὰ βασίλεια πλούτου, μὴ εὐχερῶς πιστεύηται.' καὶ ἅμα λέγουσα τοὺς τῶν βασιλικῶν χρημάτων ταμίας παρίστη καὶ συγκατανεύοντας εἶχε πρὸς τὰ λεγόμενα. καὶ ἡ μὲν βασίλεια ἀσπασμὸν δοῦσα τῇ συγκλήτῳ καὶ πάσῃ ἐνεργείᾳ καὶ διοικήσει ἀποταξαμένη ἔξεισι τοῦ παλατίου.

10. Ὁ δὲ τῶν βασιλείων πλοῦτος τοσοῦτος ὢν καὶ τηλικοῦτος εἰς οὐδεμίαν ἐχώρησεν ὄνησιν τῇ ἀπονοίᾳ τοῦ Μιχαήλ. ταῖς γὰρ τῶν ἵππων ἁμίλλαις, εἴπερ τις ἕτερος, ἀγαλλόμενος καὶ ἡνιοχεῖν αὐτὸς ἐκεῖνος οὐ παραιτούμενος, τῶν συμπαιζόντων αὐτῷ καὶ συνηνιοχούντων καὶ συναμιλλωμένων ἐκ τοῦ θείου υἱοθετούμενος τὰ τέκνα βαπτίσματος τὸν βασιλικὸν κατεκένου πλοῦτον, ἑκατὸν καὶ ὀγδοήκοντα, καὶ τοὐλάχιστον πεντήκοντα τῷ καθέκαστον παρεχόμενος λίτρας. καί ποτέ τινι ἀνδρί, ὃν πατρίκιον ἐτιμήσατο (Ἱμέριος οὗτος ἐκαλεῖτο, διὰ τὴν τοῦ προσώπου κατὰ ἀντίφρασιν οὕτω καλούμενος ἀγριότητα), κολακείᾳ μὲν ὑπερβάλλοντι τὸν ἐπὶ Τιβερίου Ἱμέριον, βωμολοχοῦντι δὲ κατὰ τὴν τράπεζαν καὶ αἰσχρολογοῦντι καὶ ἀναιδῶς ἀποπέρδοντι ἀκούοντός τε βασιλέως αὐτοῦ καὶ τῶν συνδείπνων, ὡς καὶ κηρὸν ἀποσβεννύειν τῷ ψόφῳ, χρυσίου λίτρας δέδωκεν ἑκατόν. καὶ Χειλᾷ δὲ τοῦ συνηνιοχοῦντος αὐτῷ

cap. 10: Theoph. Cont. 172, 7—173, 22; Zon. III, 393, 6—394, 2

ACEVBMN FH 14 φόνους: φόβους V 19 ἀργυρίου VMN Theoph. Cont. 172, 3: ἀργύρου ACEB 21 συλλέξασα E 23 λέγειν ἔχει M 24 κατελθοῦσα om. ACEB πλούτου post 23 ἐνδεῆ A πιστεύητε CN 25 χρημάτων dittogr. V ταμ. χρημ. A παρίστα ACB 26 βασίλισσα BM 27 ἀποταξαμένη: ἀποταμένη E 29 τοσοῦτος: τοιοῦτος E 30 προεχώρησεν A 32 συναμιλλωμένους N 33 τὰ om. EM τὰ τέκνα post συναμιλλ. A, post βαπτ. B 35 παρεχόμενον E παρεχόμενος λίτρας: λίτρας δοὺς B λίτρας post πεντήκ. A 36 Ἡμέριος B 37 ἀγριότατος C ὑπερβάλλοντα E 38 βωμολοχοῦντα E Ἡμέριον B 39 αἰσχρολογοῦντα E ἀποπέρδοντα E τοῦ ante βασ. add. B 41 λίτρας χρυσίου B λίτρας om. VMNFH 41—43 καὶ Χειλᾷ — ἑκατόν om. ACE 41 Χιλᾷ B

τὸν υἱὸν ἐκ τοῦ θείου ἀναδεξάμενος βαπτίσματος χρυσίου λίτρας ἐδωρήσατο ἑκατόν. | οὕτως ἐκεῖνος εἰς οὐδὲν δέον τὰ δημόσια κατεδαπάνα τε καὶ ἀνήλισκεν. ἐπεὶ δὲ ἐντὸς ὀλίγου ταῖς τοιαύταις ἀθέσμοις πράξεσι τὸν τοσοῦτον κατεδαπάνησε πλοῦτον, ἦλθε δὲ ὁ τῆς διανομῆς τῶν βασιλικῶν δωρεῶν καιρὸς καὶ χρημάτων πόρος οὐκ ἦν, τήν τε χρυσῆν ἐκείνην καὶ πολυθρύλητον πλάτανον καὶ τοὺς δύο χρυσοῦς λέοντας καὶ τοὺς δύο γρῦπας, χρυσοῦς καὶ αὐτοὺς σφυρηλάτους ὄντας, καὶ τὰ ὁλόχρυσα ὄργανα καὶ ἕτερα ἔργα, δι' ὧν ἡ ῾Ρωμαίων ἐθαυμάζετο βασιλεία, ὁλκὴν ἔχοντα διακοσίων οὐκ ἔλαττον κεντηναρίων, χωνεύσας χαράξαι δέδωκεν ἐν τῷ βασιλικῷ ταμείῳ. παραπλησίως ἐποίησε καὶ ἐν στολαῖς βασιλικαῖς, ὧν αἱ μὲν ἦσαν ὁλόχρυσοι, αἱ δὲ χρυσοῦφαντοι, δεδωκὼς τῷ εἰδικῷ, ὥστε καὶ ταύτας χωνεῦσαι. οὐκ ἔφθασαν δὲ χωνευθῆναι, κἀκεῖνος ἐξ ἀνθρώπων ἐγένετο, καὶ Βασίλειος τὴν ἀρχὴν διεδέξατο, καὶ ταύτας ἀνεκαλέσατο, ἐκ τοσούτου πλούτου μηδὲν εὑρηκὼς πλέον, ἀλλ' ἢ χρυσίου μὲν κεντηνάρια τρία, μιλιαρισίων δὲ σακκία ἐννέα. ἃ καὶ δημοσιεύσας ἐπὶ τῆς συγκλήτου ἀπωδύρετο τὴν ἀπορίαν, καὶ τὸ πόθεν ἂν ἐκπληρωθεῖεν αἱ δημόσιοι χρεῖαι.

11. Ἔθος δ' ἐχούσης τῆς βασιλίδος Θεοδώρας ἀπιέναι πρὸς τὸν ἐν Βλαχέρναις τῆς θεομήτορος θεῖον ναόν, ἅμα μὲν προσκυνήσεως χάριν, ἅμα δὲ καὶ λουτροῦ μετὰ τῶν ἑαυτῆς θυγατέρων, ἐπεί ποτε ἔγνω αὐτὴν ἐκεῖσε φοιτήσασαν ὁ βασιλεὺς καὶ ὁ ταύτης ὁμαίμων Βάρδας, Πετρωνᾶν ἐκπέμψαντες, ὃν αὐτῆς ἀδελφὸν εἶναι ἄνωθεν ὁ λόγος ἐγνώρισεν, ἀποκείρουσι μοναχὴν σὺν ταῖς θυγατράσι | καὶ ἐν τοῖς κατὰ τὰ Καριανοῦ ἀνακτόροις τέως περιορίζουσιν, ἀφελόμενοι καὶ ὃν εἶχον αἱ πᾶσαι πλοῦτον, ἰδιωτικῶς ζῆν, ἀλλ' οὐ βασιλικῶς ἀποτάξαντες. ἀλλ' ἡ μὲν Θεοδώρα μετ' οὐ πολὺ τῶν τῇδε μεθίσταται. ἧς τὸν νεκρὸν μετὰ ταῦτα ὁ βασιλεὺς Βασίλειος καὶ τὰς αὐτῆς θυγατέρας πρὸς τὸ τῆς Μάμμης

54 post diem 23. mens. Sept. a. 867

cap. 11: Theoph. Cont. 174, 1–176, 3; Zon. III, 394, 3–394, 15

ACEVBMN FH 45 κατεδαπάνησε πλοῦτον: κατεδαπάνησεν ὄλβον A
47 πλάταναν M 50 κεντηναρίων οὐκ ἔλαττον M 51/52 στολῇ βασιλικῇ C
53 ἰδικῷ AB 54 ὁ add. ante Βασ. B 55 ταύτας: ταῦτα B 56 κεν-
τηνάρια: ρρ E σάκκους B 57/58 καὶ τὸ πόθεν — χρεῖαι om. A 58 πληρωθεῖεν B
59 δὲ B 60 θεῖον om. AE ναὸν post Βλαχέρναις A 61 λουτροῦ: λού-
εσθαι B ἑαυτῆς ACEMN: οἰκείων VB 61/62 ὁ βασιλεὺς post αὐτὴν B
62 ὁ ante Βάρδας add. M 62/63 ἐκπέμψαντες Πετρωνᾶν A 63 ἄνωθεν om. B
φθάσας post λόγος add. B 64 κατὰ om. AB τὰ VBNH Theoph. Cont. 174, 7:
om. ACEBMF τοῦ ante Καρ. add. B 65 καὶ om. B αἱ om. M 66 καὶ ante
ἰδιωτ. add. B βασιλικῶς: καλῶς C μὲν om. MNH (sed non F) 68 ὁ βασιλεὺς
ACEB Theoph. Cont. 174, 11 Bekker: βασιλεύσας VMNFH: βασιλεῦσιν, om. Βασί-
λειος, Theoph. Cont. 174, 11 cod. V τῆς om. C

ἐξέπεμψε μοναστήριον ἐνδιαιτᾶσθαι, ὃ Γαστρία κατονομάζεται. ἦσαν δὲ τῇ τοιαύτῃ βασιλίδι ἄρρενες μὲν ἀδελφοὶ δύο, ὅ τε μηχανορράφος οὗτος Βάρδας καὶ ὁ Πετρωνᾶς, ἀδελφαὶ δὲ τρεῖς, Σοφία, Μαρία, καὶ Εἰρήνη, ὧν ἡ μὲν Σοφία Κωνσταντίνῳ συνήφθη τῷ Βαβουτζίκῳ, εἰς μαγίστρους τελοῦντι, Εἰρήνη δὲ Σεργίῳ πατρικίῳ, ἀδελφῷ τυγχάνοντι Φωτίου τοῦ μετὰ ταῦτα εἰς τὸν τῆς πατριαρχίας ἀναβιβασθέντος θρόνον, καὶ ἡ Μαρία Ἀρσαβὴρ μαγίστρῳ, ἀνδρὶ γενναίῳ καὶ ἐν τοῖς τότε καιροῖς διαπρέποντι, αἱ πᾶσαι καλαὶ καὶ ἀγαθαὶ τὰς ὄψεις καὶ ἀρετῆς ἐλάσασαι πρὸς ἀκρώρειαν. καὶ ἡ μὲν Θεοδώρα θανοῦσα ταύτην ἀπολέλοιπε γενεάν. ἡ πᾶσα δὲ τῶν κοινῶν πραγμάτων διοίκησις εἰς μόνον ἐξεκυλίσθη τὸν Βάρδαν, ἐστέργετό τε διαφερόντως παρὰ τοῦ βασιλέως. ἔνθεν καὶ τὴν τοῦ κουροπαλάτου ἀναλαμβάνει τιμήν, ἆθλον τάχα τῆς καθαιρέσεως τῆς ἑαυτοῦ ἀδελφῆς.

12. Ἔκρινε γοῦν ἅμα τῷ βασιλεῖ κατὰ τῶν Ἰσμαηλιτῶν ἐκστρατεῦσαι καὶ τοῦ τῆς Μελιτηνῆς ἀμηρεύοντος Ἄμερ, ἄρτι εἰς ἄνδρας τελοῦντι ἐξ ἀγενείων. ὡς δ' οὖν τῆς τῶν ἐναντίων ἐπέβησαν γῆς καὶ κατὰ τὰ Σαμόσατα ἐγένοντο (πόλις δὲ τὰ Σαμόσατα τῶν παρευφρατιδίων, δυνάμει τε | βρίθουσα καὶ ἰσχύϊ), ταύτην ἐπεχείρουν πολιορκεῖν. ἐμποιησαμένων δὲ τῶν Σαρακηνῶν δειλίαν καὶ συγκεκλεικότων ἔνδον ἑαυτοὺς καὶ μηδενὸς ἐκπηδῶντος τοῦ τείχους τάχα διὰ δειλίαν τῆς βασιλικῆς δυνάμεως, ἀμελῶς καὶ ἀφυλάκτως οἱ Ῥωμαῖοι διῆγον. κατὰ δὲ τὴν τρίτην τῆς ἐφεδρείας ἡμέραν (ἡ κυρία δὲ ἦν καὶ πρώτη τῶν ἡμερῶν) τῆς ἀναιμάκτου θυσίας ἐπιτελουμένης, ἐν ᾗ τῶν θείων μετασχεῖν ἔμελλον μυστηρίων, τὰς πύλας οἱ Σαρακηνοὶ διαπετάσαντες καὶ μεθ' ὅπλων ἐκπεπηδηκότες πάντοθεν ἐπιτίθενται τοῖς Ῥωμαίοις. οἱ δὲ τῷ ἀδοκήτῳ καταπλαγέντες τῆς ἐπιθέσεως εὐθὺς πρὸς φυγὴν ὥρμησαν. ἔνθα καὶ Μιχαὴλ ὁ βασιλεὺς μόλις που τὸν ἵππον ἀναβὰς ἐργωδῶς διεσώθη, τῆς

74 a. 858 **85** a. 852/853 secundum Wasilewski

cap. 12: Theoph. Cont. 176, 3–179, 12; Zon. III, 394, 16–396, 6

ACEVBMN F **71** δὲ om. M Μαρίνα AC **72** Κωνσταντίνῳ om. E Βαβυτζίκῳ V **73** μαγίστρας B ἡ ante Εἰρ. add. BM τυγχάνοντι om. B **78** κοινῶν om. ACEM (sed non F) **79** ἐξεκυλίσθη post Βάρδαν ACE **80** τοι post ἔνθεν add. A κουρουπαλάτου M **82** τῶν om. ACE **83** τελοῦντι εἰς ἄνδρας B **83/84** τελοῦντι: ἐλθόντι, post ἀγενείων A **84** τὰ om. B **85** Σαμώσατα bis M ἐγένοντο: γεγόνασι B πόλιν B δὲ τὰ Σαμόσατα om. B παρευφρατιδίων ACE: παρευφρατιδείων BMNF: παρευστρατιδείων V **86** βρίθουσαν BM ἐπεχείρουν VBMN Theoph. Cont. 176, 9: ἐπεχείρει ACE ἐμποιησαμένων ACEMN: προσποιησαμένων VB **87** τοῦ τείχους dittogr. post ἔνδον add. A **88/89** καὶ μηδενὸς — δυνάμεως om. A **93** ἐπιτίθενται AF: ἐπιτίθονται B: ἐπετίθεντο V: ἐπετίθοντο CNF: ἐπιτίθεσαν M ἀδοκήτῳ ACEMN: ἀπροσδοκήτῳ VB **94** εὐθὺς om. M **95** ὁ βασιλεὺς om. M ἀναβὰς ACEMN: ἐπιβὰς VB ἐργωδῶς: δυσχερῶς A

ἀποσκευῆς πάσης τοῦ βασιλέως καὶ τῶν στρατιωτῶν ληφθείσης παρὰ τῶν πολεμίων, τοῦ τῶν Μανιχαίων ἐξηγουμένου Καρβέα μᾶλλον τῶν ἄλλων ἀριστεύσαντος καὶ καταβαλόντος οὐ μόνον πολλοὺς τῶν ἀφανῶν τῆς στρατιᾶς, ἀλλὰ καὶ ζωγρίᾳ λαβόντος οὐκ ὀλίγους τῶν ἐπιφανῶν στρατηγῶν καὶ τουρμάρχας τῶν ἑκατὸν οὐκ ἐλάττους, ὧν οἱ μὲν ἄλλοι λύτρα δόντες ἀπελύθησαν, μόνος δὲ Σηὼν ὁ στρατηγὸς τῇ φυλακῇ ἐναπέψυξε. χρόνων δὲ δύο παραδραμόντων πάλιν ὁ Ἄμερ στρατὸν ἐπαγόμενος οὐκ ἐλάττονα τρισμυρίων ἐκστρατεύει κατὰ Ῥωμαίων. ὁ Μιχαὴλ δὲ τὴν προτέραν ἧτταν ἀνακαλέσασθαι βουλόμενος στρατὸν καὶ αὐτὸς συναγηοχὼς ἔκ τε Θρᾳκῶν καὶ Μακεδόνων περὶ τὰς τέσσαρας μυριάδας ἔξεισι κατ᾽ αὐτοῦ. ὅπερ πυθόμενος Ἄμερ καὶ διά τινων χωρίων δυσχώρων, ἐπιτόμων δὲ τὴν πορείαν ποιη|σάμενος καὶ αἰφνίδιος προσπεσὼν ἐτρέψατο κατὰ κράτος τὸν βασιλέα καὶ πρὸς φυγὴν ἠνάγκασεν ἀπιδεῖν. μικροῦ δ᾽ ἂν καὶ ἥλω αἰχμάλωτος, εἰ μὴ Μανουὴλ ὁ δομέστικος τῶν σχολῶν τὴν φάλαγγα διακόψας αὐτὸν διεσώσατο, τῶν ἄλλων πάντων, ὥσπερ ἔτυχεν ἕκαστος δυνηθείς, διασπαρέντων.

13. Δεύτερος πάλιν μετὰ τὸν πόλεμον τοῦτον διῆλθεν ἐνιαυτός, καὶ πάλιν ὁ Ἄμερ μετὰ τεσσαράκοντα χιλιάδων ἐκστρατεύσας εἰσβολὴν ἐποιήσατο κατὰ Ῥωμαίων, ὁμοῦ μὲν καὶ τὸν Ἀρμενιακόν, ὁμοῦ δὲ καὶ τὴν πρὸς θάλασσαν ἐκπορθῶν καὶ δῃούμενος, ὅτε φασὶν αὐτὸν παραπλησίως τῷ Ξέρξῃ πάθος παθεῖν, μάστιξι κελεύσαντα παίειν τὴν θάλασσαν, ὅτι μὴ περαιτέρω προήκατο τοῦτον χωρεῖν. ἐφ᾽ οἷς ἀσχάλλων ὁ Μιχαὴλ καὶ πάλιν αὐτὸς ἀντιστρατεῦσαι πρὸς αὐτὸν μὴ τολμῶν τὸν τῆς ἑαυτοῦ μητρὸς ἀδελφὸν Πετρωνᾶν, τῶν Θρᾳκησίων διέποντα τὴν ἀρχήν, τὰς Ῥωμαϊκὰς δυνάμεις ἐκέλευσε λαβεῖν καὶ παντὶ σθένει χωρεῖν κατ᾽ αὐτοῦ. ἔτυχε δ᾽ οὗτος τότε διατρίβων κατὰ τὴν Ἔφεσον. δεξά-

25 a. 863, 856 secundum Wasilewski

cap. 13: Theoph. Cont. 179, 13—184, 11; Zon. III, 396, 7—397, 13

A (usque 2 Καρβέα) CEVBMN FH 2 τοῦ τούτων M 4 τῆς στρατιᾶς CEMN: τοῦ στρατοῦ VB ζωγρίᾳ EVN: ζωγρείᾳ: Theoph. Cont. 177, 2: ζωγρίας C: ζωγρίαν M: ζωγρείαν B 5 στρατηγῶν VB (cf. Theoph. Cont. 177, 2): στρατηγοὺς CEMNF 10 συναχηοχὼς C ἔκ τε — Μακεδόνων om. CE (sed cf. Theoph. Cont. 177, 20) 11 ὁ ante Ἄμερ add. BMNF (sed cf. Theoph. Cont. 177, 23) 13/14 καὶ πρὸς — ἀπιδεῖν om. CE 14 δ᾽ ἂν: δεῖν M 16 ἀπάντων VB ὥσπερ: ὥς πῃ VB ἕκαστος ἔτυχε B δυνηθεὶς CEVB: διασωθεὶς MN 17 τοῦτο B 19 καὶ om. B τὸν Ἀρμενιακόν CEVMNFH: τὸν Ἀρμενιάκον Theoph. Cont. 179, 15 cod. V: τὴν τῶν Ἀρμενιακῶν BF 20 καὶ alt. om. C 21 παραπλήσιον B 22 μὴ μάστιγξι M κελεύσαντα V: κελεύσαντος CEH: κελεύσαντι BMNF Πετρωνὰν E om. B τοῦτο B 24 ἑαυτοῦ: οἰκείας B τὸν ante Πετρ. add. MN 26 δὲ B 26/27 δεξάμενος — μεγίστην: εἰς ἀγων. δὲ μεγ. ἐκπίπτει δεξ. τὰ γράμματα B

μενος δὲ τὰ γράμματα εἰς ἀγωνίαν ἐμπίπτει μεγίστην. εὐθὺς οὖν ἐξιππασάμενος ἄπεισιν ἐν τῷ ὄρει τῷ Λάτρει πρὸς τὸν ἐκεῖσε ἀσκούμενον μοναχὸν Ἰωάννην, ἐπ' ἀρετῇ ὄντα τῷ τότε διαβόητον, καὶ περὶ τοῦ πράγματος ἐπυνθάνετο. ὁ δὲ μηδαμῶς ἐμβραδύνας πρὸς τὴν ἐρώτησιν 'ἄπιθι, τέκνον,' ἔφη, 'κατὰ τῶν Σαρακηνῶν. θεὸν γὰρ ἕξεις προπορευόμενον.' τούτου καθοπλισθεὶς ταῖς εὐχαῖς ἄπεισι κατὰ τὸν λεγόμενον Λαλακάωνα τόπον, καὶ ἔν τινι τόπῳ Γυρὴν ἐγχωρίως ὀνομαζομένῳ. λόχους τε οὖν πανταχόθεν | ἐπέστησε καὶ πρὸς συμπλοκὴν ἐξεκαλεῖτο τὸν Ἄμερ. πάντοθεν οὖν ὡς θηρίον περικλεισθεὶς ὁ Ἄμερ καὶ περὶ τοῦ τέλους ἀγωνιῶν, τῶν αἰχμαλώτων τινὰ Ῥωμαίων προσκαλεσάμενος ἐπυνθάνετο τήν τε τῆς χώρας προσωνυμίαν καὶ τοῦ τόπου, ἐν ᾧ ἔτυχεν ἐστρατοπεδευκώς, καὶ τοῦ παραρρέοντος ποταμοῦ. ὡς δὲ τὴν μὲν χώραν Λαλακάωνα ἤκουσε λέγεσθαι, τὸν δὲ τόπον Πτώσοντα καὶ Γύρην τὸν ποταμόν, εὐθὺς κακὸς οἰωνὸς ἑαυτῷ γενόμενος ἐξεφοίβασε λαοῦ τε κάκωσιν σημαίνειν καὶ πτῶσιν τὰ ὀνόματα, καὶ ὡς ἀνάγκη γυρισθῆναι ἡμᾶς ὑπὸ τῶν Ῥωμαίων. 'ἀλλ' ὅμως μὴ ἀποκνητέον', φησίν, 'ἀλλὰ διεγερτέον καὶ πρὸς τὸν αὔριον γενησόμενον πόλεμον ἀνδριστέον,' ἔφη πρὸς τοὺς παρόντας. ἡμέρας δὲ ἄρτι διαλαμπούσης, ἐπεὶ πάντοθεν συγκλεισθεὶς ἔγνω, καὶ ἀνεπιχείρητος ἦν ἡ ἔξοδος, συμφέρον ἔκρινε κατ' ἐκεῖνο τὸ μέρος χωρεῖν, ὅπου τὸν Πετρωνᾶν εἶδε φυλάττοντα. καὶ δὴ κρότῳ καὶ βοῇ τοῖς πολεμίοις προσέρραξεν. ἐπεὶ δὲ ἀνηνύτοις ἔγνω ἐπιχειρῶν, μικρὸν συσταλεὶς αὖθις σὺν ῥύμῃ ἐπεβάρει μετὰ δυνάμεως, ἀπόδρασιν ἑαυτῷ μηχανώμενος. πάλιν δὲ ἀποτυχὼν καὶ τρὶς τοῦτον ἐπιχειρήσας τὸν τρόπον εἰς ἀμηχανίαν ἐνέπιπτεν. ὡς δὲ πάντοθεν ἀναφανέντας καὶ ἐκπηδῶντας κατενόησε τοὺς Ῥωμαίους ἔκ τε μεσημβρίας καὶ τῶν προσαρκτίων μερῶν, καὶ ἄφυκτα κατενόησεν εἶναι τὰ περὶ αὐτόν, τότε δὴ τὴν σωτηρίαν ἀπογνοὺς ἐμπίπτει τοῖς κατὰ μέτωπον ἀθρόον μετὰ σφοδρᾶς προσβολῆς. ἔνθα καιρίαν πληγεὶς αὐτός τε πίπτει, καὶ τῶν ἑαυτοῦ διασῴζεται οὐδὲ εἷς. πυθόμενος δὲ τὴν ἧτταν ὁ τούτου υἱὸς εἰς προνομὴν μετὰ μέρους | ἀποσταλεὶς τοῦ στρατοῦ εὐθὺς πρὸς Μελιτηνὴν ἀπεδίδρασκεν. ἀλλὰ καὶ τοῦτον ὁ τοῦ Χαρσιανοῦ κλει-

54 die 3. mens. Sept. a. 863

CEVBMN FH **28** Λάπει B **29** Ἰωάννην μοναχόν B ὄντα τῷ τότε: τῷ τότε τυγχάνοντι B διαβόητος C **30** μηδαμοῦ B **31** ἀνενδοιάστως ante θεὸν add. B **33** Λαλάκωνα CE τόπῳ: ποταμῷ B Γυρὴν: Γύρῃ B ἐγχωρίως Γυρὴν CE **34** τε οὖν om. B πάντοθεν B ἐπέστησε: ἔστησε B **35** οὖν: δὲ B **36** Ῥωμαίων CEVB: Ῥωμαῖον MN **38** χώρα C **39** Λαλακάωνα VBMN (cf. Theoph. Cont. 181, 8): Λαλάκωνα CE: Λακάωνα B Πτώσαντα B **41** σημαίνειν post πτῶσιν CEB **42** ὑπὸ: ἀπὸ E τῶν om. CEMNFH **43** πόλεμον CEB Theoph. Cont. 182, 6: πλοῦτον VMNFH **44** ἔφη post παρόντας VB **47** δὴ κρότῳ καὶ om. B κρότῳ: ἠρώτα V προσέρραξεν: συρρήγνυνται C: συρρήγνυται E δὲ: δ' B **52** ἀρκτῴων M **54** ἀθρόως B καὶ ante καιρίαν add. M **55** αὐτοῦ CEB οὐδ' εἷς B ἧτταν: αἰτίαν CE

σουράρχης καταδιώξας χειροῦται μετὰ τοῦ στρατεύματος καὶ τῷ στρατηγῷ δίδωσι Πετρωνᾷ. ὁ δὲ Πετρωνᾶς τοιοῦτον κατὰ τοῦ Ἄμερ στήσας τρόπαιον τὴν βασιλίδα καταλαμβάνει, ἐπαγόμενος καὶ τὸν τὴν νίκην αὐτῷ προθεσπίσαντα μοναχόν, τήν τε ἀρετὴν ἐκθειάζων αὐτοῦ καὶ πρὸς τὸν βασιλέα καὶ Βάρδαν τὸν οἰκεῖον ἀδελφὸν ἐξυμνῶν τοῦτον καὶ μεγαλύνων. τιμᾶται γοῦν δομέστικος τῶν σχολῶν, μετὰ μικρὸν δὲ καὶ ἀπεβίω.

14. Ἐτελεύτησε δὲ πρὸ τούτου καὶ ὁ Μανουήλ, νόσῳ δή τινι κρατηθείς. μονωθεὶς δ' ὁ Βάρδας ἦγε καὶ ἔφερε τὰ πάντα καὶ τὰς ἐκ βασιλέως ἤμειβε συνεχῶς τιμάς, ἀνῄει δὲ καὶ εἰς τὴν καίσαρος δόξαν τε καὶ τιμήν, τοῦ Μιχαὴλ μηδενὸς ἑτέρου φροντίζοντος τῶν πολιτικῶν, ἀλλ' ἢ θεάτρων καὶ ἵππων ἁμίλλης. καὶ τὸ δὴ χείριστον, οὐκ ἠγάπα θεατὴς εἶναι μόνον, ἀλλὰ καὶ αὐτὸς ἡνιοχεῖν καὶ παίγνιον τοῖς πᾶσι προκεῖσθαι καὶ γέλως. καὶ ὁ μὲν ἐν τούτοις ἦν, ὁ Βάρδας δὲ διεῖπε τὰ πολιτικὰ καὶ τῆς βασιλείας κατεστοχάζετο, ὡς αὐτὴν εὐκαίρως παραληψόμενος. ἐπεμελήθη δὲ καὶ τῆς ἔξω σοφίας (ἦν γὰρ ἐκ πολλοῦ χρόνου παραρρυεῖσα καὶ πρὸς τὸ μηδὲν ὅλως χωρήσασα τῇ τῶν κρατησάντων ἀγροικίᾳ καὶ ἀμαθίᾳ), διατριβὰς ἑκάστῃ τῶν ἐπιστημῶν ἀφορίσας, τῶν μὲν ἄλλων, ὅπῃ περ ἔτυχε, τῆς δ' ἐπὶ πᾶσιν ἐπόχου φιλοσοφίας κατ' αὐτὰ τὰ βασίλεια ἐν τῇ Μαγναύρᾳ. καὶ οὕτως ἐξ ἐκείνου | ἀνηβάσκειν αἱ ἐπιστῆμαι ἤρξαντο. τοῦτο τὸ ἔργον κάλλιστόν τε καὶ περιβόητον ὃν οὐκ ἴσχυσεν ἀποπλῦναι τὰς ἐνούσας ἄλλας τῷ Βάρδᾳ κῆρας.

15. Τῆς μὲν οὖν φιλοσοφίας ἐξηγεῖτο Λέων ἐκεῖνος ὁ μέγας τε καὶ φιλόσοφος, ἀνεψιὸς ὢν Ἰαννῇ τοῦ πατριάρχου, ὃς καὶ τὸν θρόνον ἔλαχε τῆς Θεσσαλονίκης, ἄρτι δὲ τῶν εἰκονομάχων καθαιρεθέντων συγκαθῃρέθη καὶ αὐτός, καὶ σχολάζων εἰς ταύτην προεβιβάζετο τὴν σχολήν. ἐγένετο δὲ πρότερον γνώριμος Θεοφίλῳ τῷ βασιλεῖ τοῦτον τὸν τρόπον. πάσας γὰρ κατορθώσας τὰς ἐπιστήμας, ὡς οὐδὲ μίαν ἕτερος, ἐν εὐτελεῖ τινι καταλύματι διάγων τοὺς βουλομένους ἐμυσταγώγει, ὁποίαν

cap. 14: Theoph. Cont. 184, 11—185, 9; Zon. III, 397, 14—398, 4. 399, 5—399, 14
cap. 15: Theoph. Cont. 185, 9—192, 13; Zon. III, 399, 14—402, 3; Glyc. 540, 4—541, 6

A (a 76 ὅπῃ) CEVBMN FH **58** κατανοήσας τε καὶ post κλεισουρ. add. CE **59** δίδωσι Πετρωνᾷ: δίδωσιν B **60** τρόπαιον στήσας CE **62** Βάρδα B **63** γοῦν: οὖν B **65** καὶ om. VB δή τινι: δεινῇ M **66** δὲ ὁ B **67** τιμὴν καὶ δόξαν M **69** καὶ ante ἁμίλλης add. E **71** πολιτικά: βασιλικὰ C **63** σοφίας: φιλοσοφίας B **75** μὲν πολλῶν χρόνων B **74** κρατούντων CE (cf. Theoph. Cont. 185, 4) **77** αἱ om. C om. M **76** πᾶσιν: πάσης E κατ' αὐτὰ ACEMN: κατὰ VB **80** τε ἐστιν post κάλλ. add. MN τε VB Theoph. Cont. 185, 7: om. ACEMNFH **83** καὶ αὐτός: κἀκεῖνος B καὶ om. B **81** Ἰαννῇ A **82** συγκαθαιρέθη E **86** τινι καταλύμασι B

ἕκαστος βούλοιτο. ὡς δ' ἤδη χρόνος παρετείνετο, καὶ πολλοὶ κατὰ τὰς ἐπιστήμας προέκοπτον, συνέβη τινὰ νεανίαν τῆς γεωμετρικῆς ἐπιστήμης εἰς ἄκρον ἐληλακότα ὑπογραφέα γενέσθαι τινὸς στρατηγοῦ. οὗ γενομένου κατά τινα πόλεμον, εἵπετο καὶ αὐτός, καὶ τροπῆς γενομένης ζωγρεῖται καί τινι τῶν ἐπιφανῶν εἰς δουλείαν ἐκδίδοται. ὁ δὲ τοῦδε καιροῦ τῶν Ἰσμαηλιτῶν κατάρχων Μαμοὺμ ἄλλοις τε μαθήμασιν Ἑλληνικοῖς σχολάζων, καὶ δὴ καὶ γεωμετρίας διαφερόντως ἐξεχόμενος ἦν. λόγου δέ ποτε κινηθέντος παρὰ τοῦ τὸν νεανίαν ἔχοντος δεσπότου περὶ τῆς εἰς τὰ μαθήματα σπουδῆς τοῦ ἀμερμουμνῆ καὶ τῆς περὶ τὴν γεωμετρίαν ἐπιμελείας, 'ἀκοῦσαι τούτου,' εἶπεν ὁ νεανίας, 'ἐπιθυμῶ καὶ τῶν αὐτοῦ διδασκάλων, καὶ ἣν ἔχουσι περὶ τὴν γεωμετρίαν κατανοῆσαι σπουδήν.' ἔμαθε τοῦτο ὁ Μαμούμ, καὶ μετὰ περιχαρείας εἰσκαλεῖται τὸν νέον πολλῆς, καὶ παραγενόμενον ἐπυνθάνετο, εἰ γνῶσιν ἔχει τῆς | τοιαύτης δυνάμεως. συγκαταθεμένου δ' ἐκείνου ἠπίστει ὁ βάρβαρος καὶ διετείνετο μηδένα ἕτερον εἶναι, πλὴν τῶν ἐκείνου διδασκάλων τῆς γεωμετρικῆς ἐπιστήμης εἰδήμονα κατὰ τὴν τότε ἡμέραν. ἱμείρεσθαι δὲ φήσαντος τοῦ νεανίσκου τῆς αὐτῶν διδασκαλίας πεῖραν λαβεῖν, θᾶττον ἢ λόγος οὗτοι παρίσταντο, καὶ διεχαράττοντο σχήματα τρίγωνα καὶ τετράγωνα, καὶ κανόνες εἰς μέσον προὐτίθεντο τοῦ στοιχειωτοῦ, τὸ μέν, ὅτι τὸ σχῆμα τόδε τήνδε φέρει τὴν κλῆσιν καὶ τόδε τήνδε, διδάσκοντες, αἰτίαν δὲ καὶ λόγον καὶ τὸ διότι ἀπεδίδοσαν οὐδαμῶς. ὡς οὖν ἑώρα γαυρουμένους αὐτοὺς ὁ νεανίας καὶ μέγα φρονοῦντας ἐπὶ τῇ τῶν σχημάτων καταγραφῇ, 'ἐπὶ παντὸς λόγου, ὦ οὗτοι,' ὁ νεανίας ἔφη, 'καὶ πράγματος τὸ διότι τὸ κράτος ἔχει. ὑμεῖς δὲ τὴν ὕπαρξιν μόνην λέγοντες, τοὺς δὲ λόγους παρατρέχοντες οὐχ ἥκιστά μοι διαμαρτάνειν δοκεῖτε, τὸ καιριώτερον ἀγνοοῦντες.' τῶν δὲ διαπορησάντων καὶ τὰς αἰτίας τούτων διευκρινεῖν καὶ διδάσκειν παρακαλούντων, ἐπεὶ διερμηνεύοντα καὶ σαφηνίζοντα ταύτας εὕρισκον, ὡς τόδε μὲν διὰ τόδε, τόδε δὲ διὰ τόδε τὴν εἰρημένην ἔχει κλῆσίν τε καὶ γραφήν, καὶ ἅμα ὁ νοῦς αὐτῶν διηνοίγετο καὶ τῶν λεγομένων συνίεσαν, θάμβει λοιπὸν συσχεθέντες, εἰ καὶ ἄλλους ἔχει τοιούτους τὸ Βυζάντιον, ἐπηρώτων. εἰρηκότος δὲ τού-

ACEVBMN F **87** δ' ACEMN: δὲ B: om. V **91** τοῦδε VBN: τοῦ ACEMF **92** ἐκείνου post καιροῦ add. E μαθήμασι σχολ. Ἑλλ. B **93** καὶ δὴ om. B **94** νεανίαν VBMN Theoph. Cont. 186, 12: νεανίσκον ACE **95** εἰς om. EB τὴν om. MN, sed non F **3** ἔμαθεν ὁ Μ. τοῦτο B καλεῖται E **4** παραγενομένου B τοιαύτης: ταύτης B **5** συγκατατιθεμένου B **6** ἐκείνου: οἰκείων B διδασκάλων: διδάσκων C **8** αὐτῶν VB Theoph. Cont. 187, 15: αὐτοῦ ACEMNF **9** παρίστανται A διεχάραττον EB τρίγωνα om. ACE (sed cf. Theoph. Cont. 187, 2) **11** διδάσκοντος B **12** αἰτία B λόγος B καὶ alt. om. B ἀπεδίδοτο B οὐδαμοῦ B **14/15** ὦ — κράτος: ὦ οὗτος, καὶ πράγματος', ἔφησε, 'τὸ διὸ τὸ κράτος B **16** τοὺς λόγους δὲ B τοὺς — παρατρέχ. om. E **17** καιριώτερον VMN: καιριώτατον ACEB **18** διευκρινεῖν CVMN Theoph. Cont. 187, 15: διακρινεῖν AEB διδάξαι A **20** εἰρημένην om. B ἔχει κλῆσιν ACE Theoph. Cont. 187, 17: κλῆσιν ἔχει VBMNF **21** τῷ λεγομένῳ B τε post θάμβει add. B **22** δὲ τούτου: δ' ἐκείνου B

του πλείστους ἐν αὐτῷ εἶναι, καὶ ἑαυτὸν τὸν ἔσχατον εἶναι τῶν μαθητῶν, ἀλλ' οὐ τῶν διδασκόντων, περὶ τοῦ διδασκάλου πάλιν διεπυνθάνοντο, τίς τε εἴη, καὶ εἰ περίεστιν. ὁ δέ, ὅστις τε εἴη ἀπεκρίνατο, καὶ ὡς ἔτι περίεστιν ἀκτήμονα βίον ἄγων καὶ μηδέ τισιν ἄλλοις, ἀλλ' ἢ μόναις | ταῖς ἐπιστήμαις προσέχων. γράμματα γοῦν εὐθὺς ὁ Μαμοὺμ πρὸς ἐκεῖνον διαχαράττει τόνδε τὸν νοῦν ἔχοντα· 'ἐκ τοῦ καρποῦ τὸ δένδρον, καὶ ἐκ τοῦ μαθητοῦ ἔγνωμεν τὸν διδάσκαλον. ἐπεὶ γοῦν τηλικοῦτος ὢν περὶ τὴν τῶν ὄντων ἐπιστήμην ἄγνωστος εἶ τοῖς συμπολίταις, τῆς γνώσεως καὶ σοφίας καρπὸν μὴ δρεπόμενος, μὴ ἀπαξιώσῃς ἐλθεῖν πρὸς ἡμᾶς, καὶ τῆς σῆς μεταδοῦναι σοφίας. ἐρχομένῳ γάρ σοι αὐχένα ὑποκλινεῖ γένος ἅπαν τὸ τῶν Σαρακηνῶν, καὶ πλούτου καὶ δωρεῶν ἀξιωθήσῃ ὧν οὐδείς πω τῶν ἀνθρώπων ἠξίωται.' ταῦτα τὰ γράμματα δοὺς τῷ νεανίσκῳ καὶ δώροις φιλοφρονησάμενος ἐκπέμπει πρὸς τὸν διδάσκαλον. ὁ δὲ διασωθεὶς πρὸς τὴν βασιλεύουσαν καὶ ζῶντα τὸν φιλόσοφον εὑρηκὼς ἐπιδίδωσι ταῦτα τὰ γράμματα. ὁ δὲ οὐκ ἀκίνδυνον εἶναι λογισάμενος, εἰ γραφὴν ἀπὸ τῶν ἐχθρῶν δέξοιτο εἰδήσεως ἄνευ βασιλικῆς, πρόσεισι τῷ λογοθέτῃ τοῦ δρόμου (Θεόκτιστος οὗτος ἦν, ὁ παρὰ τοῦ Βάρδα μετὰ ταῦτα ἀναιρεθείς) καὶ διηγεῖται, ὅπως τε ἀφίκετο πρὸς αὐτὸν ὁ αἰχμάλωτος καὶ μαθητής, καὶ ὅπως γράμμα αὐτῷ προκεκόμικε τοῦ ἀμερμουμνῆ, καὶ ἅμα τὴν γραφὴν ἐκβαλὼν εἰς χεῖρας δίδωσιν. αὕτη ἡ αἰτία τῷ φιλοσόφῳ Λέοντι πρὸς τὸν βασιλέα γνῶσις γίνεται καὶ οἰκείωσις, καὶ ὁ λεχθεὶς μαθητὴς τὴν τοῦ Λέοντος σοφίαν ἔτι κρυπτομένην ἐδημοσίευσε. προσκαλεῖται γὰρ ὡς τάχος αὐτὸν ὁ βασιλεὺς καὶ πλουτίζει καὶ δημοσίᾳ διδάσκειν προτρέπεται, κατοικητήριον ἀφορίσας αὐτῷ τὸν θεῖον ναὸν τῶν τεσσαράκοντα καλλινίκων μαρτύρων. ὁ δὲ Μαμοὺμ ἀπογνοὺς τὴν τοῦ φιλοσόφου ἄφιξιν ἀπορίας | ἐκθέμενος γεωμετρικῶν καὶ ἀστρονομικῶν ζητημάτων καί τινων ἄλλων μαθημάτων ἐκπέμπει, τὰς λύσεις σαφηνισθῆναί οἱ ἐξαιτησάμενος. ὡς δ' ἑκάστην ὁ Λέων ζήτησιν διελύσατο ἁρμοδίως, προσέθετο δὲ καταπλήξεως χάριν καί τινα τῶν μελλόντων σημεῖα προγνωστικὰ καὶ τούτῳ ἐξέπεμψε, τότε δὴ ἐπὶ χεῖρας λαβόντα τὸν ἀμερμουμνῆν τρωθῆναι

28 ἐκ τοῦ καρποῦ τὸ δένδρον: cf. Matth. 12, 33; Luc. 6, 44

ACEVBMN F 23 ἑαυτὸν ACBMN Theoph. Cont. 187, 21: ἐμαυτόν V: αὐτὸν E εἶναι om. M 24 διεπυνθάνοντο ACVMN: διεπυνθάνετο B: ἐπυνθάνοντο E 25 εἰ περίεστιν: εἴπερ ἐστίν V 26 διάγων M ἄλλαις B 27 εὐθὺς om. B ὁ Μαμοὺν om. ACE (sed cf. Theoph. Cont. 188, 3) 29 καὶ om. M 30 ὄντων: τοιούτων B 31 δρεπομένοις CEB 34 πω AV: που C: πως E: πότε MNF: πώποτε B Theoph. Cont. 188, 12 ἠξίωτο C ἔρρωσο post ἠξίωτο add. B 37 εὑρηκὼς — οὐκ: εὑρ. τὰ γράμμ. ἐπιδίδωσιν. ὃς οὐκ B 39 Θεοκτίστῳ B 40 διηγεῖται VBMN Theoph. Cont. 189, 10 cod. V: διηγεῖτο ACEF Theoph. Cont. 189, 10 Bekker 41 γράμματα B 42 τῷ λόγῳ post ἅμα add. M 45 αὐτὸν ὡς τάχος B 47 καλλινίκων: ἁγίων B 50 μαθημάτων ACEVB: ζητημάτων MNF τὰς λύσεις om. VB ἐξαιτούμενος B 51 ἐξελύσατο M 53 φασιν post δή add. B ἀμερμουμνὴν VMN

δὴ τῷ τούτου ἔρωτι, μέγα τε ἀνακραγεῖν τὸν ἄνδρα τῆς σοφίας ὑπεραγάμενον. εὐθὺς οὖν πρεσβεία πρὸς τὸν Θεόφιλον καὶ γράμματα ταύτην ἔχοντα τὴν διάνοιαν· ‘ἐβουλόμην μὲν αὐτὸς ἀφικέσθαι σοι, ἔργον γνησίου φίλου ἀποπληρῶν. ἐπεὶ δὲ ἡ ἀνακειμένη μοι ἀρχὴ ἐκ θεοῦ καὶ ὁ ὑπὸ τὴν χεῖρά μου τελῶν πλεῖστος κατ' ἐξουσίαν λαὸς τοῦτο οὐ συγχωρεῖ, ὃν ἔχεις ἐπὶ φιλοσοφίᾳ καὶ ταῖς ἄλλαις ἐπιστήμαις διαβόητον ἄνδρα, βραχύν τινα χρόνον αἰτῶ ἐξαποστεῖλαί μοι, τῆς αὐτοῦ ἐπιστήμης μεταδώσοντά μοι ἐκκαιομένῳ καὶ ταύτης ἐρωτικῶς ἔχοντι. οὐκ ἀναβολὴ δὲ διὰ τὸ σέβας καὶ τὴν τοῦ γένους ἀλλοτριότητα ἔσεται, ἀλλὰ μᾶλλον, ὅτι τοιοῦτος ὁ ἀξιῶν, πέρας ἡ αἴτησις λήψεται παρὰ φίλοις ἐπιεικέσι τε καὶ χρηστοῖς. χάρις δέ σοι ὑπὲρ τούτου καταβληθήσεται χρυσίου μὲν ἑκατὸν κεντηνάρια, εἰρήνη δὲ καὶ σπονδαὶ ἀτελεύτητοι καὶ ἀΐδιοι.’ δεξάμενος δὲ τὰ γράμματα ὁ Θεόφιλος, ἄτοπον κρίνας, εἰ τὴν τῶν ὄντων γνῶσιν, δι' ἣν τὸ ‘Ρωμαίων γένος θαυμάζεται, ἔκδοτον ποιήσει τοῖς ἔθνεσι, πρὸς τὰ αἰτηθέντα οὐκ ἐπένευσε. τὸν δὲ Λέοντα διὰ μείζονος ἦγε τιμῆς καὶ τῆς Θεσσαλονίκης προχειρίζεται πρόε|δρον, τὸν πατριάρχην ἀναπείσας 'Ιωάννην χειροτονῆσαι τοῦτον, καὶ αὐτῷ, ὡς ἤδη εἴπομεν, κατὰ γένος ᾠκειωμένον. τοῦτον οἱ Θεσσαλονικεῖς μετὰ τὴν χειροτονίαν ὑπερβαλλόντως ἐτίμησαν διὰ τὴν ἐνοῦσαν αὐτῷ σοφίαν καὶ τὴν περὶ πάντα τὰ μαθήματα ἀκρίβειαν, ἐξαιρέτως δ' ἐθαύμασαν ἀπὸ τῆσδε τῆς αἰτίας. ἄγονος ἦν ἡ γῆ καὶ ἄκαρπος κατ' ἐκεῖνο καιροῦ καὶ λιμὸς ἦγχε τοὺς ἐνοικοῦντας Θεσσαλονίκην τε καὶ τὰ πέριξ αὐτῆς, καὶ πάντες ἢ μετανάσται γενέσθαι τῆς πατρίδος, ἢ λιμῷ καὶ ἐνδείᾳ τῶν ἀναγκαίων διαφθαρήσεσθαι ἤλπιζον. ὁ δὲ Λέων τὴν ἀπορίαν τούτοις παραμυθούμενος καιρόν τινα, ὃν ἡ τῶν ἄστρων ὑπετίθει τούτῳ ἐπιτολή τε καὶ φάσις, παραδηλώσας αὐτοῖς, καὶ κατὰ τοῦτον τῇ γῇ καταβαλεῖν ἐπιτρέψας τὰ σπέρματα, τοσαύτης γέγονεν εὐφορίας αἴτιος, ὡς ἐπὶ πολλοὺς ἐπαρκέσαι χρόνους τοῖς ἐγχωρίοις τοὺς δρεφθέντας καρπούς. τὴν μὲν οὖν γραμματικὴν ἔλεγεν ὁ Λέων καὶ

66 a. 832/833 (secundum Dölgeri Regg.)

ACEVBMN FH **54** δή om. B **56** αὐτὸς ἀφικέσθαι σοι ACEMN Theoph. Cont. 190, 5: ἀφικέσθαι σοι αὐτός VB **57** ἐκ: ἀπὸ τοῦ B **58** κατ' ἐξουσίαν om. B **61** μεταδώσαντα B **63** τοιοῦτος AEVB Theoph. Cont. 190, 14: τοιούτως F: τοιοῦτον C: τοιούτοις MNH ὁ om. VMNFH (sed cf. Theoph. Cont. 190, 14) **64** δέ ACEMN Theoph. Cont. 190, 15: τέ VB **65** κεντηνάρια ἑκατόν A **66** ἔρρωσο post ἀΐδιοι add. B **67** ὄντων: τοιούτων B 'Ρωμαῖον E **68** μέν post αἰτηθ. add. VB (cf. Theoph. Cont. 190, 21) **70** 'Ιαννῆν ACEB (sed cf. Theoph. Cont. 190, 22) **71** οἰκειωμένον M **73** περὶ τὰ μαθήμ. πάντα B **75** ἐκείνου M ἦγχε: εἶχε AB Θεσσαλονίκη AB τε om. AEB τά: τοῖς A **76** μετανάσται γενέσθαι: μεταναστεῦσαι B **77** διαφθαρ. τῶν ἀναγκ. B διαφθείρεσθαι B **78** τούτοις: τούτων CE **79** τε om. B **80** καταβαλεῖν VBMN: καταβάλλειν ACE ἐπιτρ. καταβ. M **81** πολλοῖς A χρόνοις A **82/83** τὴν ... γραμματικὴν ... ποιητικὴν VB Theoph. Cont. 192, 3: τὰ ... γραμματικὰ .... ποιητικὰ ACEMNH: τὰ ... γραμματικοῦ ... ποιητικοῦ F

ποιητικὴν μυηθῆναι κατὰ τὴν βασιλίδα, ῥητορικὴν δὲ καὶ φιλοσοφίαν καὶ ἀριθμῶν ἀναλήψεις καὶ τὰς τῶν λοιπῶν ἐπιστημῶν ἐφόδους κατὰ τὴν νῆσον Ἄνδρον γενόμενος. ἐκεῖσε γὰρ σπουδαίῳ τινὶ ἐντυχὼν ἀνδρὶ Μιχαὴλ τῷ Ψελλῷ καὶ τὰς ἀρχὰς μόνον καί τινας λόγους καὶ ἀφορμὰς παρ' αὐτοῦ λαβών, ἐπεὶ μὴ ὅσον ἐβούλετο εὕρισκε, περιενόστει τὰ μοναστήρια καὶ τὰς ἐν αὐτοῖς ἀποκειμένας βίβλους ἀνερευνῶν τε καὶ πορι- ζόμενος καὶ σπουδαίως ἐκμελετῶν πρὸς τὸ τῆς τοσαύτης γνώσεως ὕψος ἀνεβιβάσθη. εἰς κόρον δὲ τῶν μαθη|μάτων μετεσχηκὼς πρὸς τὴν βασιλεύουσαν αὖθις ὑπέστρεψε τὰ σπέρματα τῶν ἐπιστημῶν ταῖς τῶν βουλομένων διανοίαις καταβαλλόμενος.

16. Ἀλλὰ ταῦτα μὲν πρότερον. τῆς δὲ τῶν εἰκονομάχων αἱρέσεως καταβληθείσης καὶ τῶν ταύτης ἀντεχομένων καθαιρεθέντων, καθαιρεθέντος δὲ καὶ Ἰωάννου τοῦ πατριάρχου, συγκαθῃρέθη καὶ οὗτος, ὃν ὁ Βάρδας, ὡς ἤδη φθάσαντες εἴπομεν, τῆς φιλοσόφου σχολῆς προστάτην ἀπέδειξε, καί τινα Σέργιον, φοιτητὴν αὐτοῦ γενόμενον (πατὴρ οὗτος τοῦ ἄνωθεν εἰρημένου νεανίσκου τοῦ τῆς γεωμετρίας διαιτητηρίου), καὶ Θεοδήγιον, συνήθη καὶ αὐτὸν τούτου ὑπάρχοντα, ἀριθμητικῆς καὶ ἀστρονομίας, δαψιλεῖς αὐτοῖς τὰς χορηγίας ἐπιμετρῶν, πολλάκις δὲ καὶ ἐπιφοιτῶν ἐκ φιλομαθείας, καὶ τῶν διδασκομένων τὰς προθυμίας ἐπιρρωννύς, διὰ βραχέος εἰς αὔξησιν τὴν γνῶσιν ἀνήγαγεν, ἀπεσβηκυῖαν τελέως πρὸ τοῦ καὶ μηδ' ἴχνος ὅλως δεικνῦσαν ἢ ζώπυρον.

17. Ὁ δ' αὐτὸς Βάρδας καὶ καῖσαρ γενόμενος συνεχῶς ἐφοίτα τοῖς τοῦ ἱπποδρόμου δικαστηρίοις καὶ τοὺς νόμους ἀνηβᾶν αἴτιος γέγονε, τοῦ χρόνου καὶ τὴν περὶ αὐτοὺς ἀκρίβειαν συγκαλύψαντος. ἀλλὰ

cap. 16: Theoph. Cont. 192, 14–192, 23; Zon. III, 402, 3–402, 8 cap. 17: Theoph. Cont. 193, 1–196, 5; Zon. III, 402, 8–404, 5; Glyc. 544, 1–544, 10

ACEVBMN FH **83/84** ῥητορικὴν — ἀναλήψεις om. MN (sed cf. Theoph. Cont. 192, 4/5) **84** ἐφόδους: μεθόδους B **85** Ἄντρον ACEVBMNF Theoph. Cont. 192, 5 cod. V τινὶ ἀνδρὶ ἐντυχὼν AM **86** Μιχαὴλ τῷ Ψελλῷ (Ψελῷ BMN) interp. Scylitzae vel archetypi? cf. Theoph. Cont. 192, 6 τὰς om. B καὶ ult. om. B **86/87** παρ' αὐτοῦ post λόγους M **87** περινόει C **88** ἐναποκειμένους M **89** ὕψος γνώσεως B **92** διανοίαις VBMN Theoph. Cont. 193, 13: ἐννοίαις ACE **93** καταβληθείσης αἱρέσεως B **94** ἀντεχομένων VBMN: ἐχομένων ACE **94/95** καθαιρεθέντος — συγκαθῃρέθη: σὺν τῷ Ἰαννῇ τῷ πατριάρχῃ συγκαθαιρέθη B **95** Ἰαννῇ ACEM **1** σχολῆς om. B **2** αὐτοῦ ACEMN: αὐτῷ VB αὐτοῦ φοιτητὴν MNF **3** διαιτητηρίου B (cf. Theoph. Cont. 192, 18): διατηρίου ACEVMN: διαιτηρίου F **4** τούτου ACEMN: τούτῳ V: τοῦτος B **5** προεστήσατο post ἀστρον. add. B αὐτοῖς AEVB: οἷς Theoph. Cont. 192, 20: αὐτοῦ C: αὐτῷ MNF **6/7** καὶ τὰς τῶν διδασκ. προθ. B **8** τελείως A πρὸ τοῦ om. ACE **9** καὶ om. C **10** τοῦ ante τοὺς νόμους add. B νόμους ECB Zon. III, 402, 8; δρόμους AVMNF

τοσαῦτα καὶ τηλικαῦτα τῶν καλῶν τοῦ Βάρδα πλεονεκτήματα ὁ τῆς φιλοπρωτείας ἔρως, οἷά τις ἐγγενὴς μολυσμὸς καὶ σπῖλος ἄκρατος ὤν, ἠμαύρωσε καὶ ἠφάνισε, καὶ ἣν κατὰ τῆς ἐκκλησίας ἀνήγειρε στάσιν, κυκήσας αὐτὴν καὶ ταράξας. διὸ ἀντὶ τῆς κρείττονος δόξης τὴν ἐναντίαν ἠνέγκατο. Μεθοδίου γὰρ τοῦ τρισολβίου τὸν βίον μετηλλαχότος, ἐπὶ τέσσαρας μό|νον χρόνους τὸν τῆς Κωνσταντινουπόλεως οἰακίσαντος θρόνον, Ἰγνάτιος ὁ Νικηφόρου μὲν τοῦ βασιλέως θυγατριδοῦς, υἱὸς δὲ Μιχαὴλ τοῦ τῆς βασιλείας ἐκπεπτωκότος, μετὰ τὸ τῆς βασιλείας ἀποπεσεῖν καὶ τὰ παιδογόνα ἀφαιρεθῆναι μόρια μοναχὸς γεγονὼς καὶ τῆς μονῆς τοῦ Σατύρου καθηγεμών, πρὸς τὸν τῆς πατριαρχίας θρόνον ἀνάγεται. οὗτος τὸν Βάρδαν ἐπὶ τῇ τῆς γυναικὸς ἀναιτίῳ ἀποβολῇ, τῇ δὲ τῆς οἰκείας νύμφης περιπλοκῇ τῆς ἐκκλησίας ἀπεῖργεν, ἐπεὶ μὴ τῶν θείων ἠμέλει κανόνων. ὃν ἐπεὶ πολλὰ λιτανεύων καὶ δυσωπῶν ὁ Βάρδας συγχωρήσεως ἀξιωθῆναι οὐκ ἠδυνήθη, τῶν ὅλων ἀπογνοὺς πρὸς ἄμυναν διανίσταται καὶ τῆς ἐκκλησίας ἐκβάλλει καὶ μετὰ πολλὰς κακώσεις καὶ ἀνυποίστους τελευταῖον τῷ τοῦ Κοπρωνύμου τάφῳ ἐναποκλείει, ἐπιστήσας αὐτῷ φύλακας δεινούς τε καὶ ὠμοτάτους. ἀπεβίω δ' ἂν ὁ ἱερώτατος αὗτος ἀνὴρ ἀπὸ τῆς πολυωδύνου κακώσεως, εἰ μή τις θεοσεβὴς ἄνθρωπος κατά τινας χρείας τῶν φρουρῶν ἀποδημούντων ἐξῆγέ τε τοῦ τάφου καὶ ἐπιμελείας ἠξίου τῆς προσηκούσης. ὃν μετὰ πολλὴν ὅσην τὴν κάκωσιν ὑπερόριον ἐν Μιτυλήνῃ ποιεῖ. ἔπαθον δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἐπισκόπων τὰ παραπλήσιά τε καὶ χείρω, ὅτι μὴ ἠρέσκοντο τοῖς γενομένοις, μηδ' ἄλλον δέξασθαι διαβοώμενοι, κἂν εἴ τι καὶ γένηται. ὅμως δ' ὑπενδόντες, οἱ μὲν ἀπειλαῖς, οἱ δὲ καὶ ὑποσχέσεσιν εἴκουσι τῷ τοῦ Βάρδα θελήματι, τῆς ἀρετῆς καὶ δόξης ἔρωτα χρημάτων καὶ λειποταξίαν ἀνταλλαξάμενοι. ὁ δὲ Βάρδας Φώτιον, ἄνδρα ἐπὶ σοφίᾳ γνώριμον, πρωτοασηκρῆτις τηνικαῦτα ὑπάρχοντα, προχειρίζεται πατριάρχην. ἐπεὶ δὲ παρῆσαν καὶ τοποτηρηταὶ τοῦ | πάπα Ῥώμης κατὰ τῶν εἰκονομάχων σταλέντες, πείθουσι καὶ αὐτοὺς τῆς ἑαυτῶν γενέσθαι θελήσεως. διὸ καὶ

16 a. 847 **26** a. 858 **38** die 25. mens. Dec. 858

ACEVBMN FH **12** τὰ ante τοσ. add. B τῶν καλῶν om. B πλεονεκτήματα VBMN: πλεονεκτημάτων F: διηγημάτων H **14** ἠφάν. καὶ ἠμαύρ. A **15** ἐναντίαν VBMN Theoph. Cont. 193, 7: ἐναντιωτάτην ACE **17** μόνον χρόνους ACE: μόνους χρόνους B Theoph. Cont. 193, 8: χρόνους μόνον VMNFH οἰακίσαντα CE **18** ὁ — θυγατριδοῦς: ὁ τοῦ βασ. μὲν Νικ. θ. A **19** Μιχαὴλ post ἐκπεπτωκ. B **20** ἀποπεσεῖν ACEMN: ἐκπεσεῖν VB ἀφαιρεθῆναι μόρια: μόρια ἐκτμηθῆναι A **20/21** καὶ τῆς μονῆς — καθηγεμών om. B **22** ἐπιβολῇ M **23** περιποιήσει τε καὶ ante περιπλοκῇ add. A **23/24** ἐπεὶ — κανόνων om. B **25** ἐδυνήθη V **26/27** κακώσεις post ἀνυποίστους B **28/29** ὁ — ἀνὴρ VBMN: οὗτος ὁ ἱερὸς ἀνὴρ ACE: οὕτως (οὕτως om. F) ὁ ἱερώτατος ἀνὴρ FH **29** ἀπό: ἐκ A ταύτης post πολυωδ. add. ACE **33** γινομένοις EB **34** μηδ': μὴ B **35** καὶ om. VBM **36** τε post ἀρετῆς add. E **37** πρωτασικρῖτις M **38** ὑπάρχοντα F: ὑπάρχων MN: τυγχάνοντα ACE: ὄντα, ante τηνικαῦτα, B: om. V

ἐν τῷ τῶν θείων ἀποστόλων τεμένει συνέδριον ἠθροικότες δεδημοσιευμένῃ καθαιρέσει καθυποβάλλουσι τὸν Ἰγνάτιον, τῆς ἐξορίας μεταπεμψάμενοι. ταῦτα μὲν τὰ τῆς φιλοπρωτείας τοῦ Βάρδα νεανιεύματα.

18. Τὰ δὲ ἐντὸς Εὐξείνου καὶ πᾶσαν τὴν αὐτοῦ παραλίαν ὁ τῶν Ῥῶς ἐπόρθει καὶ κατέτρεχε στόλος (ἔθνος δὲ οἱ Ῥῶς Σκυθικόν, περὶ τὸν ἀρκτῷον Ταῦρον κατῳκημένον, ἀνήμερόν τε καὶ ἄγριον), καὶ αὐτῇ δὲ τῇ βασιλίδι δεινὸν ἐπέσειε κίνδυνον. οἳ μετ᾽ οὐ πολὺ θείας πειραθέντες ὀργῆς οἴκαδε ὑπενόστησαν, πρεσβεία τε αὐτῶν τὴν βασιλίδα καταλαμβάνει τοῦ θείου μεταλαχεῖν βαπτίσματος λιτανεύουσα, ὃ καὶ γέγονε· καὶ τῆς Κρήτης δὲ στόλος ἄλλος νῦν μὲν τὰς Κυκλάδας ἐδῄου, νῦν δὲ ἄχρι Προικοννήσου τὴν παράλιον ἅπασαν. ἐγένοντο δὲ καὶ κλόνοι γῆς φρικωδέστατοι. εἷς δὲ ὁ μέγιστος, καθ᾽ ἣν ἡμέραν ἡ τοῦ κυρίου ἀνάληψις ἑορτάζεται, τὴν γῆν κατασείσας τό τε κατὰ τὸ Ἑξακιόνιον πρὸς γῆν ἠδάφισε τεῖχος καὶ ναοὺς εὐπρεπεῖς καὶ οἴκους λαμπροὺς καὶ τὴν κατὰ τὴν Χρυσῆν πύλην τῆς πόλεως ἱδρυμένην Νίκην καὶ τὰς ἐν τῷ Δευτέρῳ κατὰ τὴν ἁγίαν Ἄνναν παγίας ἱσταμένας κατέσεισεν, ἧς τὴν πτῶσιν ὁ φιλόσοφος Λέων προσημαίνειν ἀνεῖπε φανερῶς τὴν τοῦ μετὰ βασιλέα δυνάστου καταστροφήν. ἐγένοντο δὲ καὶ ποταμῶν ἀφάνειαι καὶ πηγῶν, καὶ ἄλλ᾽ ἄττα παθήματα κατὰ πᾶσαν χώραν. ἃ πάντα κατενωτισάμενος ὁ βασιλεὺς ὅλος εἴχετο | τῶν ἱππικῶν ἀγώνων κατὰ τὸν ἐν τῷ Στενῷ ἀνεγηγερμένον ναὸν τοῦ ἁγίου μάρτυρος Μάμαντος.

19. Ἄξιον δὲ καὶ τόδε μὴ παραλιπεῖν τὸ λόγιον παραστατικὸν τυγχάνον τῆς τε τουτουὶ τοῦ βασιλέως ἀβελτηρίας καὶ τῆς τῶν προηγησαμένων ἐπιμελείας. τὰς τῶν Σαρακηνῶν κατὰ τῆς τῶν Ῥωμαίων χώρας ἐπιδρομὰς οἱ πάλαι βασιλεῖς διαδήλους ποιεῖν ἐθέλοντες, ἵνα μὴ αἰφνίδιοι εἰσπίπτοντες ἐκπορθῶσι τὰς χώρας, ἐν ταῖς κώμαις καὶ τοῖς

52 die 18. mens. Iun. a. 860 64 vere a. 860

cap. 18: Theoph. Cont. 196, 6—197, 10; Zon. III, 404, 6—405, 1 cap. 19: Theoph. Cont. 197, 10—199, 11; Zon. III, 405, 1—406, 3; Glyc. 542, 8—543, 9

ACEVBMN FH **41** τῶν — ἀποστόλων: τῶν ἀποστόλων θείῳ B **42** ὑπέβαλον B **43** τοῦ ACEMN: τῷ VBH **44** δ᾽ ACE **45** Ῥὼς bis ACE et Theoph. Cont. 196, 6 **46** Ταῦρον: τόπον B κατῳκημένον ACEMN: κατῳκισμένον VB δὲ om. VB **47** καὶ ante θείας add. C, τῆς add. VB (sed cf. Theoph. Cont. 196, 10) **48** ἀπενόστησαν B **49** τοῦ θείου post μεταλ. VB (sed cf. Theoph. Cont. 196, 13) λιτανεύουσαν B **50** ἄλλος om. B **51** ἄχρι om. A **53** τὸ ante κατὰ add. E Ἑξωκιόνιον B **55** πύλην VBMN: νίκην AC: om. E τὰς: τὴν B **56** παγίας ἱσταμένας: στήλην ἱσταμένην B **57** προσημ. post φαν. B τοῦ: αὐτοῦ V μετὰ om. E βασιλέως M **58** δυνάστην V ἀφάνεια M **59** καὶ ἄλλ᾽ ἄττα: ἄλλα τε B καταναωτισάμενος AE **60** ὅλος ACEM Theoph. Cont. 197, 8: ὅλως VBNF **61** μάρτυρος ACEMN: μεγαλομάρτυρος B: om. V **63** τουτουὶ τοῦ ACEMN: τούτου τε τοῦ V: τοῦ τότε B **64** τῶν om. AEB Ῥωμαϊκῶν A **65** χωρῶν A **66** αἰφνίδιον B ἐκπορθῶσι ACEMN: ἐκπολιορκῶσι VB χώρας: κώμας A κώμαις: χώραις A

ἀγροῖς τοὺς ἐνοικοῦντας καταλαμβάνοντες, φρούριόν τι τῇ Ταρσῷ ἀγχίθυρον ἐπί τινος ὑψηλοτάτου λόφου καὶ ἐρυμνοῦ ἐδομήσαντο. Λοῦλον τῷ φρουρίῳ τὸ ὄνομα. οἱ ἐν τούτῳ τοίνυν φρουροὶ τῆς ἐκδρομῆς λαμβάνοντες αἴσθησιν πυρσὸν ἀνῆπτον, ὃν βλέποντες οἱ ἐν τῷ Ἀργαίῳ κατοικοῦντες βουνῷ ἄλλον ἀνῆπτον, καὶ αὖ οἱ κατὰ τὸν Ἴσαμον βουνόν. τοῦτόν τε πάλιν ὁρῶντες οἱ κατὰ τὸν Αἴγιλον ἔκαιον ἕτερον, καὶ αὖθις οἱ κατὰ τὸν λεγόμενον Μάμαντα. εἶτα τοῦτον ὁ Κύριζος διαδεχόμενος, καὶ τοῦτον πάλιν ὁ Μώκιλος, ἐκεῖνον δ' αὖθις ὁ τοῦ ἁγίου Αὐξεντίου βουνὸς τοῖς ἐν τῷ μεγάλῳ παλατίῳ ἐπὶ τούτῳ ἀφωρισμένοις διαταρίοις δήλην ἐτίθει τὴν προνομήν. καὶ οὕτως κατὰ διαδοχὴν πυρσεύοντες γνῶσιν ἐν ἀκαρεῖ παρεῖχον τῷ βασιλεῖ, καὶ οἱ τῶν χωρῶν κάτοικοι πυνθανόμενοι τειχήρεις ἐγίνοντο καὶ τὰς ἐκδρομὰς διεδίδρασκον. τοιαύτης δὲ συνηθείας κρατούσης, συνέβη ποτὲ τοῦ Μιχαὴλ κατὰ τὸν τοῦ μάρτυρος Μάμαντος ναὸν ἡνιοχῆσαι μέλλοντος τὸν ἐκ τοῦ Φάρου ἀναφθῆναι πυρσόν. ὃν οὗτος θεασάμενος | εἰς τοσοῦτον ἐνέπεσε φόβον, δέει τοῦ μὴ παροφθῆναι τὴν αὐτοῦ ἡνιοχείαν ὑπὸ τῶν θεατῶν διὰ τὴν ἀπαίσιον ἀγγελίαν, εἰς ὅσον ἄλλος τις ἦλθε κινδυνεύων ὑπὲρ ψυχῆς. οὕτως ἐκεῖνος θεατριζόμενος οὐκ ᾐσχύνετο. ἵνα δὲ μή τι τῶν προσπιπτόντων ἀνιαρῶν δηλούμενον μαλακωτέρους ποιήσῃ τοὺς θεατάς, προσέταξε μηκέτ' ἐνεργεῖν τοὺς τῇ βασιλίδι γειτονοῦντας φρυκτούς. ἄλλοτε πάλιν (δεῖ γὰρ ἐκφαντικωτέραν θέσθαι τὴν τοῦ ἀνδρὸς παράνοιαν) ἐφ' ἅρματος αὐτοῦ ἱσταμένου καὶ τῆς ὕσπληγος μελλούσης αἴρεσθαι (ἐνεδέδυτο δὲ τὸ βένετον, καὶ πράσινος ἦν ὁ λογοθέτης τοῦ δρόμου Κωνσταντῖνος, λευκὸς δὲ ὁ Χειλᾶς καὶ ῥούσιος ὁ Κρασᾶς) ἀγγελία πεφοίτηκεν, ὡς Ἄμερ ὁ τῆς Μελιτηνῆς ἀμηρᾶς δεινῶς λεηλατεῖ τὴν Ἀσίαν καὶ ἤδη πρὸς τοῖς Μαλαγίνοις ἐστὶ καὶ προσδοκῶνται ὅσον οὔπω δεινά. ἣν πυθόμενος ὁ πρωτονοτάριος ἀπελθὼν μετὰ κατηφείας ἀπήγγειλε τῷ βασιλεῖ, καὶ ἅμα ἐπὶ χεῖρας ἔχων τὰ τοῦ δομεστίκου τῶν σχολῶν γράμματα ἐπεδίδου. ὁ δὲ βλοσυρὸν εἰς αὐτὸν ἐνιδὼν καὶ τιτανῶδες· ʻκαὶ πῶς ἐτόλμησας, ὦ κακὴ

95 τιτανῶδες: cf. App. prov. 4, 89; Apost. 16, 64

ACEVBMN FH **67** τι om. E **69** τούτῳ post φρουρίῳ add. V ἐκδρομῆς ACEMN (cf. ἐκδρομὴν Theoph. Cont. 197, 15): ἐπιδρομῆς VB **71** Ἴσαβον M **72** τοῦτον: τοῦτο B Αἴγιλον EVB Theoph. Cont. 197, 17: Αἰγιαλόν ACMNF **73** Μίμαντα B Κύριξος A διαδέχεται B **75** ἐπὶ τούτῳ om. B διαιταρ. ante ἐπὶ τούτῳ A **79/80** κατὰ — ἡνιοχῆσαι: κατὰ τὸν ἅγιον Μάμαντα ἡν. B **79** τοῦ alt. om. M **80** ἡνιοχῆσαι μέλλοντος VB: ἱππάσεσθαι μέλλοντος Theoph. Cont. 198, 1 cod. V: μέλλοντος ἡνιοχῆσαι ACEMNFH **81** δέει om. ACE (sed cf. Theoph. Cont. 198, 4) **82** αὐτοῦ om. B αὐτὴν ante ἀπαίσιον add. A **83** ἂν ante ἦλθε add. B ὑπὲρ: περὶ B **85** ποιήσῃ: ἔχῃ ποιεῖν A **86** φρυκτούς: πυρσούς A **88** δὲ om. B **89** πράσινον C **90** Χειλὰς BN Κρασάς BN **91** πρὸς τοῖς Μαλαγίνοις: πρὸς τῆς Μελαγγείοις Μαλαγίνοις B Μαλαγίνοις CEVB Theoph. Cont. 198, 23: Μαλαγήνοις MN: Μελαγίνοις A **93** καὶ ante ἀπελθὼν add. E, post ἀπελθὼν add. B **95** βλοσυρὸν — τιτανῶδες: βλοσ. καὶ τιτ. αὐτῷ ἐνιδὼν B εἰς — ἐνιδὼν: ἐνιδὼν εἰς αὐτὸν A

κεφαλή,' ἔφη, 'κατὰ τὸν ἀναγκαῖον ἀγῶνα τουτονὶ περὶ τοιούτων μοι διαλέγεσθαι, οὐδὲν ἄλλο σπουδάζοντι, ἢ μὴ τὸν μέσον εὐώνυμον ἰδεῖν παρατετραμμένον, ὑπὲρ οὗ μοι πᾶς ὁ ἀγών.' τοιοῦτος ἦν ἔκφορος καὶ τὸν λογισμὸν παρακεκινημένος. καὶ οὐχὶ τούτῳ μὲν τῷ πόθῳ ἢ πάθει ἡλίσκετο, τῶν δ' ἄλλων τῶν ἀπρεπεστέρων ἀπείχετο, ἀλλὰ τὸ μέτριον τάχα ἀμέτρως ἦθος μεταδιώκων ἐξέπιπτε τοῦ προσήκοντος καὶ τῆς βασιλι|κῆς ἀξίας ἀξίου.

20. Καί ποτε γυναίῳ συναντήσας ἐκ βαλανείου ἐπανιόντι καὶ κάλπιν ἐπὶ χεῖρας ἔχοντι (ἔτυχε δὲ τὸν ταύτης παῖδα ἐκ τοῦ θείου λουτροῦ υἱοθετησάμενος) τὸν ἵππον ἀποβὰς τοὺς μὲν συγκλητικούς, ὅσοι τούτῳ παρείποντο, κατὰ τὰ ἐκεῖσε ἀνάκτορα ἐξαπέστειλεν, ἃ δὲ προσηταιρίσατο καὶ παρέτρεφεν ἀκόλαστα καὶ πορνικὰ ἀνδράρια παραλαβὼν ἀπῄει μετὰ τῆς γυναικὸς τὴν κάλπιν τε τῶν ἐκείνης χειρῶν ἀφείλετο, καί· 'ἄγε δή, ὦ γύναι', εἶπε, 'θαρροῦσα δέξαι με ἐν τῇ οἰκίᾳ σου, ψωμοῦ πιτυρώδους ἔφεσιν ἔχοντα καὶ ἀσβεστοτύρου'. ὡς δ' ἀπεπάγη πρὸς τὸν λόγον ἡ γυνὴ μηδενὸς εὐποροῦσα τῶν πρὸς ὑποδοχήν, ὁ Μιχαὴλ θᾶττον ἢ λόγος σινδόνα λαβών, ἣν ἤνεγκε τὸ γύναιον ἐκ τοῦ βαλανείου, ἔτι διάβροχον οὖσαν, ἀντὶ τῆς ὑπηρετούσης τῇ τραπέζῃ ὀθόνης ἥπλου ἐπὶ τοῦ ἐδάφους, τὴν κλεῖδα τὴν τῆς γυναικὸς ἀφελὼν αὐτὸς ἦν βασιλεύς, ἑστιάτωρ, μάγειρος, τραπεζοποιός, δαιτυμών. συνδειπνήσας δὲ τῇ γυναικὶ πεζὸς καὶ βάδην ἀπῄει πρὸς τὰ ἀνάκτορα, πολλῆς εὐηθείας καὶ τύφου καταγινώσκων τῶν πρὸ τοῦ βασιλέων κοσμιότητος ἀντιποιουμένων.

21. Ταῦτ' οὖν ἅπαντα μισητὸν ἐποίει τὸν ἄνδρα, καὶ κατ' αὐτοῦ τὴν πάντων δικαίως ὑπεκίνει ὀργήν. καὶ τὸ δὴ χείριστον, ἡ φατρία τῶν παρεπομένων αὐτῷ κιναίδων καὶ πρὸς πᾶσαν αἰχρουργίαν ἐπιτηδείων, οὓς ἐκεῖνος διὰ τιμῆς ἄγων τε καὶ αἰδοῦς, τὰ θεῖα διαπαίζων τε καὶ

cap. 20: Theoph. Cont. 199, 11—200, 13; Zon. III, 406, 4—407, 1; Glyc. 541, 19—541, 22 cap. 21: Theoph. Cont. 200, 14—202, 4. cf. p. 130, cap. 14; Zon. III, 407, 1—407, 12: Glyc. 542, 1—542, 5

ACEVBMN FH 1 ἔφη om. M 2 ἢ μὴ ACE: ἢ μὴν VMNF: μὴ (om. εἰ) Theoph. Cont. 199, 6 cod. V: ἢ (om. μὴ) B 2/3 εὐών. post παρατετρ. VB 4 πάθει ἢ πόθῳ A 6 ἀμέτρως — μεταδιώκων: μεταδ. ἦθος ἀμέτρως B καταδιώκων E καθήκοντος A τοῦ ante τῆς βασ. add. B 8 συναντήσας VBMN: ἀπαντήσας AC: ὑπαντήσας E καὶ alt. om. B 9 παῖδα: υἱὸν A 10 τοῦ ἵππου B 11 ἐκεῖσε om. ACE (sed cf. Theoph. Cont. 199, 15) 12 πορνικά: πονηρὰ E 15 ἔχοντα AVB 12 ἦν: Theoph. Cont. 199, 19: ἔχοντι CEMN 16 εὐποροῦσα om. V τῶν om. B ὁ ante βασ. add. B ἢ B 19 καὶ ante κλεῖδα add. A τὴν alt. CEMN: om. A: τε VB 20 αὐτὸς ante ἑστιάτωρ add. ACE 21 ἀπῄει post ἀνάκτορα ACE (sed cf. Theoph. Cont. 200, 6) 22 πρὸ τοῦ V Theoph. Cont. 200, 8: πρὸ αὐτοῦ ACEMNH: πρὶν B 25 ἐκίνει M 25/26 φατρία post κιναίδων ACE 26 αἰσχρουργίων M ἐπιτηδείαν B 27 ἄγων post αἰδοῦς ACE (sed cf. Theoph. Cont. 200, 18) τε alt. om. ACEB

ἐξορχούμενος, ἱερατικὰς στολὰς χρυσοϋφεῖς ἐνεδίδυσκε καὶ ἐπωμίδας, καὶ ἀσχη|μόνως ἠνάγκαζε καὶ ἀνάγνως τελεῖν τὰ θεῖα καὶ παναγέστατα, τὸν ἔξαρχον τούτων (Γρύλλος αὐτῷ ὄνομα) πατριάρχην καλῶν, τοὺς δὲ λοιποὺς ἕνδεκα μητροπολίτας. ἐτίθει δὲ καὶ ἑαυτὸν ἕνα τῶν θυηπόλων, καὶ τῆς Κολωνείας ὠνομάζετο πρόεδρος. ἐπεὶ δὲ ᾄδειν αὐτοὺς ἐχρῆν καὶ τελεῖν τὰ μυστήρια, διὰ κιθάρας τὰς ᾠδὰς ἐξεπλήρουν, νῦν μὲν ἠρέμα πως καὶ λιγυρῶς ἐπηχοῦντες, νῦν δὲ διαπρυσίως, ὥσπερ ἐν ταῖς ἱεραῖς λειτουργίαις οἱ ἱερεῖς τὰς ἐκφωνήσεις ποιοῦσι τῶν ἱερῶν. εἶχον δὲ καὶ σκεύη διάχρυσα καὶ διάλιθα. ταῦτα πληροῦντες ὄξους τε καὶ σινήπεος τοῖς μεταλαμβάνουσι μετεδίδοσαν, τῶν ἀχράντων οὕτω καταπαίζοντες μυστηρίων. τοῦτον τὸν μιαρὸν θίασον συνέβη ποτὲ Ἰγνατίῳ τῷ μακαρίτῃ συναντῆσαι κατὰ τὴν ὁδὸν πατριάρχῃ, μετὰ τοῦ ἱερατικοῦ κλήρου καὶ τῆς λιτῆς διερχομένῳ. ὃν ἰδὼν ὁ Γρύλλος ἰταμῶς ἅμα καὶ ἀνερυθριάστως μηδὲν ὑποστειλάμενος, φελόνην ἀναστείλας μετὰ τῶν σὺν αὐτῷ συμμυστῶν εὐτονωτέροις ἐχρῆτο τοῖς κρούμασι, καὶ τοὺς εὐαγεῖς ἐκείνους λοιδορίαις καὶ ἀναιδέσιν ἔβαλλε ῥήμασιν. ὁ τοιοῦτος αἴσχιστος βασιλεὺς καὶ Θεοδώραν τὴν ἑαυτοῦ μητέρα ἔτι τοῖς ἀνακτόροις ἐνδιατρίβουσαν μετεκαλέσατό ποτε, εὐλογηθησομένην τάχα παρὰ τοῦ πατριάρχου, πλασάμενος τοῦτον εἶναι τὸν μακαρίτην Ἰγνάτιον. ὡς οὖν ἐξῄει μετ' εὐλαβείας ἡ σεμνοτάτη γυνὴ καὶ ἔρριψεν εἰς τὸ ἔδαφος ἑαυτὴν ἐξαιτουμένη εὐχήν, μηδὲν ὅλως ὑποτοπήσασα, τοῦ μιαροῦ Γρύλλου τὴν γενειάδα τέως κρύ|πτοντος, ἀναστὰς ὁ Γρύλλος ἀπέπερδε καὶ ῥήματά τινα ἐπεῖπε τοῦ οἰκείου στόματος ἄξια. ἡ δὲ ἐπὶ τῷ γεγονότι δεινοπαθήσασα ἀραῖς ἔβαλλε τὸν υἱὸν καὶ τῆς τοῦ θεοῦ προνοίας ἐκπεσεῖν προφητικῶς ἀπεφοίβασε τοῦτον οὐκ εἰς μακράν.

22. Ἀλλ' οὐκ ἦν τὸν ἅπαξ παρατραπέντα τῆς εὐθείας ὁδοῦ βελτιωθῆναι. ὅθεν καὶ ταχυτάτη κατειλήφει τοῦτον καταστροφή, καὶ πρὸ αὐτοῦ

cap. 22: Theoph. Cont. 202, 5–206, 19; Zon. III, 407, 13–407, 15; 413, 1–414, 14; Glyc. 544, 12–545, 5

ACEVBMN FH **28** καὶ ante χρυσοϋφ. add. B **29** ἠνάγκαζον A **31** ἐτίθει VBMN: ἔτι ACE **33** θεῖα ante μυστ. add. B **34** ἐπηχοῦντες ACEMN Theoph. Cont. 201, 5: ἐπηχοῦντα V: ὑπηχοῦντες B **35** τῶν ἱερῶν om. B εἶχε VB **37** μεταλαμβάνουσι: μεταλαμβάνειν προσποιουμένοις B καὶ ζωοποιῶν post οὕτω add. A **38/39** συνέβη — πατριάρχῃ: συνέβη συναντ. ποτε κατὰ τὴν ὁδὸν Ἰγν. τῷ μακαρίτῃ πατρ. B **38** μακαρίτῃ VBMN Theoph. Cont. 201, 12: μακαρίῳ ACE **39** συναντῆσαι VBMN: ἀπαντῆσαι ACE πατριάρχῃ om. ACE (sed cf. Theoph. Cont. 201, 12) **40** τῆς om. B **42** κρούσμασι M **44** ἑαυτοῦ VMN Theoph. Cont. 201, 17: αὐτοῦ ACEB μητέραν CMN ἐν ante τοῖς add. B ἐνδιατρίβουσαν ACE: διαιτωμένην Theoph. Cont. 201, 18: οὖσαν VBMNFH **45** εὐλογησομένην B **47** ἑαυτὴν post ἔρριψεν ACEMNFH (sed cf. Theoph. Cont. 201, 21) **48** ὑποτοπήσασα ACEMNF: ὑποτοπάσασα VB **49** τινα om. VB **51** προφητικῶς ἀπεφοίβασε AVB: ἀπεφοίβασε προφητικῶς CEMNFH **53** τὸν — βελτιωθῆναι: τὸν ἀσύνετον συνιέναι B **54** τοῦτον κατειλήφει AB αὐτοῦ ACEMN: τοῦ V: τούτου B

μὲν τὸν Βάρδαν, καὶ πρὸ ἐκείνου τὸν κανικλείου Θεόκτιστον, τοὺς χαριζομένους αὐτῷ καὶ μὴ τῶν πονηροτέρων ἀνακόπτειν θελήσαντας διδαγμάτων ὡς ἐπιτρόπους. καὶ ὅπως μὲν ὁ Θεόκτιστος ὤλετο, προλαβὼν ὁ λόγος ἐδήλωσε, σημεῖα δὲ τὸν ὄλεθρον δηλοῦντα τοῦ Βάρδα προηγήσατο τάδε, ἐπιτολαὶ κομητῶν, ὄψεις ὀνειράτων ἀλλόκοτοι. ἔδοξε γὰρ καθ' ὕπνους οὗτος πρός τὴν μεγάλην ἐκκλησίαν μετὰ τοῦ Μιχαὴλ ἀπελθεῖν, ὡς τάχα πανηγύρεως οὔσης. ὡς οὖν ἀφίκοντο καὶ προσωτέρω ἐγένοντο τοῦ θείου ναοῦ, ὁρᾶν ἐδόκει λευκοφόρους τινὰς προηγουμένους, οἵτινες ὁδηγοῦντες αὐτὸν ἄγουσι πρὸς τὰς κιγκλίδας τοῦ θυσιαστηρίου, καὶ βλέπει μὲν ἄλλο οὐδέν, περὶ δὲ τὸν θρόνον τοῦ πατριάρχου καθήμενόν τινα γηραιόν (Πέτρον εἴκασε τοῦτον εἶναι τὸν κορυφαῖον τῶν ἀποστόλων), οὗ πρὸς τοῖς ποσὶν ὁ μακαρίτης ἐκυλινδεῖτο Ἰγνάτιος, ἐκδίκησιν ἐξαιτῶν, ὧν ἐπεπόνθει δεινῶν. τὸν δὲ ἑνὶ τῶν παρεστώτων μάχαιραν δοῦναι καὶ εἰπεῖν· 'ταύτῃ τὸν θεόργιστον', οὕτω τὸν καίσαρα κατονομάσαντα, 'τῇ τῶν εὐωνύμων χώρᾳ ἐγκαταστήσας μεληδὸν διάτεμνε. τὸν δ' ἀσεβότεκνον,' διὰ τοῦ τοιούτου προσρήματος τὸν βασιλέα δηλοποιήσαντα, 'κατάλεγε μὲν τοῖς | δεξιοῖς, τὴν δ' ὁμοίαν δίκην ἀπεκδέχεσθαι πρόσειπε.' καὶ ὁ μὲν ὄνειρος οὗτος. εἰ δὲ καὶ ἀπέβη τὰ θεαθέντα, δηλώσει τὰ μετὰ ταῦτα. ἄρτι κατὰ τῶν Κρητῶν ὁ Βάρδας πανδημεὶ μετὰ τοῦ Μιχαὴλ καθωπλίζετο, καὶ πρὸς τὸν τῆς θεοτόκου ναὸν τῶν ὁδηγῶν φοιτήσας εἰσήει μετὰ λαμπάδων τὸν συντακτήριον ἐκπληρῶν. ὡς οὖν τοῖς ἀδύτοις προσήγγισεν, ἄφνω τῶν αὐτοῦ ὤμων ἡ χλαμὺς ὀλισθήσασα αἰσθέσθαι τοῦτον καινοτέρων δεινῶν παρεσκεύασε. καὶ αὐτὸς δὲ πρὸ μιᾶς ἡμέρας τοῦ μέλλειν ἀπαίρειν ἀπὸ τῆς πόλεως, εἴτ' ἀφ' ἑαυτοῦ εἴτε καὶ ἄλλως ὑπὸ τοῦ μέλλοντος ἐλαυνόμενος, συναγαγὼν εἰς ταὐτὸν τοὺς φίλους καὶ συμποσιάσας μεμνῆσθαί τε τῆς αὐτοῦ παρῄνει φιλίας καὶ ληγάτα, ὡς τοῦ βίου ἤδη γενόμενος ἔξω, παρέσχετο. ὡς οὖν κατὰ τῆς Κρήτης ἐξῄεσαν καὶ τῷ θέματι τῶν Θρᾳκησίων ἐπέβησαν,

ACEVBMN FH 55 μὲν om. B τὸν — Θεόκτιστον: Θεόκτιστον τὸν καν. ACE ἐπὶ τοῦ ante καν. add. B 56 χαριζομένους: μακαριζομένους A πονηροτέρων V Theoph. Cont. 202, 11: πονηρῶν ACEBMNFH ἀνακόψαι B θελήσαντας CEBMN: ἐθελήσαντας V: ἐθέλοντας A 58 δηλοῦντα VBMN: προδηλοῦντα ACE 61 ἀφίκετο B 64 βλέπειν B 65 εἴκασε τοῦτον om. E 66 ἐκυλινδοῦτο B 67 πεπόνθει MN 68 ταύτην M 69 τῶν εὐωνύμων: τῇ εὐωνύμῳ M 70 δὲ A 71 δηλοποιήσας B κατάλεγε VBMN Theoph. Cont. 204, 9 Bekker: κατέλεγε ACE Theoph. Cont. 204, 9 cod. V 72 ἀπεκδέχ. δίκην B οὗτος EVB: οὕτω δὴ ἐτελεύτα Theoph. Cont. 204, 10: οὕτως ACMNF 73 τῶν om. EC Κρητικῶν Theoph. Cont. 204, 12 76 οὖν: δὲ B 77 καινοτέρων VB Theoph. Cont. 204, 17: δεινοτέρων AEMNFH: δεινότερα C δεινῶν: κακῶν A 78 ἡμέρας μιᾶς B ἀπὸ ACEMN Theoph. Cont. 204, 18: om. VB εἴτε καὶ ἀφ' ἑαυτοῦ B 79 συναγαγὼν ACE Theoph. Cont. 204, 19: συναγηοχὼς VBMNF 80 ταὐτὸ ACE 81 ἤδη — ἔξω EVBMN Theoph. Cont. 204, 21: ἔξω ἤδη γενόμενος A: ἤδη ἔξω γενόμενος C παρέχεται C 82 τοῦ θέματος B τῷ θέματι om. ACE (sed cf. Theoph. Cont. 204, 23)

καὶ κατά τινα Χῶρον τόπον οὕτω λεγόμενον οἱ τούτῳ ὑπηρετοῦντες προκαταλαβόντες τὰς σκηνὰς κατεπήγνυον ἁμίλλῃ χρώμενοι καὶ σπουδῇ. ἐνταῦθά πως, εἴτε δὴ κατὰ πρόνοιαν εἴτε δὴ καὶ ἄλλως κατ' ἄγνοιαν, τὴν μὲν τοῦ βασιλέως ἐπὶ πεδινοῦ χωρίου αὐλαίαν ἐπήξαντο, εἴς τινα δὲ λόφον ὑπερανεστηκότα τὴν τοῦ καίσαρος ἀνεπέτασαν. ὅπερ ὡς ἕρμαιον λαβόντες οἱ τῷ Μιχαὴλ προσκείμενοι καὶ προσπολεμοῦντες τῷ καίσαρι κατῃτιῶντο τὸ γεγονὸς καὶ τὰς κατ' ἐκείνου ἐξέκαιον συμβουλάς. ὑπέθραττε δ' ὅμως αὐτοὺς καὶ νωθροτέρους ἐποίει πρὸς τὴν ἐγχείρησιν ἡ τοῦ καίσαρος κραταιοτέρα ἰσχύς. τήν | τε γὰρ τοῦ δομεστίκου τῶν σχολῶν ἀρχὴν ὁ τούτου εἶχεν υἱὸς Ἀντίγονος, καὶ οἱ λοιποὶ στρατηγοὶ αὐτῷ ἐπειθάρχουν, καὶ Συμβάτιος ὁ λογοθέτης τοῦ δρόμου, γαμβρὸς ἐπὶ τῇ θυγατρὶ αὐτοῦ τυγχάνων, ἀναντιρρήτως τὰ ἐκείνου φρονεῖν ἐπιστεύετο. ἀλλ' ἔλαθεν ὁ Συμβάτιος ὑπὸ τοῦ βασιλέως κλαπεὶς καὶ τὸν φόνον τοῦ πενθεροῦ ἐργασάμενος αὐτός, καὶ οὐκ ἄλλος, σύνθημα τοῦ φόνου εὐτρεπισθείς. ἄρτι γὰρ ἐξῄει τὰς ἀναφορὰς ἀναγνούς, καὶ τὸ σημεῖον ἐδίδου τοῦ φόνου, σταυρὸν εἰς τὸ ἑαυτοῦ πρόσωπον ἐγχαράξας. ἀνεβάλλοντο δ' ὅμως οἱ συνωμότες, τὴν ἑταιρείαν παρισταμένην ὁρῶντες τοῦ καίσαρος. ὅπερ ὁ Μιχαὴλ εὐλαβηθείς, μή πως κατάφωρος γενόμενος καθ' ἑαυτοῦ τὴν μάχαιραν ἐπισπάσηται, διὰ πιστοῦ τινος ἐθαρσοποίει τοὺς ἄνδρας ταῖς ὑποσχέσεσι. καὶ κἂν παρῆλθε τὸν κίνδυνον ὁ καῖσαρ καὶ παρεκρούσατο, τῷ δέει καταπλησσομένων καὶ κατεπτηχότων τῶν συνωμοτῶν, εἰ μὴ Βασίλειος ὁ μετὰ ταῦτα βασιλεύς, παρακοιμώμενος ὤν, διανέστη πρὸς τὴν ἐγχείρησιν. οὗτος γὰρ ἀπορρῖψαί τε πείθει τὸ δέος τοὺς συνωμότας καὶ πρὸς τὴν πρᾶξιν ἐπιρρωννύει. ξιφήρεις οὖν τοὺς ἄνδρας ἐπιόντας ἰδὼν ὁ Βάρδας ἀθρόως ἔγνωκέ τε τὸν θάνατον καὶ πρὸς τοὺς πόδας ἔρριψε τοῦ βασιλέως αὑτόν. ἀλλ' ἀποσπῶσι τοῦτον ἐκεῖθεν καὶ μεληδὸν κατατέμνουσιν, εἶτα κοντῷ τὰ παιδογόνα αὐτοῦ ἀπαιωρήσαντες μόρια παραδειγματίζουσιν. ἤρθη δὲ θόρυβος πολὺς καὶ τῷ βασιλεῖ κίνδυνον ἐπισείων. ὃν ὁ τῆς βίγλας δρουγγάριος Κωνσταντῖνος μετὰ πολλῶν εἰς μέσον | ἀθρόως ἐπιφανεὶς διέλυσεν, εὐφημίαις τε βάλλων τὸν βασιλέα καὶ δικαίως ἀποθανεῖν τὸν Βάρδαν διαβεβαιούμενος.

14 die 21. mens. Apr. a. 866

ACEVBMN FH **83** τόπον: κήπους B οὕτω ACE Theoph. Cont. 205, 1: om. VBMNFH **84** καταλαβόντες BM **85** πως VBMN Theoph. Cont. 205, 3: που ACE δὴ καὶ om. B κατ' ACVB: κατὰ EMNF **86** αὐλαίαν post βασιλέως B δὲ: δή C **89** ἐπιβουλάς B **90** νωθεστέρους B **92** Ἀντίγονος ACEVB Theoph. Cont. 205, 11: Ἀντίγωνος MN **93** Συμβάτης B ἐπὶ τῇ θυγατρί: ἐπιτηθεὶς C τῇ om. B **94** ἀναντιρρήτως om. B **95** Συμβάτιος ACVMN: Συμβάτης B: Σαμβάτιος E **2** ἀφορμάς C **6** ἐπισπάσῃ V **9** ὁ — βασιλεύς om. B **11** τὴν πρᾶξιν: τὸν φόνον ACE **12** ἀθρόους B **13** ἑαυτὸν AE **18** Βάρδα C

23. Καὶ ὁ μὲν Βάρδας οὕτως ἐξ ἀνθρώπων ἐγένετο, καὶ οὕτως ἡ κατὰ Κρητῶν ἐκστρατεία ἐλέλυτο, τοῦ βασιλέως πρὸς τὸ Βυζάντιον ὑποστρέψαντος. τοῦτο τὸ ἔργον εἰς βασιλείας ὕψος ἀνήγαγε τὸν Βασίλειον. φυσικῆς γὰρ ἀπορῶν γονῆς ὁ Μιχαὴλ καὶ τὰ κοινὰ διεξάγειν οὐχ οἷός τε ὢν εἰσποιεῖταί τε αὐτὸν εἰς υἱὸν τῇ τῶν μαγίστρων ἀξίᾳ τιμήσας, καὶ διάδημα μετὰ μικρὸν αὐτῷ περιτίθησι κατὰ τὴν μεγάλην ἐκκλησίαν γενόμενος. ἐγκρατὴς δ' οὗτος τῆς ἀρχῆς γεγονὼς ἀπεπειρᾶτο τὸν βασιλέα ὡς πορρωτάτω ἀπαγαγεῖν τῶν μισητῶν ἔργων καὶ ἐπιρρήτων. ἔλαθε δὲ διὰ τοῦτο ἑαυτῷ καθοπλίζων τὸν φθόνον. μὴ φέρων γὰρ τοὺς ἐλέγχους ὁ Μιχαὴλ καὶ τὸν Βασίλειον ἐκποδὼν ποιῆσαι διανοούμενος ὡς τῶν αὐτοῦ θελημάτων ἐμποδιστήν, Βασιλικῖνόν τινα τοῦ βασιλικοῦ δρόμωνος ἐρέτην ὑπάρχοντα εἰς μέσον ἀγαγὼν τὴν πυρφύραν τε ἐνδύει καὶ τὸ διάδημα περιτίθησι, καὶ πρὸς τὴν σύγκλητον ἐξάγει τῆς χειρὸς ἔχων αὐτόν, καὶ ἐξαγαγὼν τοιούτων τινῶν ῥημάτων ἀπήρξατο. 'πάλαι μὲν ἔδει τουτονὶ τὸν ἄνδρα, ὦ φίλοι, εἰς τὸν περίβλεπτον κόσμον τῆς βασιλείας ἀναγαγεῖν, ἢ τὸν Βασίλειον. ἐφ' ᾧ καὶ μεταμεμέλημαι. πρόσεστι γὰρ αὐτῷ

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος,
τὸ δεύτερον δὲ συμφυὲς πέλει στέφος.
ἅπαντα δ' ἁρμόζουσι πρὸς τὴν ἀξίαν. |

24. Αὕτη ἡ πρᾶξις καὶ ὁ λόγος οὗτος ἀρχὴ γέγονε καὶ αἰτία τῆς αὐτοῦ καταλύσεως. ἐπισυνέβη δέ τι καὶ ἄλλο· ἀκρατοποτῶν γὰρ ὁ Μιχαὴλ καὶ μεθυσκόμενος κατὰ τὸν τῆς μέθης καιρὸν πολλὰ καὶ ἄτοπα προσέταττε πράττεσθαι, τοῦ μὲν ἀφαιρεῖσθαι τὰ ὦτα, ἄλλου τὴν ῥῖνα, καὶ τὴν κεφαλὴν ἑτέρου. ἐκώλυε δὲ ταῦτα γίνεσθαι ὁ Βασίλειος, οὐ τοσοῦτον περὶ τῶν ἄλλων, ὅσον περὶ ἑαυτοῦ δεδοικώς. ὡς οὖν ἔγνω ὁ

23 die 26. mens. Mai a. 866

---

cap. 23: Theoph. Cont. 206, 20–208, 22. cf. p. 130, cap. 14; Zon. III, 414, 16–416, 8; Glyc. 545, 6–545, 18 cap. 24: Theoph. Cont. 208, 22–211, 5; Zon. III, 416, 8–417, 9; Glyc. 545, 18–546, 6

ACEVBMN FH **20** τῶν ante Κρητῶν add. B πρὸς: εἰς M **22** γονῆς ἀπορῶν B **23** τε post τῇ B ἀξίᾳ τιμήσας ACEVB: τιμήσας ἀξίᾳ MN **24** περιτίθησι VBMN: ἐπιτίθησι Theoph. Cont. 207, 14: περιτίθεται ACE **25** δ': δὲ ACEFH **26** ἀπαγαγεῖν VBM: ἀπάγειν ACENF **27** φθόνον: φόνον BM **29** Βασιλικεῖόν B **30** ὑπάρχοντα VMN: τυγχάνοντα ACEB εἰς μέσον ἀγαγὼν τὴν om. ACE τε om. B **31** ἔχων om. M **32** μὲν om. B **34** ἀγαγεῖν M **36** πρῶτον AVBMN: ὃ πρῶτον Theoph. Cont. 208, 18 cod. V: πρῶτα CE **37** τὸ δεύτερον ACEB Theoph. Cont. 250, 21; Symeon mag., ed. Bekker, p. 683, 12: δεύτερον VMN Theoph. Cont. 208, 19 Bekker: καὶ δεύτερον FH Theoph. Cont. 208, 19 cod. V **40** τοιοῦτο post ἄλλο add. ACE γὰρ om. E **42** καὶ post πράττ. add. B **43** ἐκώλυσε C **44** τοῖς ἄλλοις B ἑαυτῷ B

Μιχαὴλ ἐμπόδιον αὐτὸν ἔχων, μεγάλην κατ' αὐτοῦ συρράπτει ἐπιβουλήν. ἡ δὲ ἦν· ὑποτίθησί τινι λόγχην ἐπαφεῖναι λόγῳ μὲν κατὰ τοῦ θηρίου, ἔργῳ δὲ κατὰ τοῦ Βασιλείου. καὶ τοῦτο δῆλον γέγονε τοῦ κελευσθέντος ἐν τῷ μέλλειν ἀποθνήσκειν ἐξαγορεύσαντος. ἀφῆκε μὲν οὖν οὗτος τὴν λόγχην, διήμαρτε δέ, καὶ σέσῳστο ὁ Βασίλειος. καὶ σωθεὶς δρᾶσαί τι μᾶλλον ἐσπούδασεν ἢ παθεῖν. καὶ σφάττεται ὁ Μιχαὴλ κατὰ τὰ ἀνάκτορα τοῦ ἁγίου Μάμαντος, ἐν ἔτει τῷ ,ϛτοϛ', ὥρᾳ τρίτῃ τῆς νυκτός, ἄρξας μετὰ τῆς μητρὸς μὲν ἔτη δεκατέσσερα, δέκα δὲ καὶ ἓν μοναρχήσας. ἀλλὰ καὶ οὕτως ἐκμελῶς καὶ ἀναγώγως βιώσας οὐ παντάπασιν ἠμοίρησε τῶν ἐπαινετῶν. δισκοποτήριον γὰρ προσήνεγκε τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ πολυκάνδηλον τὰ πρῴην λίαν ὑπερελάσαντα.

51 die 24. mens. Sept. a. 867

ACEVBMN FH 45 ἔχων αὐτόν A ἔχειν B συρράπτει VBMN Theoph. Cont. 209, 19: ῥάπτει ACE 46 ἥδε post ἦν add. B ὑποτίθησι ACEMN: ὑποτιθεῖ V: ὑπετίθη B 47 τοῦ pr. om. B τοῦτον B γέγονεν B 48 οὖν om. C 49 σέσῳσται CB 50 ἐσπούδαζεν B ὁ om. M 51 τῷ om. M ἑξακισχιλιοστῷ τριακοστῷ ἑβδομηκοστῷ ἕκτῳ V 51/52 μὲν post ἄρξας VMNFH 52 δεκατέσσαρα CE: τέσσαρεσκαίδεκα VMN: ιδ' AB; τέσσαρα καὶ δέκα Theoph. Cont. 210, 14 δέκα — μοναρχήσας: μοναρχήσας δὲ ἔτη ια' A 53 ἐκμελῶς ACEMN: ἐμμελῶς V: ἀμελῶς B ἀναγώγως: ἀνάγνως B 54 προσένεγκε MN 55 λίαν τὰ πρῴην VB ὑπελάσαντα B post ὑπερελ. add. E: οὗτος ὁ βασιλεὺς Μιχαὴλ ἐβασίλευσε σὺν τῇ μητρὶ αὐτοῦ Θεοδώρᾳ καὶ μόνος χρόνους κδ', μῆνας ια'. ἐκράτησε γὰρ κατά τὴν κα' τοῦ Ὀκτωμβρίου μηνός, ἐσφάγη δὲ κατὰ τὴν κδ' τοῦ Σεπτεμβρίου. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ παρὰ τὸν ἐκεῖ βασιλέα Λέοντα ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῷ ἡρῴῳ τοῦ μεγάλου Κωνσταντίνου ἐν λάρνακι πρασίνῳ, ὃς ἦν Ἰουστινιανοῦ τοῦ μεγάλου. γυνὴ αὐτοῦ Εὐδοκία.

ΒΑΣΙΛΕΙΟΣ Ο ΜΑΚΕΔΩΝ Ο ΚΕΦΑΛΑΣ

1. Ἀναιρεθέντος δ', ὡς εἴπομεν, τοῦ Μιχαὴλ τὸ τῆς μοναρχίας ἀνεδήσατο κράτος ὁ Βασίλειος. ὅστις δὲ οὗτος ἦν καὶ ὅθεν ὥρμητο, κἀκ ποίας αἰτίας εἰς τὴν βασίλειον ἀνῄει περιωπὴν ἐκ ταπεινῆς καὶ ἀλαμποῦς ὁρμώμενος τύχης, ἄνωθεν ἀναλαβὼν ὁ λόγος | διατρανώσει. ἤνεγκε τοίνυν ἡ τῶν Μακεδόνων χώρα αὐτόν, εἷλκε δὲ τὸ γένος ἐξ Ἀρμενίων, ἐκ πάνυ λαμπρᾶς καταγόμενος τῆς τῶν Ἀρσακιδῶν σειρᾶς, ἐξ ἧς μόνης νόμος ἦν βασιλεύεσθαι Πάρθους καὶ Μήδους καὶ Ἀρμενίους διὰ τὸ κλέος τοῦ πρώτου Ἀρσάκου τοῦ ἀνακτησαμένου τοῖς Πάρθοις τὴν βασιλείαν ὑπὸ Περσῶν ἐσφετερισμένην. καὶ συνέβη μέχρι πολλοῦ τοὺς τοῦ Ἀρσάκου ἀπογόνους βασιλεύειν τῶν εἰρημένων ἐθνῶν. ἔσχατος δὲ τῆς βασιλείας ἐκπεσὼν Ἀρτάβανος τῆς προγονικῆς, καὶ ὁ τούτου ἀδελφός Κλειένης, φυγάδες εἰς τὸ Βυζάντιον παραγίνονται. Λέων ὁ μέγας τότε τὴν τῶν Ῥωμαίων ἴθυνε βασιλείαν. οὗτος οὖν τοὺς ἄνδρας ὑποδεξάμενος καὶ ἀξιοπρεπῶς τιμήσας οἴκησιν τὴν προσήκουσαν ἐν τῇ βασιλίδι ἀπένειμεν. ὅπερ μαθὼν ὁ τῶν Περσῶν βασιλεὺς γράμμασιν αὐτοὺς μετεκαλεῖτο, εἰς τὴν πατρῴαν ὑπισχνούμενος ἡγεμονίαν ἐγκαταστῆσαι. δεξαμένων δ' ἐκείνων τὰ γράμματα καὶ περὶ τοῦ πρακτέου διασκοπουμένων, μηνύεται διά τινος τῶν ὑπηρετουμένων αὐτοῖς πάντα τῷ βασιλεῖ καὶ ἡ ἐπιστολὴ ἐγχειρίζεται. γνωσθέντος δὲ τοῦ πράγματος τούτου τῷ βασιλεῖ, καὶ ὅτι οἱ πλάνητες οὗτοι καὶ ἐπήλυδες τῶν ἐπισημοτέρων εἰσίν, εἴς τινα πολίχνην τῆς Μακεδονίας Νίκην ὀνομαζομένην μετὰ γυναικῶν καὶ τέκνων αὐτοὺς κατοικίζει. εἶτα πάλιν τῆς Περσῶν βασιλείας ὑπὸ τῶν Σαρακηνῶν

57 die 24. mens. Sept. a. 867

cap. 1: Theoph. Cont. 212, 18—215, 2; Zon. III, 407, 13—408, 2

ACEVBMN FH **56** Βασίλειος — Κεφαλᾶς (ὁ Κεφ. om. V; λεγόμενος ante Κεφ. add. E) ACEV: Ἀρχὴ βασιλείας Βασιλείου i. m. M: Βασίλειος i. m. N: om. B **57** δὲ B **58** ὁ om. M **59** ταπεινοῦ MN **60** ἀναλαβὼν VBMNF: διαλαβὼν ACE: λαβὼν H διατρανώσει: δηλώσει A σαφῶς post διατρ. add. B **61** ἡ om. M αὐτόν om. VMNFH αὐτὸν χώρα B εἵλκετο M **62** λαμπρᾶς — σειρᾶς ACEMN: λαμπρᾶς σειρᾶς καταγόμενος (καταγ. post Ἀρσ. B) τῆς τῶν Ἀρσ. VB **63** νόμος: μόνως B **64** Πάρθοις VBMN (cf. Theoph. Cont. 213, 1): Πέρσαις ACE **65** ἐσφετηρισμένην C **66** ἔσχατον C **67** Κλείνης B **68** φυγαδίαι B Βυζάντιον: βασίλειον E **68/69** τότε post Ῥωμ. B **69** διΐθυνε B **72** αὐτοὺς post πατρ. add. ACE (sed cf. Theoph. Cont. 213, 16) ὑποσχόμενος E ὑπισχν. post **71** μετεκαλ. A ἐγκαταστ. ἡγεμ. A ἐγκαταστῆναι V **73** γράμματα: πράγματα A **74** ἐξυπηρετουμένων B **75** τούτῳ E **74—76**: καὶ ἡ ἐπιστολὴ — **75** τῷ βασ. post **76** εἰσὶν B **76** πλανῆται B **78** κατοικίζει VBMN: ἐγκατοικίζει ACE

ἀνατραπείσης τὰ παραπλήσια καὶ ὁ τηνικαῦτα ἀμερμουμνῆς διεπράξατο, καὶ γράμμασι μετεκαλεῖτο τοὺς ἐν Μακεδονίᾳ τῶν Ἀρσακιδῶν ἀπογόνους. φωραθέντος δὲ καὶ τούτου τοῦ δράματος Ἡρακλείῳ τῷ βασιλεῖ, καὶ ὅτι οὐκ εὐνοίᾳ τῇ πρὸς αὐτοὺς ἡ μετάκλησις γίνεται, ἀλλ' ὥστε δι' αὐτῶν τὸ τῶν Ἀρμενίων καὶ Πάρ|θων γένος ὑπήκοον γενέσθαι, εἰς Φιλίππους αὐτοὺς (μία δὲ καὶ αὕτη τῶν Μακεδονικῶν πόλεων) μετοικίζει, εἶτα πάλιν ἐκεῖθεν εἰς Ἀδριανούπολιν. εὐθέτου δὲ τοῦ τόπου φανέντος τοῖς ξένοις, εἰς πλῆθος κατέστησαν, ἀσύγχυτον τὸ γένος διαφυλάττοντες.

2. Χρόνοις δὲ ὕστερον, ἡνίκα Κωνσταντῖνος σὺν Εἰρήνῃ τῇ μητρὶ ἐβασίλευεν, ἀνήρ τις Μαΐκτης τοὔνομα, εἰς τὸ τῶν Ἀρσακιδῶν ἀναφέρων γένος, κατά τινα χρείαν εἰσῄει εἰς τὴν βασιλεύουσαν, ὃς ἀνδρὶ περιτυγχάνει τυχαίως ὁμογενεῖ Λέοντι τοὔνομα, καὶ εἰς ὁμιλίαν αὐτῷ καταστὰς ὅλος τῆς τούτου φιλίας ἐγένετο. ὡς δὲ κατενόησε καὶ αὐτὸν τοῦ τῶν Ἀρσακιδῶν αἵματος εἶναι, ἐν Ἀδριανουπόλει οἰκοῦντα, προκρίνει τῆς ἰδίας τὴν ἀλλοτρίαν διὰ τὴν τοῦ ἀνδρὸς ἀρετήν, καὶ τὸ πρὸς αὐτὸν ἀσπασάμενος κῆδος μίαν τῶν αὐτοῦ θυγατέρων ἠγάγετο. ἐξ ὧν ὁ τοῦ ἱστορουμένου προῆλθε πατήρ, ῥώμῃ τε διαφέρων καὶ τῇ λοιπῇ τοῦ σώματος θέσει. ὃν γυνή τις εὐγενής, τῆς τοῦ μεγάλου Κωνσταντίνου, ὥς φασι, καταγομένη σειρᾶς, γαμβρὸν ἐπὶ τῇ ἰδίᾳ ἄγεται θυγατρὶ λίαν εὐπρεπεστάτῃ, ἐξ ἧς ἐτέχθη Βασίλειος, πολλὰ πρὸ τῆς γεννήσεως φέρων σύμβολα τῆς βασιλείας. ἐκ τοιούτων γεννητόρων προαχθεὶς ὁ Βασίλειος ἐλευθερίως ἀνήγετο. ἐπεὶ δὲ Κροῦμος ὁ τῶν Βουλγάρων ἄρχων, ταῖς κατὰ Ῥωμαίων νίκαις πεφυσημένος, μέγα στρατόπεδον ἀγείρας ἐπολιόρκει τὴν Ἀδριανούπολιν, μηδενὸς χεῖρα ἀνταῖραι τούτῳ τολμῶντος ἀνυποστάτῳ τυγχάνοντι διὰ τὰς προηγησαμένας εὐτυχίας, χρόνον τῇ πόλει περικαθίσας ἐφ' ἱκανὸν ὡμολόγει ταύτην διὰ τὴν τῶν ἀναγκαίων ἔνδειαν παραστήσασθαι | καὶ πάντας τοὺς ἐν αὐτῇ, οἷς ἠριθμεῖτο καὶ ὁ

6 a. 813

cap. 2: **Theoph. Cont.** 215, 3–217, 20: **Zon.** III, 408, 2–408, 10

ACEVBMN FH **79** τὰ om. ACE ἀμερμουμνῆς EVBN Theoph. Cont. 214, 9 **80** ἀπογόνους ACEMN (cf. Theoph. Cont. 214, 9): ἐγγόνους V: ἐκ γένους B **81** δράματος AEVMN Theoph. Cont. 214, 12: γράμματος C: πράγματος B **84** καὶ om. B κατοικίζει B **87** δ' M **88** ἐβασίλευσεν AM Μακταίτης M τοὔνομα Μαΐκτης A **89** περιτυγχάνει VBMN Theoph. Cont. 215, 6: τυγχάνει ACE **91** ὅλως EM τούτου: αὐτοῦ VB καὶ ante κατενόησε add. M **92** οἰκῆσαι C **95** προῆλθε VBMN Theoph. Cont. 215, 14: ὑπῆρχε ACE **1** θέσει: διαθέσει, post **95** λοιπῇ B εὐγενὴς om. ACE (sed cf. Theoph. Cont. 215, 18) **3** σύμβολα φέρων B **4** σύμβολα om. ACEMNFH (sed cf. Theoph. Cont. 216, 5) τῶν ante τοιούτων add. ACEMNF (sed cf. Theoph. Cont. 216, 4) **6** τῶν ante Ῥωμ. add. B **9** παρακαθίσας B ὡμολόγει ACEMN: ὁμολόγως V: ὁμαλῶς B: ὁμολογίᾳ Theoph. Cont. 216, 15 **10** παραστήσασθαι CEMN: παραστήσεσθαι A: παρεστήσατο VB Theoph. Cont. 216, 15

τῆς πόλεως ἀρχιερεὺς Μανουήλ, εἰς Βουλγαρίαν μετέστησε. συνέβη μετὰ τῶν ἄλλων καὶ τοὺς τοῦ Βασιλείου γεννήτορας, ὑπομάζιον αὐτὸν ἔτι φέροντας, εἰς τὴν τῶν Βουλγάρων ἀπαχθῆναι γῆν. ἔνθα αὐτός τε ὁ κλεινὸς ἀρχιερεὺς καὶ οἱ τοῦ Βασιλείου γεννήτορες καὶ τὸ σὺν τῷ ἀρχιερεῖ πλῆθος ἀνόθευτον τὴν εἰς Χριστὸν πίστιν διατηρήσαντες πολλοὺς τῶν Βουλγάρων πρὸς τὴν ὀρθόδοξον πίστιν μετήγαγον, μήπω τοῦ ἔθνους μετηγμένου πρὸς θεοσέβειαν, καὶ πολλαχοῦ τῆς Βουλγαρικῆς γῆς Χριστιανικῆς διδασκαλίας κατεβέβληντο σπέρματα. ἀλλὰ Κροῦμος μὲν ἔφθη καταλύσασθαι τὴν ζωήν, Μουρτάγων δὲ ὁ τούτου διάδοχος πολλῷ τὸν ἀπελθόντα νικῶν εἰς θηριωδίαν, αὐτὸ τὸ γινόμενον οὐκ ἀγνοήσας, καὶ ὅτι τὸ τῶν Βουλγάρων ἠρέμα γένος πρὸς Χριστιανισμὸν μεταφέρεται, θυμοῦ τε πλήρης καθίσταται, καὶ τόν τε θεῖον ἀρχιερέα Μανουὴλ καὶ τοὺς ἐξοχωτάτους τῶν περὶ αὐτὸν μετὰ θυμοῦ παραστησάμενος πρῶτον μὲν ἠπίως μεταστῆσαι ἐπειρᾶτο καὶ ὁμαλῶς τῆς ὀρθοδόξου καὶ ἀμωμήτου τῶν Χριστιανῶν πίστεως, ἐπεὶ δὲ κρείττους αὐτοὺς κατενόησε καὶ ὑποσχέσεων καὶ ἀπειλῶν, μετὰ πολλὰς αἰκίας τῷ διὰ μαρτυρίου παραδίδωσι θανάτῳ. καὶ Μανουὴλ μὲν ὁ κλεινὸς ἀρχιερεὺς οὕτω τῷ διὰ μαρτυρίου τέλει συνάμα τοῖς ὑπ' αὐτὸν ἐμφανέσι τὴν ἑαυτοῦ ἐπισφραγίζει ζωήν, καὶ πολλοὺς τῶν καθ' αἷμα προσηκόντων συνέβη μαρτυρικῆς εὐκλείας ἀξιωθῆναι. ἐπεὶ δὲ ἔδει ποτὲ καθόδου τυχεῖν τοὺς ὑπολελειμμένους αἰχμαλώτους, ἄνωθεν τοῦ θεοῦ τὴν ἔξοδον αὐτοῖς πραγματευομένου, ὁ τῶν Βουλγάρων ἀρχηγὸς πολλάκις θραυσθείς, καὶ μὴ δυνάμενος ἐπὶ πλέον πρὸς τὰς | Ῥωμαϊκὰς δυνάμεις ἀντικαθίστασθαι, εἰρήνην ἀντὶ τῆς μάχης ἀσπάζεται καὶ ἀπολύει τῆς αἰχμαλωσίας τὸν λαόν. ἄρτι δὲ συναλιζόντων τῶν αἰχμαλώτων, καὶ μελλόντων ἤδη πρὸς τὰ πάτρια ἤθη παλινοστεῖν, ὁ ἄρχων θεωρὸς ἐγίνετο τῶν αἰχμαλώτων, καὶ τὸν παῖδα κατιδὼν Βασίλειον ἤδη τὴν παιδικὴν παραλλάσσοντα ἡλικίαν

19 die 13. mens. Apr. a. 814 35 a. circiter 837/838

ACEVBMN FH 12 Βασιλείου CEV Theoph. Cont. 216, 18: βασιλέως ABMN 12—14 ὑπομάζιον — γεννήτορες om. A 13 τῶν om. CMNFH (sed cf. Theoph. Cont. 216, 19) ἔνθα: ἐνταῦθα E 14 Βασιλείου AVF: βασιλέως CEBMN τό: ὁ M 15 τὴν ... πίστιν: τῆς ... πίστιν M τὸν ante Χριστὸν add. E 15/16 διατηρήσαντες — πίστιν om. B 17 καί: κἂν B 18 κατεβέβληντο VBMN: κατεβάλλοντο Theoph. Cont. 217, 1: κατεβέβλητο ACE μὲν om. B 19 καταλύσασθαι VBMN: καταλύσας ACE Μουρτάγων VB: Μουτράγων Theoph. Cont. 217, 4: Κουτράγων ACMNFH: Κοτράγων E πολὺ B 20 τὸν ἀπελθόντα: τῶν ἀπελθόντων C νικῶν: νίκοντα B αὐτὸ om. B 21 μεταφέρεται: μετατίθεται B 22 τε pr. om. B τε alt.: τότε B 23 πρῶτα A 24 μεταστῆσαι: παραστῆσαι A ἐπειρ. μεταστ. B 25 πίστεως τῶν Χριστ. A ἢ ἐπειρᾶτο ante κατενόησε add. A κατενόησε post 26 ἀπειλῶν B 27 καὶ M. — ὁ: καὶ ὁ μὲν M. ὁ M μὲν om. B 28 συνάμα: ἅμα B 29 δὲ post πολλοὺς add. B συνέβη προσηκόντων VNFH τῷ βασιλεῖ post προσηκ. add. B 30 καθόδου ποτὲ VB 31 θεοῦ om. M 34 τὸν λαὸν τῆς αἰχμ. A 35 συναλιζόντων: συναθροισθέντων B ἤδη om. B 36 ἔθη B 37 παραλλάσσοντα: παρελάσαντα B

καὶ τῆς ἐφήβου ἁπτόμενον πρὸς ἑαυτὸν μετεκαλεῖτο, ἐλευθέριον ἰδὼν ἐνορῶντα καὶ χαρίεν ὑπογελῶντα καὶ περισκαίροντα, καὶ ἐγγὺς παραστάντα ταῖς χερσὶν ⟨ἠθέλησε⟩ κατασχεῖν καὶ ἀσπάσασθαι καὶ μῆλον ὑπερφυὲς τὸ μέγεθος αὐτῷ παρασχεῖν. ὅπερ οὗτος ἀκάκως πάνυ καὶ θαρραλέως τοῖς τοῦ ἄρχοντος ἐπερειδόμενος γόνασι διδόμενον ὑπεδέξατο, ἐν τῷ ἀπλάστῳ ἤθει καὶ ἀπεριέργῳ τὴν ἑαυτοῦ εὐγένειαν ἐνδεικνύμενος, ὡς ἐκπλαγῆναι μὲν τὸν ἄρχοντα, ἀγανακτεῖν δὲ λεληθότως τοὺς ὑπ' αὐτόν, εἰ τοιοῦτος ὢν ὁ νέος συγχωροῖτο οἴκοι παλινοστεῖν.

3. Ἀλλ' ἀπελύθησαν ὅμως εὐμενείᾳ θεοῦ πρὸς τὰ οἰκεῖα ὁ ἀπαθὴς αἰχμάλωτος τῶν Ῥωμαίων λαός, συνεξῆλθον δὲ καὶ οἱ τοῦ Βασιλείου γονεῖς, τὸν φίλτατον ἑαυτῶν παῖδα προσεπαγόμενοι. φασὶ δὲ καὶ πολλὰ σημεῖα συνενεχθῆναι τούτῳ, γνώριμον καθιστῶντα τὸν ἄνδρα, ὡς εἰς τὴν βασίλειον ἀναχθείη περιωπήν. ἀλλὰ τὰ μὲν ἄλλα παριτέον τῷ λόγῳ, ὡς παρολκὴν ἐμποιοῦντα. ὃ δ' οὐ θέμις παραδοῦναι σιγῇ, τοῦτο καὶ διηγήσομαι. θέρους ἦν ἀκμή, καὶ οἱ τὸν παῖδα γεγεννηκότες ἐξῆλθον εἰς τὸν ἴδιον ἀγρόν, τοὺς θεριστὰς πρὸς τὸ ἔργον ἐντείνοντες. καὶ οὗτοι μὲν ἦσαν πρὸς τούτοις, τὸ δὲ παιδίον, ἵνα μὴ ὑπὸ τοῦ θάλπους κατα|φλέγοιτο τοῦ ἡλίου, σκηνήν τινα σχεδιάσαντες ἐκ τοῦ συνδέσμου τῶν ἀσταχύων ἐν ταύτῃ τοῦτο κοιμηθησόμενον ἔθεντο, ἅμα μὲν τῆς τοῦ ἡλίου θέρμης τὸν καύσωνα ἀβλαβῶς διελθεῖν μηχανώμενοι, ἅμα δὲ καὶ ὡς ἀπερικόπως ὑπνώττοι, μὴ ὑπό τινος ἔξωθεν ἐνοχλούμενον. ἀλλ' ἐκεῖνοι μὲν τὴν στιβάδα, ὡς ὁ καιρὸς ἐδίδου, σχεδιάσαντες καὶ τὸν παῖδα κατακοιμήσαντες ᾤχοντο πρὸς τὸ ἔργον. τοῦ ἡλίου δὲ τὰς ἀκτῖνας ἐπαφιέντος τῷ παιδὶ καὶ οὐ μικρῶς τοῦτον παρενοχλοῦντος ἀετὸς ἐπικαταπτὰς ἡπλωμέναις ταῖς πτέρυξι τὸ παιδίον ἐσκίαζεν. ἀρθείσης δὲ παρὰ τῶν ἰδόντων φωνῆς, μή τι καὶ πάθῃ παρὰ τοῦ ζῴου εὐλαβηθέντων, ἡ μήτηρ εὐθὺς πρὸς τὸν παῖδα δραμοῦσα, ὡς εὗρε τοῦτον ἡδέως καθεύδοντα, ἰδοῦσα δὲ καὶ τὸν

cap. 3: Theoph. Cont. 217, 21—220, 14: Zon. III, 408, 10—409, 5; Glyc. 546, 8—546, 14

ACEVBMN FH 39 ὡς post περισκαίρ. add. B παραστάντα: παραστῆσαι B 40 τε add. post ταῖς VB χερσὶ AVBM ἠθέλησε Fabrot Bekker: om. ACEVBMNFH 41 οὗτος: ἐκεῖνος B πάνυ post 42 θαρραλ. M 43 ἑαυτοῦ: αὐτοῦ B εὐγένειαν ACEMN Theoph. Cont. 217, 19: εὐμένειαν VB 45 τοιοῦτος: τοσοῦτον B ὤν: ἦν C νέος — οἴκοι: νέος θεσπέσιος συγχωρεῖται οἴκον B 46 ἀπεληλύθεισαν C 46/47 ὁ — λαός: ἀπαθεῖς οἱ αἰχμάλωτοι B 47 Βασιλείου: βασιλέως CB 48 γονεῖς om. B ἑαυτῶν ACEMN: ἑαυτοῖς VB: αὐτοῖς Theoph. Cont. 218, 2 51 καὶ om. B 52 ἐξῆλθον post 53 ἴδιον A 53 πρὸς τοὔργον A 54 θάλπους: ἡλίου B καταφλέγηται A 55 τοῦ ἡλίου om. B συνδέσμου VBMN Theoph. Cont. 218, 9: ἀποδέσμου ACE σταχύων M 56 τοῦτο AVB: τοῦτον CENH: τὸν M: τὸν παῖδα Theoph. Cont. 218, 10 57 ὡς om. B 58 ὑπνώττοι ACE: ὑπνώττῃ V: ὑπνώττει NH: ὑπνώττειν BMF ἐνοχλούμενον VB: ἐνοχλούμενος ACEMNFH 59 κοιμήσαντες VB 61 τοῦτον om. A ἐνοχλοῦντος A 63 πάθοι A

ἀετὸν σκιὰν ταῖς πτέρυξι τῷ παιδὶ περιποιούμενον καὶ μηδὲ πρὸς τὴν ταύτης ἐκπλαγέντα ἐπέλευσιν, ἀλλ' ὥσπερ καὶ χάριν ἀπαιτοῦντα αὐτήν, κατὰ μὲν τὸ πρόχειρον οὐκ εἰς νοῦν ἐβάλλετο τὸ θεοπρόπιον, ἀλλ' ὡς εἶχε λίθον ἀπὸ τῆς γῆς λαβοῦσα τὸν ἀετὸν ἀπεδίωκε. καὶ οὗτος μὲν μικρὸν ἀπέπτη, τῆς δὲ γυναικὸς πρὸς τὸν ἄνδρα ὑποστρεψάσης πάλιν παρῆν ὁ ἀετὸς κατὰ τὸ πρότερον σχῆμα ἡπλωμέναις ταῖς πτέρυξι τὸ παιδίον ἐπισκιάζων. καὶ πάλιν ἦρτο φωνὴ παρὰ τῶν θεατῶν διωλύγιος, καὶ ἡ μήτηρ πρὸς τὸ παιδίον, καὶ λίθῳ πάλιν ὁ ἀετὸς ἀποσοβούμενος, καὶ ἡ τῆς μητρὸς πρὸς τοὺς ἐργαζομένους ὑποστροφή. ὡς δὲ καὶ τρὶς καὶ πολλάκις τοῦτο ἐγένετο, μόλις ποτὲ συναίσθησιν τοῦ θείου λαμβάνει συμβόλου, καὶ τεκμηριοῦται διὰ τῶν προλαβόντων τὰ γενόμενα ὕστερον. ἐτρέφετο τοίνυν διὰ πάσης ἐπιμελείας ὁ παῖς ὑπὸ μόνοις τοῖς φύσασιν.

4. Ἤδη δὲ αὐτοῦ τὴν τῶν νεανίσκων παραμείψαντος | ἡλικίαν ὑπαπήει μὲν ὁ πατὴρ τοῦ βίου, χηρεία δὲ περὶ τὴν μητέρα καὶ ὀρφανία περὶ τουτονὶ τὸν νεανίαν, καὶ ἐντεῦθεν ἀνίαι καὶ θλίψεις ἐφύοντο. ἐπέρρει δὲ καὶ φροντίδων ἑσμός, τῆς περὶ τὸν οἶκον ἐπιμελείας καὶ τῆς μητρικῆς προνοίας καὶ τῶν ἀδελφῶν ἄρτι ἀφ' ἑαυτοῦ ἐξημμένης. ἐπείπερ γεωργία μικρά τις ἐπικουρία ἐδόκει αὐτῷ καὶ συνεργὸς πρὸς τὸν βίον, βουλεύεται πρὸς τὴν βασιλεύουσαν εἰσελθεῖν, κἀντεῦθεν ἑαυτῷ τε καὶ τοῖς φιλτάτοις ἐπαξίως πορίσαι τὰ δέοντα. καὶ τοῦτον μὲν εἶχεν ὁ πρὸς τὴν βασιλεύουσαν ἔρως, ἀνθεῖλκε δὲ καὶ κατεῖχεν ἡ μήτηρ, μὴ συγχωροῦσα ποιῆσαι τὸ βουλευόμενον, ἀλλὰ προσμένειν καὶ γηροτροφεῖν παρακαλοῦσα, ἀπελθοῦσαν δὲ παραπέμψαι ταῖς ἑαυτοῦ χερσὶ καὶ οὕτω πορείαν στείλασθαι τὴν αὐτῷ καταθύμιον· ἀλλὰ καὶ οὕτως αὐτὴν ἔχουσαν δυσαπο-

cap. 4: Theoph. Cont. 220, 15—225, 14; Zon. III, 409, 5—411, 2; Glyc. 546,16—546, 21

ACEVBMN FH **65** παιδὶ AVB: παιδίῳ CEMNF Theoph. Cont. 218, 17 **66** ἐκπλαγέντα: ἐκπτάντα B **67** κατὰ — θεοπρόπιον: καὶ τὸ μὲν θεοπρόπιον οὐκ εἰς νοῦν ἐβάλλετο τότε A πρόχειρον: θεοπρόπιον CE ἐβάλετο CE θεοπρόπιον ACEVB: θεοτρόπιον MNF **68** ἀπὸ: ἐκ A μικρὸν μὲν B **70** πρότερον σχῆμα: πρόσχημα V παιδίον: παιδὶ B **71** ἐπισκιάζων VBMN Theoph. Cont. 218, 23: κατασκίαζων ACE **72** πρὸς τὸ παιδίον ACEVBF Theoph. Cont. 219, 1: πρὸς τὸν παῖδα MN ἀποσοβούμενος ACEMN: ἐκσοβούμενος VB Theoph. Cont. 219, 2 cod. V **73** ἐργαζομένους: παῖδας M ὑποστροφή ACVB Theoph. Cont. 219, 2 Bekker Cont. 219, 2 cod. V: ἀποστροφή M: ἐπιστροφή E Theoph. Cont. 219, 2 Bekker **74** ἐγένετο VBMN: ἐγίνετο ACE συναίθησιν post **75** συμβόλου B **75** τὰ — ὕστερον: τὰ γεγονότα ἐς ὕστερον B γενόμενα: γινόμενα M **76** ὑπὸ: ἐπὶ B **78** τοῦ βίου ὁ πατήρ B **79** τουτονὶ VBMN: τοῦτον CE: om. A καὶ ἐντεῦθεν: κἀντεῦθεν A **81** ἀφ' ἑαυτοῦ: ἀφ' ἑαυτῆς V: αὐτῆς B ἐπείπερ: καὶ ἐπεὶ B **82** βούλεται B **83** τε om. B **84** ἐπαξίως om. B **86** παρακαλοῦσα post προσμένειν VBNFH **87** πορείαν om. B **88** αὐτὴν VBMN: ταύτην (post ἀλλὰ AC) ACE

σπάστως αἱ βιοτικαὶ φροντίδες ἀναπείθουσιν ἀπολῦσαι. ἄρας οὖν ἐκ Μακεδονίας τὴν βασιλίδα καταλαμβάνει. καὶ τὸ μεταξὺ διανύσας διάστημα καὶ κατὰ τὰς Χρυσᾶς πύλας τῆς βασιλίδος γενόμενος, καὶ δι' αὐτῶν εἰσελθὼν ἤδη πρὸς ἑσπέραν τῆς ἡμέρας οὔσης ἐν τῷ τοῦ ἁγίου μάρτυρος Διομήδους μοναστηρίῳ, κατὰ τὰ ἐν τοῖς προαυλίοις βάθρα πρὸ τοῦ πυλῶνος, κατάκοπος ὤν, ἀτημελῶς καὶ ὡς ἔτυχεν ἐπιρρίψας ἑαυτὸν ἀνεπαύετο. περὶ πρώτην δὲ φυλακὴν τῆς νυκτὸς ὄναρ τῷ τῆς μονῆς ἡγουμένῳ ὁ μάρτυς ἐφίσταται Διομήδης, κελεύων ἐξελθεῖν εἰς τὸν τῆς μονῆς πυλῶνα καὶ ὀνομαστὶ καλέσαι Βασίλειον καὶ τὸν ὑπακούσαντα εἰσαγαγεῖν εἰς τὸ μοναστήριον καὶ ἐπιμελείας ἀξιῶσαι. κεχρισμένον γὰρ εἶναι τοῦτον βασιλέα παρὰ θεοῦ, καὶ | αὐτὸν μέλλειν εἰς ἀνοικοδομὴν καὶ αὔξησιν τῆς παρούσης γενέσθαι μονῆς. ὁ δὲ καθηγούμενος φάντασμα τὸ θεαθὲν εἶναι ὑπολογισάμενος ἐν οὐδενὶ λόγῳ τὰ λαληθέντα ἐποιήσατο, ἀλλὰ πάλιν ἑαυτὸν τῷ ὕπνῳ ἐπεδεδώκει. τὰ ὅμοια δὲ πάλιν ἐκ δευτέρου θεασάμενος, ἐπεὶ μὴ ἀνέφερε νωθής τις ὢν καὶ ὑπνώδης, ἐκ τρίτου βλέπει τὸν μάρτυρα, οὐκεθ' ἡσύχως καὶ πράως παρακελευόμενον, ἀλλὰ καὶ λίαν σφοδρῶς ἀπειλοῦντα καὶ μάστιγας τῷ δοκεῖν ἐπιφέροντα, εἰ μὴ θᾶττον ὑπηρετήσει τοῖς λεγομένοις. τότε δ' οὖν ἔμφοβος διϋπνισθεὶς καὶ τὸν ὄκνον ἐκτιναξάμενος τῷ πυλῶνι ἐφίσταται καὶ κατὰ τὸ θεῖον πρόσταγμα ἐκάλει 'Βασίλειε.' καὶ ὃς εὐθύς· 'ἰδοὺ ἐγώ, κύριε. τί προστάσσεις τῷ δούλῳ σου;' εἴσω δὲ αὐτὸν τῆς μονῆς εἰσαγαγὼν δεούσης τε θεραπείας καὶ ἐπιμελείας ἠξίωσε καὶ πάσης μετέδωκε φιλανθρωπίας. εἶτ' ἐχεμυθεῖν ἀσφαλισάμενος καὶ μὴ ἔκπυστον πρός τινα θέσθαι, ἀλλὰ παρ' ἑαυτῷ φυλάττειν τὸ μυστήριον παρεγγυάσας, τὴν τοῦ μάρτυρος αὐτῷ ἐφανέρωσε πρόρρησιν καὶ μεμνῆσθαι μετὰ τὴν ἔκβασιν τῶν πραγμάτων ἑαυτοῦ τε καὶ τῆς μονῆς ἐδυσώπει. τοῦ δὲ ὡς ὑπὲρ ἑαυτὸν τὸ πρᾶγμα ἀποσειομένου, καὶ μᾶλλον ἀξιοῦντος τὸν ἡγούμενον εἰσοικισθῆναί τινι τῶν ἐμφανεστέρων εἰς δουλείαν, ἀσπασίως ἑαυτὸν εἰς τοῦτο ἐκδέδωκεν ὁ ἡγούμενος, καὶ ἐπεὶ συνήθως εἶχε πρὸς τὴν τοιαύτην μονὴν ὁ τοῦ βασιλέως Μιχαὴλ καὶ Βάρδα τοῦ καίσαρος συγγενὴς Θεόφιλος, ὃν ὑποκοριζόμενοι διὰ τὸ μικρὸν τῆς ἡλικίας Θεοφιλίτζην ἐκάλουν,

ACEVBMN FH **89** ἄρας οὖν VBMN Theoph. Cont. 223, 5: καὶ δὴ ἄρας ACE **90** διάστημα ACEBF Theoph. Cont. 223, 9: σύστημα VMN **91** βασιλίδος γενόμενος: πόλεως γεγονώς B **92** καὶ post ἤδη add. ACE τῆς ἡμέρας πρὸς ἑσπέραν B **92/93** ἐν τῷ ... μοναστηρίῳ: ἐν τῇ ... μονῇ B **95** ἐπανεπαύετο V περὶ δὲ πρώτ. τῆς νυκτὸς φυλ. AE **4** αὔξ. καὶ ἀνοικ. ACE (sed cf. Theoph. Cont. 223, 21) **5** φαντάσματα B **6** εἶναι: αὐτῷ A λογισάμενος B **7** ἑαυτόν: ἑαυτῷ E ἐπεδεδώκει AV: ἐπιδεδώκει CEBMNFH **14** εἰσαγαγὼν ACEMN: ἀγαγὼν VB **15** τε om. A **16** εἶτ' ACEMNF: εἶτα VBH ἐκπτυστον E **18** αὐτῷ om. B πρόσρησιν A ἔκβασιν ACEMN Theoph. Cont. 224, 16: ἀπόβασιν VB **19** ἑαυτοῦ: αὐτοῦ AVB ἑαυτόν: αὐτὸν M **20** καὶ om. M εἰσοικισθῆναι post **21** δουλείαν A **21** ἑαυτὸν post **22** ἐκδέδωκεν VB (sed cf. Theoph. Cont. 224, 19) **22** ἐκδέδωκεν post ἡγούμ. A **24** Θεοφιλίτζιν M

τούτῳ συνέστησε τὸν Βασίλειον ἀεὶ σπουδὴν ἔχοντι γενναίους καὶ εὐειδεῖς καὶ ἐπ' ἀνδρείᾳ | διαβοήτους κεκτῆσθαι περὶ αὐτὸν ὑπηρέτας. τοιούτους γὰρ προσλαμβάνων σηρικαῖς τε εὐθὺς ἐκόσμει ἐσθῆσι καὶ τῇ ἄλλῃ καταστολῇ διαπρεπῶς κατελάμπρυνε. τούτοις ἐγκαταλεγέντα τὸν Βασίλειον καὶ κατὰ πολὺ προέχειν τῶν ἄλλων δοκοῦντα κατὰ τὴν σωματικὴν ῥώμην καὶ ψυχικὴν ἀνδρείαν πρωτοστράτωρα τοῦτον προβάλλεται. ἀεὶ δὲ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος ἡμέραν ἐξ ἡμέρας ἐπὶ πλέον ἠγαπᾶτο παρὰ τοῦ Θεοφίλου καὶ ἐπὶ τοῖς οἰκείοις προτερήμασιν ἐθαυμάζετο. ἦν γὰρ κατά τε χεῖρα γενναῖος καὶ κατὰ ψυχὴν θαρραλέος καὶ πρὸς πᾶν τὸ κελευόμενον ὀξύς τε καὶ ἐπιτήδειος.

5. Καὶ ὁ μὲν Βασίλειος ἦν ἐν τούτοις, ἡ δὲ μήτηρ αὐτοῦ ἐγλίχετο μαθεῖν, πῶς αὐτῷ τὰ κατὰ τὴν ὁδὸν ἔσχε καὶ ποία τις αὐτὸν παῦλα τῶν πόνων ἐδέξατο. δυσθυμοῦσα δὲ καὶ ἀσχάλλουσα ὁρᾷ καθ' ὕπνους μέγα φυτὸν κυπαρίσσῳ προσεοικός, ἔνδον τῆς αὐτῆς αὐλῆς ἑστηκός, χρυσοῖς πυκναζόμενον φύλλοις καὶ χρυσοῦς τοὺς κλάδους καὶ τὸ στέλεχος ἔχον, οὗ ἐφύπερθεν ὁ ταύτης υἱὸς Βασίλειος ἐκαθέζετο. διϋπνισθεῖσα δὲ διηγεῖται τὸ ὅραμά τινι τῶν εὐλαβῶν γυναικῶν. ἡ δὲ εὐθυμεῖν τε ἐπέτρεπεν ἐπὶ τῷ υἱῷ καὶ τὸ ὁραθὲν ἐπικρίνουσα βασιλέα Ῥωμαίων γενέσθαι τὸν υἱὸν αὐτῆς ἀπεφαίνετο. τοῖς προτέροις οὖν καὶ τοῦτο προσβαλοῦσα λοιπὸν ἡ μήτηρ οὐκέτι τὸ ἀπὸ τοῦδε περὶ αὐτοῦ ἐδυσφόρει, ἀλλ' ἔχαιρε καὶ χρηστὰς ἐπὶ τῷ υἱῷ ἔτρεφε τὰς ἐλπίδας.

6. Συνέβη δὲ κατ' ἐκεῖνο καιροῦ Θεόφιλον τὸν τοῦ Βασιλείου κύριον δημοσίων χάριν πραγμάτων ἀποσταλῆναι εἰς Πελοπόννη|σον. εἵπετο τούτῳ καὶ ὁ Βασίλειος, τὴν ἀφωρισμένην αὐτῷ ὑπηρεσίαν ἀποπληρῶν. ἐλθόντων δ' εἰς Ἀχαΐαν εἰσῄει μὲν ὁ Θεόφιλος εἰς τὸν τοῦ πρωτοκλήτου ἀποστόλου Ἀνδρέου ναὸν προσευξόμενος, οὐ συνεισῆλθε δ' αὐτῷ ὁ Βασίλειος τότε, τῇ οἰκείᾳ διακονίᾳ, ὡς ἔοικεν, ἀπασχοληθείς. ὕστερον δὲ καὶ αὐτὸς τῷ ἀποστόλῳ ἀποπληρῶν τὰ καθήκοντα, καιροῦ δρα-

cap. 5: Theoph. Cont. 225, 15–226, 6 cap. 6: Theoph. Cont. 226, 7–228, 22; Zon. III, 433, 3–434, 11; Glyc. 547, 3–547, 8

ACEVBMN FH 25 σπουδῆς E 25/26 καὶ εὐειδεῖς post 26 διαβοήτους B
26 ἐπ' ἀνδρείᾳ διαβοήτους: ἀνδρείους A κεκτῆσθαι: ἔχειν A περὶ αὐτὸν
ACEVBF Theoph. Cont. 225, 5: περὶ ἑαυτὸν MN 27 τοιούτου E εὐθὺς om. B
ἐσθήσεσι M 28 ἄλλῃ: ἄλλως B 29 προέχειν VBMN Theoph. Cont. 225, 8:
προύχειν ACE κατὰ alt.: καὶ B 30 τὴν ante ψυχ. add. B πρωτοστρά-
τορα BMN Theoph. Cont. 225, 10 36 κατὰ om. E αὐτὸν ACEV: αὐτῷ MN:
om. B 37 σχάλουσα M 38 αὐτῆς: κατ' αὐτὴν A αὐτῆς αὐλῆς: αὐλῆς
αὐτῆς B αὐλῆς: αὐλὴν A 41 τε om. VB (sed cf. Theoph. Cont. 226, 1)
42 γεν. Ῥωμ. B 43 ἀποφαίνεται B 44 τὸ ἀπὸ τοῦδε om. A αὐτοῦ:
τοῦ υἱοῦ A 45 ἔτρεφε: ἔφερε M 46 ἐκείνου B 47 δὲ post εἵπ. add. B
49 δ': δὲ B 50 ἀποστόλου om. ACE Ἀνδρέου om. VB (sed cf. Theoph.
Cont. 226, 13) προσευξάμενος B δ': δὲ ACEFH 51 ἀσχολούμενος A 52 τῷ
ἀποστόλῳ om. E ἀποπληρῶν om. B

ξάμενος, εἴσεισι μόνος εἰς τὸν ναόν. ἐφήδρευε δέ τις τῷ θείῳ τεμένει τοῦ ἀποστόλου μοναχὸς ἀρετῆς ἀντιποιούμενος διὰ βίου. οὗτος τὸν μὲν Θεόφιλον εἰσελθόντα μετὰ τοσαύτης δορυφορίας οὔτε ὑπεδέξατο οὔτε ἀναστὰς κατησπάσατο οὔτε τινὸς ἠξίωσε μικρᾶς γοῦν προσρήσεως, ὕστερον δὲ τοῦ Βασιλείου εἰσερχομένου, ὡς εἴρηται, μόνου ὑπεξανέστη τε ὥς τινι τῶν κρειττόνων, καὶ τὴν ἐξ ἔθους τοῖς βασιλεῦσι πρέπουσαν εὐφημίαν προσήνεγκεν. ὅπερ τῶν ἐκεῖσε παρατυχόντων ἰδόντες τινὲς τῇ κατὰ τοὺς τόπους ἐκείνους πρωτευούσῃ κατά τε τρόπον καὶ εὐγένειαν γυναικί, ἣ Δανιηλὶς ἀπὸ τοῦ ταύτης ἀνδρὸς ὠνομάζετο, ἀπαγγέλλουσιν. ἐκείνη δὲ τὸ διοπτικὸν τοῦ μοναχοῦ, μηδ' ὅτι προορατικοῦ χαρίσματος ἠξίωται ἀγνοοῦσα, οὐκ ἐγένετο περὶ τὸ λεχθὲν ἀμελής, ἀλλ' ἅμα τε ἤκουσε καὶ προσκαλεσαμένη τὸν μοναχὸν ὀνειδιστικὰ πρὸς αὐτὸν διεξήει ῥήματα· 'τοσοῦτος χρόνος', λέγουσα, 'πάτερ πνευματικέ, ἐξ οὗ σοι γνώριμος ἐγὼ καθέστηκα, καὶ οἶδάς με κατὰ τὸν τόπον ἐν πᾶσι τῶν πολλῶν διαφέρουσαν, καὶ οὐδέποτε οὔτε ἐπηγέρθης θεασάμενός με, οὔτε ἐπηύξω μοι. ἀλλ' οὐδὲ τῷ ἐμῷ υἱῷ ἢ τῷ ἐκγόνῳ τὴν τοιαύτην ἀπένειμας φιλο|φροσύνην. καὶ πῶς νῦν ἄνθρωπον εὐτελῆ καὶ ξένον καὶ πένητα διανύοντα βίον ἰδὼν ὑπεξανέστης καὶ ὡς βασιλέα ἐτίμησας;' 'οὐχ ὡς ἕνα τῶν τυχόντων εἶδον τὸν ἄνδρα ἐγώ,' ἀντέφησεν ὁ μοναχός, 'ἀλλ' ὡς ἐκ θεοῦ βασιλέα Ῥωμαίων ὑπὸ Χριστοῦ προκεχειρισμένον ἰδὼν ἐξανέστην καὶ ἐπευφήμησα. τοῖς γὰρ ὑπὸ θεοῦ τετιμημένοις ὀφειλομένη πάντως ἐστὶ καὶ ἡ ἐξ ἀνθρώπων τιμή.' ὁ μὲν οὖν Θεόφιλος τὰ προστεταγμένα ἀνύσας εἴχετο πάλιν τῆς ἐπὶ τὴν βασιλίδα ὁδοῦ, ὁ δὲ Βασίλειος ἀσθενείᾳ συσχεθεὶς σώματος αὐτόθι καταλιμπάνεται. ἐπιμελείας δὲ τῆς προσηκούσης τυχὼν πρὸς τὴν ἄνοδον ἡτοιμάζετο. ὃν μετακαλεσαμένη ἡ προρρηθεῖσα γυνὴ Δανιηλὶς δώροις αὐτὸν καὶ μεγάλοις δεξιοῦται χαρίσμασι, μηδὲν ἕτερον ἐπιζητήσασα παρ' αὐτοῦ,

ACEVBMN FH **53** προσήδρευε AB **54** ἀντιποιούμ. ἀρετ. B διὰ βίου ἀντιποιούμ. A τὸν μὲν: μὲν τὸν B **55** τοσαύτης: πλείστης B **56** ἠξίωσε: κατηξίωσεν, post προσρήσ. A γοῦν om. B προρρήσεως V **57** εἰσερχομ. post μόνου A εἰσερχομ. om. B ὡς εἴρηται om. B **58** τε om. B ὡς: ὥσπερ E **59** εὐφημίαν προσήνεγκεν ACE Theoph. Cont. 226, 23: προσήνεγκεν εὐφημίαν VBMNFH ἰδόντες: εὑρόντες M **61** γυναικός C Δανιηλὶς CEB: Δανικλὶς A: Δανηλὶς VMN Theoph. Cont. 227, 2 ἀπαγγέλλ. post γυναικί B ἀπαγγέλλουσιν AEBMN Theoph. Cont. 227, 3: ἀπαγγέλλουσα C: ἀναγγέλλουσιν V **62** ἐκείνη δέ: ἐκείνη δ' εἰδυῖα B **63** ἠξίωται χαρίσματος ACE (sed cf. Theoph. Cont. 227, 4) **65** ἐξήει B **66** τὰ ante κατὰ add. B **67** οὔτε om. VB (οὔτε Theoph. Cont. 227, 9 cod. V) **68** οὔτ' ἐπ. B ἐκγόνῳ ACEB Theoph. Cont. 227, 10: ἐγγόνῳ VMN: ἐγκόνῳ F **69** ἄνθρωπον post **70** ξένον A **70** πένητα: χέρνητα V: χερνίτην B ἀνύοντα B **72** ὡς — Χριστοῦ: ὡς βασ. Ῥωμ. ὑπὸ θεοῦ A **73** ὑπὸ θεοῦ: παρὰ θεῷ A **75** ἐπὶ ACEMN: πρὸς VB (cf. Theoph. Cont. 227, 20) ὁδοῦ: φερούσης A **76** ἀσθενείᾳ: ἀρρωστίᾳ B σώμ. συσχ. A **77** πρός: ἐπὶ A **78** ἡ ante Δαν. add. B Δανιηλὶς B: Δανηλὶς VMN Theoph. Cont. 227, 24: om. ACE αὐτὸν om. B **79** δεξιοῦται ACEVBF Theoph. Cont. 228, 1: ἐδεξιοῦτο MN ἐπιζητοῦσα M

ἢ πνευματικῆς ἀδελφότητος συνδέσμῳ συνδεθῆναι πρὸς Ἰωάννην τὸν ταύτης υἱόν. ὁ δὲ πρὸς τὸ αὐτοῦ ἀποβλέπων εὐτελὲς καὶ τὸ περιφανὲς τῆς γυναικός, ὡς ὑπὲρ αὐτὸν μᾶλλον οὖσαν διωθεῖτο τὴν ἔντευξιν. πλείονα δὲ παράκλησιν δεξάμενος ἐκπληροῖ τὸν ταύτης σκοπόν. ἐκπληρωθείσης δὲ τῇ γυναικὶ τῆς ἐφέσεως ἔδοξεν αὐτῇ μὴ ἐπικρύπτειν τὸ βούλημα τοῦ θεοῦ, ἀλλὰ δημοσιεύειν καὶ φανερὰ τιθέναι τὰ μεγαλεῖα τοῦ θεοῦ, οἷς οἶδε τρόποις προλεγόμενα καὶ δηλοποιούμενα. ἰδίᾳ τοίνυν παραστησαμένη τὸν Βασίλειον· 'ἴσθι', ἔφη, 'ὦ τέκνον, ὡς ὁ θεός σε ἐπὶ μεγάλης μέλλει τιθέναι τῆς σκοπιᾶς καὶ κύριον ἀποδεικνύειν πάσης τῆς γῆς. εἰς ἔργον οὖν ἐκβάσης τῆς ἐμῆς προρρήσεως οὐδὲν ἕτερον αἰτῶ παρὰ σοῦ, ἀλλ' ἢ | τὸ μόνον ἀγαπᾶσθαι καὶ ἐλεεῖσθαι ἐμέ τε καὶ τοὺς ἐξ ἐμοῦ.' ὁ δέ, εἰ δοίη τελεσθῆναι θεὸς τὰ μηνυόμενα, κυρίαν αὐτὴν ἀποφῆναι κατεπηγγείλατο πάσης, εἰ οἷόν τε, ἐκείνης τῆς γῆς. καὶ οὕτως ἀσπασάμενος τὴν γυναῖκα ἀνῄει πρὸς τὴν βασιλεύουσαν καὶ τὸν ἑαυτοῦ κύριον. ἀπὸ δὲ τῶν ἐντεῦθεν αὐτῷ προσγενομένων χρημάτων ἐξωνησάμενος ἐν Μακεδονίᾳ κτήσεις ἱκανὰς κατέστησεν ἐπὶ εὐπορίας ἅπαντας τοὺς προσήκοντας δαψιλοῦς, συνῆν δ' ὅμως καὶ διηκόνει τῷ κυρίῳ αὐτοῦ.

7. Ἔν τινι δὲ τῶν ἡμερῶν Ἀντίγονος ὁ τῶν σχολῶν ἀφηγούμενος, ὁ τοῦ καίσαρος Βάρδα υἱός, ἑστίασιν πολυτελῆ κατασκευασάμενος δαιτυμόνα εἶχε τὰ πρῶτα τῶν ἀνακειμένων τὸν ἑαυτοῦ πατέρα Βάρδαν τὸν καίσαρα, ὃς πολλοὺς καὶ ἄλλους τῶν συγγενῶν καὶ φίλων καὶ συνήθων παραλαβὼν πρὸς τὴν εὐωχίαν ἀπῄει. συμπαρῆσαν δ' αὐτῷ καὶ Βούλγαροι συνήθεις καὶ φίλοι, οὕτω παρατυχὸν τῇ βασιλίδι ἐνδιατρίβοντες. οὐκ ἀπῆν δὲ τῆς πανδαισίας οὐδὲ Θεόφιλος ὁ τοῦ Βασιλείου κύριος, οἷα συγγενὴς καὶ αὐτὸς τοῦ καίσαρος. τοῦ δὲ πότου προϊόντος καὶ ἀκμαζούσης τῆς εὐωχίας, ἐπεὶ ἔτυχον οἱ Βούλγαροι ἔχοντές τινα μεθ' ἑαυτῶν ἄνδρα ἀθλητικὸν καὶ ἐπὶ ἰσχύϊ σεμνυνόμενον σώματος, ἐδόκουν

cap. 7: Theoph. Cont. 229, 1—230, 15

ACEVBMN FH **81** αὐτοῦ CEVMN: ἑαυτοῦ A: οἰκεῖον B ἀποβλέπων: ἐκδρῶν B **82** οὖσα M οὖσαν μᾶλλον A διωθεῖται B **83** δὲ om. M **84** τῆς ἐφέσεως: πληρωθείσης ACEN: πληρωθείσης VB: ἐκπληρωθέντος M **85** τούτου ante φανερὰ add. A τὰ τὸ αἴτημα M **85/86** ἀλλὰ — θεοῦ om. C **87** παραστησαμένη ACEMN: τοῦ θεοῦ μεγαλεῖα VB τοῦ θεοῦ alt. om. A **90** τὸ om. B **91** ἐμοῦ: ἐμέ M πιστωσαμένη V: πιστουμένη B ἔφη om. B **94** προσγενομένων: θεὸς τελεσθῆναι B **92** καί: εἰς B **93** ἑαυτοῦ: αὐτοῦ M **1** δαψιλοῦς ACE: γενομένων B: γινομένων V **95** εὐπορίᾳ B πάντας AB **3** Ἀντίγ. post ἀφηγούμ. A ἱκανῆς Theoph. Cont. 228, 20: δαψιλῶς VBMNF **8** παρατυχόντι τῇ B ἐνδιατρί-
4 ὁ om. B δαιτυμόνας B **5** Βάρδα C (sed cf. Theoph. Cont. 229, 9) ὁ Θεόφ. ψαντες B **9** ὁ ante Θεόφ. add. VB **11** ὁ Βούλγαροι M ἔχοντες: post **10** κύριος B **10** τοῦ καίσαρος καὶ αὐτός B ἔχειν B

ἐπ' αὐτῷ μέγα φρονεῖν καὶ ἠλαζονεύοντο, καὶ μηδένα εἶναι τὸν εἰς χεῖρας αὐτῷ συμπεσεῖν δυνάμενον ἐμεγαλαύχουν. λέγει γοῦν περὶ μέσας τραπέζας ὁ Θεόφιλος πρὸς τὸν καίσαρα, ὡς 'εἰ ἀρέσκει τῇ σῇ ἐξουσίᾳ, ἔστι τις τῶν ὑπηρετούντων μοι δυνάμενος συμπλακῆναι τῷ περιβοήτῳ τούτῳ Βουλγάρῳ. μέγα γὰρ ὄνειδος Ῥωμαίοις, | εἰ οὗτος ἀκαταγώνιστος οὕτως ἐν Βουλγαρίᾳ παραγένηται.' ἀποδεξαμένου δὲ τὸν λόγον τοῦ καίσαρος καὶ προστάξαντος εἰς μέσον ἄγεσθαι τὸν νεανίαν ὁ πατρίκιος Κωνσταντῖνος ὁ Θωμᾶ τοῦ λογοθέτου πατήρ, σφόδρα φιλίως πρὸς τὸν Βασίλειον διακείμενος, ἅτε καὶ αὐτὸς ἐξ Ἀρμενίων τὴν τοῦ γένους ἕλκων σειράν, κάθυγρον ἰδὼν τὸν τόπον, ἐν ᾧπερ ἔμελλον οἱ παλαισταὶ συμπλακῆναι, καὶ δείσας τὸν ἐκ τῆς ὑγρότητος ὄλισθον, κόνιν καὶ πρίσμα ἀπὸ ξύλων ἐπιρραίνει τῷ ἐδάφει. οὗ γενομένου συμπλακεὶς τῷ Βουλγάρῳ ὁ Βασίλειος, καὶ ὥσπερ τι παιδίον νεογνὸν πιέσας καὶ περισφίγξας αὐτόν, ὥσπερ τινὰ δεσμὸν χόρτου ἢ πόκον ἐρίου κούφως οὕτω καὶ ῥᾳδίως μετεωρίσας ἐπάνω τῆς τραπέζης ἀπέρριψε. τοῦτο γενόμενον χαρᾶς μὲν τοὺς Ῥωμαίους, αἰσχύνης δὲ τοὺς Βουλγάρους ἐνέπλησεν. ἀπ' ἐκείνης δὲ τῆς ἡμέρας ἐπὶ πλέον ἡ τοῦ Βασιλείου ἠπλοῦτο φήμη ἀνὰ τὴν βασιλεύουσαν, καὶ τοῖς ἁπάντων διεφέρετο στόμασι περίβλεπτος ἤδη καθεστηκώς.

8. Συνέβη δὲ καὶ ἄλλο τι τὸ ἐπὶ πλέον δόξης ἐξᾶραν αὐτόν. ἵππος ἦν παρὰ τῷ βασιλεῖ Μιχαὴλ σκληραύχην τε καὶ δυσήνιος, ἡλικίᾳ μὲν καὶ κάλλει καὶ τάχει καὶ ὡραιότητι εἴδους τοὺς πώποτε θαυμαζομένους ὑπερβαλλόμενος, ὅς, εἰ ἔτυχε λυθεὶς τῶν δεσμῶν, ἢ ἄλλως πως ἀφεθείς, λίαν ἦν δυσχερὴς εἰς χεῖρας αὖθις ἐλθεῖν καὶ πολλὰ πράγματα πρὸς τὸ κατασχεῖν παρεῖχε τοῖς ἱπποκόμοις. τοῦτον ἐπικαθήμενος τὸν ἵππον

cap. 8: Theoph. Cont. 230, 16–231, 21; Zon. III, 411, 2–412, 5; Glyc. 546, 21–547, 2

ACEVBMN FH **13** μέγα φρονεῖν VBMN: οὐκ ἀνεκτὸν ... φρονεῖν Theoph. Cont. 229, 16/17: μεγαλοφρονεῖν ACE **14** συμπεσεῖν ACEMN: ἐμπεσεῖν VB γοῦν CVMN: οὖν AEFH: δὲ B τὰς ante μέσας add. B **17/18** οὗτος — οὕτως AMN: οὕτως ἀκαταγ. οὗτος VF: οὕτως ἀκαταγ. οὕτως MH: οὗτος ἀκαταγ. CB Theoph. Cont. 229, 22 **18** ἐν om. B παραγένηται: ἀφίκηται B **19** τάξαντος V νεανίαν VBMN: νεανίσκον ACE **22** τὸν om. M ᾧπερ: ᾧ B οἱ — **23** συμπλακῆναι: συμπλ. οἱ παλ. A **23** πρίσματα M **25** ὁ Βασίλειος om. VB (sed cf. Theoph. Cont. 230, 7) ὥσπερ: ὡς A τι om. ACEB περισφίξας B **26** ὡς δεσμόν τινα B **27** ἐπάνω VBMN Theoph. Cont. 230, 9: ἐπὶ ACE γινόμενον M **29** δὲ om. M ἐπὶ om. B **32** τι VB: τε ACNFH: om. EM δόξης ἐξᾶραν: δοξάσαν E **33** παρὰ om. B σκληραύχης C τε om. CEB (sed cf. Theoph. Cont. 230, 17) μὲν: δὲ B **34** καὶ τάχει om. VB (sed cf. Theoph. Cont. 230, 18) εἴδους om. B θαυμαζομένους VBMN: θαυμαστὸς Theoph. Cont. 230, 19: ὀνομαζομένους ACE **35** ὑπερβαλλόμενοι C **36** ἦν om. B δυσχερὴς ACEMN Theoph. Cont. 230, 20: δυσχερὲς VB ἐτίθει τὸ post δυσχερὲς add. B αὖθις εἰς χεῖρας M **37** περισχεῖν C αὐτὸν post κατασχ. add. B

ὁ βασιλεὺς πρὸς θήραν ἐξῄει, καὶ κατευστοχήσας λαγωοῦ τῇ ῥάβδῳ τοῦ ἵππου καθήλατο πρὸς τὸ | σφάξαι τὸν λαγῳόν. ἄφετος δὲ ὁ ἵππος καταλειφθεὶς ἀπεσκίρτα καὶ ἀπεπήδα. καὶ πολλῶν συνδραμόντων ἱπποκόμων τε καὶ ἀρχόντων καὶ τῶν λοιπῶν τῶν περὶ τὸν βασιλέα οὐκ ἦν τινι δυνατὸν κατασχεῖν τὸν ἵππον, ὥστε θυμωθέντα τὸν βασιλέα κελεῦσαι, εἰ κρατηθείη, διακοπῆναι τοὺς ὀπισθίους αὐτοῦ τῶν ποδῶν. παρῃτεῖτο δὲ ὁ καῖσαρ καὶ ἐδεῖτο τοῦ βασιλέως, μὴ διὰ μίαν κακίαν τοσαύτην ἀρετὴν ἵππου μάτην παραπολέσθαι. καὶ οἱ μὲν ἦσαν ἐν διαλογισμοῖς τοιούτοις, ὁ δὲ Βασίλειος παραδραμὼν τῷ κυρίῳ αὐτοῦ· 'εἰ παραδράμω τὸν βασιλικὸν ἵππον,' ἔφη, 'καὶ ἀπὸ τοῦ ἐμοῦ ἵππου ἐκτιναχθεὶς ἔποχος αὐτῷ γένωμαι, ἆρά γε διὰ τὴν βασιλικὴν ἐφεστρίδα καὶ τὸν κοκκοβαφῆ χαλινὸν ἀγανακτήσει ὁ βασιλεὺς κατ' ἐμοῦ;' τοῦ δὲ πρὸς οὓς ὑπομνήσαντος τὸν βασιλέα, κἀκείνου κελεύσαντος τοῦτο γενέσθαι, εὐφυῶς ὁ Βασίλειος τὸν ἑαυτοῦ παρελάσας ἵππον καὶ τῷ τοῦ βασιλέως κατὰ παράλληλον ἐξισώσας γραμμὴν ἥλατό τε εὐθέως καὶ πρὸς τὸν βασιλικὸν ἀπεπήδησεν ἵππον, μέγα θαῦμα ἐνεὶς τοῖς παρατυχοῦσι καὶ θεωμένοις. θαυμάσας δὲ καὶ ὁ βασιλεὺς τὴν μετ' ἀνδρείας εὐφυΐαν αὐτοῦ καὶ σύνεσιν, εὐθέως ἀποσπάσας αὐτὸν ἀπὸ τοῦ Θεοφιλίτζη ἐν τοῖς ἑαυτοῦ κατέταξε στράτωρσιν, ἠγάπα τε διαφερόντως αὐτὸν καὶ ταῖς κατὰ μικρὸν προόδοις εἰς τὴν τοῦ πρωτοστράτωρος τάξιν ἀνήγαγε.

9. Κυνηγεσίας δέ ποτε γενομένης τῷ βασιλεῖ κατὰ τὸ Φιλοπάτιον, προεπορεύετο τούτου ὁ πρωτοστράτωρ ἔφιππος, ἐπιφερόμενος ἐπὶ ζώνης καὶ τὸ βασιλικὸν βαρδούκιον, θορύβου δὲ καὶ | βοῆς γενομένης ὑπὸ τοῦ πλήθους λύκος τῆς ὕλης ἐξέθορε παμμεγέθης. ὁρμήσας δὲ κατόπιν αὐτοῦ ὁ Βασίλειος ἔρριψε κατ' αὐτοῦ τὸ βασιλικὸν βαρδούκιον,

cap. 9: Theoph. Cont. 231, 22–232, 20

ACEVBMN FH **39** ἀφήλλατο A σφάξαι ACEMN Theoph. Cont. 231, 2 ἀποσφάξαι VB τάχα post ἀποσφάξαι add. V **41** τῶν pr. om. B **42** τινα B βασιλέα: Βασίλειον C κελεῦσαι post **43** κρατηθείη ACE (sed cf. Theoph. Cont. 231, 6) κελεῦσαι: προστάξαι N **43** διακοπῆναι AVBF Theoph. Cont. 231, 7: διακοπηθῆναι CEMN: ἀγκυλοκοπηθῆναι B τοὺς — ποδῶν om. B αὐτοῦ om. V αὐτοῦ τῶν ποδῶν ACEF Theoph. Cont. 231, 7: τῶν ποδῶν αὐτοῦ MN **45** μάτην om. VB (sed cf. Theoph. Cont. 231, 9) **46** παραδραμών: προσελθὼν B εἰ παραδράμω MN Theoph. Cont. 231, 10: εἴπερ δράμω C: εἰ περιδράμω AEVB **47** ἔφη ante **46** εἰ A **47** ἐκτιναχθεὶς om. B **51** παρελάσας: παρακαλέσας E **53** πᾶσιν ante ἐνεὶς add. B **53/54** τοῖς — θεωμένοις om. B **54** καὶ alt. om. B μετὰ B **55** αὐτὸν ἀπὸ om. B ἀπὸ om. V ἐν om. V **56** στράτωρσιν A: στράτορσιν CEBMNF: στράτωρος Theoph. Cont. 231, 18 cod. V τε: δὲ M **57** πρωτοστράτωρος AF Theoph. Cont. 231, 21 cod. V: πρωτοστράτορος CEB: πρωτοστάτορος MN **60** πρωτοστράτορ M **61** ζώνης: τούτοις C καὶ pr. om. E βαρδούβιον B

καὶ τυχὼν τοῦ θηρίου κατὰ τὸ μέσον τῆς κεφαλῆς ταύτην ἐδιχοτόμησεν. ὄπισθεν δὲ τοῦ βασιλέως κατὰ τὸ σύνηθες ἑπόμενος ὁ καῖσαρ, καὶ τὸ γεγονὸς θεασάμενος, εἰπεῖν λέγεται πρός τινα τῶν συνήθων ἐν μυστηρίῳ· 'τοῦτον, ὦ τᾶν, ἡγοῦμαι τὸν ἄνθρωπον ὄλεθρον γενήσεσθαι ἄρδην τῆς ἡμῶν γενεᾶς.' φασὶ δ', ὅτι καὶ Λέων αὐτὸ τοῦτο προεθέσπισεν ὁ φιλόσοφος, ὀνομαστὶ τὸν ἄνδρα καλέσας καὶ σημεῖα ὑποφήνας τινὰ καὶ τῷ δακτύλῳ δείξας, καὶ τοῦτον ἔσεσθαι προειπὼν τῆς συμπάσης ὑμῶν γενεᾶς τὸν ὄλεθρον.|

10. Ἐνήδρευεν οὖν ἀεὶ ὁ καῖσαρ, ἤνυε δὲ οὐδέν. ἀκυρῶσαι γὰρ παγχάλεπον ἦν, ὅπερ ἅπαξ τῇ προνοίᾳ γενέσθαι ἐδόκει. περάσαντος δέ ποτε τοῦ βασιλέως πάλιν κυνηγεσίου χάριν εἰς τὸ Ἀρμάμεντον καὶ μετὰ τὴν κυνηγεσίαν εὐωχουμένου συνάμα τῇ μητρὶ Θεοδώρᾳ καί τισι τῶν συγγενῶν καὶ οἰκειοτάτων, εἰσεκλήθη ὁ πρωτοστράτωρ τοῦ βασιλέως κελεύσαντος. πρὸς ὃν ἡ βασιλὶς πυκνότερον ἐνητένιζε, κατανοοῦσα καὶ παρεπισκοποῦσα τὰ κατ' αὐτόν. ἐπιγνοῦσα δέ τι γνώρισμα καὶ σημεῖον ἐν αὐτῷ, εὐθέως ἰλίγγῳ κατασχεθεῖσα καὶ λειποθυμίᾳ βληθεῖσα εἰς γῆν κατέπεσε. θορυβηθέντος δὲ τοῦ βασιλέως ἐπὶ τούτῳ καὶ τῶν περὶ τὸν βασιλέα ὕδωρ τε εὐθὺς ἐκομίζετο καὶ μύρα τῶν εὐωδῶν, οἷς ἐπιρραίνοντες τὴν δέσποιναν ἀνεκαλοῦντο τοῦ πτώματος. μόλις δ' οὖν εἰς ἑαυτὴν ἐλθοῦσα καὶ τοῦ σκότου ἀνενεγκοῦσα, ὡς ἠρωτᾶτο | παρὰ τοῦ υἱοῦ καὶ βασιλέως, ἐκ ποίας αἰτίας ἐπενεχθείη αὐτῇ τουτὶ τὸ πάθος, μόλις ἐφ' ἑαυτῆς γενομένη τάδε πρὸς τὸν υἱὸν ἀπεκρίνατο· 'ὄν, ὦ τέκνον, τοῦτον λέγεις Βασίλειον, ὁ τῆς ἡμετέρας ἐστὶν ἀφανισμὸς γενεᾶς. εἶδον γὰρ ἐν αὐτῷ σημεῖον πάλαι μοι παρὰ τοῦ σοῦ προεξηγηθὲν πατρός,

cap. 10: Theoph. Cont. 232, 20—234, 6; Zon. III, 412, 7—412, 15

ACEVBMN F **64** τοῦ θηρίου τυχὼν ACE: ἔτυχεν τοῦ θηρίου Theoph. Cont. 232, 7 cod. V τὸ θηρίον M **65** ὄπισθεν AC Theoph. Cont. 232, 8: ὄπιθεν VBMN: ὄπιθε E κατὰ τὸ σύνηθες om. A **66** συνήθων VBMN Theoph. Cont. 232, 10: παρόντων ACE **67** ἄρδην γενήσ. B **68** δέ B αὐτὸ: αὐτῷ AN τοῦτο om. VB **70** προειπὼν EVBMN: προσειπὼν AC **70/71** τῆς — ὄλεθρον ACEMN: τὴν συμπάσης ὑμῶν (ἡμῶν B) τῆς γεν. ὄλεθρον VB **72** ἀεὶ ὁ καῖσαρ: ὁ κ. ἀεί B **73** γενέσθαι ACEMN: γενήσεσθαι, post ἅπαξ VB ἄνω ante προν. add. B ἐδόκει CEVMN: ἔδοξε A: ἐδέδοκτο B **74** πάλιν om. ACE (sed cf. Theoph. Cont. 233, 1) Ἀρμάμεντον MN: Ἀρμαμέντον ACE: Ἀρμαμενταρέας Theoph. Cont. 233, 3: Οὐμάμεντον VB **75** εὐωχουμένῳ M αὐτοῦ post μητρὶ add. B **76** καὶ om. EMN, sed non F πρωτοστάτωρ M **77** πυκνοτέρως B **78** παρεπισκοποῦσα VBMN: παρεπισκοπεῖν Theoph. Cont. 233, 9: περισκοποῦσα ACE **79** βληθεῖσα VBMN: ληφθεῖσα ACE **80** κατέπιπτε B δ' ἐπὶ τούτῳ τοῦ βασ. A καὶ om. B τῶν ACE: τὸ V: τοῖς B: τοῦ MN **81** τε post βασ. B τῶν εὐωδῶν: εὐώδη A ἐπιρραίνων B **82** ἀνεκαλεῖτο B τὴν — ἀνεκαλοῦντο VBMN: ἀνεκαλ. τὴν δέσπ. ACE τοῦ πτώματος om. ACE **83** σκότους CE **86** τοῦτον om. B οὗτος post Βασ. add. B **87** σημεῖον post προεξ. B πατρὸς προεξηγηθέν BM

πρὸς ὅπερ ἰλιγγιάσασα εἰς γῆν κατώλισθον.' ὁ δὲ βασιλεὺς τοῦτο μὲν λόγοις ἀποτρεπτικοῖς, τοῦτο δὲ καὶ πληροφορίαις ἐνωμότοις ἀπῆγε τὴν μητέρα τοῦ δέους, εἰς τὸ καθεστὼς ἐπανάγων καὶ παραμυθούμενος, 'τὸν ἄνθρωπον τοῦτον,' λέγων, 'ἴσθι, ὦ δέσποινα καὶ μῆτερ ἐμή, ἄνδρα μὲν εἶναι γενναῖον, ῥώμῃ τε ἀνυπόστατον καὶ ψυχῆς εὐγενείᾳ ἀσύγκριτον, πιστὸν δὲ τὰ εἰς ἡμᾶς καὶ εὔνουν καὶ κατ' οὐδενὸς κακονούστατον.' καὶ τότε μὲν τὴν τῆς τοιαύτης τύχης ἐπήρειαν οὕτω παρέδραμεν ὁ Βασίλειος.

11. Δαμιανοῦ δὲ τοῦ παρακοιμωμένου, ὃς εὐνοῦχός τε ἦν καὶ Σκύθης καὶ τῇ τῶν πατρικίων ἀξίᾳ τετίμητο, τὰ πραττόμενα παρὰ τοῦ βασιλέως κακίζοντος, ὡς οὐ κατὰ τὸ δέον τελούμενα, ἐξαιρέτως δὲ τὰ παρὰ τοῦ θείου αὐτοῦ Βάρδα τοῦ καίσαρος, ἀνηρεθίσθη ποτὲ πρὸς ἐπιστροφὴν ὁ βασιλεύς, λίαν ἀμβλὺς καὶ νωχελὴς πρὸς ἀντίληψιν πραγμάτων ὑπάρχων, καὶ ἐνίας τῶν τοῦ καίσαρος πράξεων ἀνέτρεπε τάχα καὶ διωρθοῦτο. ὅπερ μὴ φέρων ὁ καῖσαρ λαθρηδὸν κατὰ τοῦ Δαμιανοῦ συσκευάζεται, καὶ πολλαῖς διαβολαῖς κατ' αὐτοῦ πρὸς τὸν βασιλέα χρησάμενος, καὶ πιθανῶς σοφισάμενος τὰς κατηγορίας, ἴσχυσε μεταστῆσαι τὸν βασιλέα τῆς περὶ τὸν Δαμιανὸν εὐνοίας, ὡς καὶ διαδέξασθαι δυνηθῆναι τῆς οἰκείας ἀξίας αὐτόν. ἐξωσθέντος οὖν | ἐκείνου ἐχήρευε λοιπὸν ἐπὶ χρόνον τινὰ τὸ τοῦ παρακοιμωμένου λειτούργημα. τοῦ καίσαρος δὲ καὶ τῆς περὶ αὐτὸν φατρίας ἄλλον καὶ ἄλλον εἰς τοῦτο προβιβαζόντων, ἡ τοῦ θεοῦ πρόνοια ἀοράτως, ὡς αὐτῇ βουλητόν, τὰ πράγματα διεξάγουσα πᾶσαν φρόνησιν καὶ πανουργίαν ἀπέδειξεν ἄπρακτον. μετὰ χρόνον γάρ τινα προβάλλεται παρακοιμώμενον ὁ βασιλεὺς τὸν Βασίλειον, τιμήσας αὐτὸν καὶ πατρικιότητι καὶ γυναικὶ συζεύξας εὐπρεπείᾳ τε σώματος καὶ κάλλει καὶ σωφροσύνῃ πασῶν πρωτευούσῃ τῶν κατ' αὐτήν. αὕτη δὲ ἦν θυγάτηρ τοῦ παρὰ πάντων ἐπὶ φρονήσει καὶ εὐγενείᾳ διαβοήτου Ἴγγερος, τοῦ γένους καταγομένου

18 a. 865

cap. 11: Theoph. Cont. 234, 7—235, 16; Zon. III, 412, 15—413, 13; Glyc. 547, 2

ACEVBMN F 88 εἰς γῆν κατώλισθον VBMN: εὐθὺς κατέπεσον ACE 89 τοῦ δέους τὴν μητ. B 90 ἐπανάγων εἰς τὸ καθ. B 91 λέγων om. ACE (sed cf. Theoph. Cont. 234, 1) ὦ δέσπ., ἴσθι M (sed non F) 92 εὐγενείᾳ ACEMN: εὐμενείᾳ VB 93 εὐνούστατον M κατ' — κακονούστατον ACEMN: κατ' οὐδὲν ἡμῖν κακονούστ. VB 94 τὴν om. CMF τῆς om. N τοιαύτης om. B 5 Βασίλειος ACE Theoph. Cont. 234, 6: βασιλεύς VMNF 3 παρά: περὶ A 4 τοῦ alt.: καὶ B 5 βασιλεύς: Βασίλειος C 6 τοῦ om. B ἀνετρέπετο B δὲ post ἀνέτρ. add. M τάχα om. B 8 παρασκευάζεται E 9 ταῖς κατηγορίαις A 10 μετὰ ῥαστώνης post βασιλέα add. A 11 δυνηθῆναι om. B οἰκείας om. B 15 φρόνησιν καὶ om. A 18 σωφροσύνῃ: φρονήσει E 19 ἦν om. B 20 ἐπὶ om. MN (sed non F neque Theoph. Cont. 235, 8) Ἴγγερος ACE Theoph. Cont. 235, 8: Ἴγκερος VBMNF

τῶν Μαρτινακίων. τούτου δὲ γενομένου καὶ προσθήκην τῆς πρὸς τὸν Βασίλειον τοῦ βασιλέως ἀγάπης ἐπιδιδούσης ἀεὶ ὁρῶν ὁ καῖσαρ, καὶ τῷ φθόνῳ δακνόμενος καὶ περὶ τοῦ μέλλοντος ὀρρωδῶν, ἔλεγε πολλάκις πρὸς τοὺς αὐτὸν ἀναπείσαντας ἀποσκευάσασθαι τὸν Δαμιανόν, ὅτι 'ταῖς κακοβουλίαις ὑμῶν πιθήσας ἐγώ, ἐξώσας ἀλώπεκα, λέοντα ἀντεισήγαγον, ἵνα πάντας ἡμᾶς ἀθρόως λαφύξηται'.

12. Ἄρτι δὲ τοῦ βασιλέως Μιχαὴλ κατὰ Κρητῶν ἐξελάσαντος μετὰ Βάρδα καίσαρος τοῦ θείου αὐτοῦ καὶ σοβαρώτερον ἀπτομένου τῶν πραγμάτων τοῦ Βάρδα καὶ κατὰ μικρὸν ἀνιῶντος τὸν βασιλέα καὶ τοῖς περὶ αὐτὸν ὑπονοίας ἀφορμὴν διδόντος, ἐπεὶ ἐν τοῖς Κήποις ἐγένοντο (τόπος δὲ οἱ Κῆποι κατὰ τὴν παράλιον, ἔνθα πρὸς τὴν θάλασσαν εἰσβολὰς ποιεῖται ὁ Μαίανδρος ποταμός), ἐνταῦθα δὴ τῆς συσκευῆς καὶ μελέτης γενομένης τοῖς περὶ τὸν βασιλέα, ἵνα μὴ καταταχηθέντες πάθωσι μᾶλλον ἢ δράσωσιν, ἐπι|σπεύσαντες ἀναιροῦσι τὸν Βάρδαν, καθὼς ἄνωθεν ὁ λόγος διαρρήδην ἐδήλωσε, περιπλακέντα τοῖς τοῦ βασιλέως ποσί. πρώτην ἦγε τηνικαῦτα μὴν ὁ Ἀπρίλλιος τῆς τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως. ἀποκτανθέντος δὲ τοῦ Βάρδα εὐθὺς ὁ βασιλεὺς τήν τε στρατοπεδείαν καταλύει καὶ νόστου πρὸς τὴν βασιλεύουσαν μέμνηται. ἐπανελθὼν δὲ πρὸς τὸ Βυζάντιον, ἐπείπερ οἰκείας ἠμοίρει γονῆς, εἰσποιεῖταί τε τὸν Βασίλειον καὶ εἰς τὴν τῶν μαγίστρων ἀναβιβάζει τιμήν.

13 Ὁ μὴ φέρων ὑπὸ φθόνου Συμβάτιος ὁ λογοθέτης τοῦ δρόμου, ὁ τοῦ καίσαρος Βάρδα γαμβρός, προφασισάμενος τὸ μὴ δύνασθαι ζῆν ἐπὶ τῆς βασιλίδος τὴν τῶν Θρᾳκησίων ἐξαιτεῖ στρατηγίαν, καὶ δὴ καὶ

35 die 21. mens. Apr. a. 865

cap. 12: Theoph. Cont. 235, 17—238, 14; Zon. III, 413, 13—414, 17; Glyc. 544, 20—545, 5 cap. 13: Theoph. Cont. 238, 15—241, 16; Zon. III, 419, 1—419, 3; Glyc. 547, 3

ACEVBMN F **21** προσθήκην ACEVB: προσθήκης MN τῆς: τὴν E **22** ἐπιδιδούσης: λαμβανούσης B ὁρῶν om. B καὶ om. B **23** δακνόμενος ACEMN Theoph. Cont. 235, 10: βαλλόμενος VB **26** ἀθρόως ACEMN: ἀθρόους VB **28** τοῦ post Βάρδα add. B τοῦ: καὶ B **29** ἀνιῶντος τὸν βασιλέα: ἀνιόντος πρὸς τὴν βασιλείαν B βασιλέα: Βασίλειον E τοῖς: τῆς MF **30** ὑπονοίας ἀφορμὴν ACEMN: ἀφορμὴν ὑπον. VB **30** τοῖς om. VB Theoph. Cont. 235, 22 **31** κατὰ ACEMN: om. V: παρὰ B τὰς ante εἰσβ. add. VB εἰσβολὴν A **32** ποταμὸς om. B **33** τοῖς ACE: τῆς VBMNF καταταχηθέντες AVMN: καταταχηθέντος CE: καταταχυνθέντες B διαγνωσθέντες ante πάθωσι add. B **34** ἐπισπεύσαντες ACEMN: ἐπιπνεύσαντες V: συμπνεύσαντες B Βάρδα C **36** ὁ Ἀπρ. μὴν B ὁ om. M τεσσαρεσκαιδεκάτης VBMN Theoph. Cont. 238, 8: τρισκαιδεκάτης ACE **40** τε om. EBMF **41** ὑπὸ: ἀπὸ AE Σαμβάτιος BM **42** προφασιζόμενος B

λαμβάνει. ὀλίγου δὲ καιροῦ παρελθόντος καὶ τῆς βασιλείου ἀρχῆς ἐπισφαλῶς κυβερνωμένης, ἅτε τοῦ βασιλέως πρὸς ἄλλοις, ἀλλ' οὐ ταῖς τῶν πραγμάτων διοικήσεσι τὸν νοῦν ἔχοντος, καὶ τοῦ θανάτου δὲ τοῦ Βάρδα καθαρῶς ἐλέγξαντος τὴν αὐτοῦ οὐθένειαν καὶ ἀφέλειαν (ἐκείνου γὰρ ἐπαγρυπνοῦντος ὡς κοινωνοῦ τῶν πραγμάτων καὶ τῆς διοικήσεως, καθ' ὅσον οἷόν τε ἀντεχομένου, τῇ τούτου ἐπιμελείᾳ καὶ σπουδῇ ἡ τοῦ βασιλέως οὐθένεια ἐκαλύπτετο. ἐπεὶ δ' ἐκεῖνος ἀπεσφάγη καὶ ἡ πᾶσα τῆς βασιλείας φροντὶς εἰς μόνον περιέστη τὸν βασιλέα, τότε δὴ καθαρῶς τὸ αὐτοῦ ἀνεπιτήδειον καὶ πρὸς τὰς πολιτικὰς πράξεις ἀποπεφυκὸς ἐξηλέγχετο), ἐγίνοντο γὰρ παρὰ τοῦ κοινοῦ συνεχεῖς διαγογγυσμοὶ κατὰ τοῦ βασιλέως, καὶ οὔθ' ἡ σύγκλητος οὔτε τὸ πολίτευμα τοῖς πραττομένοις ἠρέσκοντο, καὶ αὐτὸ δὴ τὸ στράτευμα ἀνασεσεισμένον καὶ κεκινημένον ἐτύγχανεν. ἅτινα διὰ τῶν οἰκειοτάτων ὁ βασιλεὺς ἐνωτιζό-|μενος, καὶ τὴν ἑαυτοῦ κατανοῶν πρὸς τὰς κοσμικὰς μεταχειρήσεις ἀνεπιτηδειότητα, ἅμα δὲ καὶ ἐπανάστασιν εὐλαβηθείς, κοινωνὸν ἔγνω τῶν πραγμάτων προσλαβέσθαι καὶ τῆς ἀρχῆς. καὶ ἐπεὶ πρὸ ὀλίγου, ὡς ἄνωθεν εἴπομεν, υἱοποιησάμενος ἦν τὸν Βασίλειον, ᾔδει δὲ αὐτὸν καὶ ἀνδρείᾳ καὶ συνέσει τῶν πολλῶν διαφέροντα καὶ ἱκανὸν ἀναπληροῦν αὐτοῦ τὸ ἐν τῇ κυβερνήσει τοῦ κοσμικοῦ σκάφους ὑστέρημα, τὸ πλέον δὲ καὶ ὑπερτάτης δυνάμεως ἐναγούσης εἰς τοῦτο αὐτόν, καὶ βασιλείας τιμῇ καὶ δόξῃ καὶ χρίσματι κατακοσμεῖ τὸν Βασίλειον, κατὰ τὴν ἁγίαν ἡμέραν τῆς πεντηκοστῆς, ἐν τῷ περιωνύμῳ τῆς τοῦ θεοῦ σοφίας ναῷ, δημοσίαν πρόοδον ποιησάμενος, καὶ τῷ Βασιλείῳ τὸν βασίλειον περιτίθησι στέφανον, ἕκτην πρὸς εἴκοσιν ἄγοντος τοῦ Μαΐου μηνὸς τῆς τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως. τοῦτο μαθὼν ὁ Συμβάτιος μετρίως

64 die 26. mens. Maii a. 866

ACEVBMN FH **44** βασιλείου: βασιλείας C **44** ἐπισφαλῶς ACEVBF Theoph. Cont. 238, 22: ἀσφαλῶς MN **45** πρὸς ἄλλοις AC Theoph. Cont. 238, 23: πρὸς τοῖς ἄλλοις E: πρὸς ἄλλους VMN: πρὸς ἄλλα B **45/46** ταῖς — διοικήσεσι: τὰς τῶν πραγμ. διοικήσεις VB **47** ἐλέγξαντος VBMN: ἐξελέγξαντος ACE **49** ἦν post τε add. ACE **50** δὲ M **51** καθαρῶς om. B **52** ἀποπεφυκὸς ACEB: ἀναπεφυκὸς VMNFH **53** ἐξελέγχετο B γογγυσμοὶ B **55** δὴ ACEVF: δὲ BMN **56** κινημένον E ἅτινα ACVMN: ἅτινας E: ἃ B Theoph. Cont. 239, 8 **57** πρὸς — μεταχειρήσεις om. B μεταχειρήσεις ACEV: ἐπιχειρήσεις MN ἀνεπιτηδειότητα VB Theoph. Cont. 239, 11: ἀδεξιότητα ACEMNF **58/59** προσλαβέσθαι τῶν πραγμ. B **59/60** ὡς — εἴπομεν om. ACE **61** διορθῶσαι καὶ post ἱκανὸν add. ACE **62** αὐτοῦ om. ACE (sed cf. Theoph. Cont. 239, 16) τὸ pr.: τὸν B **63** εἰς τοῦτο αὐτόν: αὐτὸν πρὸς τοῦτο AB βασιλείας: βασιλέως B **64** καὶ post Βασ. add. B ἱερὰν καὶ (καὶ om. E) ante ἁγίαν add. ACE **65** περιωνύμῳ om. ACE (sed cf. Theoph. Cont. 239, 22) τοῦ om. C **66** δημοσίαν — ποιησάμενος VBMN: δημοσίᾳ πορευθεὶς ACE καὶ om. B περιτίθησι: τίθησι B **67** ἕκτην πρὸς εἴκοσιν VMN: ἕκτην πρὸς τοῖς εἴκοσιν Theoph. Cont. 240, 3: εἰκοστὴν ἕκτην B: ἕκτην καὶ εἰκοστὴν ACE ἕκτην — ἄγοντος post 68 ἐπινεμ. AC **68** ιδ' ACEBF μὲν post τοῦτο add. M Συμβάτιος AEVN: Συμβάντιος CB: Σαμβάτιος M **68/69** οὐ μετρίως E

οὐκ ἤνεγκεν, ἀλλὰ συνεργὸν εἰληφὼς καὶ τὸν πατρίκιον Πηγάνην (στρατηγέτης δὲ καὶ οὗτος τοῦ Ὀψικίου ἐτύγχανε) πρὸς ἀπόστασιν εἶδον, Μιχαὴλ μὲν εὐφημοῦντες τὸν βασιλέα, ὡς ἂν ἐκ τούτου τὰ πλήθη ἐπάγοιντο, καὶ μὴ δοκοῖεν χεῖρας αἴρειν κατὰ τοῦ αὐτοκράτορος, δυσφημοῦντες δὲ τὸν Βασίλειον καὶ μυρίαις πλύνοντες ὕβρεσι. καὶ ταῦτα μὲν ἐπράττετο θέρους. χειμὼν δ' ἐπιστὰς τὰς συστάσεις τούτων διέλυσε, τῶν ἀργηγῶν τῆς ἀπονοίας φυγῇ τὴν σωτηρίαν πραγματευσαμένων. ὁ μὲν οὖν Συμβάτιος τὴν Πλατεῖαν Πέτραν (φρού|ριον δὲ τοῦτο ἐρυμνὸν καὶ δυσάλωτον κατὰ τὴν Ἀσίαν διακείμενον) ὑπεισέρχεται, ὁ δὲ Πηγάνης κατέσχε τὸ Κοτυάειον. ἀλλὰ μετὰ μικρὸν καταπολεμηθέντες δέσμιοι πρὸς αὐτὸν ἀναφέρονται τὸν βασιλέα. οἳ καὶ τοὺς ὀφθαλμοὺς πηρωθέντες, τοῦ Συμβατίου δὲ καὶ τὴν δεξιὰν ἀποτμηθέντος, τοῦ Πηγάνου δὲ καὶ τὴν ῥῖνα, ἐξορίαις παραπέμπονται.

14. Πάντες δ' εὐφράνθησαν ἐπὶ τῇ ἀναρρήσει τοῦ Βασιλείου οἱ τῆς Ῥωμαίων βασιλείας ὑπήκοοι, γλιχόμενοι ἄνδρα θεάσασθαι ἐπὶ τῶν οἰάκων τῆς βασιλείας καθήμενον ἰδιωτικῆς τε τύχης πεπειραμένον καὶ μὴ ἀγνοοῦντα, οἷα πάσχουσιν ὑπὸ τῶν δυνατωτέρων οἱ ταπεινότεροι. ἐλύπει γὰρ αὐτοὺς καὶ ἡ τοῦ βασιλέως Μιχαὴλ ἀρχὴ λίαν ὑγρὰ καὶ ἐκδεδιῃτημένη ὑπάρχουσα, καὶ μηδὲν ἄλλο ἔργον ἔχουσα, ἀλλ' ἢ κώμους καὶ μέθας καὶ εὐθηνοῦσαν ἱπποδρομίαν καὶ γελωτοποιοὺς καὶ τὰς ἄλλας τὰς παρεξηυλημένας τῶν πράξεων, ὧν ὡς ἐν παρόδῳ μνείαν ἄνωθεν ὁ λόγος διὰ βραχέων ἔθετο, τοὺς βασιλικοὺς θησαυροὺς κιναίδοις καὶ ζαμβυκιστρίοις καὶ ὀρχηστρίσι καὶ ἀκολάστων ὅλων πληθύϊ δικράνοις ὅλοις ἀποκενοῦντος. ἀφ' ὧν τὰ μὲν Ῥωμαίων ἐστενοχωρεῖτο πράγματα, αὐτὸς δὲ στενοχωρούμενος ὑπὸ τῆς ἐνδείας, καὶ μὴ ἔχων,

cap. 14: Theoph. Cont. 241, 17—254, 14; Zon. III, 415, 6—416, 8

ACEVBMN FH **69** εἰληφώς (λαβών A) post Πηγ. ACE **70** στρατηγέτης — ἐτύγχανε VBMN: στρατηγὸς δὲ τοῦ Ὀ. καὶ οὗτος ἐτύγχ. ACE ἀπόστασιν ACEMN Theoph. Cont. 240, 9: ἀποστασίαν VB **71** ἀπεῖδον B εὐφημοῦντες VBMN Theoph. Cont. 240, 11: ἐπευφημοῦντες ACE **72** δυσφημοῦντες VBMN Theoph. Cont. 240, 14: δυσθυμοῦντες ACE **73** Βασίλειον ACEB: βασιλέα VMN: om. Theoph. Cont. 240, 14 cod. V μυρίοις M ὕβρεσι πλύνοντες E **74** δὲ ACEB τὰς om. M συστάσεις ACEMN: ἀποστασίας VB **75** πραγματευσαμένων: εὑραμένων B **76** Συμβάτιος ACEVN: Συμβάντιος B: Σαμβάτιος M **77** ἐπεισέρχεται M **78** τό: τὸν C Κουτιάνειον B μετὰ om. C **80** Συμβατίου ACEVN: Συμβαντίου B: Σαμβατίου M **81** ἐξορίαις ACEMN: ἐξορίᾳ VB παρεπέμποντο E **82** δὲ M **84** τε τύχης: τύχης τε B **86** γάρ: δὲ M βασιλέως om. ACE **87** ἄλλο om. VB **88** εὐθηνοῦσαν EVMN: εὐθηνοῦσα CB: om. A **88/89** ἱπποδρομίαν — παρεξηυλημένας: ἱπποδρομίαις καὶ γελωτοποιοῖς καὶ ταῖς ἄλλαις ταῖς παραζηλουμέναις B **89** ἄλλας — παρεξηυλημένας: λοιπὰς αἰσχίστας A **91** ζαμβυκιστρίαις B ὅλων CVMN: ὄχλων AE: ἄλλων B **92** τῶν ante. Ῥωμ. add. ACE ἐστενοχωρεῖτο: ἐφθείρετο B

ὅ τι καὶ δράσειεν, ἀδίκους πόρους ἐπενοεῖτο, εἰς θεραπείαν τάχα τῆς χρείας, καὶ χεῖρας ἀνοσίους ἐπέβαλλε τοῖς κατὰ μηδὲν ὅλως αὐτῷ προσήκουσι. κατέπαιζε δὲ καὶ τὸ θεῖον μετὰ μιαρῶν καὶ ἀσελγῶν ἀνδρογύνων. καὶ οὐδὲν ἦν ἀρρητούργημα, ὃ μὴ δι' αὐτοῦ | καὶ τῶν ἄλλως παρατρεφομένων αὐτῷ καὶ ἐλέγετο καὶ ἐπράττετο. ἀποτρέπειν δὲ τῶν τοιούτων ἀθεμίτων ἔργων τοῦτον βουλόμενος ὁ Βασίλειος πολλάκις πειραθεὶς οὐ μόνον οὐκ ἴσχυσε, μᾶλλον μὲν οὖν καὶ πρὸς ὀργὴν ἀνηρέθισε, καὶ μελετᾶν κατ' αὐτοῦ σκαιὰ καὶ ἄτοπα ἀνεκίνησε, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται.

15. Ταῖς δὲ κατ' αὐτοῦ συνεχέσιν ἐπιβουλαῖς καὶ μελέταις ἐκδειματωθεὶς ὁ Βασίλειος δρᾶσαί τι μᾶλλον πρὸ τοῦ παθεῖν ἠγωνίσατο. οὐκοῦν καὶ παρασκευασάμενος μετά τινων οἰκείων τε καὶ συγγενῶν καὶ τῶν προκοιτούντων ἐν τοῖς βασιλείοις στρατιωτῶν ἀναιρεῖ τὸν βασιλέα ἐν τοῖς παλατίοις τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος. καὶ Μιχαὴλ μὲν οὕτω βιοὺς ἀνειμένως καὶ μαλθακῶς τοιοῦτον καὶ τὸ τέλος ἐδέξατο, ἀναγορεύεται δὲ μόναρχος εὐθὺς ὁ Βασίλειος παρά τε τῶν συνωμοτῶν πρῶτον, εἶτα καὶ τῆς συγκλήτου βουλῆς καὶ τῶν βασιλικῶν ταγμάτων καὶ παντὸς τοῦ στρατεύματος καὶ τῆς πληθύος τῆς ἀστικῆς. ἅμα δὲ τῷ παρελθεῖν ἐπὶ τὴν τῶν ὅλων ἀρχήν, προσκαλεσάμενος αὐτίκα τὴν γερουσίαν καὶ τοὺς ἐν ἀξιώμασι προὔχοντας, τὸν βασιλικὸν ἀνέῳξε θησαυρόν, καὶ οὐδὲν ἕτερον ἐκ τοῦ τοσούτου τῶν χρημάτων πλήθους εὑρέθη, εἰ μή, ὡς καὶ πρόσθεν εἴρηται, τρία μόνα κεντηνάρια. ζητήσας οὖν ὁ βασιλεὺς τὴν τῆς ἐξόδου ἀπογραφήν, καὶ ταύτην εὑρὼν παρά τινι γέροντι εὐνούχῳ, καὶ μαθών, ὅπῃ ταῦτα ἐχώρησε, βουλὴν περὶ τούτου προὔθετο τοῖς ἀρίστοις. ψήφου δὲ παρὰ

13/14 die 24. mens. Sept. a. 867 **23** non multum post diem 23. mens. Sept. a. 867

---

cap. 15: Theoph. Cont. 254, 15–257, 13; Zon. III, 416, 12–418, 8; Glyc. 547, 8/9. 11–18

ACEVBMN **95** ἐπέβαλλε ACEN: ἐπέβαλλεν M: ἐπέβαλε VB **1** διέπαιζε B καὶ pr. om. E ἀσελγῶν: ἀσεβῶν ACE καὶ ἐναγῶν ante ἀνδρογύνων add. A **3** παρατρεφομένων AEVBMN: περιτρεφομένων C: διατρεφομένων M αὐτῷ: παρ' αὐτοῦ M **4** ἔργ. ἀθεμ. A τοῦτον ACEV: τούτων MN: τούτους B τοῦτον — Βασίλειος: ὁ Βασίλειος τοῦτον βουλόμενος A βουλόμενος om. B πειρώμενος B **5** πρός: εἰς B: om. V **6** κατ' — ἄτοπα: καθ' ἑαυτοῦ σκαιὰν καὶ ἄτοπον B ἀνεκαίνισε E **8** καὶ μελέταις om. BM **10** τε om. ACE καὶ alt. om. V **11** προκοιτούντων AEMN Theoph. Cont. 254, 17: προκοίτων CVB **12** τοῖς παλατίοις ACEMN Theoph. Cont. 254, 18: τῷ παλατίῳ VB μεγαλομάρτυρος VBMN: μάρτυρος E Theoph. Cont. 254, 18 **13** καὶ post βιοὺς add. B μαλθακῶς ACEMN: μαλακῶς V: ῥυπαρῶς B καὶ alt. om. B **14** ὁ Βασ. εὐθὺς B **15** τῆς om. B **16** στρατεύματος VBMN Theoph. Cont. 255, 8: στρατοῦ ACE **18** ἀξιώματι M **19** ἠνέῳξε V πλήθους τῶν χρημάτων ACE (sed cf. Theoph. Cont. 255, 17) **20** μόνα κεντ. τρία ACE **22** εὐνούχῳ γέρ. B

πάντων δοθείσης ἐκείνους τοὺς κακῶς ταῦτα λαβόντας ἀντιστρέψαι τὰ ληφθέντα πρὸς τὸ δημόσιον, ὁ Βασίλειος, τοῦ ἄγαν ὑπενδιδούς, τὰ ἡμίση ὧν ἕκαστος ἔλαβεν ἀντιστρέψαι πρὸς τὸ βασιλικὸν ταμιεῖον ἐκέλευσε. καὶ οὕτως ἀπὸ τούτων ἐπισυνήχθη τῷ δημοσίῳ χρυσίου κεντηνάρια τριακόσια. ἐποιήσατο δὲ καὶ πρόοδον ὁ βασιλεὺς δημοσίαν ἐπὶ τὸν μέγαν τῆς τοῦ θεοῦ λόγου σοφίας ναόν, καὶ χρήματα πολλὰ ἐν τῷ ὑποστρέφειν τῷ πλήθει διένειμεν, οὐκ ἐκ τῶν δημοσίων, ἀλλ' ἐκ τῶν ἰδίᾳ διαφερόντων αὐτῷ. προσεγένετο δὲ αὐτῷ πλῆθος χρημάτων ἀπροσδόκητον καὶ ἀπὸ θησαυρῶν κεκρυμμένων ἀναφανέντων τῆς γῆς. εὑρέθη δὲ καὶ ἐν τῷ εἰδικῷ χρυσίον οὐκ ὀλίγον, ὅπερ ὁ προβεβασιλευκὼς Μιχαὴλ συνέλεξε, τὴν θρυλουμένην ἐκείνην πλάτανον χωνεύσας καὶ τοὺς δύο ὁλοχρύσους γρῦπας καὶ τοὺς δύο χρυσοῦς σφυρηλάτους λέοντας καὶ τὸ ὁλόχρυσον ὄργανον καὶ ἕτερα τῶν ἐπὶ τῆς τραπέζης χρυσωμάτων ἔργα διάφορα, καὶ βασιλικὰς καὶ αὐγουστικὰς στολάς, οἷσπερ ἔμελλεν ἀποχρήσασθαι πρὸς τὰ αὐτῷ καταθύμια, φθάσαν δὲ τὸ χρεὼν εἰς Βασίλειον ταῦτα διεβιβάσθη. ἀλλὰ ταῦτα μὲν ὕστερον.

16. Ἄρτι δὲ τῆς ἀρχῆς ἐπιβὰς ὁ Βασίλειος πρῶτον μὲν ἐπὶ τὰς ἀρχὰς ἀδωροτάτους ἐκλεγόμενος προεβάλλετο καὶ μαρτυρουμένους τὰς ἰδίας χεῖρας καθαρὰς παντοίου διαφυλάττειν λήμματος, εἶθ' οὕτως δικαιοσύνης ἐπεμελεῖτο, καὶ ἰσονομίαν ἐμπολιτεύεσθαι τοῖς ἀρχομένοις καὶ τὸ μὴ καταδυναστεύεσθαι ὑπὸ τῶν πλουσίων τοὺς πενεστέρους ἐπραγματεύσατο. πανταχοῦ δὲ διατάγματα ἐξετίθει τέλεον ἐξαρθῆναι τὴν

45/46 non multum post diem 29. mens. Sept. a. 867

---

cap. 16: Theoph. Cont. 257, 14—263, 2; Zon. III, 418, 9—418, 18; Glyc. 547, 9—11. 19—548, 11

ACEVBMN FH **24** τῶν ante πάντων add. ACE ἐκείνους EVMN: ἐκεῖ AC: om. B ταῦτα om. AB **25** ληφθέντα ACEF: λειφθέντα VMN: δοθέντα σφισι B τὸ F: τὸν ACEVBMN (corruptela in cod. V Theoph. Cont. 255, 23, ubi scripsit Bekker πρὸς τὸ δημόσιον, ὁ βασιλεύς, sed cod. habet tantum τὸν δή) δὲ ante τοῦ add. V ὑπενδούς B **26** ταμεῖον CEB ἐκέλευσε ACEMN: ἐκέλευσεν Theoph. Cont. 256, 2 cod. V: ἐκέλευε VB **27** τούτων VBMN: τούτου ACE ἐπισυνήχθη VMN: ἐπισυναχθῆναι Theoph. Cont. 256, 5 cod. V: συνήχθη ACEB χρυσοῦ B **28** καὶ om. B **29** μέγα C μέγαν ante ναόν B **30** τῷ πλήθει VBN: τῇ πόλει ACE: om. M **32** τῆς γῆς ἀναφ. VB **34** Μιχαὴλ om. ACEFH **35** ὁλοχρύσους: χρυσοῦς B **36** τὰ ὁλόχρυσα ὄργανα B **37** διάφορα ante **36** χρυσωμ. M καὶ VB: τε καὶ Theoph. Cont. 257, 7: om. ACEMNFH οἷσπερ ACE: ἅπερ VBMNFH **38** ἔμελλεν ἀποχρήσασθαι: ἔμελλε καταχρήσασθαι B ἀποχρήσεσθαι A **39** εἰς — διεβιβάσθη: εἰς τὸν Βασ. αὐτὰ διεβίβασεν B διεβιβάσθη CEVMN: διεβίβασεν AB **41** ἐκλεγόμεν om. B **40** πρῶτον VBMN: πρῶτα ACE Theoph. Cont. 257, 21 **41** ἐκλεγομένους VB Theoph. Cont. 257, 22: λεγομένους ACEMNFH προεβάλλετο VMN Theoph. Cont. 257, 22: προὐβάλλετο AB: προὐβάλετο CE **42** παντοίου — λήμματος: φυλάττειν παντοίου λήμμ. AB λήμματος: θελήματος M **43** ἰσωνυμίαν C **45** δὲ BM: τε ACEVN

ἀδικίαν ὁρίζοντα. δικαστάς τε ἔταξε, σιτηρεσίοις καὶ φιλοτιμίαις παντοδαπαῖς αὐτοὺς μεγαλύνας καὶ τάξας διημερεύειν καὶ τὰς διενέξεις διαλύειν τῶν φιλονεικούντων, | τόπους ἐπιτηδείους ἀφορίσας αὐτοῖς, τήν τε Μαγναύραν καὶ τὸν καλούμενον Ἱππόδρομον καὶ τὴν λεγομένην Χαλκῆν, χρόνῳ μογήσασαν καὶ ὅσον οὐδέπω πεσεῖν κινδυνεύουσαν ἐπισκευάσας καὶ καινουργήσας. ἔταξε δὲ καὶ τροφὴν τοῖς πενεστέροις τῶν τὰς δίκας ἐχόντων, ἵνα μὴ ὑπὸ ἐνδείας πιεζόμενοι ταῖς δίκαις ἀπαγορεύοιεν. ἐπεδίδου δὲ καὶ ἑαυτὸν εἰς τὸ τοιοῦτον μέρος, ὁπηνίκα τῶν στρατειῶν ἔτυχεν ἄγων σχολὴν καὶ τοῦ χρηματίζειν ταῖς ἁπανταχόθεν πρεσβείαις, καὶ εἰς τὸ λεγόμενον γενικὸν κατιὼν τοὺς εἰσπραττομένους ἐσκόπει παρὰ τοῦ δημοσίου, μή πού τις ἀδίκως εἰσπράττοιτο, καὶ οὕτως τοῖς ἀδικουμένοις ἐπήμυνε. λέγεται δ', ὅτι κατελθόντος αὐτοῦ εἰς τὴν εἰρημένην διατριβήν, ὡς οὐδεὶς ἔτυχεν ἐγκαλῶν, ὑποτοπάσας εἴργεσθαι ὑπό τινων τῆς εἰς αὐτὸν εἰσόδου τοὺς δεομένους, ἀπέστειλέ τινας τῶν δορυφόρων κατὰ πολλὰ μέρη τῆς πόλεως ζητήσοντας, εἴ τίς ἐστι βοηθείας δεόμενος. ὡς δ' ἐπανῆλθον ἐκεῖνοι μηδένα μηδαμῶς εὑρηκέναι λέγοντες, μεθ' ἡδονῆς τε ἀπέσταξε δάκρυον καὶ θεῷ τὴν εὐχαριστίαν ἀπέδωκεν. ὁρῶν δέ, ὅτι ἔστι τις τοῖς πονηροῖς εἰς τὸ ἀδικεῖν ἀφορμὴ διὰ τὸ σύντομον ἀπὸ τῶν ἐν τοῖς ἀριθμοῖς μορίων, τοῦ ἡμίσεώς φημι καὶ ἕκτου καὶ δωδεκάτου καὶ τῶν τοιούτων, χρωμένων τοῖς παλαιοῖς σημείοις τῶν γραφέων, ἠθέλησε καὶ τὴν τοιαύτην τῶν ἀδικεῖν ἑλομένων περιελεῖν ἀφορμήν, καὶ διωρίσατο γράμμασι λιτοῖς, ἃ καὶ τοῖς ἀγροίκοις ἀναγινώσκεσθαι ῥᾴδιον, τὰ τοιαῦτα | γράφεσθαι σημεῖα, οἴκοθεν καταβαλὼν καὶ τὴν τῶν χαρτίων δαπάνην καὶ τὴν τῶν γραμμάτων καὶ τὴν τῶν γραφέων. ἐπιστροφὴν δ' ἐποιήσατο καὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἐκβαλὼν μὲν τῆς ἀρχιερωσύνης μετὰ συνόδου συναθροισθείσης τὸν ἐπεισπηδήσαντα

71 die 25. mens. Sept. a. 867

ACEVBMN FH **47** μεγαλύνειν B διενέξεις — **48** φιλονεικούντων: φιλονεικίας λύειν B **50** οὐδέπω — **51** ἐπισκευάσας: οὔπω κινδ. πεσ. ἐπισκιάσας B **51** τροφὰς B **52** ὑπ' B τὰς δίκας B **53** ἑαυτὸν VBMN Theoph. Cont. 260, 11: αὐτὸν ACE **54** στατειῶν ACVB Theoph. Cont. 260, 12: στρατιῶν F: στρατιωτῶν EMN ἁπανταχοῦ A **56** παρὰ τοῦ δημοσίου ante **55** εἰσπραττ. A που: πως B οὕτως VBMN Theoph. Cont. 260, 20 cod. V: om. ACE **59** ὑπό AE Theoph. Cont. 261, 1: πρός VB: ἀπό CMN τοὺς δεομένους VB: τοῖς δεομένοις ACEMNFH **60** ζητήσαντας CV **61** ἐπανῆκον B **62** τῷ ante θεῷ add. E τὴν om. E **63** τοῖς πονηροῖς om. ACE (sed cf. Theoph. Cont. 261, 7) ἀφορμὴ post πονηρ. B **64** ἡμίσεώς BM Theoph. Cont. 261, 8: ἡμίσεός ACEVN: ς´ C τοῖς — δωδεκάτου: δεκάτου B **65** χρωμένων ACEB: χρωμένοις VMNFH τοῖς — γραφέων: τῶν γραφέων τοῖς παλ. σημ. VB **66** τοιαύτην τῶν: τοιούτων C ἑλομένων: πειρωμένων B καὶ alt. om. V **67** τοῖς: αὐτοῖς V **69** τὴν pr. — γραφέων: τὴν τῶν γραφέων καὶ τὴν τῶν γραμμάτων A: τὸν μισθὸν τῶν γραφέων B **70** καὶ om. B **71** μετὰ — συναθρ. om. B συναθροισθείσης: ἀθροισθείσης MN **71/72** ἐπιπηδήσαντα τὴν ἀρχὴν B

τῇ ἀρχῇ Φώτιον, σχολάζειν κελεύσας, ἕως ἂν τὸν δικαίως ταχθέντα πρὸς αὐτὸν μεταστήσῃ θεός, ἀντεισαγαγὼν δὲ τὸν κακῶς καὶ παρανόμως ἐκβληθέντα παρὰ τοῦ Βάρδα Ἰγνάτιον, καὶ οὕτω γαληνιᾶν τὰς ἐκκλησίας τοῦ θεοῦ παρεσκεύασεν. ἀλλὰ καὶ τοὺς πολιτικοὺς νόμους πολλὴν ἀσάφειαν καὶ σύγχυσιν ἔχοντας ἰδὼν καὶ τούτους κατὰ τὸ προσῆκον προσφόρως ἐπανορθώσασθαι ἔσπευσε, καὶ τῶν μὲν ἀνῃρημένων τὴν ἀχρηστίαν περιελεῖν, τῶν δὲ κυρίων ἀνακαθᾶραι τὸ πλῆθος. οὐκ ἔσχε δὲ καιρὸν προκαταληφθεὶς θανάτῳ. ἐξεπλήρωσε δὲ τὸ ἔργον Λέων ὁ υἱὸς αὐτοῦ μετὰ ταῦτα.

17. Κατὰ τὸ πρῶτον ἔτος τῆς βασιλείας τοῦ Βασιλείου ἐπιβουλὴ καὶ συσκευή τις ἐγένετο κατ' αὐτοῦ, Γεωργίου καὶ Συμβατίου ἐξαρχόντων τῆς μελέτης τῶν πατρικίων. φωραθέντος δὲ τοῦ κακουργήματος, προφανῶν δὲ γενομένων καὶ τῶν ἐλέγχων, οὗτοι μὲν ἐκκόπτονται τοὺς ὀφθαλμοὺς ὡς πρωτουργοὶ τῆς συμβουλῆς, τὸ δὲ λοιπὸν ἅπαν στῖφος τῶν συνωμοτῶν πομπευθέντες ἐξωρίσθησαν. ἀνακόπτων δὲ τὰς ἐπιβουλὰς τῶν βασιλειώντων στέφει Κωνσταντῖνον καὶ Λέοντα τοὺς οἰκείους υἱούς. τῷ | δὲ τρίτῳ ἔτει τῆς μοναρχίας ἀναγορεύει καὶ Ἀλέξανδρον τὸν τρίτον υἱόν. τὸν δὲ νεώτερον πάντων Στέφανον ἱεροῖ καὶ τῇ τοῦ θεοῦ καταλέγει ἐκκλησίᾳ. ἐπεὶ δὲ καὶ τέσσαρες ἦσαν αὐτῷ θυγατέρες, ἐν τῷ θείῳ σεμνείῳ τῆς πανευφήμου μάρτυρος Εὐφημίας καὶ ταύτας καθιεροῖ.

74 die 3. mens. Nov. a. 867 **87** die 6. mens. Ian. a. 869 et a. 870 **89** a. 879 circiter

cap. 17: Theoph. Cont. 263, 3—265, 2; Zon. III, 419, 1—419, 9

ACEVBMN FH **72** αὐτὸν post σχολ. add. B **73** μεταστήσῃ post **72** ταχθέντα ACE ὁ ante θεὸς add. ACE ἀντεισαγαγὼν — κακῶς καί: Ἰγνάτιον B **74** παρὰ τοῦ Βάρδα om. ACE Ἰγνάτιον: τοῦ καίσαρος B οὕτως CE τὴν ἐκκλησίαν B τὰς τοῦ θεοῦ ἐκκλησίας ACE **75** ἀλλὰ: δὲ, post πολιτ., ACE **76** καὶ τούτους — **77** ἔσπευσε om. A **76** καὶ ante προσφόρως add. B **77** ἔσπευσε ACEVB: ἔσπευδε MN **78** ἀποβαλεῖν καὶ ante περιελεῖν add. M τῶν: τὸ B οὐκ — καιρὸν: καιρὸν δὲ οὐκ ἔσχε ACE **79/80** ἐξεπλήρωσε — ταῦτα VBMN: ἤρξατο δὲ τοῦ ἔργου καὶ ἐξεπλήρωσε Λέων ὁ υἱὸς αὐτοῦ ACE **81** δὲ post κατὰ add. B τὸ πρῶτον ἔτος VBMN: τὴν ἀρχὴν ACE καὶ συσκευή om. VBMNFH (sed cf. Theoph. Cont. 263, 7) **82** αὐτοῦ: αὐτόν B **82/83** Γεωργίου — πατρικίων VBMN: ἐξαρχόντων τῆς μελέτης Συμβατίου καὶ Γεωργίου τῶν πατρικίων ACE **82** Σαμβατίου M **83** φωραθέντες B προφανῶν VBMN: φανερῶν ACE προφανῶν — **84** ἐλέγχων: καὶ φανερῶν γενομένων τῶν ἐλέγχων E **84** δέ: τε A **85** αἴτιοι καὶ ante πρωτουργ. add. ACE (sed non FH) βουλῆς E **86** πομπευθέντες: τυφθέντες B πομπευθέντες ἐξωρίσθησαν VMN: ἐπομπεύθησαν καὶ ἐξωρίσθησαν ACE **87** βασιλειώντων ACEVB: βασιλείων αὐτῶν MNF **89** ἱεροῖ καὶ om. VBMNFH (sed cf. Theoph. Cont. 264, 17) καταλέγει ἐκκλησίᾳ VBMNFH: ἐκκλησίᾳ καταλέγει Theoph. Cont. 264, 16 cod. V: ἐκκλησίᾳ ἐγκαταλέγει ACE Theoph. Cont. 264, 16 Bekker **90** καὶ om. B θείῳ om. ACE (sed cf. Theoph. Cont. 264, 18 ἱερῷ) **91** πανευφήμου om. ACE (sed cf. Theoph. Cont. 264, 18) καὶ CE: om. AVBMNFH ταύτας om. VB

18. Οὕτω δ', ὡς ἐδόκει, εὖ διαθεὶς τὰ οἰκεῖα, ἠπείγετο καὶ κατὰ τῶν ἀντιτασσομένων τῇ 'Ρωμανίᾳ ἐκστρατεῦσαι. καὶ δὴ τοὺς στρατιωτικοὺς καταλόγους ἐλαττωθέντας παρὰ τοῦ πρῴην βεβασιλευκότος Μιχαὴλ ἐκ τοῦ διακοπῆναι τὰς ῥόγας αὐτῶν καὶ τὰ σιτηρέσια, διὰ νέων συλλογῆς ἀναπληρώσας τὰς φάλαγγας κατὰ τῶν βαρβάρων ἐστράτευσε, καὶ πρότερον μὲν κατὰ τῆς Τεφρικῆς, ἧς ὁ Χρυσόχειρ ἡγεῖτο, ἐπ' ἀνδρείᾳ καὶ συνέσει διαφέρειν δοκῶν καὶ σφόδρα τὰ 'Ρωμαίων κατατρέχων καὶ ληϊζόμενος. κατὰ τούτου καὶ τῆς πόλεως ἐκστρατεύει ὁ βασιλεύς. τοῦ δὲ μὴ ὑποστάντος τὴν ἐπέλευσιν, ἀλλ' εἴσω τειχῶν γενομένου, καταδραμὼν τὴν ὑπ' αὐτὸν ἅπασαν χώραν ὁ βασιλεὺς καὶ ληϊσάμενος, καὶ πρὸς αὐτῷ τῷ τείχει τῆς Τεφρικῆς ἔθετο τὴν παρεμβολήν, διὰ προσεδρείας μακρᾶς ἑλεῖν τὸ ἔρυμα οἰηθείς. ἐπεὶ δὲ κατενόησε πάντοθεν κατωχυρωμένον αὐτό, καὶ ἀνέλπιστον ἦν ἁλωθῆναι πολιορκίᾳ (ἤδη γὰρ κατεδήδοτο καὶ πάντα τὰ ἐν τῇ χώρᾳ ἀναγκαῖα), ἔλυσε τὴν πολιορκίαν, τὰ πλησιάζοντα τῇ Τεφρικῇ φρούρια ἐκπορθήσας, | τὴν Ἄβαραν, τὸν Κοπτόν, τὴν Σπάθην καὶ ἄλλα πολλά. ἀγείρας δὲ τὸν στρατὸν ἐκεῖθεν ἐπανῄει μετὰ λαμπρῶν τῶν τροπαίων τε καὶ λαφύρων. ληϊζομένης δὲ τῆς περὶ τὴν Τεφρικὴν χώρας καὶ πορθουμένης ἡ γειτονοῦσα ταύτῃ πόλις τῶν Ἰσμαηλιτῶν, ἡ Τάρας ἡ ἐπωνυμία, ὁμαιχμίαν ἔχουσα καὶ κοινοπραγίαν μετὰ τῆς

cap. 18: Theoph. Cont. 265, 3—271, 22; Zon. III, 419, 17—420, 11

ACEVBMN F   92 οὕτως E   ἠπείγετο VBMN: ἔσπευσεν, post 93 'Ρωμ. ACE   94/95 καταλόγους — διακοπῆσαι VBMN: καταλ. παρὰ τοῦ Μιχαὴλ καταφρονηθέντας καὶ ἐλαττωθῆναι κινδυνεύσαντας (ἐλαττωθῆναι κινδυνεύσαντας: ἐλαττωθέντας CE) ἐκ τοῦ ἐκκοπῆναι ACE   94 εὑρὼν post. ἐλαττ. add. B   95 συλλογῆς VBMN Theoph. Cont. 265, 10: om. ACE   1 ἀναπληρώσας VBMN: ἀνεπλήρωσεν Theoph. Cont. 265, 11: πληρώσας ACE   βαρβάρων ἐστράτευσε VBMN: βαρβάρων ἐστράτευσεν Theoph. Cont. 265, 16: ἐναντίων χωρεῖ A: 'Αράβων χωρεῖ CE   2 πρότερον VBMN: πρῶτα ACE   τε post κατά add. B   Χρυσόχει B   3 κατατρύχων C   4 κατὰ τούτου καὶ τῆς πόλεως om. B   τούτου: ταῦτα C   καί: οὖν A   αὐτοῦ ante πόλεως add. V   ὁ βασιλεύς om. B   τοῦ δὲ μὴ ὑποστάντος VBMN: τοῦ δὲ ... μὴ τολμήσαντος ἀντιστῆναι Theoph. Cont. 267, 1—4: καὶ οὗτος μὴ ὑποστὰς ACE   5 τοῦ βασλέως ante μὴ add. B   ἀλλ' — γενομένου: εἴσω (ἐντὸς A) τειχῶν ἐγένετο (γέγονε A) ACE   6 δὲ καὶ ληϊσάμενος post 5 καταδραμὼν ACE   6 καὶ alt. om. B   αὐτῷ τῷ ACEVB (cf. Theoph. Cont. 267, 9): τῷ αὐτῆς MNF   7 καὶ ante διὰ add. ACE   8 οἰηθείς VBMN: πειραθείς Theoph. Cont. 267, 10: ᾤετο ACE   κατενόησε πάντοθεν om. ACE (sed cf. Theoph. Cont. 267, 10/11)   αὐτό om. ACE (sed cf. Theoph. Cont. 267, 12)   9 καὶ ἀνέλπιστον — πολιορκίᾳ VBMN: καὶ ἠλπίζετο πολιορκίᾳ ἁλωθῆναι A: καὶ ἀνέλπιστον ἁλωθῆναι πολιορκίᾳ αὐτὸ (αὐτῷ E) κατενόησεν CE   ἦν: ὂν B   ἤδη: ἔδει CE   κατεδήδοτο post 10 ἀναγκαῖα ACE   11 ἐκπορθήσας VBMN Theoph. Cont. 267, 16: ἐκπολιορκήσας CE: πολιορκήσας A   τὴν Ἄβαραν om. ACE (sed cf. Theoph. Cont. 267, 15)   Ἄβαραν MN: Ναύαραν VB   καὶ ante τὸν add. B   Κοπόν B   12 ἐγείρας B   δὲ om. ACE   13 τῶν om. ACE   τε om. A   14 ἁπάσης post χώρας add. ACE   τῶν Ἰσμαηλιτῶν om. ACE (sed cf. Theoph. Cont. 267, 20)   15 ἡ om. ACE   ὁμαιχμίαν: ὁμοθυμίαν M   ἔχουσα post κοινοπρ. ACE   τῆς om. B

Τεφρικῆς, ὀρρωδήσασα τὸν κίνδυνον, πρέσβεις πέμψασα εἰρήνης ἠξίου τυχεῖν καὶ ταῖς συμμαχίσιν ἐγγραφῆναι Ῥωμαίων. καὶ δὴ καὶ ἔτυχε τοῦ βασιλέως μετὰ προσηνείας δεξαμένου τὴν πρεσβείαν. προσερρύη δὲ καὶ ὁ Κουρτίκιος, γένος ὢν Ἀρμένιος, ὃς κατεῖχε τὴν Λώκαναν καὶ τὰς ἐσχατιὰς τῶν Ῥωμαίων συνεχῶς ἐπόρθει καὶ κατεστρέφετο, ἑαυτὸν παραδοὺς τῷ βασιλεῖ καὶ τὴν πόλιν καὶ τὸν ὑπείκοντα αὐτῷ λαόν. ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, λαὸν ὁ βασιλεὺς ἐκπέμψας κατὰ τῆς λεγομένης Ζαπέτρας ἐπιλέκτων πολεμιστῶν, καὶ τῶν Σαμοσάτων εὐτύχησεν, ἐξ ἐφόδου τὰ στενὰ τοῦ στρατοῦ διελθόντος αὐτῇ τε τῇ πόλει ἐξαίφνης ἐπεισπεσόντος· κατεσχέθη τε γὰρ ἡ πόλις τῷ ἀπροσδοκήτῳ, καὶ λαὸς ἀπεσφάγη πολὺς καὶ αἰχμαλωσία ἐλήφθη ἄπειρος καὶ δέσμιοι Ῥωμαῖοι χρονίων δεσμῶν ἠλευθερώθησαν. πυρπολήσας δ' ὁ πεμφθεὶς λαὸς τὰ συμπαρακείμενα τῆς χώρας καὶ τὰ Σαμόσατα ἐξεπόρθησε καὶ ὁμοίᾳ ῥύμῃ περαιωθεὶς τὸν Εὐφράτην καὶ πᾶσαν τὴν περαίαν αἰχμαλωτίσας καὶ πολλὴν συλλέξας αἰχμα|λωσίαν καὶ λάφυρα, ὑπέστρεψεν ἀσινὴς πρὸς τὸν αὐτοκράτορα πρὸς τῷ Ἀτζαρνοὺκ ποταμῷ τὴν παρεμβολὴν ἔχοντα. ἐντεῦθεν ἄρας ὁ βασιλεὺς μετὰ παντὸς τοῦ στρατοῦ τὴν ἐπὶ Μελιτηνὴν ἄγουσαν ὥδευε. προσπελάσας δὲ τῷ Εὐφράτῃ καὶ ὥρᾳ θέρους πελαγίζοντα τοῦτον εὑρὼν καὶ παντελῶς ἄβατον γεφυρώσας τὸν ποταμὸν διεπέρασε. καὶ πολλὰ τῆς χώρας λυμηνάμενος καὶ καταστρεψάμενος, ἑλὼν δὲ καὶ τὸ φρούριον, ὃ Ῥαψάκιον λέγεται, μέρος δὲ τοῦ στρατοῦ τὴν μεταξὺ Ἀρσίνου καὶ Εὐφράτου χώραν ἐκπέμψας καταδραμεῖν ἐκέλευσε, οἳ πᾶσαν αὐτὴν ἀπτέρῳ τάχει διαδραμόντες τό τε

24 a. 873

ACEVBMN FH **16** ὀρρωδήσασα — πρέσβεις VBMN: ὀρρωδεῖ (ὠρρώδει A) τε τὸν κίνδυνον καὶ πρέσβεις ACE **17** ταῖς συμμαχίσιν: ταῖς συγγραφεῖσιν εἰς συμμαχίαν καί αὐτὴ E καὶ συναριθμηθῆναι post ἐγγραφ. add. ACE καὶ ult. om. E **18** μετὰ — πρεσβείαν: εὐμενῶς καὶ προσηνῶς τὴν πρεσβείαν προσδεξαμένου ACE **19** γένος ὢν Ἀρμένιος (Ἀρμενίου C) post 18/19 προσερρύη δὲ ACE **20** τῶν om. ACE συνεχῶς VBMNF Theoph. Cont. 268, 5: om. ACE ἐπόρθει συνεχῶς V **22** ἐκπέμψας VBMN: ἐκπέμψας post **23** πολεμιστῶν CE: ἐκπέμπει post **23** πολεμιστῶν A **23** καὶ om. ACE τῶν om. E τῶν Σαμοσάτων καὶ post **22** ὁ βασιλεὺς κατὰ ACE καὶ τῶν Σαμοσάτων post Ζαπέτρας B Σαμωσάτων V εὐτύχησεν VBMN: ηὐτυχησέ τέ A: εὐτύχησε CE καὶ καλῶς εἶχεν ante ἐξ ἐφόδου add. ACE τοῦ στρατοῦ τὰ στενὰ B αὐτῇ τε VBMN: καὶ αὐτῇ ACE **25** ἐπιπεσόντος BM τε om. ACE τῷ ἀπροσδοκήτῳ om. ACE **27** δεσμῶν χρονίων B καταδραμὼν δὲ καὶ ante πυρπ. ACE δ' VMN: δὲ B: om. ACE **28** Σαμώσατα VM ἐξεπόρθει B **30** πολλὴν: πολλὰ B **31** Ἀτζαρνοὺκ CE: Ἀτζανοὺρκ VMN: Ἀτζανοὺρ B: Ἀτενοὺκ A: Ἀτζανουρκῷ H: Ἀτζανούρκῳ F: Ζαρνοὺχ Theoph. Cont. 268, 20 **34** εὑρὼν: ἰδὼν M καὶ — **35** χώρας om. B κατὰ ante τὴν καὶ ante γεφυρ. add. CE **37** πέμψας post στρατοῦ add. B κατὰ ante τὴν add. A, καὶ add. CE Ἀρσίνηου C **38** ἐκέλευσε ACE: κελεύσας Theoph. Cont. 269, 18: προσέταξεν VBMNFH οἳ VMN: καὶ B: καὶ οὗτοι ACE

λεγόμενον Καρκίκιον καὶ τὸ Χαχὸν καὶ τὸ Ἄμαν καὶ τὸ Μουρὴξ καὶ τὸ Ἄβδηλα ἐξεπόρθησαν. αὐτὸς δὲ τῇ Μελιτηνῇ προσβαλὼν εὐανδρούσῃ τότε καὶ πληθύϊ βαρβάρων γεγανωμένῃ, ἐπεὶ τοῖς τείχεσιν ἐπλησίασε, βαρβαρικὰς ὑπεδέξατο φάλαγγας μετὰ φρυαγμάτων καὶ ἀλαλαγμῶν ἀπαντώσας αὐτῷ, οἷς νεανικῶς ἐμμίξας καὶ πρῶτος τῆς φάλαγγος προϊστάμενος τοὺς ἀντιτεταγμένους ἐτρέψατο, εἶθ' οἱ λοιποὶ τοὺς ἄλλους, καὶ μέχρι τοῦ ἄστεος ἀναιροῦντες ἐδίωκον, ὡς καταστρωθῆναι τὸ μεταξὺ ἔδαφος καὶ πληρωθῆναι νεκρῶν, ἁλῶναι δὲ καὶ ζῶντας οὐκ ὀλίγους, τοὺς δὲ λοιποὺς ἀγεννῶς εἴσω τειχῶν συγκλεισθῆναι. ἐβουλήθη μὲν οὖν ὁ βασιλεὺς ἑλεπόλεσι καὶ μηχαναῖς ἀποπειρᾶσθαι τοῦ χωρίου. ὡς δ' ἑώρα τὴν πόλιν εὔπυργον καὶ πλήθει τῶν ἀμυνομένων ἀπὸ τοῦ τείχους βρίθουσαν, ἐπύθετο δὲ καὶ παρὰ τῶν αὐτομόλων ἀφθονίαν ἔχειν | πολλὴν τῶν ἐπιτηδείων καὶ μὴ δεδιέναι χρονίαν πολιορκίαν, ἄρας ἐντεῦθεν τῇ Μανιχαίων προσβάλλει γῇ καὶ πάντα τὰ ἐν ποσὶν ἐκτεφρώσας τὸ Ἀργαοὺθ λεγόμενον φρούριον καὶ τὸ Κουτακίου καὶ τὸ Στεφάνου καὶ τὸ Ἀραχὰχ ἐμπρήσας κατέσκαψεν. ἐκεῖθεν ἀγείρας τὸν στρατὸν τῆς ἐπὶ τὴν βασιλεύουσαν εἴχετο. τοὺς μὲν οὖν ἀριστεύσαντας τῶν στρατιωτῶν τιμήσας ἀπέλυσεν, αὐτὸς δὲ τὴν βασιλίδα καταλαβὼν καὶ περαιωθεὶς εἰς Θρᾴκην, ἐκ τοῦ Ἑβδόμου τε δημοσίαν ποιησάμενος πρόοδον, διὰ τῆς Χρυσῆς πόρτης εἰσελθὼν καὶ θρίαμβον καταγαγὼν μεγαλοπρεπέστατον τοῦ δήμου παντὸς ἐπινικίαις φωναῖς καὶ εὐφημίαις αὐτὸν μεγαλύνοντος ἄχρι τοῦ ναοῦ τῆς τοῦ θεοῦ ἐνυποστάτου σοφίας. ἐκεῖσε γὰρ γενόμενος καὶ τῷ θεῷ εὐχαριστηρίους ἀποδοὺς ὕμνους παρὰ Ἰγνατίου τε τοῦ πατριάρχου ταινιωθεὶς νικητικοῖς στεφάνοις ἐπανῆκεν εἰς τὰ βασίλεια,

ACEVBMN FH 39 Χαχὸν VB Theoph. Cont. 269, 19: Χλασχὸν MNFH: Γλασχὸν AE: Γλάχον C Μουρὴξ CEVN: Μούριξ A: Μουρὶξ BM: Μουρινὶξ Theoph. Cont. 269, 20 40 Ἄβδηλα AVN Theoph. Cont. 269, 20 cod. V: Ἄυδηλα CEBM εἶλον καὶ post Ἄβδ. add. ACE (sed cf. Theoph. Cont. 269, 20) ἐξεπόρθησεν V δὲ: τε B Μελιτηνῇ AVB Theoph. Cont. 269, 21: Μελιτηνῶν CEMNFH προσβαλὼν VMN Theoph. Cont. 269, 21: προσελθὼν ACE: προσδραμὼν B 41 πλήθει A γεγαννυμένῃ B 42 ἀλαλαγμάτων M 43 ἀπαντώσας CEVMN: ὑπαντώσας B: ἀπαντῶντας A οἷς: αἷς B συμμίξας B τῆς φάλαγγος προϊστάμενος: τῇ φάλαγγι ἀντιστὰς B 44/45 εἶθ' — ἐδίωκον om. B 47 συγκλεισθῆναι ACEV Theoph. Cont. 270, 12: ἐγκλεισθῆναι BN: ἐκκλεισθῆναι M ἠβουλήθη B 48 ἀποπειρᾶσθαι VBMN: ἀποπειρασθῆναι A: ἀποπειραθῆναι CE δ' ἑώρα: δ' ὥρα B 50 παρὰ: περὶ M πολλὴν om. B 51 χρονίαν ACEVBF Theoph. Cont. 270, 18: μακρὰν MN 52 ποσὶν VBMN: ποσὶ Theoph. Cont. 270, 21: χερσὶν ACE 53 Ἀργαοὺθ AEMN Theoph. Cont. 270, 21: Ἀργαοὺβ C: Ἀριαοὺθ V: Ἀριθὺθ B τὸ pr.: τοῦ M τὸ alt. AM: τοῦ CEVBNF (sed cf. Theoph. Cont. 270, 22) 54 Ἀρὰχ BM κατέκαψεν V κατέσκαψεν ἐμπρήσας A ἐγείρας B καὶ post στρατὸν add. M 55 τοὺς μὲν οὖν: καὶ τοὺς μὲν B 56 δὲ om. M 59 καὶ εὐφημίαις ACEVBF: καὶ εὐφημίας Theoph. Cont. 271,6: om. MN 60 κατήντησεν post σοφίας add. B

μικρόν τε συνησθεὶς τῇ γυναικὶ καὶ τοῖς τέκνοις τῶν πολιτικῶν αὖθις εἴχετο διοικήσεων.

19. Τῷ δ' ἐπιόντι χρόνῳ τοῦ τῶν Μανιχαίων ἐξηγουμένου Χρυσόχειρος εἰς τὴν τῶν Ῥωμαίων ἐμβαλόντος βαρεῖ στρατῷ καὶ ταύτην ληϊζομένου ἀποστέλλει κατ' αὐτοῦ συνήθως ὁ βασιλεὺς τὸν τῶν σχολῶν ἐξηγούμενον. οὗτος δὲ πάντα τὸν Ῥωμαϊκὸν στρατὸν συμπαρειληφώς, ἐπειδὴ σταδαίᾳ μάχῃ κρῖναι τὸ πᾶν ἐδειλία, παρείπετο τέως αὐτῷ ἀπό τινος διαστήματος καὶ τὰς μερικὰς ἀνεῖργε καταδρομὰς καὶ οὐ συνεχώρει κατὰ τῆς χώρας | ἀδεῶς διασκίδνασθαι. ὡς οὖν τὰ μὲν δρῶν, τὰ δὲ ἀπρακτῶν ὁ βάρβαρος ἤδη καὶ τῆς πρὸς τὰ οἴκοι ἐπανόδου ἐμέμνητο, καὶ μετὰ λείας συχνῆς ὑπέστρεψεν, ὁ δομέστικος τῶν σχολῶν δύο τῶν στρατηγῶν ἀφώρισε, τόν τε τοῦ Χαρσιανοῦ καὶ τῶν Ἀρμενιακῶν, μετὰ τῆς περὶ αὐτὸν δυνάμεως ἕκαστον συμπαρομαρτεῖν τῷ Χρυσόχειρι ἄχρι τοῦ λεγομένου Βαθυρρύακος, κἀκεῖθεν εἰ μὲν ἐπαφήσει, φησί, κατὰ τῶν Ῥωμαϊκῶν ὁρίων στρατόν, δῆλα θέσθαι αὐτῷ τὰ περὶ τούτου, εἰ δ' οἴκαδε ἀμεταστρεπτὶ βαδίζειεν, ἐάσαντας τοῦτον αὖθις ἐπανελθεῖν πρὸς αὐτόν. ἑσπέρας οὖν καταλαβούσης, καὶ τοῦ βαρβαρικοῦ στρατεύματος γεγονότος κατὰ τὸν Βαθυρρύακα αὐλισαμένου τε κατὰ τὴν τοῦ ὄρους ὑπώρειαν, τῶν δὲ εἰρημένων στρατηγῶν κατασχόντων τὰ τούτου μετεωρότερα καὶ τὸ μέλλον ἀποσκοπούντων, ἐμπίπτει τις ἔρις περὶ πρωτείων καὶ ἅμιλλα τοῖς τῶν δύο θεμάτων στρατιώταις. οἱ μὲν γὰρ τοῦ Χαρσιανοῦ ἑαυτοῖς τὰ τῆς ἀνδρείας ἐνίσταντο ἁρμόζειν πρωτεῖα, ἔμπαλιν δὲ ἑαυτοῖς οἱ Ἀρμενιακοί. ὡς οὖν ἐπὶ πλεῖστον ἐχώρει τὰ τῆς φιλονεικίας καὶ πρὸς τὸ μεγάλαυχον ἑκάτερον ἔρρεπε τῶν ταγμάτων, ἐνταῦθα δὴ λέγεται παρά τινος λεχθῆναι τοῦ τῶν Ἀρμενιακῶν συστήματος, ὡς 'ἵνα τί μάτην, ὦ συστρατιῶται, ἀπρεπῶς θρασυνόμεθα, ἐξὸν

cap. 19: Theoph. Cont. 272, 1—276, 10; Zon. III, 420, 11—421, 17; cf. Constantinus Porphyrogenitus, De thematibus 74, 8—13 Pertusi

ACEVBMN F **63** μικρὸν δὲ B τοῖς om. N **66** τὴν: τὸ C τῶν ACMN Theoph. Cont. 272, 1: om. EVB ἐμβάλλοντος B **68** συμπαρειληφώς VBMN: συμπαραλαβών Theoph. Cont. 272, 4: παρειληφώς ACE **69** σταδαίῳ C **72** δὲ post ἤδη add. MN, sed non F ἐπανόδου ἐμέμνητο ACEMN: ἐπανόδου ἐμνήσθη Theoph. Cont. 272, 10: ἐμέμνητο ἐπανόδου VB **73** ὑπέστρεφον B **74** στρατηγῶν: στρατιωτῶν B τόν VBMN Theoph. Cont. 272, 12: τοῦ ACE τὸν ante τῶν add. B τῶν Ἀρμενιακῶν: τὸ Ἀρμενιακὸν M **74/75** μετὰ τῆς περὶ αὐτὸν δυνάμεως VBMN (cf. Theoph. Cont. 272, 13): μετὰ τῶν περὶ αὐτῶν δυνάμεων ACE **75** αὐτὸν VF: αὐτοὺς Theoph. Cont. 272, 13: αὐτῶν ACEBMN τὸ ante τῷ add. B **78** μεταστρεπτί M βαδίζει B ἐάσαντες E αὖθις om. B **79** στρατεύματος γεγονότος ACEVBF: στρατοῦ καταλαβόντος MN **80** τοῦ om. E **81** τούτου: τούτων B **82** ἔρις post **83** πρωτείων M **83** γὰρ ACEVBF: om. MN **85** δὲ ἑαυτοῖς ACEMN: δ' ἑαυτοῖς B: δὲ αὐτοῖς V ἑαυτοῖς post Ἀρμεν. A **86** ταγμάτων: πραγμάτων A **87** δὴ: δὲ V λεχθῆναι post λέγεται M **88** καὶ ante ἀπρεπῶς add. B

τοῖς ἔργοις ἀναμφισβήτητον ἀρετὴν ἐπιδείξασθαι; οἱ πολέμιοι γὰρ οὐ μακράν, καὶ ἔξεστιν ἐπὶ τῶν ἔργων φανῆναι τοὺς ἀριστεῖς.' τοὺς τοιούτους τοίνυν λόγους διενωτισθέντες οἱ στρατηγοὶ καὶ τὴν πρὸς ἀνδρείαν ὁρμὴν κατανοήσαντες τοῦ λαοῦ, καταμαθόντες δὲ καὶ τὴν ἀπὸ τοῦ τόπου βοήθειαν, ὅτι ἐξ ὑπερδεξίων μέλλουσιν ἐπιτίθεσθαι τοῖς πολεμίοις ἐν κοίλῳ κειμένοις | τόπῳ, διχῇ διαιροῦσι τὴν δύναμιν. καὶ τὸ μὲν ἔκκριτον ταύτης ἄχρις ἑξακοσίων μετ' αὐτῶν γε τῶν στρατηγῶν προσβαλεῖν ἐκρίθη τῷ τῶν βαρβάρων στρατῷ. τὸ δὲ λοιπὸν καὶ εὐαρίθμητον τῆς 'Ρωμαϊκῆς στρατιᾶς εἰς δόκησιν πλήθους αὐτοῦ που συσκευάσαντες πρὸς τὰ μετέωρα καὶ σύνθημα δόντες, ἵν' ὅταν οὗτοι προσβάλωσι τοῖς ἐχθροῖς, κἀκεῖνον σὺν ἀλαλαγμῷ μεγίστῳ καὶ σάλπιγξιν ἐκπληκτικὴν βοὴν ἀναρρήξωσι, συνεπηχούντων καὶ τῶν ὀρέων, καὶ οὕτως ἀφανῶς διὰ τῆς νυκτὸς τῇ στρατοπεδείᾳ τῶν ἐχθρῶν πλησιάζωσι. καὶ τοιούτου δοθέντος συνθήματος, οὔπω τοῦ ἡλίου τὰς ἀκρωρείας αὐγάζοντος, βοῇ στιβαρᾷ παιανίσαντες καὶ τὸ 'σταυρὸς νενίκηκε' συμβοήσαντες ἐπιτίθενται τοῖς ἐχθροῖς, συνεπαλαλαξάντων ἀπὸ τοῦ ὄρους καὶ τῶν λοιπῶν. εὐθὺς οὖν οἱ βάρβαροι τῷ ἀνελπίστῳ καταπλαγέντες καὶ μήτε συστῆναι, μήτε τὸ ἐπιὸν πλῆθος, ὅσον ἐστί, λαβόντες καιρὸν κατιδεῖν, μήτ' ἄλλο τι σωτήριον ἑαυτοῖς ἐκ τοῦ παραχρῆμα βουλεύσασθαι, ὥρμησαν πρὸς φυγήν. τῶν οὖν διωκόντων 'Ρωμαίων καὶ τοὺς μὴ συνόντας ἐπιβοωμένων στρατηγοὺς καὶ τὰ τάγματα καὶ τὸν τῶν σχολῶν ἀφηγούμενον, καθάπερ αὐτοῖς συνετέτακτο, καὶ τῶν φευγόντων εἰς πλείονα συνελαυνομένων φόβον καὶ ταραχήν, συνέβη μέχρι μιλίων τριάκοντα γενέσθαι τὴν δίωξιν καὶ τὸν μεταξὺ χῶρον ἀπείροις καταστρωθῆναι νεκροῖς. τότε δὴ καὶ ὁ ἀναιδὴς Χρυσόχειρ σὺν ὀλίγοις φεύγων τῶν μετ' αὐτοῦ, ἐπεὶ καταδιώκειν ἔγνω 'Ρωμαῖόν τινα Πουλάδην τὴν | προσηγορίαν, ὃν αἰχμάλωτον ἔλαβέ ποτε κατὰ τὴν Τεφρικὴν καὶ διὰ ἀστεϊσμὸν καὶ χάριτα καὶ συνήθη εἶχε καὶ γνώριμον, θεασάμενος αὐτὸν καὶ γνωρίσας, ἐπιστραφείς· 'τί σοι', φησίν, 'ὦ ἄθλιε, διεπραξάμην, Πουλάδη, κακόν, ὅτι με οὕτω καταδιώκεις μανιωδῶς ἐπιθυμῶν ἀνελεῖν;' ὁ δὲ συντόμως ὑπολαβών· 'τῶν εὐεργεσιῶν σου,

ACEVBMN FH 89 τοῖς ἔργοις ACEMN Theoph. Cont. 273, 10: αὐτοῖς ἔργοις VB τὴν ante ἀρετὴν add. A 90 μικράν M 91 λόγους τοίνυν ἐνωτισθέντες B λόγους om. A 92 δὲ om. B τοῦ alt. om. CF 93 πολέμοις B 94 ἔγκριτον M 95 ἄχρι E 1 τῶν om. E βαρβάρων: βάρων C τῆς — 2 στρατιᾶς: τῆς στρατιᾶς τῆς 'Ρωμαϊκῆς A 3 ἵν': ἵνα B προσβάλωσι AB Theoph. Cont. 273, 19: προσβάλλωσι CEVMN 4 βοὴν VBMN Theoph. Cont. 273, 21: φωνὴν ACE 5 ἀναρρήξουσι M ὀρῶν B καὶ alt. om. B 6 τῷ στρατοπέδῳ A πλησιάζωσι ACEMN: πλησιάζουσι Theoph. Cont. 274, 1: πλησιάσωσι VB τοῦ post καὶ add. B 8 τὸ om. B 11 μήτ': μήτε B τι om. B 14 τόν: τὸ B καθάπερ: καθὼς vel καθὰ A αὐτοῖς: ἑαυτοῖς B 16 τριάκοντα μιλίων E 18 μετ' αὐτοῦ CEB: μετ' αὐτὸν VMNFH: ὑπ' αὐτὸν A: περὶ αὐτὸν Theoph. Cont. 274, 17 καταδιώκοντα B 19 Πουλάδη B 20 δὴ ante διὰ add. V διά: δι' B 22 διεπραξάμην, Πουλάδη VB Theoph. Cont. 274, 22: Πουλάδη, διεπραξάμην ACEMNH: Πουλάδιε, διεπραξάμην F μανιωδῶς: ἀνηλεῶς A

πάτρων, τὴν ἀμοιβήν', ἔφη, 'ἀποδοῦναί σοι κατὰ τὴν παροῦσαν ἡμέραν πεποιθώς εἰμι ἐν θεῷ.' ὁ μὲν οὖν προήει οἷά τις ἐμβρόντητος καὶ βεβλαμμένος τὰς φρένας, ὁ δὲ ἐφείπετο μετ' εὐτολμίας νεανικῆς. τάφρῳ δὲ βαθείᾳ ὁ διωκόμενος ἐντυχὼν καὶ ὑπερπηδῆσαι ταύτην τὸν ἵππον μὴ συγχωρῶν βάλλεται κατόπιν παρὰ τοῦ Πουλάδη φθάσαντος κοντῷ κατὰ τῆς πλευρᾶς. καὶ ὁ μὲν εὐθέως περιδινηθεὶς τῷ ἀλγήματι κατερρύη τοῦ ἵππου, τῶν δὲ σὺν αὐτῷ τις (Διακονίτζης τούτῳ ἦν τὸ ἐπώνυμον) τοῦ ἵππου ῥίψας ἑαυτὸν ἐπιμελείας ἠξίου τὸν πεσόντα, τοῖς τε οἰκείοις γόνασι τὴν ἐκείνου κεφαλὴν ἐπιθεὶς καὶ τὸ συμβὰν ὀδυρόμενος. ἐν τοσούτῳ δὲ προσγίνονται τῷ Πουλάδῃ καὶ ἕτεροι, καὶ καθαλλόμενοι τῶν ἵππων τὴν τοῦ Χρυσόχειρος ἀποτέμνουσι κεφαλὴν ἤδη θανατῶντος καὶ ἐκλιμπάνοντος. δεσμοῦσι δὲ καὶ τὸν Διακονίτζην καὶ τοῖς ἄλλοις αἰχμαλώτοις συγκαταλέγουσιν. εὐθὺς οὖν εὐαγγέλια πρὸς τὸν βασιλέα ἐκπέμπονται, μεθ' ὧν ἦν καὶ ἡ τοῦ Χρυσόχειρος κεφαλή. πεσόντος οὖν τοῦ Χρυσόχειρος συναπεμαράνθη πᾶσα ἡ ἀνθοῦσα τῆς Τεφρικῆς εὐανδρία. καὶ τὰ μὲν κατὰ τὴν Τεφρικὴν τοιοῦτον ἔσχε τὸ τέλος, καὶ ἐν ὥρᾳ μιᾷ ἡ ἐπὶ μεῖζον δόξης ἀρθεῖσα ὕψος τῶν Μανιχαίων πληθὺς ὡσεὶ καπνὸς διελύθη. |

20. Ἰγνατίου δὲ τοῦ πατριάρχου τὴν παροῦσαν ἀλλαξαμένου ζωὴν ἀπέδωκεν αὖθις τὴν ἐκκλησίαν Φωτίῳ ὁ βασιλεύς.

21. Κατὰ τοῦτον τὸν καιρὸν ἐπιβουλὴ μηνύεται τῷ βασιλεῖ παρά τινος τῶν συνωμοτῶν, ἔξαρχον ἔχουσα τὸν πατρίκιον Ῥωμανὸν τὸν Κουρκούαν. καὶ δὴ συλληφθέντων τῶν ἐπιβουλευσάντων, ὁ μὲν Κουρκούας ἐπηρώθη τοὺς ὀφθαλμούς, οἱ δὲ λοιποὶ τυφθέντες καὶ καρέντες ἐξωρίσθησαν.

34 a. 872 **40** a. 877

cap. 20: Theoph. Cont. 276, 11–277, 4; Zon. III, 421, 18–422, 3 cap. 21: Theoph. Cont. 277, 5–277, 17; Zon. III, 422, 3–422, 7

ACEVBMN F **24** ἀποδοῦναί σοι post **25** θεῷ B **25** ἐν θεῷ VB Theoph. Cont. 275, 3: τῷ θεῷ ACEMNF οἷά τις om. B **26** δὲ pr.: δ' B **28** παρὰ: κατὰ B κοντῷ VBMN Theoph. Cont. 275,9: om. ACE **30** ἦν VBMN Theoph. Cont. 275, 11: om. ACE τὸ om. M **31** τε om. B **32** κεφαλὴν ἐκείνου M **33** Πουλιάδῃ B καθαλλόμενοι: καταβάντες, post ἵππων A **35** ἄλλοις: λοιποῖς A αἰχμαλώτοις: δεσμώταις ACE **36** ἐγκαταλέγουσιν A ἡ εὐαγγέλια ACEVBF: ἀγγελίαι, MN ἐκπέμπεται B **38** ἀπεμαράνθη B ἡ ἀνθοῦσα om. B **39** τὴν om. B ἔσχε: εἶχε B **40** δόξης ἀρθεῖσα ACEMN: ἀρθεῖσα δόξης VB **41** δὲ om. B **42** Φωτίῳ τὴν ἐκκλ. B **43** μηνύεται: γίνεται V **45** Κουρκούαν ACEVBF: Κουρκοῦαν MN Κουρκοῦας M **46** τυφθέντες: συλληφθέντες B

22. Ὁ αὐτὸς βασιλεὺς καὶ τὸ Λοῦλον φρούριον ὑπὸ Σαρακηνῶν κατεχόμενον ἀνεκτήσατο, προσέθετο δ' αὐτῷ καὶ τὸ Μελοῦος καὶ δεσπότην τὸν βασιλέα ἀνηγόρευσεν. ἐξεπόρθησε δὲ καὶ τὴν τῶν Μανιχαίων μητρόπολιν τὴν Κάμαν δι' ἑαυτοῦ.

23. Ἔαρος δὲ ἤδη λάμποντος τὸν πρεσβύτερον τῶν υἱῶν εἰληφὼς Κωνσταντῖνον ἐκστρατεύει κατὰ Συρίας. καὶ τὴν πρὸς τῷ Ἀργέῳ Καισάρειαν τὴν πρώτην καταλαβὼν τῶν Καππαδοκῶν ἐκεῖσέ τε αὐλισάμενος τὴν μὲν ἄλλην πληθὺν τακτικαῖς ἐξεπόνει μελέταις, μοῖραν δὲ τοῦ στρατοῦ ἀποτεμὼν κατόπτας ἐξέπεμψεν, αὐτὸς δὲ κατόπιν ἐφείπετο. οἱ δὲ προόπται καὶ πρόδρομοι τὰς ἐρήμους ὀξέως διαδραμόντες φρούριον τὸ λεγόμενον Ψιλόκαστρον καὶ τὸ ἕτερον τὸ καλούμενον Φυρόκαστρον ἐξεπόρθησαν καὶ τοὺς ἐποίκους τούτων ἠνδραποδίσαντο, ἐφ' οἷς καταπλαγέντες οἱ τὸ τοῦ Φαλακροῦ λεγόμενον κάστρον οἰκοῦντες ἑκουσίως προσεχώρησαν τοῖς Ῥωμαίοις. ὁ δὲ τοῦ Ἄμβρων υἱὸς Ἀπάβδελε, ὁ τῆς Ἀναβάρζης ἀμηρᾶς, ἕως μὲν μακρὰν ἀπεῖχεν ὁ βασιλεύς, βαρ|βαρικῶς ἐθρασύνετο, ἐπεὶ δὲ ἤγγιζε, τῷ τῶν Μελιτηνῶν στίφει συμμίξας φυγῇ τὴν μετ' αὐτοῦ σωτηρίαν ἐπραγματεύσατο. ὁ δὲ βασιλεὺς τήν τε Κασάμαν ἐξεπόρθησε καὶ τὴν Καρβὰν τὴν Ἄρδαλάν τε καὶ τὴν Ἐρημοσυκέαν, ὁπηνίκα καὶ Σήμας ἐκεῖνος ὁ τοῦ Ταὴλ τὰς δυσχωρίας κατέχων τοῦ Ταύρου καὶ ἐξ ἐφόδου τὰς τῶν Ῥωμαίων λυμαινόμενος ἐσχατιὰς πρὸς τὸν βασιλέα κατέφυγε. μετὰ ταῦτα τὸν Ὀνοπνίκτην λεγόμενον ποταμὸν καὶ τὸν Σάρον διαπεράσας ὁ βασιλεὺς μετὰ τοῦ στρατοῦ ἦλθεν εἰς Κουκουσόν, καὶ τὰς ἐκεῖ λόχμας ἀποκαθάρας καὶ τὴν ἄβατον εὐπόρευτον πεποιηκὼς

48 a. 876/77

---

cap. 22: Theoph. Cont. 277, 18—278, 9 cap. 23: Theoph. Cont. 278, 9—284, 5; Zon. III, 422, 8—423, 11; Glyc. 549, 5—549, 15

ACEVBMN FH 49 δ': δὲ BM 50 ἀνηγόρευσεν ACEVB Theoph. Cont. 278, 8: ἀνηγόρευεν MNF τῶν VBMN Theoph. Cont. 278, 7: om. ACE 51 Κάμαν ACEVN: Κάμον B: Κῶμαν M: Καταβάταλα Theoph. Cont. 278, 8 52 τὸν — υἱῶν: τὸν πρῶτον υἱὸν A 53 Ἀργέῳ EVB: Ἀργέᾳ Theoph. Cont. 278, 16: Ἀργείῳ C: Ἀργαίῳ AMNF 55 ἄλλην πληθὺν: ἀλληθὺν MN τακτικῶς B ἐξεπόνει ACEB: ἐξεποίει VMNFH 46 κατόπτας: κατόπιν A 57 διαδραμ. ὀξέως B 58 τὸ ante ἕτ. om. B καλούμενον ACEVB: λεγόμενον MNF 59 τούτων om. VB 61 Ἄμβρων VBMN: Ἄμβρωνος ACE: Ἄμβραν F: Ἄμβρου Theoph. Cont. 279, 3 Ἀμπάβδελε B 63 ἐμμίξας A 64 μετ' αὐτοῦ om. AB 65 Καρβάν AVB: Καρβᾶν CEMNF Ἐρημοσύκην B 66 Σήμας CEVMN Theoph. Cont. 279, 10 cod. V: Theoph. Cont. 279, 10 Bekker: Σημὰς A: Σῆμας Theoph. Cont. 279, 10 cod. V: Σύμας B 68 Ὀνοπνίκτην ACEBF Theoph. Cont. 280, 11: Ὀνοπνίπτην VMN λεγόμενον om. A 69 Σάρον VB Theoph. Cont. 280, 12 cod. V: Σάρδον ACEMN: Σάρδην F διαπεράσας: διαπεραιωσάμενος, post 68 Ὀνοπν. A 70 ἐκεῖσε λόγχμας B

τῶν ἐνταῦθα λόχων ἐκράτησε. πρὸς δὲ τὴν Καλίπολιν καὶ Παδασίαν φθάσας δυσβάτοις τε περιτυχὼν καὶ ἀποκρήμνοις ὁδοῖς τοὺς ὑπὸ χεῖρα παραμυθούμενος πεζῇ καὶ βάδην αὐτὸς προεπορεύετο τοῦ στρατοῦ. ὑπερβὰς δὲ τὰ στενὰ τοῦ Ταύρου τῇ Γερμανικείᾳ προσβάλλει. ἐπεὶ δὲ τὸ ἀνθιστάμενον ἅπαν τοῖς τείχεσι συνεκλείετο καὶ οὐδεὶς ἐτόλμα εἰς χεῖρας ἐλθεῖν, τὰ πρὸ τῆς πόλεως κάλλη κείρας καὶ πυρὶ παραδοὺς πρὸς Ἄδαταν παρεγένετο τὴν πόλιν. καὶ τῶν ταύτης δὲ ἐποίκων μὴ τολμώντων ἐν τοῖς ὑπαίθροις διαγωνίζεσθαι, ἀλλ' εἴσω συνελαθέντων τειχῶν, τὰ ἔξω τῆς πόλεως ληϊσάμενος καὶ ἀποτεφρώσας, ἐκπολιορκήσας δὲ καὶ τὸ πολίχνιον, ὃ Γέροντα ἐκάλουν, καὶ διαρπάσαι ἐφεὶς τοῖς στρατιώταις, τελευταῖον αὐτοῖς προσβάλλει τοῖς τείχεσι, καὶ παντοδαπὰς προσέφερε μηχανάς, καὶ ἐνεργὸς ἦν ἐν τῇ πολιορκίᾳ, ἐλπίδας οὐ μικρὰς ἔχων αἱρήσειν τὴν πόλιν διὰ τὸ τῆς περὶ αὐτὸν δυνάμεως βάρος. εὐρώστους δὲ τοὺς ἔνδον εὑρὼν καὶ ἀδεῶς τὰ | προσπίπτοντα φέροντας, ἀνοχὴν τῷ πολέμῳ δοὺς ἐπυνθάνετο τῶν ἔνδον, ἐφ' ὅτῳ πεποιθότες, τῆς πατρίδος αὐτῶν ἤδη μελλούσης παραλαμβάνεσθαι, ὀλίγον αὐτοῦ λόγον ποιούμενοι φαίνονται. πρὸς ὃν ἀπεκρίνατό τις τῶν γεραιτέρων πληροφορίαν ἐσχηκέναι οὐχ ὑπὸ σοῦ νῦν πολιορκηθῆναι τὴν πόλιν, ἀλλ' ὑφ' ἑτέρου τινὸς πεπρωμένον εἶναι ταύτην ληφθῆναί σοι κατὰ γένος προσήκοντος (Κωνσταντῖνος τούτῳ τὸ ὄνομα), καὶ διὰ τοῦτο μὴ καταπλήττεσθαι τοῖς προσπίπτουσι. τοῦ δὲ τὸν υἱὸν ἐπιδείξαντος, καὶ ὡς Κωνσταντῖνος καλεῖται εἰπόντος, οὐ τοῦτον ὁ ἐξηγούμενος ἔλεγεν εἶναι τὸν Κωνσταντῖνον, ὃς αὐτῶν μέλλει ποιῆσαι τὴν πόλιν ἀνάστατον, ἄλλον δέ τινα μετὰ χρόνον συχνὸν τῶν ἀπογόνων τῶν σῶν. ἐφ' οἷς ὁ βασιλεὺς ὀργισθεὶς καὶ ἔργοις ἐξελέγξαι βουληθεὶς ψεῦδος τὴν πρόρρησιν συντονώτερον ἥπτετο τῆς πολιορκίας. ὡς δὲ πάντων πονούντων μὴ προβαίνουσαν ἑώρα τὴν σπουδήν, ἐπεγένετο δὲ καὶ κρύος ἀμήχανον τοὺς ἐν ὑπαίθρῳ σφοδρῶς λυμαινόμενον, ἔλυσε τὴν πολιορκίαν. ἐν δὲ τῷ ὑποστρέφειν τὸ πολὺ τῶν αἰχμαλώτων διὰ τὸ βάρος ξίφει κελεύσας ἀποφορτίσασθαι τῆς πρὸς τὴν βασιλεύουσαν εἴχετο, πολὺ δέος τοῖς ἐκ τῆς Ἄγαρ καταλιπών.

ACEVBMN F 71 λόχων: λόγων E Παδασίαν AMF Theoph. Cont. 280, 15: Παδασείαν CEVN: Ταδασίαν B 74 στενὰ om. VB(sed cf. Theoph. Cont. 280, 17) Ταύρου: Μώρου B 75 ἅπαν ante 74 τὸ VB (sed cf. Theoph. Cont. 280, 19) 76 Ἄδαναν B 77 παρεγένεται E δὲ: δ' B 79 ἐκπολιορκήσας: καὶ πολιορκήσας C 80 πολίχνιον VBMN Theoph. Cont. 281, 5: φρούριον ACE Γέρον B ἐφεὶς post στρατ. B 82 οὐ μικρὰς: οὐκ εἰς μακρὰν B 83 εὐρώστως EV 85 ὅτῳ: ὅσῳ B 86 παραλαμβάνεσθαι: ἁλῶναι, ACE λόγον ποιούμενοι φαίνονται CEVBF: ποιοῦνται λόγον φαίνονται MN: λόγον τίθενται A 87 γεραιτέρων AEVMN: γερωτέρων C: γεραιοτέρων B 88 νῦν πολιορκηθῆναι: μέλλειν πολιορκηθῆναι νῦν B 89 ληφθῆναι: εἰληφέναι V 92 καλεῖται ACEVB Theoph. Cont. 281, 21: καλεῖσθαι MNF ἔλεγεν εἶναι ACMN: εἶναι ἔλεγεν VB: om. E 94 συχνὸν: τινὰ E 95 ἐλέγξαι B συνότερον B 4 ξίφει ACEVBF Theoph. Cont. 283, 3: om. MN

προσδοκήσας δὲ ἐπιθήσεσθαι αὐτοῖς, κατὰ τὰ στενὰ λόχους ἐν τοῖς ἐπικαίροις ἀφεὶς πολλοὺς τῶν ἐλλοχώντων ἐζώγρησε. πρὸς ἅπερ Ἀβδελομέλερ ὁ τοῦ τόπου κατάρχων ἀπειρηκὼς πρέσβεις ἐκπέμψας ἀδείας καὶ εἰρήνης ἐδεῖτο τυχεῖν· οὗ τὴν δέησιν δεξάμενος ὁ βασιλεὺς σύμμαχον αὐτὸν τὸ ἀπὸ τοῦδε ἔσχε | κατὰ τῶν ὁμοφύλων ἐθελοντήν. ἐκεῖθεν τὸν Ἀργέον διελθὼν πρὸς Καισάρειαν γενόμενος ἔκ τε Κολωνείας καὶ Μεσοποταμίας ἐπινικίους ἀγγελίας ἐδέξατο, κομισθέντων αὐτῷ λαφύρων καὶ αἰχμαλώτων πολλῶν Κούρτων τε καὶ Σαρακηνῶν, οὓς ἅπαντας τῷ ξίφει ἀπεσκευάσατο. ἦν γὰρ προκαταπεπλησμένον τὸ στράτευμα λαφύρων καὶ αἰχμαλώτων πολλῶν ἀπό τε Συρίας καὶ Τεφρικῆς, καὶ οὐκ ἐβούλετο καὶ τούτους ἔχειν δύσχρηστον παρακολούθημα. ἐν Μηδαείῳ δὲ γενόμενος καὶ τιμὰς διανείμας τοῖς ἀριστεῦσι καὶ πρὸς παραχειμασίαν ἐκπέμψας αὐτὸς εὔζωνος πρὸς τὴν βασιλεύουσαν ἔφθασε, καὶ κατὰ τὸ εἰωθὸς διὰ τοῦ πατριάρχου τὸν τῆς νίκης ἐδέξατο στέφανον καὶ παρὰ τοῦ πλήθους τὰς ἐπινικίους ᾠδάς.

24. Ἤδη δὲ τῆς Τεφρικῆς ἀπομαρανθείσης ἡ τῶν Ταρσιτῶν ἰσχὺς θάλλειν καὶ αὐξάνεσθαι ἤρχετο, καὶ πάλιν ἀπὸ τούτων αἱ τῶν Ῥωμαϊκῶν ὁρίων ἐσχατιαὶ δεινῶς ἐπιέζοντο. καθ' ὧν Ἀνδρέας ἐκεῖνος ὁ στρατηλάτης ὁ ἐκ Σκυθῶν πολλάκις ἠνδρίσατο, καὶ πολλοὺς τῶν εἰς προνομὴν ἐκτρεχόντων ἀνῄρει καὶ αἰχμαλώτους ἐλάμβανεν. ὃν ὁ βασιλεὺς πατρικιότητί τε ἐτίμησε καὶ εἰς τὴν ἀρχὴν τῶν σχολῶν προβιβάζει. τότε δὴ μᾶλλον ἀπὸ μείζονος ἐξουσίας τε καὶ δυνάμεως ὁ Ἀνδρέας ἐμφανέσι μάχαις πολλάκις πρός τε τοὺς ἀπὸ Μελιτηνῆς καὶ τοὺς ἀπὸ Ταρσοῦ παρετάξατο καὶ νενίκηκε. καί ποτε μετὰ φρυάγματος γράμματα πέμψαντος τῷ Ἀνδρέᾳ τοῦ ἀμηρεύοντος τῆς Ταρσοῦ βλασφημίας ἀνάπλεα, δηλοῦντα ὡς· Ἴδω, εἴ σε ὁ τῆς Μαρίας ὠφελήσει υἱὸς καὶ αὕτη ἡ τοῦτον | τεκοῦσα, ὅταν

cap. 24: Theoph. Cont. 284, 6—286, 4; Zon. III, 423, 12—424, 3

ACEVBMN FH **6** τὰ στενὰ: τὴν στενὴν B λόχοις CE μὲν post λόχοις add. C **7** τῶν ἐλλοχώντων H: τῶν ἐλοχώντων F: τῶν ἐλλοχότων MN: τῶν ἐπικαίρων ACE: τῶν αἰχμαλώτων V: τοὺς αἰχμαλώτους B Ἀβδελομέλερ ACEN: Ἀβδελλομέλερ M: Ἀβδεμέλερ B: Ἀβδομέλερ V: Ἀβδελομέλερ F: Ἀβδελομέλεκ Theoph. Cont. 283, 8 cod. V: Ἀβδελομὲλ Theoph. Cont. 283, 8 Bekker **8** πρέσβεια M **10** ἐθέλοντα B Ἀργέον V: Ἀργέου Theoph. Cont. 283, 15: Ἀργαῖον ACEMNH: Ἀργέαν B **11** καὶ post διελθὼν add. B **13** Κούρτων ACEMN Theoph. Cont. 283, 19: Τούρκων VB κατεσκευάσατο B **14** καὶ αἰχμαλώτων πολλῶν ACEF (cf. Theoph. Cont. 283, 17): om. VBMN **15** καὶ τούτους ἔχειν: ἔχειν τούτους B **16** δύσχρηστον ἔχειν A ἐν — γενόμενος CEVMN: ἐν Μηδάηῒ ὡς δὲ γεν. A: ἐν δὲ Καισαρείᾳ γεν. B **18** πρὸς: εἰς A **21** Τεφρικῆς: τῶν Τεφρικῶν B **21** δυνάμεως post ἀπομαρανθ. add. B **22** αὔξεσθαι A ἤρξατο AB ἀπὸ τούτων om. A **23** ὁ om. A **24** προτρεχόντων E **25** αἰχμαλώτους ἐλάμβανεν VBMN Theoph. Cont. 284, 13 cod. V: ἠχμαλώτευεν ACE **26** τε om. B δή: δὲ B **27** τε καὶ δυνάμεως VBMN Theoph. Cont. 284, 16: om. ACE **29** πέμψας M **30** καὶ ante βλασφ. add. ACEVFH ἀνάπλεω ACB **31** εἴ: τί E αὕτη VB Theoph. Cont. 284, 22: om. ACEMNF

ἐξέλθω κατὰ σοῦ μετὰ τῆς περὶ ἐμὲ δυνάμεως,' τὸ λοίδορον γραμματεῖον οὗτος δεξάμενος τῇ εἰκόνι τῆς θεομήτορος ἀπεκρέμασεν, ἐπειπών· 'ἴδε, ὦ μῆτερ τοῦ λόγου τε καὶ θεοῦ, καὶ σύ, ὁ ταύτης υἱός τε καὶ θεός, οἷα ὠνείδισε καὶ ἐφρυάξατο κατὰ σοῦ καὶ τοῦ σοῦ περιουσίου λαοῦ ὁ βάρβαρος οὗτος καὶ ἀλαζών.' ταῦτα δὲ εἰπὼν ἄρας τὰς Ῥωμαϊκὰς δυνάμεις ἐπῄει κατὰ Ταρσοῦ. καὶ δὴ κατὰ τὸ Ποδανδὸν γενόμενος, κἀκεῖ τοῖς ἐναντίοις συμμίξας τρέπεται φόνῳ πολλῷ τὸ τῶν βαρβάρων πλῆθος, πρότερον αὐτοῦ πεσόντος τοῦ ἀμηρᾶ. ὀλίγοι δέ τινες μόγις πρὸς Ταρσὸν ἀποσῴζονται. θάψας δὲ τοὺς οἰκείους καὶ τοὺς πολεμίους εἰς ἕνα χῶρον συναγαγὼν καὶ μέγαν ποιησάμενος κολωνὸν εἰς στήλην καὶ τοῖς μετέπειτα πρὸς τὰ οἰκεῖα ὑπέστρεψε μετὰ λαφύρων καὶ αἰχμαλωσίας πολλῆς. ἔγραψε δὲ καὶ τῷ βασιλεῖ δηλοποιήσας τὴν νίκην.

25. Οἷα δὲ φιλεῖ ποιεῖν ὁ φθόνος, ἐνδιαβάλλουσιν οἱ πονηροὶ τὸν ἄνδρα πρὸς βασιλέα, καὶ ῥᾴδιόν οἱ κατασχεῖν λέγοντες τὴν Ταρσόν, ὁ δὲ μελλήσει καὶ ῥᾳθυμίᾳ προήκατο τὸν καιρόν. ὑφ' ὧν πολλάκις λεγομένων ἀναπεισθεὶς ὁ βασιλεὺς παραλύει τῆς ἀρχῆς τὸν ἄνδρα, καὶ ἀντ' ἐκείνου προβάλλεται τὸν Στυπειώτην λεγόμενον, τήν τε Ταρσὸν ἐξελεῖν ὑπισχνούμενον καὶ ἄλλα πολλὰ φρυαττόμενον. ὃς αὐτίκα παραλαβὼν τὰς δυνάμεις ἦγε κατὰ Ταρσοῦ, μηδὲν στρατηγικὸν ἐννοήσας μηδ' εὐβουλίας ἐπάξιον. πλησίον δὲ γενόμενος τῆς Ταρσοῦ αὐλίζεται κατά τινα τόπον, ὃς Χρυσόβουλλον λέγεται, μήτε τάφρον ἀξιόλογον μήτε | στρατοπεδείαν ὀχυρὰν προστησάμενος. ὃν κατανοήσαντες οἱ Ταρσεῖς ἀμελῶς διακείμενον ἐπιτίθενται τούτῳ νυκτὸς στρατηγήματι χρησάμενοι τοιούτῳ. ὀλιγανδροῦντες γὰρ ἐκ τῆς πρὸς τὸν Ἀνδρέαν ἥττης, καὶ μὴ ὄντες ἀξιόμαχοι πρὸς παράταξιν, ἵππους συναγαγόντες συχνοὺς καὶ βύρσας ξηρὰς ἐξάψαντες ἀπὸ τῶν ἱππείων οὐρῶν, ὑφ' ἓν παράγγελμα κατὰ πολλὰ

37 fortasse a. 878

---

35 περιούσιος λαός: cf. Exod. 19, 5; Tit. 2, 14 cap. 25: Theoph. Cont. 286, 4—288, 9; Zon. III, 424, 3—424, 13

ACEVBMN F **32** γράμμα B **33** τῆς εἰκόνος B ἀπεκρέμασεν ACEVN: ἐκρέμασεν M: ἀπηώρησε B ἐπειπών VBMN Theoph. Cont. 285, 2: εἰπών ACE **34** τε alt. om. ACE **35** τε post ὠνείδ. add. VB (sed cf. Theoph. Cont. 285, 4) **36** δὲ om. B **37** Πηδαδὸν B γεγονὼς A **38** πολλῷ post πλῆθος B **39** αὐτοῦ: αὐτῷ C ὀλίγοι δέ τινες: τινες δ' ὀλίγοι B μόλις EBM **41** μέγα CF **44** ἐνδιαβάλλουσιν VBMN: διαβάλλουσιν ACE (cf. διαβάλλοντες Theoph. Cont. 286, 11) **45** ἄνδρα: Ἀνδρέαν B βασιλέα: τὸν Βασίλειον E οἱ κατασχεῖν λέγοντες: ὃν λέγοντες κατασχεῖν B **46** προῆκτο E **47** ἄνδρα: Ἀνδρέαν B **48** Στυπειώτην ACEVN: Στυπειότην M: Στυπιώτην BF Theoph. Cont. 286, 20 ὑπισχν. ἐξελ. A **50** μηδ': μηδὲ V **52** Χρυσόβουλλον VMN Theoph. Cont. 287, 7: Χρυσόβουλλος ACEB ἀξιόλοχον C **54** στρατηγήμασι χρησ. τοιούτοις CE **55** γὰρ om. C τὸν om. ACE **57** ἓν VBMN Theoph. Cont. 287, 18: ἑνὸς ACE

τοῦ Ῥωμαϊκοῦ στρατοπέδου ἐπαφιᾶσι μέρη, ὄπιθεν δὲ αὐτοὶ ταῖς σάλπιγξι καὶ τοῖς τυμπάνοις ἐπιδουπήσαντες μέσον τοῦ χάρακος γυμνοῖς τοῖς ξίφεσιν εἰσεπήδησαν. ταραχῆς οὖν ἐμπεσούσης τῷ τῶν Ῥωμαίων στρατεύματι καὶ δειλίας, συνταραχθέντων ὁμοῦ καὶ τῶν ἀνδρῶν καὶ τῶν ἵππων καὶ ἀλλήλοις περιπιπτόντων, συνέβη τοὺς βαρβάρους κρατῆσαι καὶ φόνον ἄπειρον ἀπεργάσασθαι τῶν Ῥωμαίων, τῶν πλείστων δυσκλεῶς συμπατουμένων καὶ συμπνιγομένων ὑφ᾽ ἑαυτῶν. οὕτω δὲ παραδόξως κρατήσαντες οἱ Ταρσεῖς καὶ τὴν Ῥωμαϊκὴν ἰσχὺν κατακόψαντες βαρβαρικοῖς ἀλαλαγμοῖς ἐπαιάνιζον.

26. Καὶ τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον οὕτως εἶχε, τὰ δὲ πρὸς ἑσπέραν ἄπεισι λέξων ὁ λόγος. καὶ τούτων γάρ, ὁμοίως τοῖς λοιποῖς, ἐπὶ πλέον ἀμεληθέντων ἐπὶ τῆς βασιλείας τοῦ Μιχαήλ, καὶ πάσης σχεδὸν Ἰταλίας, ὅση τῇ βασιλείᾳ Ῥωμαίων ἀνήκει, καὶ τῶν πλείστων τῆς Σικελίας ὑπὸ τῆς τῶν Καρχηδονίων δυνάμεως καταπολεμηθείσης καὶ ὑποφόρου τοῖς βαρβάροις γεγενημένης, ἔτι δὲ καὶ τῶν ἐν Παννονίᾳ καὶ Δαλματίᾳ καὶ τῶν ἐπέκεινα τούτων διακειμένων Σκυθῶν, Χωροβάτων φημὶ καὶ Σέρβων καὶ Ζαχλούβων | Τερβουνιωτῶν τε καὶ Καναλιτῶν καὶ Διοκλητιανῶν καὶ Ῥεντανῶν, τῆς ἀνέκαθεν Ῥωμαίων ἐπικρατείας ἀφηνιασάντων καὶ αὐτονόμων καθεστηκότων, συνεπέθεντο μετὰ τοῦ καιροῦ καὶ οἱ ἀπὸ Καρχηδόνος Ἀγαρηνοί. καὶ ἄρχοντας ἐπιστήσαντες τόν τε Σολδάνου καὶ Σάβαν καὶ τὸν Καλφούς, ἐμπειρίᾳ πολεμικῇ διαφέρειν μεμαρτυρη-

60 a. 882

---

cap. 26: Theoph. Cont. 288, 9—294, 2; Zon. III, 424, 13—426, 6; Constantinus Porphyrogenitus, De thematibus, 97/98 Pertusi; idem, De adm. imp., 126—128 Moravcsik

---

ACEVBMN F **58** ὄπισθεν A δὲ: δ᾽ A ταῖς — **59** τυμπάνοις: μετὰ κυμβάλων καὶ σαλπίγγων A **60** εἰσεπήδησε E ταρ. ἐμπ. οὖν B ἐμπεσούσης VBMN Theoph. Cont. 287, 21: εἰσπεσούσης ACE τῶν om. B **61** δειλίᾳ B **63** φόνον — Ῥωμαίων: φόνος γίνεται τῶν Ῥωμαίων πολύς M ἐργάσασθαι B **64** οὔτως E **66** ἐπαιάν. ἀλαλ. **67** μὲν om. B ἀνίσχοντα (in -τος corr. m. rec.) ἡλίου E **68** ὁμοίως: ἐπ᾽ ἴσης A ἐπὶ πλέον ante ὁμοίως B **69** ἀμεληθέντων E **70** ὅση τῆς βασιλείας B ἀπό τε post Σικ. add. MNF (sed cf. Theoph. Cont. 288, 15) **72** γεναμένοις B Πανονίᾳ EBN Theoph. Cont. 288, 18 cod. V: Παννονίᾳ Theoph. Cont. 218, 18 Bekker: Πανωνίᾳ VMF: Παιονίᾳ AC **73** Χωροβάτων CEVMN: Χωρβάτων A: Χορβατῶν B: Χρωβάτων F: Χρωβάτοι Theoph. Cont. 286, 19 cod. V **74** Ζαχλούβων CVBMN: Ζαχλόβων A: Ζαλούβων E τε καὶ alt om. B Διοκλητιανῶν AEVMN: Διοκλιτιανῶν C: Διοκλειμῶν B τε post Διοκλ. add. B **75** καὶ post Ῥεντ. add. B Ῥωμαίων ἐπικρατείας VBMN Theoph. Cont. 288, 21: ἐ. Ῥ. ACE ἀφηνιασάντων ACEVN: ἀφανιασάντων B: ἀφανισάντων M **77** Σολδάνου VB Theoph. Cont. 289, 6: Σολσάνου ACE: Σουλδάνου MN: Σουλδὰν F **78** Καλφούς VF Theoph. Cont. 289, 6: Καλφοῦς AEBMN: Καλφᾶς C μεμαρτυρημένους MF: μαρτυρουμένους VB: μεμαρτυρουμένους N: δοκοῦντας ACE

μένους τῶν ὁμοφύλων, ἓξ καὶ τριάκοντα πλοίων πολεμικῶν κατὰ Δαλματίας στόλον ἀπέστειλαν, ὑφ' οὗ διάφοροι πόλεις ἑάλωσαν Δαλματῶν, οἷον ἥ τε Βούτομα, ἡ Ῥῶσα καὶ τὰ κάτω Δεκάτορα. προχωρούντων δὲ κατὰ νοῦν τῶν πραγμάτων τοῖς Ἀγαρηνοῖς, ἦλθον καὶ ὑπὸ τὴν τοῦ ὅλου ἔθνους μητρόπολιν, ἣ Ῥαούσιον λέγεται, καὶ ταύτην ἐπὶ χρόνον ἐπολιόρκουν πολύν, ἐκθύμως τῶν ἔνδον ἀγωνιζομένων. ἐπεὶ δὲ χρόνῳ ταλαιπωρούμενοι οἱ Ῥαούσιοι εἰς τὰς ἐσχάτας συνηλαύνοντο ἀπορίας, πέμπουσι πρέσβεις ὡς βασιλέα ὑπὸ τῆς ἀνάγκης στενοχωρούμενοι, ἐπαμῦναι παρακαλοῦντες τοῖς κινδυνεύουσιν ὑποχειρίοις γενέσθαι τῶν ἀρνητῶν τοῦ Χριστοῦ. μήπω δὲ τῶν πρέσβεων ἀφικομένων Μιχαὴλ μὲν ὁ βασιλεὺς θνήσκει, καταλαμβάνουσι δὲ τὸν Βασίλειον οἱ πρεσβευταί. ὧν ἐπιμελῶς ἀκροασάμενος καὶ ὅλος τοῦ πάθους γενόμενος, στόλον ἐξαρτυσάμενος νεῶν ἑκατόν, καὶ ἄνδρα τούτοις ἐπιστήσας ἐμπειρίᾳ καὶ συνέσει τῶν πολλῶν διαφέροντα τὸν πατρίκιον Νικήταν καὶ δρουγγάριον τῶν πλωΐμων τὸν τὴν ἐπωνυμίαν Ὠορύφαν, κατὰ τῶν πολεμίων ἐκπέμπει. οἱ δὲ τῇ πολιορκίᾳ τοῦ Ῥαουσίου προσμένοντες Ἀγαρηνοὶ διά τινων αὐτομόλων μα|θόντες τὴν πρὸς τὸν βασιλέα τῶν Ῥαουσίων πρεσβείαν, ἀπεγνωκότες δὲ καὶ τὴν σύντομον ἅλωσιν, τοῦτο δὲ καὶ τὴν ἐκ βασιλέως φοβηθέντες ἀφίξεσθαι μέλλουσαν βοήθειαν, λύουσι τὴν πολιορκίαν, κατὰ δὲ τὴν Ἰταλίαν, ἣ νῦν Λαγγοβαρδία ὠνόμασται, διαπεράσαντες τὸ κάστρον τῆς Βάρεως ἐξεπόρθησαν καὶ αὐτόθι κατασκηνώσαντες, καὶ τοῖς ἐγγίζουσι καθ' ἑκάστην ἐπιτιθέμενοι καὶ ἀεί τι προσλαμβάνοντες πᾶσαν τὴν Λαγγοβαρδίαν ἄχρι καὶ αὐτῆς σχεδὸν τῆς ποτε μεγαλοδόξου Ῥώμης ἐκράτησαν. τὸ δὲ γενόμενον ἐν Δαλματίᾳ παρὰ τῆς Ῥωμαϊκῆς

84 a. 867

ACEVBMN F **79** ὁμοφύλων: ἄλλων B **80** στόλων, post **79** πολεμ. B **81** Βούτομα ACVBF Theoph. Cont. 289, 10: Βούτωμα M: Βούτουμα E Ῥῶσα CE Theoph. Cont. 289, 10: Ῥώσα ABMNF: Ῥόσα V Δεκάτορα CEB Theoph. Cont. 289, 10 Bekker: Δεκάτερα A: δ' Ἑκάτερα Theoph. Cont. 289, 10 cod. V: Δεκάταρα VMNF καὶ post δὲ add. M **82** νοῦν V Theoph. Cont. 289, 11: ῥοῦν ACE BMNF ὑπὸ ACENF: ἐπὶ VBM Theoph. Cont. 239, 12 cod. V **84** ἐκθύμων CE **85** τὰς om. B συνηλαύνοντο ACE Theoph. Cont. 289, 16: συνελαύνοντο MNF: ἐλαύνοντο VB **86** ὡς ACE Theoph. Cont. 289, 17: εἰς BM: ἐς VNF **87** τοῖς: αὐτοῖς B **89** καταλαμβάνουσι: φθάνουσι M **90** ἐξαρτυσάμενος ACEVBF Theoph. Cont. 290, 7: ἐξαρτύσας MN **91** νεῶν VB Theoph. Cont. 290, 8: νηῶν ACEMNF ταύταις B τῶν ACEMN Theoph. Cont. 290, 9: om. VB **92** Νικήτα C καὶ om. V **93** τὸν om. B Ὀορύφαν V **95** βασιλέα ACEVB: Βασίλειον MN πρεσβ. τῶν Ῥαουσ. M **2** ἀφίξεσθαι ACE: ἀφικέσθαι Theoph. Cont. 290, 16: ἔσεσθαι, post μέλλουσαν B: ἀφίξεως ἔσεσθαι V: ἄφιξιν ἔσεσθαι MNF **3** ἣν F Λαγγοβαρδία C: Λαγοβαρδία Theoph. Cont. 290, 18: Λογγιβαρδία AEVB: Λαγγουβαρδία MN: Λογγιβάρδους F ὀνομάζεται EF **4** Βάρεος E **6** Λαγγοβαρδίαν C: Λαγοβαρδίαν Theoph. Cont. 290, 22: Λογγιβαρδίαν AEVB: Λαγγουβαρδίαν MN σχεδὸν VBMN Theoph. Cont. 290, 23: om. ACE μεγαλοδόξου: παραδόξου B **7** Δαμαλτίᾳ V

ἐπικουρίας, καὶ τὰ προμνημονευθέντα γένη τῶν Σκυθῶν θεασάμενα, οἵ τε Χρωβάτοι καὶ Σέρβοι καὶ οἱ λοιποί, πρέσβεις πρὸς βασιλέα στέλλουσιν ἀξιοῦντες ζεύγλῃ τῆς Ῥωμαϊκῆς ἐξουσίας ὑπεισελθεῖν. ὧν ὡς εὐλόγου τῆς δεήσεως ἐπακούσας ὁ βασιλεὺς φιλανθρώπως αὐτοὺς προσεδέξατο, καὶ πάντες τῇ Ῥωμαϊκῇ ἐπανῆλθον ἀρχῇ, δεξάμενοι ἄρχοντας τῶν οἰκείων καὶ ὁμοφύλων, τῶν δὲ περικαθημένων Ἀγαρηνῶν τὸ Ῥαούσιον ἔτι περὶ τὴν Ἰταλίαν διατρεχόντων καὶ συνεχῶς κατατριβόντων αὐτήν, φροντίζων ὁ βασιλεύς, ὅπως τούτους ἀποσκευάσηται, ἐπεὶ ἐγίνωσκε μὴ ἀξιόμαχον εἶναι τὸν μετὰ τοῦ Ὠορύφα στόλον, πρὸς Δολοΐχον, τὸν ῥῆγα Φραγγίας καὶ τὸν πάπαν Ῥώμης διαπρεσβεύεται, συνεπικουρῆσαι ταῖς ἑαυτοῦ δυνάμεσιν ἐξαιτῶν καὶ μετὰ τούτων κατὰ τῶν ἀθέων συμπαρατάξασθαι, καὶ τὰς ὀλίγῳ πρόσθεν μνημονευθείσας χώρας τῶν Σκλαβηνῶν κελεύσας συνεπιλαβέσθαι, τοῦ ἔργου καὶ τοὺς τοῦ | Ῥαουσίου οἰκήτορας. ὧν ὁμοῦ πάντων γεγενημένων καὶ μεγάλης ἀθροισθείσης δυνάμεως, ἐπεὶ καὶ ὁ Ῥωμαίων ναύαρχος ἐμπειρίᾳ στρατηγικῇ ἐκεκόσμητο, θᾶττον ἡ Βάρις ἁλίσκεται. τὸν δὲ Σουλδάνον καὶ τὸν ὑπ' αὐτὸν λαὸν τῶν Ἀγαρηνῶν ὁ ἄρχων Φραγγίας ἀναλαβόμενος αἰχμαλώτους ἐπ' οἶκον ἀπήγαγε. καὶ ἡ μὲν κατὰ τὴν ἑσπέραν πρώτη στρατεία τῷ Βασιλείῳ τοιοῦτον πέρας ἐδέξατο.

27. Ὁ δὲ Σουλδάνος αἰχμάλωτος, ὡς εἴρηται, παρὰ τοῦ ῥηγὸς ληφθεὶς καὶ ἐν Καπύῃ ἀχθείς, ἐπὶ διετίαν ὅλην ἐνδιατρίψας οὐδέποτε

12 a. circiter 868 **17** mense Iun. a. circiter 869 **23** a. 871

cap. 27: Theoph. Cont. 294, 3—295, 1; Zon. III, 426, 5—427, 3; Glyc. 548, 12—549, 4

ACEVBMN F **9** Χρωβάτοι Theoph. Cont. 291, 3: Χροβάτοι CE: Χρωβάται M: Χορβάτοι A: Χορβάται B: Χωροβάται V οἱ ante Σέρβοι add. VB (sed cf. Theoph. Cont. 291, 3) πρὸς βασ. πρέσβ. A τὸν ante βασ. add. M στέλλουσιν CVBMN Theoph. Cont. 291, 9 cod. V: πέμπουσιν AE Theoph. Cont. 291, 9 Bekker **10** καὶ αὐτοὶ post ζεύγλῃ add. B **11** καὶ πρεσβείας post δεήσεως add. B ὑπακούσας V **12** καὶ πάντες — ἀρχῇ: οἵτινες καὶ πρὸς τὴν Ῥωμαϊκὴν ἐπαν. ἀρχὴν B ἦλθον M **13** καὶ om. E παρακαθημένων B **14** περὶ om. B διατρεχόντων: κατατρεχόντων B κατατριβόντων: ἐκτριβόντων B **15** ἐπεὶ ἐγίνωσκε: καὶ B **16** Ὠορύφα ACEBN: Ὀορύφα V: Ὠρύφα M εἰδὼς post στόλον add. B **17** Δολοΐχον: Λοδοΐχον Theoph. Cont. 293, 10 Bekker: Δολόϊχον Theoph. Cont. 293, 10 cod. V: Δολίχον A: Δολύχον V: om. B **19** συμπαρατάξασθαι — **20** ἔργου: συμπράξασθαι κελεύσας συνεπιλ. τοῦ ἔργου καὶ τὰς ὀλίγῳ πρόσθεν μνημον. χωρ. τῶν Σθλαβηνῶν B **20** Σκλαβηνῶν: Σθλαβηνῶν B: Σκλαβίνων A **21** Ῥουσίου C **22** ἀθροισθείσης: ἀρθείσης E ἐπεὶ — **23** ἐκεκόσμητο: ἐπεὶ μεγάλῃ ἐμπ. στρατ. καὶ ὁ Ῥωμ. ναύαρχος ἐκεκόσμ. B **22** στρατηγικῇ ἐμπειρίᾳ ACE **23** ἐκεκόσμητο VBNF: κεκόσμητο ACE: ἐκόσμειτο M τὸν δέ: καὶ τὸν μὲν B Σουλδάνον AVBMN: Σουδάνον E: Σουλδᾶν C **24** αὐτὸν: αὐτῷ V **25** ἐπ' οἴκου VB καὶ ἡ μέν: ἡ δὲ B **26** Βασιλείῳ: βασιλεῖ E ἐδέξατο πέρας B **27** Σουλτάνος V **27/28** ληφθεὶς παρὰ τοῦ ῥηγὸς A **28** ἐπί: κἀκεῖ B

παρά τινος ὤφθη γελῶν. ὁ δὲ ῥὴξ τῷ κατάφωρον αὐτὸν γελῶντα πεποιηκότι χρυσίου δόσιν κατεπηγγείλατο. προσήγγειλεν οὖν τίς ποτε τῷ ῥηγὶ γελῶντα τὸν Σουλδάνον θεάσασθαι, καὶ τούτου παρείχετο μάρτυρας. ὃν καλέσας ὁ ῥὴξ τὴν μεταβολὴν τοῦ γέλωτος ἐπυνθάνετο. ὁ δέ· 'ἅμαξαν', φησί, 'κατιδὼν καὶ τοὺς ταύτης κατανοήσας τροχούς, πῶς ὁ μὲν ταπεινὸς αἴρεται, ὁ δὲ μετέωρος ταπεινοῦται, καὶ ὡς εἰκόνα ταῦτα λαβὼν τῆς ἀσταθμήτου καὶ ἀβεβαίου τῶν ἀνθρώπων εὐδαιμονίας, ἐγέλασα, ἅμα μὲν ἐνθυμηθείς, πῶς ἐφ' οὕτως ἀβεβαίῳ πράγματι ἐπαιρόμεθα, ἅμα δὲ καὶ οὐκ ἀδύνατον οἰηθεὶς τὸ καὶ ἐμέ, ὥσπερ ἐκ μετεώρου γεγονότα ταπεινόν, οὕτω καὶ ἐκ τοῦ χαμερποῦς ἐνδέχεσθαι πάλιν ἀρθῆναι πρὸς μέγεθος.' τούτων ἀκούσας ὁ ῥὴξ καὶ ἔννοιαν τῶν οἰκείων λαβὼν συνετόν τε τὸν ἄνδρα λογισάμενος διά τε τὴν προηγησαμένην ἀρχὴν καὶ τὸ γῆρας καὶ τὸ εὐτυχίας τε ἅμα καὶ | δυστυχίας πειραθῆναι, παρρησίας τε μετεδίδου αὐτῷ καὶ συνδιαιτήσεως.

28. Ὁ δὲ δόλιος ὢν καὶ πανοῦργος μηχανὴν ῥάπτει κατὰ τοῦ ῥηγός, ἥτις τὸν μὲν ῥῆγα τῆς Καπύης ἐδίωξεν, ἑαυτῷ δὲ τὴν πρὸς τὰ οἰκεῖα ὑποστροφὴν ἐχαρίσατο. εἰδὼς γὰρ ὁ τοιοῦτος, ὡς αἱ δύο Ἰταλικαὶ πόλεις αὗται, ἥ τε Καπύη καὶ ἡ Βενεβενδός, οὐ πρὸ πολλοῦ προσκτηθεῖσαι τῷ ῥηγὶ βεβαίαν οὐ φυλάττουσι τὴν πρὸς αὐτὸν πίστιν, ἀλλ' ἀεὶ τὴν ἐλευθερίαν φαντάζονται, οὐκ ἀγνοῶν δέ, ὅτι καὶ διὰ φροντίδος ἐστὶ τῷ ῥηγὶ ἡ τούτων βεβαία καὶ ἀσφαλὴς κατάσχεσις, πρόσεισι τῷ ῥηγὶ καί φησιν· 'ὁρῶν σε διὰ παντός, ὦ βασιλεῦ, μεριμνῶντα καὶ φροντίζοντα, πῶς ἂν ἀσφαλῶς καθέξεις τὰς Ἰταλικὰς ταύτας πόλεις, ἔρχομαι προσοίσων βουλήν. ἴσθι οὖν, ὦ γενναιότατε, ὡς οὐκ ἄλλως σοι ἀμετάπτωτος

33 τροχούς: cf. Theoph. Sim. 264, 16 de Boor; Theoph. Conf. 273, 23—25 de Boor
cap. **28**: Theoph. Cont. 295, 1—297, 23; Zon. III, 427, 3—429, 6

ACEVBM (**50** ὁρῶν — **90** ἐξαιτούμενοι lac.) NFH **29** γελῶν ὤφθη A πεποιηκότι AEVMN Theoph. Cont. 294, 10: πεποιηκότα C: ποιήσαντι B **30** χρυσίου δώσειν B **31** μάρτυρα V **32** καλέσας: κελεύσας C **33** ταύτης: κατ' αὐτὴν A **34** ταπεινῶς C μετέωρος: μετάρσιος E εἰκόνας B ταῦτα V Theoph. Cont. 294, 16: ταύτας B: ταύτην ACEMNFH **35** ἀβεβαίου καὶ ἀσταθμ. B εὐδαιμονίας: ἡγεμονίας B **36** καὶ ante ἐνθυμ. add. B **37** τὸ om. E **38** γέγονα ταπεινός B οὕτως MNF κἀκ E ἐνδέχεσθαι ACEVBF Theoph. Cont. 294, 20: ἐκδέχεται MN **39** τὸ ante μέγεθος add. MN (sed cf. Theoph. Cont. 294, 21) τούτων: τούτου V **40** τὸν om. E **41** τῆς ante εὐτυχίας et δυστυχίας add. E **42** τε om. B **44** ἐδίωξεν ACVMN: δίωξε E: ἐδίωξε post ῥῆγα B ἑαυτῷ ACEV Theoph. Cont. 295, 3: αὐτῷ B: ἑαυτὸν MN **45** ὁ τοιοῦτος om. ACE **46** Βενεβενδός CEVMN: Βενέβενδος A: Βενεβενδή B προσκτηθεῖσαι AVMN: προσκτηθεῖσα CE: προσκτισθεῖσαι B **48** δέ, ὅτι: δὲ καί, ὅτι V **49** κατάσχεσις: κατοχή B πρόσεισι τῷ ῥηγί: πρόσεισιν αὐτῷ B **50** ὦ βασιλεῦ, διὰ παντὸς E ὦ om. A μεριμνοῦντα E **52** οὖν: γοῦν B

ἡ τῶν πόλεων τούτων κατάσχεσις ἔσεται, εἰ μὴ τοὺς προὔχοντας τούτων εἰς τὰ ἤθη μετοικίσεις τῶν Φράγγων. φύσει γὰρ τὸ ἀκουσίως δουλούμενον ἀντέχεται τῆς ἐλευθερίας, καὶ καιροῦ λαβόμενον ἐκρήσσει τὸ σπουδαζόμενον.' τούτοις ἡσθεὶς τοῖς λόγοις ὁ ῥήξ, καὶ λυσιτελεῖν αὐτῷ οἰηθείς, ἐγνώκει οὕτω ποιεῖν. κλοιοὶ τοίνυν ἐχαλκεύοντο καὶ δεσμὰ λεληθότως, ὡς ἐπί τινι τάχα χρείᾳ κατεπειγούσῃ. οὕτω δὲ τὸν ῥῆγα εὐμηχάνως ὁ Σουλδάνος ἀνδραποδίσας πρόσεισι τοῖς ἐξάρχοις τῶν πολιτῶν (καὶ γὰρ δὴ καὶ τούτοις συνήθης ἐγένετο καὶ συνεχῶς ὁμιλῶν διετέλει), καί φησι πρὸς αὐτούς· 'ἀπόρρητόν τι ἐξενεγκεῖν βούλομαι πρὸς ὑμᾶς, δέδοικα δέ, μὴ ἔκπυστον γενόμενον ἐμοί τε ὄλεθρον, καὶ ὑμῖν κίνδυνον | προξενήσῃ.' τῶν δὲ διομοσαμένων ἐχεμυθήσειν καὶ ἀνέκφορον τηρῆσαι τὸ λαληθέν, τὸν ῥῆγα ἔφη βούλεσθαι πάντας ὑμᾶς πρὸς τὴν ἑαυτοῦ χώραν τῆς Φραγγίας σιδηροδεσμίους ἐκπέμψαι, ὡς οὐκ ἄλλως οὔσης αὐτῷ ἀσφαλοῦς τῆς τῶν ὑμετέρων διακρατήσεως πόλεων. τῶν δὲ ἐνδοιαζόντων καὶ μὴ πιστὰ τὰ λεγόμενα ἡγουμένων, ζητούντων δὲ σαφεστέραν τῶν μηνυμάτων κατάληψιν, λαβόμενός τινος τῶν ἀρχόντων ἀπῆλθεν εἰς τοὺς χαλκεῖς, καὶ διερευνᾶσθαι παρεκελεύετο, τίνα τὰ μετ' ἐπιτάσεως χαλκευόμενα· ἐπεὶ δὲ μάθοι, ὅτι ἁλύσεις εἰσὶ καὶ πέδαι, ἐπανελθὼν πληροφορίαν ἐδίδου τοῖς ἄρχουσιν εὐνοϊκῶς τὸν ἄνδρα λαλεῖν, καὶ τὰ λαλούμενα ἀληθῆ τυγχάνειν καὶ ταῖς ἡμῶν σωτήρια πόλεσι. πληροφορίαν οὖν λαβόντες οἱ ἄρχοντες καὶ σύνεδροι τῶν ῥηθεισῶν πόλεων τρόπον ἐζήτουν, ὅπως τὸν ῥῆγα ἀμύνωνται. καὶ δὴ πρὸς κυνηγέσιον ἐξελθόντος ποτὲ ἀποκλείουσι κατ' αὐτοῦ τὰς πύλας καὶ οὐκέτι συγχωροῦσιν αὐτῷ τὴν εἴσοδον. ὁ δὲ μηδὲν ἐκ τοῦ παραχρῆμα δυνάμενος διαπράξασθαι πρὸς τὴν ἑαυτοῦ ὑπενόστησε χώραν. πρόσεισιν οὖν τοῖς ἄρχουσιν ὁ Σουλδάνος τὴν χάριν τῆς μηνύσεως ἀπαιτῶν. ἡ δὲ ἦν τὸ ἀπολυθῆναι καὶ ἐλευθερίως συγχωρηθῆναι ἀπελθεῖν εἰς τὴν ἑαυτοῦ πατρίδα. ἀπολυθεὶς οὖν, ὡς τάχα εὐεργετήσας, καὶ εἰς Καρχηδόνα γενόμενος καὶ τὴν ἰδίαν ἀνακτησάμενος ἀρχήν, ἐκστρατεύει κατὰ Καπύης καὶ τῆς Βενεβενδοῦ. καὶ χάρακα πήξας ὀχυρὸν ἐνεργῶς ἐπολιόρκει τὰς πόλεις. στενοχωρούμενοι δὲ ὑπὸ τῆς πολιορκίας

ACEVBN F **53** τῶν πόλεων om. ACE (sed cf. τῶν κάστρων Theoph. Cont. 295, 15) προέχοντας B **54** φύσει om. B γὰρ τό: τὸ γὰρ B **57** ἐγνώκει: ἔκρινεν B **58** ὡς ἐπί: ὥσπερ A χρείᾳ τάχα A **59** ἀνδραποδίσας: ἐξαπατήσας, corr. in ἀνδραποδ. N **62** γενόμενον ἔκπ. A ἐμοί — **63** κίνδυνον: ἐμοὶ μὲν ὄλ., καὶ ὑμῖν δὲ κίνδ. B **64** τηρῆσαι ACEN (cf. etiam ποιήσασθαι Theoph. Cont. 295, 9): τηρήσειν VB πάντας ACEVB Theoph. Cont. 295, 10: πάντως NF **65** ἑαυτοῦ: αὐτοῦ B ἐκπέμψαι post Φραγγ. A σιδηροδέτας B **66** ἀσφαλοῦς NV Theoph. Cont. 295, 11: ἀσφαλῶς ACEB **68** καὶ ante σαφ. add. E **73** πληροφορίαν οὖν λαβόντες VBN: πληροφορηθέντες οὖν ACE **74** ῥηθεισῶν VBN: εἰρημένων ACE **77** ἑαυτοῦ: αὐτοῦ B **79** τό: τοῦ B καὶ om. B **82** Βενεβενδοῦ AEVN: Βενεβουνδοῦ C: Βενιβενδῆς B ὀχυρὸν om. A ἐνεργῶς CEV: ἐναργῶς NF: ἐνεργὸν A: om. B

οἱ πολῖται διαπρεσβεύονται πρὸς τὸν ῥῆγα, συγγνώμην | τε τῆς ἁμαρτάδος αἰτοῦντες καὶ συμμαχίαν ζητοῦντες. ἀλλὰ μεθ' ὕβρεως ἀποπέμπονται, ἐπιχαίρειν εἰπόντος τῇ ἀπωλείᾳ αὐτῶν. ἀπράκτων δὲ τῶν πρεσβευτῶν ἐπαναστρεψάντων διαπορούμενοι, καὶ μὴ ἔχοντες, ὅ τι καὶ δράσειαν, πιεζόμενοι δὲ δεινῶς καὶ ταῖς τῆς πολιορκίας ἀνάγκαις, στέλλουσιν ἄγγελον πρὸς Βασίλειον τὸν βασιλέα Ῥωμαίων, βοήθειαν ἐξαιτούμενοι. οὗτος δὲ τὴν πρεσβείαν δεξάμενος θᾶττον ἐκπέμπει τὸν πρεσβευτήν, θαρρεῖν παρεγγυήσοντα, ὡς μετὰ μικρὸν ἥξει τε αὐτοῖς ἀποχρῶσα βοήθεια καὶ τῆς ἀνάγκης αὐτοὺς ἐξελεῖται. ὑποστρέψας οὖν ὁ πρεσβευτὴς αἰχμάλωτος ἐγένετο τοῖς ἐχθροῖς. ὃν παραστησάμενος ὁ Σουλδάνος 'δυοῖν', ἔφη, 'προκειμένοιν ὁδοῖν ἔξεστί σοι τὴν ὠφελιμωτέραν ἑλέσθαι. εἰ μὲν γὰρ θέλεις τὴν σεαυτοῦ σωτηρίαν δωρεῶν τε τυχεῖν καὶ χαρίτων πολλῶν, λάλησον πρὸς τοὺς πέμψαντας ἐν ἐπηκόῳ, ὡς ἀπείρηται τῷ βασιλεῖ Ῥωμαίων ἡ πρὸς ὑμᾶς συμμαχία, καὶ σωθήσῃ. τῶν ἀληθινῶν δ' ἐπαγγελιῶν ἐχομένῳ σοι ἕψεται ταχύτατος θάνατος.' τοῦ δ' ἀγγελιαφόρου συνθεμένου τὸ θέλημα ποιήσειν τοῦ ἀμηρᾶ, ἐπεὶ ὡς ἀπὸ τόξου βολῆς τῷ τείχει προσήγγισαν, τοὺς πρώτους ὁ πρεσβευτὴς παραγενέσθαι τῆς πόλεως ἐξητήσατο. καὶ δὴ παραγενομένων, τοιούτων πρὸς αὐτοὺς ἤρξατο λόγων· 'εἰ καὶ πρόδηλός μοι τυγχάνει ὁ θάνατος, ὦ πατέρες, καὶ τὸ ξίφος ἐν τῇ σφαγῇ, ἀλλ' ὅμως οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν. αἰτῶ δὲ ἀποδοῦναί μοι τὴν χάριν εἰς τὰ ἐμὰ ἔκγονα καὶ τὴν σύνευνον. ἐγὼ γάρ, ὦ κύριοί μου, εἰ καὶ ταῖς τῶν πολεμίων κατέχομαι χερσίν, ἀλλά γε τὴν πρεσβείαν μου ἐξεπλήρωσα | καὶ συντόμως προσδέχεσθε τὴν ἐκ τοῦ βασιλέως τῶν Ῥωμαίων βοήθειαν. διὸ στῆτε γενναίως. ἔρχεται γὰρ ὁ ῥυόμενος ὑμᾶς, εἰ καὶ μὴ ἐμέ.' οὗτος μὲν οὖν τοσαῦτα καὶ τοιαῦτα εἰπὼν εὐθέως ὑπὸ τῶν ὑπηρετῶν τοῦ Σουλδάνου τοῖς ξίφεσιν εἰς μικρὰ μέρη καὶ μόρια κατετμήθη. ὁ Σουλδάνος δὲ τὴν ἐκ τοῦ βασιλέως ἐλευσομένην βοήθειαν ὀρρωδήσας ἔλυσε τὴν

89 a. 873

ACEVBM (a **90** οὗτος)N FH **86** εἰπόντος VBN Theoph. Cont. 296, 15: εἰπόντων ACE **87** πρέσβεων E **88** δράσειεν B **89** Βασίλειον — Ῥωμαίων: τὸν βασιλέα Βασίλειον B **91** θαρρεῖν add. dittogr. C **92** αὐτοὺς: ἂν B ἐπιστρέψας B **94** δυοῖν VBMN: δύο A: δυεῖν CE δυοῖν — ὁδοῖν: δύο προκειμένων, ἔφη, ὁδῶν A προκειμένοιν ὁδοῖν: προκειμένων ὁδὸν B **95** ἐθέλεις B σεαυτοῦ: ἑαυτοῦ B **3** τῶν ἀληθινῶν δ' (δὲ M) VMN: τῶν δ' ἀληθ. ACEB: τῶν δὲ ἀληθ. H δὲ ἐπαγγ. M ἀπαγγελιῶν B **4** δ': δὲ M συνθεμένου om. CE συνθεμένου post ἀμηρᾶ A ποιήσειν VBMN: ποιῆσαι ACE τῷ ἀμηρᾷ B **5** προσήγγισε C **7** τυγχάνει ὁ θάν. B post **8** θάνατος E **7/8** τυγχάνει — πατέρες: τυγχ., ὦ πατ., ὁ θάν. B **9** ἔκγονα: τέκνα M **10** τῶν om. B **11** σύντομον A **12** τῶν VBMNF: om. ACEH **14** τοσαῦτα καὶ τοιαῦτα: ταῦτα B τοῦ Σουλδάνου om. B **15** τοῖς — μικρά: εἰς μικρὰ τοῖς ξίφεσιν B μικρά: μακρὰ C μέρη καὶ μόρια om. B **16** ἐλευσομένην MN: om. ACEVB: προσδοκωμένην Theoph. Cont. 297, 20 ὀρρωδ. βοήθ. VB ἔλυσε: λύει B

πολιορκίαν καὶ οἴκαδε ὑπεχώρησεν. αἱ δὲ εἰρημέναι πόλεις τὸ ἀπὸ τοῦδε διετέλεσαν φίλαι καὶ σύμμαχοι καθεστῶσαι Ῥωμαίων.

post Ῥωμ. add. ACEB: μόνην τὴν περιφανεστέραν τῆς Ἰταλίας πόλιν Ἰοντὸν ἐρείπιον θεὶς καὶ τὸν ἐν αὐτῇ λαὸν σὺν ἑαυτῷ λαβὼν εἰς Καρχηδόνα μετήγαγεν. ἀλλ' ὁ βασιλεὺς ἀντ' αὐτῆς ἑτέραν ἀνήγειρε περικλυζομένην θαλάσσῃ πάντοθεν, μόνην δὲ τὴν εἴσοδον ξηρὰν ἔχουσαν στενωτάτην λίαν καὶ μόνην παρεχομένην τοῖς εἰσιοῦσι τὴν δι' ἑαυτῆς πάροδον. ἐπεὶ δὲ καὶ οἰκητόρων ἔδει αὐτῇ, ἐκ τοῦ Πόντου ἀγαγὼν λαὸν ταύτην ἐνῴκισεν, ἐκ πόλεως Ἡρακλείας τοῦτον λαβών, Καλίπολιν ἐπονομάσας αὐτήν. ὅθεν καὶ Ῥωμαϊκοῖς ἔθεσι καὶ στολαῖς καὶ τῇ ἄλλῃ πάσῃ πολιτικῇ καταστάσει ἄγονται ἄχρι τῆς σήμερον.

29. Κατὰ τοῦτον τὸν χρόνον καὶ Ἐσμὰν ὁ τῆς Ταρσοῦ ἀμηρᾶς τῇ προηγησαμένῃ ἐπαιρόμενος νίκῃ τριάκοντα πλοῖα μέγιστα ἐξαρτυσάμενος (κουμπάρια ταῦτα καλεῖν εἰώθασιν οἱ Σαρακηνοί) τῇ πόλει ἐπιτίθεται τοῦ Εὐρίπου. προγνόντος δὲ τοῦτο τοῦ βασιλέως ὁ στρατηγὸς τῆς Ἑλλάδος (ὁ Οἰνιάτης οὗτος ἦν) κελεύσει βασιλικῇ τὸν ἱκανὸν εἰς φυλακὴν τῆς πόλεως λαὸν ἀπὸ πάσης Ἑλλάδος εἰσήγαγε καὶ τοῖς τείχεσι τὴν προσήκουσαν παρασκευὴν προσηνέγκατο, πετροβόλα τε ὄργανα καὶ τοξοβόλα τεκτηνάμενος, καὶ ἁπλῷ λόγῳ μηδὲν τῶν δυναμένων ἀποσοβεῖν πολιορκίαν ἀμυντηρίων ἀπολιπών. ἐπεὶ δὲ κατέλαβε καὶ ὁ τῶν Ταρσέων στόλος καὶ τοῖς τείχεσιν ἤδη προσήγγιζε, καὶ βελῶν ἀφέσει συχνῶν ἀνα|στέλλειν ἠγωνίζετο τοὺς ἀπὸ τῶν τειχῶν ἀμυνομένους, θυμοῦ καὶ προθυμίας πλήρεις οἱ τοῦ Εὐρίπου γενόμενοι τοῖς πετροβόλοις τῶν ὀργάνων καὶ τοῖς καταπελτικοῖς βέλεσι καὶ τοῖς τόξοις καὶ τοῖς ἐκ χειρῶν λίθοις ἀπὸ τῶν τειχῶν γενναίως ἠμύνοντο, καὶ συχνοὺς τῶν βαρβάρων καθ' ἑκάστην ἀνήλισκον. ἐπιτηρήσαντες δὲ καὶ πνεῦμα ἐπίφορον ἐπαφήκασι τὰς ἑαυτῶν τριήρεις ταῖς ἐναντίαις, καὶ πολλὰς τῷ ὑγρῷ πυρὶ κατενέπρησαν. πρὸς ἅπερ ἀμηχανῶν ὁ βάρβαρος καὶ εἰδώς, ὡς ἔφεσις καὶ ἔρως χρημάτων πολλοὺς παρασκευάζει καταφρονεῖν τοῦ θανάτου, ἀσπίδα μεγάλην πρὸ τοῦ

cap. 29: Theoph. Cont. 298, 1—299, 12; Zon. III, 429, 7—429, 10

ACEVBMN FH **17/18** αἱ δὲ — Ῥωμαίοις post additamentum B **18** Ῥωμαίων VMN: Ῥωμαίοις ACEB **19** περιφανεστάτην B **20** σὺν ἑαυτῷ λαβὼν om. B ἐν Καρχηδόνι C ἀλλ' ὁ: ὁ δὲ C **21** τῇ ante θαλ. add. B **22/23** καὶ μόνην — πάροδον om. B **23** ἀγαγὼν om. C **24** ταύτην: ταύτῃ B **25** στολῇ B πάσῃ πολιτικῇ om. B **26** ἄγονται ἄχρι: κέχρηνται μέχρι B καὶ ante ἄχρι add. E **27** κατὰ τὸν χρόνον τοῦτον A Ἐσμὰν ACVB Theoph. Cont. 298, 6: Ἐσμᾶν EMNF **29** εἰώθησαν E **30** ἐπιτίθεται ACEN: ὁπλίζεται Theoph. Cont. 298, 8: ἐπιτίθενται VBMF βασιλέως ACVB: Βασιλείου EMN **31** Οἰνιάτης VB Theoph. Cont. 298, 9: Οἰνειάτης ACEMNFH οὗτος ἦν om. A **32** λαὸν τῆς πόλεως M ἤγαγε B **33** ἀπηνέγκατο A **34** τοξοβόλα: ἀλλοῖα B **36** κατέλαβε post στόλος A **37** καὶ om. E **37/38** τοὺς ... ἀμυνομένους: τῶν ... ἀγωνιζομένων AE **40** τόξοις: ἐκ τόξων B **41** καθ' ἑκάστην: καὶ ἑκάστῃ B **42** ἑαυτῶν VBMN: αὐτῶν ACE **44** χρημάτων ἔρως M ἔρως: ἔργον C

χάρακος θεὶς καὶ χρυσίου ταύτην πεπληρωκὼς τοῦτο γέρας ἔφη δώσειν μετὰ καὶ παρθένων ἐπιλέκτων αἰχμαλωτίδων ἑκατόν, τῷ πρώτως ἐπιβάντι τοῦ τείχους καὶ τοῖς ὁμοφύλοις τὴν νίκην βραβεύσαντι. ὅπερ οἱ ἐκ τῆς πόλεως θεασάμενοι, εὐθύς τε τὸν νοῦν τῶν πραττομένων κατανοήσαντες, παρακλητικοῖς τε λόγοις καὶ διεγερτικοῖς πρὸς ἀλκὴν ἑαυτοὺς παραθαρρύναντες, καὶ ὑφ' ἓν σύνθημα τὰς πύλας τῆς πόλεως ἀνοίξαντες ἀνδρείως κατὰ τῶν βαρβάρων ἐξώρμησαν. καὶ κατὰ τὴν πρώτην συμβολὴν καιρίαν δεξαμένου τοῦ ἀμηρᾶ πληγὴν καὶ πεσόντος, καὶ πολλῶν ἄλλων σὺν αὐτῷ ἀναιρεθέντων, οἱ λοιποὶ ἐτράπησαν πρὸς φυγήν. ἐπικειμένων δὲ τῶν διωκόντων μέχρι τῶν ὑπολοίπων νεῶν κατεσφάττοντο, καὶ φόνος ἐγένετο τῶν βαρβάρων πολύς. οἱ δὲ περιλειφθέντες ὀλίγας πληρώσαντες τῶν νεῶν μετ' αἰσχύνης ἀπέφυγον πρὸς τὰ ἴδια. καὶ ὁ μὲν ἐκ τῆς Ταρσοῦ στόλος τοιοῦτον ἔσχε τὸ πέρας. |

30. Ἕτερος δὲ πάλιν ἀπὸ τῆς Κρήτης ἀντηγείρετο στόλος. Σαὴτ γὰρ τοῦ Ἀπόχαψ ἀρχηγοῦ τῆς Κρήτης ὑπάρχοντος Φωτιός τις ἀνὴρ πολεμιστὴς καὶ δραστήριος παρ' αὐτοῦ κατὰ Ῥωμαίων ἐστέλλετο μετὰ ἑπτὰ καὶ εἴκοσι κουμπαρίων καὶ πλήθους μυοπαρώνων καὶ πεντηκοντόρων, ἃς δὴ γαλέας κατονομάζειν εἰώθασιν, ὃς ἐξορμήσας ἐκ Κρήτης τὰς ἐν τῷ Αἰγαίῳ νήσους καὶ τὰς παραλίους κατεληΐζετο καὶ μέχρι τῆς ἐν Ἑλλησπόντῳ Προικοννήσου κατέλαβε, τὰ παρατυχόντα ἀνδραποδιζόμενός τε καὶ διαφθείρων. τούτῳ συναντήσας μετὰ τοῦ Ῥωμαϊκοῦ στόλου ὁ πατρίκιος Νικήτας καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Ὠορύφας καὶ τοῦ Ῥωμαϊκοῦ στόλου κατάρχειν λαχὼν περὶ τὸ στόμα τοῦ Αἰγαίου παρὰ τὴν Καρδίαν, καὶ μάχην καρτερὰν συστησάμενος, εὐθὺς τὰ μὲν εἴκοσι τῶν Κρητικῶν σκαφῶν τῷ ὑγρῷ πυρὶ συγκατέφλεξε, καὶ τοὺς ἐν αὐτοῖς βαρβάρους μάχαιρα καὶ πῦρ καὶ ὕδωρ διεμερίσαντο. ὅσα δὲ τὸν ἐκ τῆς ναυμαχίας καὶ τὸν ἐκ τῆς θαλάσσης διέφυγον κίνδυνον, φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσαντο.

cap. 30: Theoph. Cont. 299, 13—300, 6; Zon. III, 429, 10—430, 3

ACEVBMN F **46** ἔφησε B **47** ἐπιλέκτων om. M αἰχμαλωτίδων om. CB **48** βραβεύσαντι AVBMN: βραβεύσοντι E: βραβεύσαντα C **50** πρὸς ἀλκὴν om. ACE **51** ὑπανοίξαντες M **53** συμβολὴν VBMN: προσβολὴν ACE τοῦ ἀμηρᾶ om. B **54** ἄλλων — ἀναιρεθέντων ACEMN: ἄλλων συναναιρεθέντων αὐτῷ VB **56** ἐσφάττοντο B φόνος: φθόρος B **57** πρὸς ACEVB: εἰς MNF **58** εἶχε, corr. in ἔσχε E **59** τῆς om. E ἀντεγείρετο B **61** ἐστάλη B **62** ἑπτὰ καὶ om. B μωπαρώνων A **63/64** ὃς — τὰς pr.: ὃς ἐξώρμησέ τε ἐκ Κρ. καὶ τὰς A **66** τε om. ACE **67** ὁ πατρίκιος om. B Νικήτης C καὶ om. B ὁ alt. om. B Ὠορύφας AEBN: Ὠορύφαν Theoph. Cont. 300, 14: Ὠρύφας CM: Ὀρύφας V **68** καί: ὁ B περὶ ACEVBF: παρὰ MN στόμιον F **69** παρά: περὶ AB κρατερὰν AC **70** κατέφλεξε B **71** ἐν αὐτοῖς F: ἐπ' αὐτῶν Theoph. Cont. 300, 4: ἐν αὐτῷ ACEVBMN **72** καὶ post δὲ add. B

31. Ἀλλὰ καίπερ οὕτως δεινῶς θραυσθέντες οἱ Κρῆτες οὐκ ἠγάπησαν ἠρεμεῖν, ἀλλὰ πάλιν τῶν κατὰ θάλασσαν ἀντείχοντο πραγμάτων καὶ ληστρίδας ἐξαρτυσάμενοι ναῦς τὴν Πελοπόννησον καὶ τὰς κάτωθεν αὐτῆς νήσους ἐλύπουν, τὸν ἄνωθεν ῥηθέντα Φώτιον ναύαρχον ἔχοντες. ἐξορμᾷ καὶ κατὰ τούτων ὁ τοῦ Ῥωμαϊκοῦ στόλου ἐξηγούμενος Νικήτας πατρίκιος ὁ Ὠορύφας, ἐπιφόρῳ δὲ καὶ αἰσίῳ χρησάμενος πνεύματι δι' ὀλίγων ἡμερῶν καταλαμβάνει τὴν Πελοπόννησον καὶ τῷ λιμένι προσίσχει τῶν Κεγχρεῶν. μαθὼν δέ, ὅτι τὰ τῶν ἐχθρῶν σκάφη τὰ δυτικώτερα μέρη Πελοποννήσου | ληΐζεται, Μεθώνην καὶ Πύλον καὶ Πάτρας καὶ τὰ προσεχῆ Κορίνθῳ χωρία, βουλὴν βουλεύεται συνετὴν καὶ σοφήν. ἰλιγγιάσας γὰρ περιοδεῦσαι τὴν Πελοπόννησον διά τε Ταινάρου καὶ Μαλεοῦ, καὶ χιλίων μιλίων μῆκος τηνάλλως ἀναμετρήσασθαι καὶ τοῦ προσήκοντος ὑστερῆσαι καιροῦ, ὡς εἶχεν, εὐθὺς ἐν νυκτὶ διὰ τοῦ κατὰ Κόρινθον ἰσθμοῦ, πολυχειρίᾳ χρησάμενος, πρὸς τὴν ἐκεῖθεν θάλασσαν κατὰ τὸ ξηρὸν διαβιβάζει τὰς ναῦς. ἐμβιβάσας τε τὸν λαὸν ἐν αὐταῖς ἔργου εἴχετο. καὶ οὕτω μηδὲν πεπυσμένοις περὶ αὐτοῦ τοῖς πολεμίοις αἰφνίδιον ἐπιτίθεται καὶ τῷ παρ' ἐλπίδας δέει συγχέας καὶ συνταράξας αὐτῶν τοὺς λογισμοὺς οὐδὲ συστῆναι καὶ ἀλκῆς μνησθῆναι συνεχώρησεν, ἀλλ' εὐθὺς ἰδεῖν πρὸς φυγήν. τὰς μὲν οὖν πυρπολήσας, τὰς δὲ καταποντώσας τῶν πολεμίων νεῶν, καὶ τῶν βαρβάρων τοὺς μὲν ἀνελὼν τῷ ξίφει, τοὺς δὲ ὑποβρυχίους τῷ βυθῷ ποιησάμενος, καὶ τὸν τῶν νεῶν ἀρχηγὸν ἀνελών, τοὺς λοιποὺς διασκεδασθῆναι κατὰ τὴν νῆσον ἠνάγκασεν. αὐτὸς δὲ σαγηνεύων ὕστερον καὶ ζωγρῶν διαφόροις τιμωρίαις ὑπέβαλλε, τοὺς μὲν τὴν τῆς σαρκὸς

cap. 31: Theoph. Cont. 300, 7—301, 20; Zon. III, 430, 3—430, 14

ACEVBMN FH 74 οὕτω ACE 75 ἀντείχοντο πραγμάτων VMNFH: πραγμάτων ἀντείχοντο ACE Theoph. Cont. 300, 9: εἴχοντο πραγμάτων B 76 ληστρικὰς A 77 δὲ ante ῥηθέντα add. B 79 πατρίκιος Νικήτας ACE Ὠορύφας AB: Ὠρύφας CEM: Ὀρύφας VN 79/80 ἐπιφόρῳ — ὀλίγων CEVMN: πνεύματι δὲ χρησ. ἐπιφ. δι' ὀλ. A: καὶ ἐπιφόρῳ αἰσίῳ τε χρησ. πνεύματι δι' ὀλ. B 79 καὶ αἰσίῳ om. ACE (sed cf. αἰσίῳ Theoph. Cont. 300, 14 cod. V: αἰσίως Bekker) 81 τῶν pr. ACEVBF: τῷ MN 82 δυτικώτερα AEVMN: δυσικώτερα C: δυτικὰ B 82 Πύλον ACEVF: Πῦλον MN: Πύλην B 83 προσεχῆ Κορίνθῳ: πλησίον Κορίνθου B 84 ἀλλὰ ante καὶ add. A τε om. VB 85 Ταινάρου VBMN: Ταινάρων AE: Ταινάρχων C Μαλεοῦ ACEVB: Μαλαίου Theoph. Cont. 300, 20 cod. V: Μαγλεοῦ MNF: Μογλεοῦ H μῆκος: ἥως ματαίως B ἀναμετρήσεσθαι V 86 διάστημα post ἀναμετρ. add. B 87 κατὰ Κόρινθον: Κόριν B κατὰ Κόρινθον (Κύανθον A) dittogr. post ἰσθμοῦ add. ACE πολυχερίᾳ B 87/88 πολυχειρίᾳ — ξηρὸν om. ACE (sed cf. Theoph. Cont. 300, 22) 88 ἐμβάσας B τε τὸν ACEVBF: τόν τε MN 89 πεπυσμένοις post 90 αὐτοῦ B 91/92 συστῆναι — συνεχώρησεν: συστ. καὶ μνησθ. ὅλως ἀλκῆς συνεχώρ. B 92 κατηνάγκασαν post φυγὴν add. B 93 οὖν om. B καταποντίσας B 95 καὶ τῶν νεῶν τὸν ἀρχ. B 1 αὐτὸς δέ: οὓς B 2 ὑπέβαλε B τοὺς ACEVF: τῶν B Theoph. Cont. 301, 11: τοῖς MN

δορὰν ἀφαιρούμενος, καὶ μᾶλλον τοὺς ἀρνησαμένους τὸ βάπτισμα τοῦ Χριστοῦ, τοῦτο παρ' αὐτῶν ἀφαιρεῖσθαι λέγων καὶ οὐδὲν ἴδιον, ἐκ δὲ τῶν ἱμάντας ἀπὸ τοῦ ἰνίου ἄχρι τῶν σφυρῶν μετ' ὀδύνης ἐξέλκων, ἄλλους σχοινίοις αἰωρῶν, εἶτα πρὸς λέβητας πίσσης καχλαζούσης μεστοὺς καθιμῶν, καὶ ἄλλους παντοίαις ἄλλαις κακῶν καθυποβάλλων ἰδέαις. καὶ ταῦτα διαπραξάμενος δέος εἰς αὐτοὺς ἐνέβαλε, καὶ ὀκνηροτέ-|ρους ἐποίησε, μὴ κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐκστρατείας ἐκπέμπειν.

32. Καὶ ἄλλη δὲ δύναμις ναυτικὴ ἀπὸ τῆς ἑσπέρας ὥσπερ τις λαῖλαψ ἢ καταιγὶς κατὰ τῆς Ῥωμανίας ἐπήλασεν. ὁ γὰρ τῆς Ἀφρικῆς ἡγεμὼν παμμεγέθεις ναῦς ἑξήκοντα τὸν ἀριθμὸν κατασκευασάμενος κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐξώρμησε καὶ τὰ μεταξὺ ληϊζόμενος καὶ πολλὰ σώματα λαμβάνων αἰχμάλωτα ἄχρι Κεφαληνίας καὶ Ζακύνθου τῶν νήσων ἀφίκετο. εὐθὺς οὖν ὁ μετὰ τὸν Νικήταν τῶν ναυτικῶν κατάρχων δυνάμεων (Νάσαρ δὲ οὗτος ἦν) μετὰ δυνάμεως ἐκπέμπεται ἁδρᾶς τριήρων καὶ ἄλλων νεῶν ταχυναυτουσῶν. σύντομον δὲ τὸν ἔκπλουν ποιησάμενος οὗτος καὶ οὐρίῳ χρησάμενος πνεύματι δι' ὀλίγου χρόνου τὴν Μεθώνην κατέλαβε. θᾶττον δὲ ἐπιθέσθαι τοῖς πολεμίοις διεκωλύθη ἀπὸ τοιαύτης αἰτίας. τῶν γὰρ ἐρετῶν οὐκ ὀλίγοι πρὸς τὸν κίνδυνον ἀποδειλιάσαντες κατ' ὀλίγους λαθραίως ἀπέφευγον. ὧν τῇ λειποταξίᾳ τὸ προσῆκον τάχος ἀφῃρέθη ὁ στρατηγός. οὐ γὰρ ἔκρινε δέον ἐμφρόνως κεκενωμένων αὐτοῦ τῶν σκαφῶν ἐπελθεῖν τοῖς ἐχθροῖς. μηνύει δὲ τὸ συμβὰν διὰ ταχυδρόμου τῷ βασιλεῖ. ὁ δὲ καὶ λόγου θᾶττον τοὺς λειποτάκτας ἐζώγρησε καὶ ποινὴν εἰς ἐκφόβησιν τῶν λοιπῶν τῷ δοκεῖν ἐπιτίθησι, κελεύσας νυκτὸς ἄνδρας τριάκοντα τὸν

16 a. 880

cap. 32: Theoph. Cont. 301, 21–303, 22; Zon. III, 430, 15–431, 12

ACEVBMN FH **3** τοὺς ἀρνησαμένους: τῶν ἀρνησαμένων B **5** ἄχρι: μέχρι M **6** σχοινίοις ACEMN: σχοίνοις VB καχλαζούσης ACEV Theoph. Cont. 301, 16 cod. V: κοχλαζούσης BF: καγχλαζούσης MN **7** ἠγχαλῶν post καθιμῶν add. B κακῶν om. CEBM ἐνέβαλλε V **9** μὴ om. ACE τῆς om. B Ῥωμαϊκῆς VBMN Theoph. Cont. 301, 20: Ῥωμαίων ACE ἐκπέμπειν: ποιεῖσθαι B **10** τις αὖθις post ἄλλη δέ add. B ναυτικὴ δύναμις B **11** τῆς Ῥωμανίας: Ῥωμαίων B ἀπήλασεν E **12** κατασκευάσας B **13** καὶ om. E **14** ἄχρι: μέχρι B **15** τῶν νήσου E Νικήτα C **16** Νάρσαρ N ἦν om. B πέμπεται B **17** νεῶν VBMN Theoph. Cont. 302, 8: νηῶν ACE **18** ἔκπλουν B Theoph. Cont. 302, 9: εὔπλουν VMNFH: πλοῦν ACE **19** τοῦ ante χρόνου add. M τίθεσθαι B **20** διεκωλύθη VBMN Theoph. Cont. 302, 12: ἐκωλύθη ACE **22** τὸ προσῆκον: οὐκ ὀλίγον A **23** ἐμφόβως A **24** διὰ ταχυδρόμου τὸ συμβὰν V ταχυδρόμων A καὶ om. A **26** τῷ ACEVB: τὸ MNF τὸν ἀριθμὸν om. B

ἀριθμὸν ἀπὸ τῶν ἐν τῷ πραιτωρίῳ κατεχομένων Σαρακηνῶν ἀφελέσθαι τούτων τε ἀσβόλῃ τὰ πρόσωπα ἀλλοιῶσαι, κἀν τῷ ἱπποδρόμῳ τε ἀγαγεῖν, διὰ μαστίγων τε ἐπεξελθεῖν καὶ ἀτίμως ἐκπεμφθῆναι εἰς Πελοπόννησον, ὡς τάχα πρωτουργοὺς τῆς | φυγῆς, κἀκεῖσε ἀναιρεθῆναι, ὅθεν δὴ καὶ πεφεύγασιν. ὃ δὴ καὶ γέγονε, καὶ ἀνεσκολοπίσθησαν οἱ τριάκοντα Σαρακηνοί, ὡς δῆθεν οἱ λειποτάκται. καὶ φόβος ἐγένετο μέγας εἰς πάντα τὸν Ῥωμαϊκὸν στόλον, καὶ πᾶσαν μαλακίαν ἀπέθεντο καὶ τρυφήν, καὶ ἄγειν ταχέως πρὸς τοὺς πολεμίους παρεκάλουν τὸν ἡγεμόνα.

33. Ἐν τούτοις δὲ καὶ αὐτὸς τὸ λεῖπον τῆς στρατιᾶς ἀπὸ τῶν ἐκ Πελοποννήσου στρατιωτῶν ἀναπληρώσας καὶ τὸν στρατηγὸν τοῦ τόπου συνεργὸν προσλαβόμενος πρὸς ἐπίθεσιν εὐτρεπίζεται. τῶν δὲ Σαρακηνῶν κατωφρυωμένων ἤδη καὶ πολλὴν δειλίαν καταγνόντων τοῦ Ῥωμαϊκοῦ στόλου διὰ τὴν πρόσθεν ἀργίαν, καὶ ἐπ' ἀδείας πολλῆς ἐξερχομένων ἀπὸ τῶν οἰκείων νεῶν καὶ τὰ προσπίπτοντα ληϊζομένων, ἐξαίφνης πλησίον αὐτῶν ἐφάνη ὁ τῶν Ῥωμαίων ναύαρχος καὶ σύνθημα δοὺς ἐπιτίθεται τοῖς πολεμίοις ἀπροόπτως ἐν τῇ νυκτί. καὶ μήτε συστῆναι, μήτε πρὸς ἀλκὴν τραπῆναι σχόντες καιρὸν ἀκλεῶς ἀπεσφάττοντο, καὶ αἱ νῆες πυρὶ μετὰ τῶν ἐπιβατῶν παρεδίδοντο. τὰς δὲ ληφθείσας ἀσινεῖς ὥσπερ ἀνάθημά τι ὁ στρατηγὸς Νάσαρ δίδωσι τῷ θεῷ, τῇ κατὰ Μεθώνην ἐκκλησίᾳ αὐτὰς ἀποχαρισάμενος. ὃν ἐπὶ τοῖς πεπραγμένοις ἐπαινέσας ὁ βασιλεὺς προσωτέρω χωρεῖν ἐκελεύετο. ἐπὶ τοῖς προτέροις οὖν προτερήμασι προθύμου τοῦ στρατοῦ τυγχάνοντος διαπεραιοῦται πρὸς Σικελίαν καὶ τὰς ἐνταῦθα πόλεις, ὅσαι τοῖς Καρχηδονίοις ὑπῆρχον ὑπόφοροι, ἐπιὼν ἐπόρθει καὶ κατεστρέφετο, καὶ φορτηγῶν νεῶν παμπόλλων ἐκράτησεν, ὧν ὁ φόρτος ἄλλα τε ἦν πολλὰ τῶν τιμιωτέρων καὶ δὴ καὶ ἔλαιον δαψιλές. ἐς τοσοῦτον δέ φασιν | εὔωνον τότε γενέσθαι

45 a. 880

---

cap. 33: Theoph. Cont. 303, 23—305, 17; Zon. III, 431, 12—431, 15

ACEVBMN FH   **28** κἀν: καὶ C   τε alt. om. VB   **29** τε: καί, ante διὰ AB   καὶ: τε, post ἀτίμως B   **32** ἐγένετο: γέγονε A   **34** ταχέως VBMN Theoph. Cont. 303, 21: τέως ACE   **35** δὲ: δὴ C   ἐκ Πελοποννήσου ACEVBF: ἐν Πελοποννήσῳ MN   **37** λαβόμενος B   δὲ om. B   **38** δειλίαν dittogr. C   **39** ἔμπροσθεν E   ἀργίαν VMN: ἀγγελίαν ACE: αἰτίαν B   **40** ἐξερχομ. post οἰκείων V   **41/42** ναύαρχος—ἐπιτίθεται: στόλος καὶ δοθέντων παρὰ τοῦ ναυάρχου συνθημάτων ἐπιτίθενται B   **42** τοῖς πολεμ. ἐπιτίθ. A   τῇ ACEMN Theoph. Cont. 304, 9: om. VB   **44** πυρὶ post ἐπιβατῶν B   πυρὶ dittogr. post ἐπιβατῶν add. V   **46** χαρισάμενος B   πεπραμένοις M   **47** ἐπαιν. ὁ βασ. ACEVBF Theoph. Cont. 304, 18: ὁ βασ. ἐπαιν. MN   ἐκέλευσεν B   **48** οὖν: δὲ, post **47** ἐπὶ B   τυγχ. τοῦ στρατοῦ B   **49** ἐνταῦθα: ἐκεῖσε B   **50** φορτηγῶν corr. m. rec. in φορτικῶν E   παμπόλλων: πολλῶν B   **52** φασιν: συνέβη E   γενέσθαι τότε M

τὸ ἔλαιον, ὥστε ὀβολοῦ τὴν λίτραν πιπράσκεσθαι. περαιωθεὶς δὲ καὶ πρὸς τὰ τῆς Ἰταλίας μέρη ὁ αὐτὸς στόλος καὶ ταῖς ἐκεῖσε ἱππικαῖς Ῥωμαϊκαῖς δυνάμεσιν ἑνωθείς, ὧν Προκόπιος ἡγεῖτο ὁ τοῦ βασιλέως πρωτοβεστιάριος καὶ Λέων πατρίκιος ὁ Θρᾳκῶν καὶ Μακεδόνων ἀρχηγέτης, ὃν Ἀποστύπην ἐκάλουν, ἀξιέπαινα ἔργα εἰργάσατο. τόν τε γὰρ ἐξ Ἀφρικῆς πάλιν ἐξελθόντα στόλον ἐν τῇ νήσῳ ταῖς Στήλαις συγκυρήσας κατεπολέμησε καὶ τὰ ὑπὸ τῶν Ἀγαρηνῶν κατεχόμενα φρούρια ἔν τε Καλαβρίᾳ καὶ Λογγιβαρδίᾳ πλὴν ὀλίγων τῆς βαρβαρικῆς χειρὸς ἠλευθέρωσε καὶ τῇ Ῥωμαϊκῇ ἐξουσίᾳ ἐπανεσώσατο. καὶ ὁ μὲν Νάσαρ καὶ ὁ μετ' αὐτοῦ Ῥωμαϊκὸς στόλος τοιούτων τροπαίων εὐμοίρησεν ἐκ θεοῦ καὶ μετὰ πολλῶν λαφύρων καὶ νικητικῶν στεφάνων ἐπανῆλθε πρὸς βασιλέα.

34. Αἱ δὲ κατὰ Λογγιβαρδίαν πεζικαὶ δυνάμεις οὐ πάντη τὴν βάσκανον διέφυγον νέμεσιν, ἀλλ' ἔργα μὲν ἀνδρικὰ καὶ λαμπρὰ διεπράξαντο, ἐξ ἔριδος δὲ καὶ φιλονεικίας κατ' αὐτὸν συμπεσούσης τὸν ἀγῶνα ἀπολωλέναι συνέβη τὸν μείζονα στρατηγόν. τοῦ γὰρ Λέοντος κατά τι διενεχθέντος πρὸς τὸν Προκόπιον καὶ πρὸ τοῦ διαλλαγῆναι συμβολῆς γενομένης πρὸς τοὺς ἐχθρούς, συνέβη τὸν μὲν Ἀποστύπην μετὰ τῶν Θρᾳκῶν καὶ Μακεδόνων κατὰ τὸ δεξιὸν μέρος ἀγωνιζόμενον κρατεῖν τῶν ἐχθρῶν καὶ πολὺν φόνον ἐργάζεσθαι τῶν Σαρακηνῶν, | κατὰ θάτερον δὲ τὸν Προκόπιον ἀντιταττόμενον, μετὰ τῶν Σκλαβηνῶν καὶ δυτικῶν ὑπὸ τῶν ἐναντίων πιέζεσθαι. μὴ πεμφθείσης δὲ παρὰ τοῦ συστρατήγου βοηθείας τῷ πονοῦντι διὰ τὴν προηγησαμένην φιλονεικίαν, ἐνέκλινε πρὸς τροπὴν τὸ κατὰ τὸν Προκόπιον μέρος, καὶ αὐτὸς ἐκεῖνος ἀπεσφάγη ἡρωϊκῶς ἀγωνισάμενος καὶ κατ' αὐτὸν τὸν ἀγῶνα πεσών. ὁ δὲ Λέων θέλων τι καὶ ἕτερον ἀπεργάσασθαι λαμπρὸν καὶ τὸ ἐκ τῆς ἔριδος συσκιάσαι συμβὰν ἀτύχημα, τὸ οἰκεῖον στράτευμα λαβὼν

cap. 34: Theoph. Cont. 305, 18—306, 21

ACEVBMN F **53** πιπράσκεσθαι: τοῦ ἐλαίου πωλεῖσθαι E καὶ om. B **54/55** Ῥωμ. ἱππ. δυν. B **56** ἀρχηγός B **57** Ἀποστύπιου B **58** ἐξ: ἐκ τῆς A ἐξελθ. πάλιν στόλον B ἐλθόντα E συγκυρήσας om. B **60** Καλαβρίᾳ: Ἰταλίᾳ E Λογγιβαρδίᾳ VB: Λαγγιβαρδίᾳ F: Λαγοβαρδίᾳ Theoph. Cont. 305, 11: Λαγγουβαρδίᾳ ACEMN **61** Ῥωμαϊκῇ: Ῥωμαίων B ἐξουσίᾳ VBMN: ἐξουσίαν Theoph. Cont. 305, 12: δυναστείᾳ ACE **62** στόλος Ῥωμαϊκὸς M ηὐμοίρησεν A **63** ἐπανῆλθον V **65** Λογγιβαρδίαν AVB: Λαγγουβαρδίαν CEMN: Λαγγιβαρδίαν F **66** ἔφυγον E διεπράξαντο ACEVBF: κατειργάσαντο Theoph. Cont. 305, 19: διεπράξατο MN **67** ἐξ om. E **69** συμβουλῆς B **73** Σκλαβίνων A **74** ὑπὸ τῶν ἐναντ. om. B δὲ ACEMN Theoph. Cont. 306, 5: οὖν VB **75** στρατηγοῦ B **76** ἐνέκλινε ACVBN: ἔκκλινε E: ἔκλινε M ab Προκόπιον m. rec. in C **79** συσκιάσαι συμβὰν CVBMN: συσκιάσῃ συμβὰν Theoph. Cont. 306, 10: σκιάσαι συμβὰν E: συμβὰν σκιάσαι A

καὶ τοὺς διασωθέντας ἐκ τῆς τροπῆς τῶν ταττομένων ὑπὸ τὸν Προκόπιον συμπαραλαβών, τὸ Τάραντος κάστρον ἔτι παρὰ τῶν Ἀγαρηνῶν κατεχόμενον ἐξεπολιόρκησε καὶ πάντα τὸν ἐν αὐτῷ λαὸν ἐξηνδραποδίσατο, ἐξ ὧν τό τε στρατιωτικὸν ὠφέλησεν ἀποχρώντως καὶ τῷ βασιλεῖ προσήγαγε λάφυρα. ἀλλ' οὐκ ἐξιλέωσεν ἐν τούτοις τὸν βασιλέα, ἀλλὰ μαθὼν τὴν αἰτίαν τῆς τοῦ Προκοπίου σφαγῆς τῆς τε ἀρχῆς τοῦτον παρέλυσε καὶ ἐξόριστον κατὰ τὸ Κοτυάειον, ἔνθα τὴν οἴκησιν εἶχε, παρέπεμψε.

35. Βαϊάνου δὲ τοῦ πρώτου τῶν ἱπποκόμων αὐτοῦ καί τινων ἄλλων τῶν ἐξυπηρετησαμένων αὐτῷ γραφὴν καθοσιώσεως ἐνστησαμένων κατ' αὐτοῦ, μαθόντες τοῦτο Βάρδας καὶ Δαβὶδ οἱ παῖδες αὐτοῦ τὸν μὲν Βαϊάνον ἀναιροῦσι, φοβηθέντες δὲ τὴν ἐκ βασιλέως ὀργὴν διὰ τὸ τόλμημα, ἀνειληφότες καὶ τὸν σφῶν πατέρα, ὥρμησαν πρὸς Συρίαν φυγεῖν. ὅπερ πυθόμενος ὁ βασιλεὺς ἀπέστειλε τὸν τῆς ἑταιρείας ἄρχοντα μετὰ καί τινων στρατιωτῶν, ἐντειλάμενος καταταχῆσαι καὶ κατασχεῖν αὐτούς. οἳ δὴ καὶ ἐπισπεύσαντες καταλαμβάνουσιν αὐτοὺς ἐν Καππαδοκίᾳ | συντόνως τὴν ἐπὶ Συρίαν ἐλαύνοντας. μέλλοντες δὲ κωλῦσαι τούτους προσωτέρω χωρεῖν εὗρον ἀνθισταμένους. καὶ συμπληγάδος γενομένης οἱ μὲν δύο παῖδες αὐτοῦ μαχόμενοι πίπτουσιν, αὐτὸς δὲ ζωγρίᾳ ληφθεὶς ἤχθη πρὸς βασιλέα καὶ τοῖς νόμοις ἐξεδόθη. καταψηφισθεὶς οὖν ἐξεκόπη τὸν ἕνα τῶν ὀφθαλμῶν, ἀφῃρέθη δὲ καὶ τὴν μίαν τῶν χειρῶν, καὶ τὸ λοιπὸν ἐν μεσημβρίᾳ ἐξόριστος κατεγήρασεν.

36. Ἐν ᾧ δ' οὕτω κατὰ τὴν ἑσπέραν διὰ τῶν στρατηγῶν τῷ βασιλεῖ κατεπράττετο, οἱ ἐκ μεσημβρίας Ἄραβες σχολάζειν τὸν βασιλέα νομίσαντες ἀνεθάρσησαν καὶ πάλιν τῶν κατὰ θάλασσαν ἅπτεσθαι πραγμάτων διέγνωσαν. ναῦς οὖν τεκτηνάμενοι κατά τε τὴν Αἴγυπτον καὶ τὰς ἐν Φοινίκῃ καὶ Συρίᾳ παραλίους πόλεις κατὰ Ῥωμαίων ἐκστρα-

cap. 35: Theoph. Cont. 306, 22—308, 4 cap. 36: Theoph. Cont. 308, 5—309, 10; Zon. III, 431, 16—432, 1

ACEVBMN F 80/81 καὶ τοὺς — συμπαραλαβών om. A 80 ταττομένων: τεταγμένων B 85 ἀλλὰ μαθών: μαθὼν δὲ B 85/86 τῆς τε — παρέλυσε: τήν τε ἀρχὴν ἐκ τούτου ἀφείλετο A 86 Κοτυάον B 88 Βαϊάνου AEVB Theoph. Cont. 307, 9: Βαϊανοῦ CMNF Βαϊάνου — αὐτοῦ: τοῦ δὲ πρώτου τῶν ἱπποκόμων αὐτοῦ Βαϊάνου A 89 τῶν om. E ἐξυπηρετησαμένων ACEVBF: ἐξυπηρετουμένων MN 90 Δαβὶδ καὶ Βάρδας B 91 Βαϊάνον AEVB: Βαϊανὸν CMNF: Βαγϊάνος Theoph. Cont. 307, 2 cod. V 92 καὶ om. E πρὸς: εἰς A 93 ἀπέστειλε: ἔπεμψε A 94 καταταχύναι B 95 ἐπεισπεσόντες CV 1 τὴν om. B Συρίας A 2 προσωτέρω τούτους E συμπληγάδος: συμπλοκῆς CB 4 ζωγρίᾳ: ζωγρηθεὶς B 5 μίαν: ἑτέραν B 7 διά: τὰ B τῷ βασιλεῖ om. B 8 βασιλέα: Βασίλειον B 9 ἐθάρσησαν B 11 πόλεις παραλ. M

τεύειν διενοοῦντο, σκοποὺς πέμψαντες πρότερον, ἐφ' ᾧ μαθεῖν, πῶς ἔχει τὰ βασιλέως. οὐδ' ἀλαοσκοπίην εἶχεν ὁ βασιλεύς, ἀλλὰ πάντα διέγνωστο αὐτῷ τὰ ἐν Συρίᾳ πραττόμενα. ναυπηγήσας οὖν καὶ αὐτὸς στόλον ἀξιόμαχον συνεῖχεν ἐν τῇ βασιλίδι καὶ τὸ μέλλον ἐκαραδόκει. ἵνα δὲ μὴ ἀργὸς ὑπάρχων ὁ στόλος ἄτακτος γίνοιτο (τίκτει γὰρ κατὰ τὸν ποιητὴν οὐδὲν ἐσθλὸν εἰκαία σχολή), ἐν τῇ ἀνοικοδομῇ τοῦ κατὰ τὴν βασίλειον αὐλὴν ἐγειρομένου τότε ναοῦ εἰς ὄνομα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν ἀρχιστρατήγων καὶ Ἡλιοῦ τοῦ Θεσβίτου διωρίσατο αὐτοὺς ὑπουργεῖν, ἑτοίμους ὄντας, ἵν', ὅταν | ὑπερκύψῃ τῶν ὁρίων Συρίας ὁ στόλος, ἐμπαρασκεύους αὐτοὺς ἀποσταλῆναι πρὸς τὴν ἐκείνων ἀντιπαράταξιν. καὶ ὁ μὲν βασιλεὺς ᾠκονομήσατο οὕτως. ὁ δὲ τῶν Σαρακηνῶν σκοπὸς καταλαβὼν τὴν βασιλίδα καὶ πάντα εὐτρεπῆ κατιδὼν ἐπανελθὼν πρὸς τοὺς πέμψαντας, ὅσα εἶδεν, ἀπήγγειλεν. οἱ δὲ καταπτήξαντες τὴν ἡσυχίαν ἠγάπησαν.

37. Καρχηδόνιοι δὲ πάλιν διὰ τὰς προηγησαμένας ἥττας δεδιότες, μή πως Ῥωμαϊκὸς στόλος κατὰ τῆς αὐτῶν ἐκπεμφθῇ χώρας, ναῦς ἱκανὰς ἐτεκτήναντο. ἦρος δὲ ἐπιλάμποντος, ὡς οὐδεμίαν δύναμιν ἐκ βασιλέως ἐκπεμφθεῖσαν ἐμάνθανον, ὑποτοπήσαντες πρὸς ἄλλους ἄσχολον εἶναι τὸν βασιλέα ἐκστρατεύουσι κατὰ Σικελίας, καὶ δὴ πρὸς τὴν πόλιν τὰς Συρακούσας προσσχόντες ταύτην ἐπολιόρκουν, καὶ τὰ ἐκτὸς ἐδῄουν τῆς χώρας καὶ ἐληΐζοντο. τοῦ δὲ στρατηγοῦ τῆς Σικελίας δῆλα ταῦτα θέντος τῷ βασιλεῖ, εὐθέως ἡ προευτρεπισθεῖσα ναυτικὴ δύναμις κἀν τῇ κτίσει τοῦ ναοῦ προσεδρεύουσα πρὸς Σικελίαν ἐκπέμπεται, Ἀδρια-

13 ἀλαοσκοπίη: vox hom., cf. K 515; N 10 (sed —ιή) **17** Sophocles, Frgm. 308 Pearson Cambridge 1917 e Stob., flor. 30.6 = 3 p. 664, 12 Wachsmuth Hense
cap. 37: Theoph. Cont. 309, 11–312, 23; Zon. III, 432, 15—432, 18

ACEVBMN **13** ἀλλ' ante οὐδ' add. CVB ἀλαοσκοπίην AVMN: ἀλαοσκοπίαν C: ἀλαοσκοπεῖν E: ἀλαοσκοπὴν B ἀλλὰ om. B δὲ post πάντα add. B **14** τῇ ante Συρ. add. B **16** καὶ ante μὴ add. C ὑπάρχων — γίνοιτο: ὑπάρχῃ ὁ στόλος καὶ ἄτακτος γίνοιτο A **18** αὐλὴν om. C ἀνεγειρομένου B σωτῆρος: κυρίου B **19** Ἡλιοὺ A (sed et Theoph. Cont. 308, 22 Ἡλιοῦ cod. V) **20** διωρίσατο — ὑπουργεῖν: ὑπουργεῖν ἐκέλευσεν αὐτούς B ὑπερκάμψῃ CV ὑπερκύψῃ post **21** στόλος B **21** ἐμπαρασκεύους — ἀποσταλῆναι: καὶ αὐτοὶ ἐμπαράσκευοι ὦσι σταλῆναι B ἀποσταλῆναι: ἀποστείλῃ A **24** εὔπρεπῆ CV ἀνήγγελεν E **25** δὲ om. M καταπτήξαντες — ἠγάπησαν AEMN: πτήξαντες τὴν ἡσυχ. ἠγάπ. Theoph. Cont. 309, 7: τὴν ἡσυχ. καταπτήξ. ἠγάπ. CVB **27** χώρας ἐκπεμφθῇ CVB **28** ἐτεκτονήσαντο E **29** ἐκπεμφθεῖσαν CVMN: πεμφθεῖσαν AEB ὑποτοπήσαντες AEMN Theoph. Cont. 309, 15: ὑποτοπάσαντες CVB ἄλλους: ἀλλήλους E **30** καὶ post δὴ add. ACV **31** τὰς Συρακούσας ECVMN: τῆς Συρακούσης B: Συράκουσαν A τά: τὸ M **32** τῆς χώρας om. A καὶ om. B τῆς alt. om. B **33** δύναμις ναυτικὴ A

νὸν τὸν πατρίκιον ἔχουσα ναύαρχον. ὃς τῆς βασιλίδος ἀπάρας, μὴ εὐθυπλοῶν δέ, μόλις κατῆλθεν εἰς Πελοπόννησον, κατὰ δὲ τὴν Μονεμβασίαν ἐν τῷ καλουμένῳ λιμένι τοῦ Ἱέρακος προσορμίσας ἐπίφορον ἐξεδέχετο πνεῦμα. ἐπὶ πολὺ δὲ χρονοτριβοῦντος αὐτοῦ κατὰ τὸν εἰρημένον λιμένα, καὶ μὴ βουλομένου κατὰ τὰς νηνεμίας εἰρησίᾳ χρῆσθαι, μηδὲ πρὸς ἐναντίον παραβάλλεσθαι κῦμα, τῶν Ἀγαρηνῶν σφοδρότερον ἐπικειμένων τῇ πολιορκίᾳ, συνέβη τὴν πόλιν | ἁλῶναι καὶ τῶν ἐν αὐτῇ φόνον γενέσθαι πολύν, τοὺς δὲ λοιποὺς αἰχμαλωτισθῆναι, κατασκαφῆναι δὲ καὶ τὴν πόλιν, καὶ τοὺς ἐν αὐτῇ πυρποληθῆναι θείους ναούς, περιβόητον καὶ λαμπρὰν μέχρι τοῦδε γενομένην καὶ πολλοὺς βαρβαρικοὺς ἀποσεισαμένην πολέμους, ἐν ἀκαρεῖ δὲ χρόνου πᾶσαν ἀποβεβληκυῖαν τὴν εὔκλειαν. τοῦ δὲ συμβάντος αἴσθησιν ἔλαβεν ὁ Ἀδριανὸς τοῦτον τὸν τρόπον. τόπος ἐστὶ κατὰ τὴν Πελοπόννησον Ἕλος προσαγορευόμενος, διὰ τὸ συνηρεφὲς τῆς ἐκεῖσε ὕλης ταύτην λαχὼν τὴν προσωνυμίαν. ἐν τούτῳ τὸ τῶν Ῥωμαίων ηὐλίζετο ναυτικόν. μιᾷ γοῦν τῶν νυκτῶν τῶν ἐκεῖσε ἐγκατοικούντων δαιμόνων πρὸς ἀλλήλους διαλεγομένων ἤκουσαν οἱ νομεῖς, ὡς ἑάλω τὴν χθὲς ἡμέραν Συράκουσα καὶ κατάσκαπται. ἐξ ἑτέρου δὲ πρὸς ἕτερον διαπορθμευομένου τοῦ λόγου ἔφθασε καὶ πρὸς Ἀδριανὸν τὸ διήγημα. ὁ δὲ τοὺς ποιμένας μετακαλεσάμενος καὶ πολυπραγμονήσας εὗρε τὰ ἀκουσθέντα τοῖς ἐκείνων ἐπιβεβαιούμενα λόγοις. βουληθεὶς δὲ καὶ αὐτήκοος γενέσθαι μετὰ τῶν ποιμένων ἐν τῷ τόπῳ γενόμενος καὶ δι' αὐτῶν ἐρώτησιν τοῖς δαίμοσι προσαγηοχὼς ἤκουσεν, ὡς ἤδη ἑάλω Συράκουσα. ἀδημονίᾳ δὲ καὶ λύπῃ ληφθεὶς πάλιν ἀνέφερε καὶ παρεμυθεῖτο ἑαυτόν, μὴ χρῆναι πιστεύειν κρίνων λόγοις δαιμονίων ἀπατηλοῖς. ἐσημειώσατο δὲ τέως τὴν ἡμέραν. καὶ μετὰ δεκάτην ἧκον αὐτάγγελοι τῶν φυγάδων τὸ γεγονὸς ἀτύχημα διηγούμενοι. ἀφ' ὧν πληροφορηθεὶς ὁ Ἀδριανὸς

41 a. 878

ACEVBMN FH 36 κατῆλθεν: κατῆρεν A τὴν om. B 39 τὰς: τῆς M εἰρησίᾳ AEB: δι' εἰρησίας Theoph. Cont. 310, 6: εἰρησίαις CVMNH: εἰρησίας F 40 παραβάλλεσθαι AECV: παραβάλεσθαι N: παραβαλέσθαι M: προβάλλεσθαι B 41 τῶν: τὸν C 44/46 περιβοήτῳ ... λαμπρᾷ ... γενομένῃ ... ἀποσκευασαμένῃ ... ἀποβεβληκυίᾳ A 44 τοῦδε: τότε B 45 βαρβ. post πολέμ. A ἀποσεισαμένην CVBMN: ἀποσκευασαμένην (ἀποσκευασαμένῃ A) AE χρόνῳ E 46 τὴν δύναμιν καὶ post ἀποβεβλ. add. A δὲ om. M ἔλαβεν αἴσθησιν M ὁ om. B 48 τῆς ἐκεῖσε ὕλης: ὕλης τῆς ἐκεῖ E 49 λαχὼν — προσων.: τὴν ἐπωνυμίαν λαχὼν A προσωνυμίαν CVBMN: ἐπωνυμίαν AE 50 κατοικούντων A 52 καὶ κατάσκαπται om. AE (sed cf. καὶ κατέσκαπται Theoph. Cont. 311, 4) 54 τὰ ἀκουσθ. εὗρε B 57 ἤκουσεν: hic expl. m. rec. in C ἡ ante Συράκ. add. B 58 παραμυθεῖτο B 59 κρίνων πιστεύειν A κρίνων: λέγων, ante πιστ. B δαιμόνων λόγοις B 59/60 ἐσημειώσατο — ἡμέραν: τέως δὲ τὴν ἡμ. ἐσημ. A 60 ἡμέραν post δεκάτην add. B 61 καὶ post ὧν add. B

εὐθὺς ἀνεζεύγνυ, καὶ τὴν βασιλίδα ταχέως μετὰ τοῦ στόλου καταλαμβάνει, καὶ τῇ μεγάλῃ ἐκκλησίᾳ ἱκέτης προσέφυγεν. ἀλλ' οὐδὲν αὐτὸν εἰς παντελῆ ἀποφυγὴν ὤνησεν ἡ καταφυγή. ἐκεῖθεν γὰρ ἀποσπασθεὶς ἐξωρίσθη. ἀποστέλλεται δὲ Στέφανος ὁ τὴν προσηγορίαν Μαξέντιος ὁ Καππαδόκης μετά τε Θρᾳκῶν καὶ Μακεδόνων καὶ Καππαδοκῶν ἐπιλέκτων στρατηγὸς Λογγιβαρδίας. καὶ ταύτην καταλαβὼν καὶ διὰ ἀνανδρίαν καὶ τρυφὴν μηδὲν ἄξιον λόγου διαπραξάμενος παραλύεται τῆς ἀρχῆς.

38. Ἀποστέλλεται δὲ ἀντ' αὐτοῦ Νικηφόρος ὁ κατὰ τὸν Φωκᾶν προσαγορευόμενος, ἀνὴρ γενναῖός τε καὶ δραστήριος. ἐπήγετο δὲ μεθ' ἑαυτοῦ δύναμίν τε ἱκανὴν καὶ τάγμα Μανιχαίων, ἔξαρχον ἔχον τὸν τοῦ Χρυσόχειρος ἐκεῖνον Διακονίτζην. καταλαβὼν οὖν τὸν τόπον καὶ ταῖς μετὰ τοῦ Στεφάνου δυνάμεσιν ἑνωθεὶς πολλὰ καὶ ἀξιέπαινα κατὰ τῶν Σαρακηνῶν ἐστήσατο τρόπαια. πρῶτον μὲν γὰρ ἀντιταξαμένους ἐτρέψατο τοὺς ἐχθρούς, ἐχειρώσατο δὲ μετὰ ταῦτα καὶ τὴν πόλιν Ἀμαντίαν καὶ τὰς Τρόπας καὶ τὴν ἁγίαν Σεβηρίνην, καὶ μάχαις ἄλλαις πολλαῖς καὶ ἀντιπαρατάξεσι κατηγωνίσατο τοὺς ἀντιπάλους. καὶ τὰ μὲν ἐν τοῖς καιροῖς τοῦ Βασιλείου γεγονότα πολεμικὰ ἔργα τοιαῦτά τε καὶ τοσαῦτα.

39. Ὁ δὲ τὸν μέγιστον ἐν μάρτυσι Διομήδην κειμηλίοις πολυτιμοτάτοις καὶ ἀναθήμασι λαμπροῖς λαμπρῶς κατεκόσμησε καὶ κτημάτων ἐπιδόσει εὐπροσόδων ἐφιλοτιμήσατο καὶ παντοίως ὑπερῆρε καὶ κατεπλούτισε.

40. Καὶ τῆς Δανιηλίδος τὸν υἱόν, ὃν ἀδελφότητος συνδέσμῳ πνευματικῆς ᾠκειώσατο, τῷ τῶν πρωτοσπαθαρίων ἐτίμησεν ἀξιώματι καὶ

65 a. 883 **74** a. 885

cap. 38: Theoph. Cont. 312, 23—314, 2; Zon. III, 432, 18—433, 2 cap. 39: cf. Theoph. Cont. 224, 16; Theoph. Cont. 316, 21—317, 7 cap. 40: Theoph. Cont. 317, 7—321, 16; Zon. III, 434, 12—434, 16

ACEVBMN F **62** εὐθὺς om. ACE (sed cf. Theoph. Cont. 311, 22) καὶ — ταχέως: καὶ μετὰ μικρὸν τὴν βασ. B **63** ἱκέτης VBMN Theoph. Cont. 312, 3: om. ACE οὐδὲν: οὐδὲ V **65** Μανξέντιος E ὁ alt. om. B **67** Λογγιβαρδίας VB: Λαγγουβαρδίας ACEMN: Λαγγιβαρδίας F: Λαγοβαρδίᾳ Theoph. Cont. 312, 16 **71** ἔχων CB καὶ alt. om. E **70** μεθ' ἑαυτοῦ ACEVBF: μετ' αὐτοῦ MN **74** πρῶτον **71/72** τὸν — Διακονίτζην ACEMN: τὸν Διακ. ἐκ. τὸν τοῦ Χρυσ. VB VMN: πρῶτα ACE: πρότερον B μὲν γὰρ om. B ἀντιταξαμένους ACEMN Theoph. Cont. 313, 9: ἀντιταξάμενος V: ἀντιπαραταξάμενος B **76** Σεβηρήνην BM **77** κατηγωνίσαντο B τοὺς ἀντιπ. κατηγ. A **78** βασιλέως ante Βασ. add. E Βασιλείου: βασιλέως C ἔργα πολεμικὰ A τε om. CB **79** ὁ δὲ τὸν: τὸν μέντοι A πολυτιμοτάταις M **80/81** κτημάτων — εὐπροσόδων: ἐπιδόσει κτημάτων προσόδων B **81** εὐπροσόδων ἐπιδόσει A **83** Δανιηλίδος AEB: Δανιήλιδος C: Δανηλίδος VMNF: Δανηλίνης Theoph. Cont. 317, 7 πνευματικῷ CE

παρρησίας μεγίστης μετέδωκε. καὶ Δανιηλίδα | τὴν γραῦν πρὸς ἑαυτὸν μετεστείλατο. ἥτις, ἐπεὶ μὴ οἵα τε ἦν ἔποχος ἵππῳ γενέσθαι, ἐπὶ σκίμποδος ἑαυτὴν ἀνακλίνασα καὶ τριακοσίους τῶν οἰκετῶν ἀπολέξασα νέους καὶ ἰσχυροὺς βασταζομένη τῆς πορείας εἴχετο, ἀμοιβαδὸν αἰρόντων τὸν σκίμποδα. καταλαβοῦσα δὲ τὴν βασιλίδα τῶν πόλεων, δοχῆς γενομένης, ὡς ἔθος, ἐν τῇ Μαγναύρᾳ, εἰσήχθη πρὸς βασιλέα ἐντίμως, εἰσαγαγοῦσα καὶ δῶρα πολυτελῆ· ὧν ἕκαστον διεξιέναι ἀπειροκαλίας γραφὴν παρεισάγει. ἀποδεχθεῖσα δὲ ἀναλόγως τῆς προθυμίας καὶ ἐνδιατρίψασα κατὰ τὴν βασιλίδα, ἐφ' ὅσον αὐτῇ φίλον ἦν, πρὸς τὴν οἰκείαν χώραν ἀνθυπενόστησε. συνέβη δ' αὐτὴν καὶ πάλιν εἰσελθεῖν εἰς τὴν βασιλίδα. τοῦ γὰρ βασιλέως ἀποθανόντος καὶ τὴν ἀρχὴν τοῦ υἱοῦ αὐτοῦ Λέοντος διαδεξαμένου εἰσῆλθε πάλιν ἡ γραῦς μεθ' ὁμοίων τῶν δώρων, καὶ τοῦτον ἀσπασαμένη καὶ κληρονόμον τῆς ὑπάρξεως γράψασα κατελθοῦσα εἰς τὰ ἴδια μετὰ μικρὸν ἐτελεύτησεν. ἀλλὰ ταῦτα μὲν ὕστερον.

41. Βασίλειος δὲ ὁ βασιλεὺς καὶ τῶν θείων ναῶν πολλοὺς ὑπὸ τῶν προηγησαμένων κλόνων διαρραγέντας τε καὶ κατασεισθέντας, τινὰς δὲ καὶ τελέως καταβληθέντας, ἐπιμελείας ἠξίωσε, τοὺς μὲν ἐκ καινῆς ἀναστήσας, τοῖς δὲ τὴν ἀσθένειαν ἐπιρρώσας, τοῖς δὲ κάλλος καὶ ὡραιότητα χαρισάμενος. πρῶτον μὲν γὰρ τῆς τοῦ θεοῦ μεγάλης σοφίας τὴν πρὸς δύσιν ἁψῖδα τὴν μεγάλην τε καὶ μετάρσιον εἰς πολλὰ διαρραγεῖσαν καὶ πεσεῖν κινδυνεύουσαν ἐμπειρίᾳ τεχνιτῶν περισφίγξας ἀσφαλῆ καὶ μόνιμον ἀπειργάσατο. ἐν ᾗ καὶ τὴν τῆς θεομήτορος εἰκόνα βρέφος ἠγκα|λισμένην ἀνιστόρησε, καὶ Πέτρον καὶ Παῦλον τοὺς κορυφαίους τῶν ἀποστόλων παρ' ἑκάτερα ἀνεστήλωσε. καὶ τὰ λοιπὰ δὲ ῥήγματα καὶ τὰ σαθρώματα τῶν τοίχων ἐπηνωρθώσατο. παρεμυθήσατο δὲ καὶ τὰς προσόδους ἐλαττωθείσας, ἐνδείᾳ ἐλαίου τῶν ἱερῶν λύχνων ἀποσβεσθῆναι κινδυνευόντων, δωρεᾷ μεγίστου κτήματος, ὃ προσαγορεύεται Μάνταια, τοῖς τε λύχνοις τὸ φῶς ἄσβεστον ἐχορήγησε καὶ τοῖς ὑμνοπόλοις τοῦ θείου ναοῦ

cap. 41: Theoph. Cont. 321, 17–341, 7; Zon. III, 434, 17–435, 3; Glyc. 549, 16–550, 9

ACEVBMN F **85** Δανηλίδα VMF **86** σκιάμποδος B **87** ἀνακλίνουσα V τριακοσίων C **88** ὑπ' αὐτῶν ante βασταζ. add. B αἱρόντων: φερόντων A τόν: τὴν B **89** τε: δὲ B **90** εἰσήχθη: εἰσῆλθε B προσαγαγοῦσα B δὲ post εἰσαγαγ. add. E **91** ἕκαστος C **92** καὶ om. B **92/93** κατὰ — ὅσον VBMN (cf. etiam Theoph. Cont. 319, 6): τῇ βασιλίδι (τῇ βασιλευούσῃ A), καθ' ὅσον ACE **95** τὴν ἀρχὴν post Λέοντος ACE **1** τῶν ACEVBF: om. MN **5** τε om. ACE **5/6** καὶ κατασεισθέντας — καταβληθέντας om. E τινὰς — καταβληθέντας om. B **6** τελείως MN **7** ὡραιότητι C **8** πρῶτα A γὰρ om. MNH (sed non F) σοφίας: ἐκκλησίας E **10** παρασφίγξας B **11** τὸν κύριον post ἠγκαλ. add. B **13** ῥήματα M τὰ alt. om. B **14** ἐπανωρθώσατο C **16** καὶ ante δωρεᾷ add. B Μάνταια ACEMN: Μάντεα VB Theoph. Cont. 322, 19 **17** ὑμνοιπόλοις B

δαψιλέστερον χορηγεῖσθαι ἐποίησε τὰ ὀψώνια ἐκ τῆς προσόδου τοῦ κτήματος.

καὶ τὸν θεῖον δὲ τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου νεών, τῆς προτέρας εὐπρεπείας διαπεσόντα, οἷα τῶν ἐν αὐτῷ ἱερῶν εἰκόνων ἀποξεσθεισῶν, ἐξ ὅτου Ἰωάννης πατριάρχης ἐγεγόνει, ὁ τὴν ἡγουμενείαν τῶν ἐν αὐτῷ διενεγκὼν μοναχῶν, ἐπὶ Θεοφίλου τοῦ πάλαι βασιλεύσαντος, ὑπομνήσει Ἰγνατίου τοῦ ἡγιασμένου πατριάρχου ἱεραῖς εἰκόσι κατεκόσμησε, περιποιησάμενος καὶ τἆλλα τὰ περὶ τοῦτον σαθρώματα. τοῦτον καλοῦσι μὲν τοῦ Ὁρμίσδου, ἐδομήθη δὲ ἐκ καινῆς κατὰ τὸ σχῆμα τῆς μεγάλης ἐκκλησίας ὑπὸ Ἰουστινιανοῦ τοῦ μεγάλου, καθὼς ἡ ἐν τῇ στεφάνῃ τῆς τοιαύτης ἐκκλησίας ἐπιγραφὴ μαρτυρεῖ, ἔχουσα οὕτως:

ἄλλοι μὲν βασιλῆες ἐτιμήσαντο θανόντας
ἀνέρας, ὧν ἀνόνητος ἔην πόνος. ἡμέτερος δὲ
εὐσεβίην σκηπτοῦχος Ἰουστινιανὸς ἀέξων
Σέργιον αἰγλήεντι δόμῳ θεράποντα γεραίρει
Χριστοῦ παμμεδέοντος, τὸν οὐ πυρὸς ἀτμὸς ἀνάπτων,
οὐ ξίφος, οὐχ ἑτέρη βασάνων ἐτάραξεν ἀνάγκη,
ἀλλὰ θεοῦ τέτληκεν ὑπὲρ Χριστοῖο δαμῆναι,
αἵματι κερδαίνων δόμον οὐρανόν. ἀλλ' ἐνὶ πᾶσι
κοιρανίην βασιλῆος ἀκοιμήτοιο φυλάξοι,
καὶ κράτος αὐξήσειε θεοστεφέος Θεοδώρης,
ἧς νόος εὐσεβίῃ φαιδρύνεται, ἧς πόνος αἰεὶ
ἀκτεάνων θρεπτῆρες ἀφειδέες εἰσὶν ἀγῶνες.

καὶ τὸν θεῖον δὲ τῶν ἀποστόλων ναὸν τῆς προτέρας εὐπρεπείας διαπεσόντα ἐρείσμασι καὶ ταῖς τῶν πεπονηκότων βοηθείαις κατοχυρώσας θῆκε νέον ἡβώοντα κατὰ τὴν ποίησιν. καὶ τὸν ἐν τῇ Πηγῇ δὲ τῆς θεοτόκου ναὸν τὸ ἀρχαῖον ἀποβαλόντα κάλλος ἀνενεώσατο. καὶ τὸν ἕτερον τῆς θεοτόκου ναόν, ὃς τὸ Σίγμα κατονομάζεται, | τέλεον ὑπὸ σεισμοῦ καταπεσόντα ἐκ βάθρων ἀνῳκοδόμησε καὶ ἑδραῖον καὶ ὡραιό-

42 Hom. I, 446

ACEVBMN F **18** δαψιλέστερα B **20** ναόν E **21** διαπεσόντα, οἷα: γυμνωθέντα B ἀποξεσθεισῶν CE: ἀποξυσθεισῶν A: ἀποξισθεισῶν B **22** Ἰαννὴς AB **22/23** ὁ τὴν — βασιλεύσαντος om. B **23/24** Ἰγνατίου — πατριάρχου: τοῦ πατρ. κυρίου Ἰγν. B **24** τὰ om. E τὰ περὶ τοῦτον: τούτου B **25** τοῦτον alt. AC: τὸν E: τοῦτο B **25/26** ἐκ καινῆς — ἐκκλησίας om. B **26** καθώς: καθὰ καὶ B ἐν τῇ στεφάνῃ: ἐπὶ στεφάνου C **27** τοιαύτης: ταύτης, post ἐκκλ. A ἐπιγραφὴ — ἔχουσα: δηλοῖ γραφὴν ἔχουσαν B **28–39** ed. e. g. Th. Preger: Inscriptiones Graecae metricae. Lipsiae 1891, p. 166; G. Kaibel: Epigrammata Graeca. Berolini 1878, nr. 1064; CIG 8639 **28** βασιλεῖς lapis **29** ἄνερας E **30** εὐσεβίην CE **32** ἀτμοὶ ἀνάπτον C **33** οὐ ξίφος om. B **36** κοιρανίην: βησάνων C **34** ὑπὲρ: ὑπὸ E **35** οὐρανοῦ Preger πᾶσιν B **36** κοιρανίην: οὐρανίων B ἀκοίμητον A **37** θεοστεφὲς B Θεοδώρας Preger **38** εὐσεβίῃ A Preger ἀεὶ Preger **39** κἀκτεάνων Preger, quia Hammer: Constantinopel und der Bosporus, I. Pesth 1822, p. XII/XIII legit in lapide καὶ κτεάνων **40** οὐ μὴν ἀλλὰ ante καὶ add. ACE δὲ om. ACE νεὼν V **41** ταῖς τῶν πεπονηκότων om. A **42** νέον: νεὼν C ἡβώοντα om. M κατὰ τὴν ποίησιν om. B **44** ὅς: ἧς B Σίγμα AVB Theoph. Cont. 323, 9: Σῆγμα CEMNF

τατον ἢ πρότερον ἀπειργάσατο. καὶ τὸν ἐν Αὐρηλιαναῖς Στεφάνου τοῦ πρωτομάρτυρος ἄχρις ἐδάφους καταπεσόντα ἐκ θεμελίων ἀνήγειρε. καὶ τοὺς δύο δὲ τοῦ βαπτιστοῦ σηκοὺς ἔν τε τῇ Στροβιλαίᾳ καὶ Μακεδονιαναῖς, τὸν μὲν ἐκ βάθρων, τοῦ δὲ τὸ πλεῖστον ἀνῳκοδόμησε. καὶ τὸν τοῦ ἀποστόλου δὲ Φιλίππου, καὶ τὸν πρὸς ἑσπέραν αὐτοῦ κείμενον τοῦ εὐαγγελιστοῦ Λουκᾶ, πτῶμα πεσόντας δεινὸν ἐκ βάθρων ἀνέκτισεν. ἐπεποιήσατο δὲ καὶ τὸ μέγα τέμενος Μωκίου τοῦ μάρτυρος καὶ τὸ ἄδυτον τούτου καταβληθὲν ἄχρι γῆς, ὡς καὶ τὴν ἱερὰν κατεάξαι τράπεζαν, ἐπιμελείας ἠξίωσε καὶ τοῦ πτώματος ἤγειρε. καὶ τὸν πλησιάζοντα δὲ τούτῳ Ἀνδρέου τοῦ πρωτοκλήτου ναὸν πεσόντα εἰς τὸ ἀρχαῖον κάλλος ἀνήγαγε. καὶ τὸν τοῦ ἁγίου Ῥωμανοῦ καὶ τὸν τῆς ἁγίας Ἄννης ἐν τῷ Δευτέρῳ καὶ τὸν τοῦ μεγαλομάρτυρος Δημητρίου καὶ τὸν τοῦ μάρτυρος Αἰμιλιανοῦ τὸν ἐν τῇ Ῥάβδῳ ἐκ παλαιῶν νέους εἰργάσατο. ἐπὶ τούτοις καὶ τὸν τοῦ ἁγίου Ναζαρίου καταπεσόντα ἀνέστησε. κἀν τοῖς ἐμβόλοις τοῦ Δομνίνου τὸν τῆς Χριστοῦ ἀναστάσεως καὶ Ἀναστασίας τῆς μάρτυρος περικαλλῆ ναὸν ἐπισκευάσας ἐλάμπρυνε, λιθίνην ἀντὶ ξυλίνης τὴν ὀροφὴν ἐργασάμενος. καὶ Πλάτωνος τοῦ μεγάλου ἐν μάρτυσι πεσόντα ἀνέστησε, καὶ τὸν ἐγγίζοντα τούτῳ τῶν καλλινίκων μαρτύρων ναὸν Ἑσπέρου τε καὶ Ζωῆς ἐπεποιήσατο. καὶ | τὸν τοῦ μάρτυρος Ἀκακίου ἐν τῷ Ἑπτασκάλῳ πτῶσιν ἀπειλοῦντα ἐπισκευάσας τοῦ πτώματος ἥρπασε. παραπλησίως καὶ τὸν τοῦ προφήτου Ἠλιοῦ κατὰ τὸ Πετρίον λαμπρῶς ἀνεκτήσατο. ἀνήγειρε δὲ καὶ ἐκ καινῆς ἐν ταῖς βασιλείοις αὐλαῖς εἰς ὄνομα τοῦ δεσπότου Χριστοῦ καὶ τοῦ πρώτου τῶν ἀγγέλων Μιχαὴλ καὶ Ἠλιοῦ τοῦ προφήτου, ἔτι δὲ καὶ τῆς θεομήτορος καὶ Νικολάου τοῦ περιωνύμου ἐν ἱεράρχαις τὸν περικαλλῆ τουτονὶ ναόν, ὃν Νέαν ἐκκλησίαν κατονομάζουσιν, εἰς εὐπρέπειαν καὶ κάλλος καὶ ὡραιότητα μηδενὶ ἑτέρῳ ὑπερβολὴν ἢ σύγκρισιν καταλιμπάνοντα, προσόδους τε ἔταξεν ἱκανὰς εἴς τε φωταγωγίαν καὶ

ACEVBMN FH **46** ἢ πρότερον VBMN Theoph. Cont. 323, 10: καὶ μόνιμον (post **45** ἑδραῖον A) ACE **47** καταπεσόντα: καταβεβλημένον A **48** Στροβιλαίᾳ EVMN Theoph. Cont. 323, 13: Στροβηλαίᾳ AC: Στροβηλέᾳ B **50** δὲ om. BM **52** Μωκίου post μάρτ. A ἁγίου ante μάρτυρος add. A **53** ἄχρι: ἕως B τῆς ante γῆς add. E ἠξίωσε καὶ: ἀξιώσας A **54** πλησιάζοντα δὲ τούτῳ: πλησίον τούτου B **56** Ῥωμανὸν A **57** ἁγίου ante μάρτ. add. B τὸν alt. om. M **59** post ἀνέστησε add. ACE: καὶ τὸν ἐγγίζοντα (τῶν add. E) καλλινίκων μαρτύρων νεὼν (ναὸν E) Ἑσπέρας (Ἑσπ. om. A) καὶ Ζωῆς τῷ τοῦ ἁγίου Πλάτωνος ναῷ ἐπεποιήσατο αὐτόν τε (αὐτόν τε: καὶ αὐτὸν δὴ τοῦτον A) τὸν τοῦ μάρτυρος (μάρτυρος: ἁγίου A) Πλάτωνος πεσόντα ἀνέστησε **59** κἀν: καὶ C κἀν τοῖς: κλητοῖς B Δομνίνου AEVN Theoph. Cont. 324, 12: Δομνήνου CM: Δομνίκου B **61—65** ἐλάμπρυνε — ἐπισκευάσας om. A **62—64** καὶ Πλάτωνος — ἐπεποιήσατο om. CE **63** ναὸν: νεὼν MNFH **64** ἁγίου ante μάρτ. add. B τὸν ante ἐν add. B **66** Ἠλιοὺ A (sed Ἠλιοῦ Theoph. Cont. 325, 2 cod. V) κατὰ τὸ Πετρίον: ἐν τῷ Πετρίῳ B **67** βασιλείαις B **68** Ἠλιοὺ A **69** καὶ post ἱεράρχ. add. B **70** τουτονὶ EVMN: τουτὶ C: τοῦτον AB ὃν: ἣν καὶ B **71** ὡραιότητος B μηδενὶ ἑτέρῳ ante **70** εἰς B καὶ post ἢ add. A **72** τε alt. om. B

χρείαν τῶν δοξολογούντων. καὶ τί δεῖ διεξιόντα ἐπὶ πλέον μηκύνειν; αὐτὸ τὸ ἔργον τοῖς θεωμένοις παρίστησι τὴν οἰκείαν καλλονὴν καὶ πολυτέλειαν. καὶ ἄλλους δὲ πολλοὺς θείους ναοὺς ἐντὸς τοῦ παλατίου ἐδομήσατο, εἰς ὄνομα Ἠλιοῦ τοῦ προφήτου καὶ τοῦ μάρτυρος Κλήμεντος καὶ τοῦ σωτῆρος Χριστοῦ καὶ τοῦ ἀποστόλου Πέτρου καὶ τοῦ ἀρχιστρατήγου, ὧν τὴν ὡραιότητα παραστήσασθαι ποιητικὴ ἂν ἠτόνησε μεγαληγορία. πολλὰ δὲ κἀν τοῖς βασιλείοις ἀνέστησεν, ὡς ἄν τις εἴποι, βασιλείων βασίλεια. ταῦτα δὲ ἀριθμεῖσθαι οὐκ ἀναγκαῖον. ἔργον δὲ τούτου τοῦ βασιλέως καὶ ὁ λεγόμενος οἶκος τὰ Μάγγανα καὶ ὁ ἕτερος ὁ Νέος καλούμενος. οὓς ἀπὸ τοιαύτης κατεσκεύασε προαιρέσεως. μὴ βουλόμενος γὰρ τὰ δημόσια πράγματα εἰς οἰκείας καταναλίσκειν χρείας τοὺς τοιούτους ἀνῳκοδόμησεν οἴκους, καὶ προσόδους ἐκ γεωργίας ἀπέταξεν αὐτοῖς ἱκανάς, ἀφ' ὧν ἡ βασι|λικὴ πανδαισία αὐτοῦ τε καὶ τῶν ἀνὰ πᾶν ἔτος ὑπ' αὐτοῦ κεκλημένων ἄφθονον καὶ δικαίαν τὴν χορηγίαν ἔμελλεν ἔχειν ἀεί. ἐδομήσατο δὲ καὶ τὰ ἐν Πηγαῖς παλάτια καὶ τὰ ἐν τοῖς Ἱερείοις ἐκαλλωπίσατο, ἀνακαθάρας καὶ τὴν ἀπογαιωθεῖσαν κινστέρναν, ἣν Ἡράκλειος ὁ βασιλεὺς προσχώσας παράδεισον φυτῶν καὶ λαχάνων εἰργάσατο. ὅπερ ἐποίησε καὶ ἐν ταῖς οὔσαις ἐντὸς τοῦ παλατίου, τῇ τε πρὸ τῆς Μαγναύρας καὶ τῇ μεταξὺ Ἰουστινιανοῦ τρικλίνου καὶ τοῦ Λαυσιακοῦ. ὁ γὰρ εἰρημένος βασιλεὺς Ἡράκλειος παρὰ Στεφάνου τοῦ φιλοσόφου μαθών, τὴν γένεσιν αὐτοῦ πολυπραγμονήσαντος, ὡς ἐξ ὕδατος αὐτὸν δεῖ τελευτᾶν, τὰς τῶν κινστερνῶν, ὡς εἴρηται, προσχώσεις εἰργάσατο. τὰ ἐν τοῖς Ἱερείοις ἀποκαθάρας βασίλεια εἰς τὸ ἀρχαῖον σχῆμα ἀνήγαγε, καὶ ἀντὶ παραδείσου δοχεῖον ἀπειργάσατο ὕδατος ἀφθόνου καὶ διειδοῦς. ἐδείματο δὲ κἀν τῷ φόρῳ ναὸν περικαλλέστατον ἐπ' ὀνόματι τῆς θεοτόκου, ὡς ἂν ἔχοιεν αὐτὸν οἱ πραγματευόμενοι

ACEVBMN FH **73** χρείαν: διανομὴν B διεξιόντα — πλέον ACEMN: ἐπὶ πλέον διεξιόντα VB **74** τε post καλλονήν add. B **75** δὲ om. B θείους om. B **76** Ἠλιοὺ A (sed Ἠλιοῦ Theoph. Cont. 329, 20 cod. V) τοῦ προφήτου Ἠλιοῦ VB **76/77** τοῦ μάρτυρος — Χριστοῦ: τοῦ σωτῆρος Χριστοῦ καὶ τοῦ μάρτ. Κλήμ. B **78** ὧν — μεγαληγορία: ὧν ἠτόνησεν ἂν καὶ ποιητ. μεγαλ. τὴν ὡραιότ. παραστήσεσθαι A **79** κἀν: καὶ A βασιλείων VBMN Theoph. Cont. 331, 21: βασιλέων ACE **80** τοῦ βασιλέως om. B **81** ὁ ante ἕτερος om. A **83** οἰκείαν AB χρείαν B **83/84** τοὺς — οἴκους: τούτους τοὺς οἴκους ἀνῳκοδόμησε B **85** βασιλικὴ VBMN Theoph. Cont. 337, 9: βασίλειος ACE **87** Ἱερείοις MN: Ἱρείοις FH: Ἱερείας Theoph. Cont. 337, 19: Ἠρίοις ACE: Ἠρείοις V: Ἰρίου B **88** ἐκαλώπησεν B **89** ὁ βασιλεὺς Ἡράκλειος A **90** ἐποίησε post παλατ. B οὔσαις ACEBF: οὖσαι Theoph. Cont. 338, 5: Σούσαις VMN ἐντὸς οὔσαις B **91** τῇ ACEB (cf. Theoph. Cont. 338, 6): τῆς VMNFH Ἰουστινιανοῦ AEVMN: Ἰουστιανοῦ Theoph. Cont. 338, 6 cod. V: Ἰουστινιανείου B: Ἰουστινιαναῖς C τοῦ ante τρικλ. add. MNFH (sed cf. Theoph. Cont. 338, 7) **93** καὶ post μαθὼν add. E ὑδάτων A **95** καὶ post εἰργάσατο add. B **95–2** τὰ — διειδοῦς om. ACE **95** τὰ B: τὴν VMNFH Ἱερείοις MN: Ἱερείᾳ Theoph. Cont. 338, 12: Ἠρείοις V: Ἰρίοις B βασίλεια B: βασιλείαν MFH: βασίλειαν N: Βασίλειος V **2** ὁ βασιλεὺς post δὲ add. B **3** εἰς ὄνομα M ὑπεραγίας ante θεοτόκου add. B

οἶκον προσευχῆς, ὁπότε ταῖς πραγματείαις ἐμβραδύνωσι. καὶ τὸν τοῦ ἁγίου Φωκᾶ δὲ ναὸν ἐν τῷ Στενῷ ἐπισκευάσας καὶ καλλωπίσας οἰκητήριον μοναχῶν ἀπετέλεσε, τάξας προσόδους ἱκανὰς εἰς διάρκειαν τῶν ἐν αὐτῷ ἀσκουμένων. ἀνεκαίνισε δὲ καὶ τὸν μέγαν τοῦ ἀρχιστρατήγου ναὸν τὸν ἐν τῷ Σωσθενίῳ ἤδη καταπεσόντα, καὶ εἰς τὸ φαινόμενον κάλλος μετήγαγε.

42. Πολλοὺς δὲ καὶ τῶν Ἰουδαίων δωρεῶν ἐπαγγελίαις καὶ δόσεσι | καὶ δώρων ἀνταλλαγαῖς τοῦ θείου κατηξίωσε βαπτίσματος. καὶ τὸ τῶν Βουλγάρων δὲ γένος ἀρτιπαγὲς ὂν πρὸς θεοσέβειαν μοναχῶν ἀποστολῇ εὐλαβῶν καὶ ἱερέων ἀρετῇ κεκοσμημένων ἐβεβαίωσε πρὸς τὴν πίστιν. καὶ τοῖς Ῥῶς δὲ συμβάσεις θέμενος ἐν μετοχῇ γενέσθαι τοῦ σωτηρίου βαπτίσματος αἴτιος γέγονε, πεμφθέντος αὐτοῖς καὶ ἀρχιερέως.

43. Ἀλλ' ἄξιον διηγήσασθαι καὶ τὸ γεγονὸς θαῦμα παρὰ τοῦ πεμφθέντος ἀρχιερέως. ἔτι γὰρ τῇ δεισιδαιμονίᾳ κατεχόμενος αὐτός τε ὁ ἄρχων καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ τὸ ἅπαν ἔθνος, καὶ σκοπούμενοι περί τε τῆς πρῴην αὐτῶν θρησκείας καὶ τῆς τῶν Χριστιανῶν πίστεως, εἰσκαλοῦσι τὸν ἄρτι πρὸς αὐτοὺς φοιτήσαντα ἀρχιερέα. ὃν ὁ ἄρχων ἐπηρώτα, τίνα τὰ παρ' αὐτοῦ καταγγελλόμενα καὶ αὐτοῖς διδάσκεσθαι μέλλοντα. τοῦ δὲ τὴν ἱερὰν τοῦ θείου εὐαγγελίου προτείναντος βίβλον, καί τινα θαύματα ἐξηγουμένου τῶν ὑπὸ τοῦ θεοῦ ἐν τῇ ἀνθρωπίνῃ ἐπιδημίᾳ τερατουργηθέντων, 'εἰ μή τι τῶν ὁμοίων τὸ πλῆθος', ἔφη, 'τῶν Ῥῶς καὶ ἡμεῖς θεασόμεθα, καὶ μάλιστα, ὁποῖον λέγεις ἐν τῇ καμίνῳ τῶν τριῶν παίδων γενέσθαι, οὐκ ἄν σοι ὅλως πιστεύσωμεν.' ὁ δὲ τῷ

12 a. circiter 868　**15** a. circiter 874

---

cap. 42: Theoph. Cont. 341, 8—343, 2; Zon. III, 435, 4—435, 8　cap. 43: Theoph. Cont. 343, 3—344, 18; Zon. III. 435, 8—436, 5

ACEVBMN FH　**4** ὁπόταν AB　τῇ πραγματείᾳ B　τοῦ ἁγίου: ἅγιον E　**5** ἁγίου — Στενῷ: ἁγίου δὲ Φωκᾶ ἐν τῷ Στενῷ ναὸν B　ἁγίου — ἐπισκευάσας: ἁγίου δὲ Φωκᾶ ναὸν ἐπισκευάσας ἐν τῷ Στενῷ A　Στενῷ: ναῷ V　**6** μοναστῶν B　ἀπετέλεσε: ἀπέδειξε A　διάρκειαν: αὐτάρκειαν B　**7** δὲ om. B　**8** εἰς VBM: ἐς ACENFH　**11** καὶ δώρων ἀνταλλ. om. B　βαπτ. κατηξ. AB　**12** ἐπιστολῇ E　**14** Ῥῶς VBMN Theoph. 342, 20 (sed 343, 15 Ῥώς cod. V): Ῥὼς ACE　σωτηρίου VBMN: σωτηριώδους Theoph. Cont. 342, 23: θείου ACE　**16** παρὰ: περὶ C　**19** πρῴην EVBMN: πατρῴας A: πρώτης C　**20** πρὸς — φοιτήσαντα: προσφοιτήσαντα B　φοιτήσαντα ἀρχιερέα: ἀρχιερέα φοιτήσαντα A　**21** παρ': κατ' CE　αὐτοῖς: αὐτὸς M　**22** προτείνοντος B　βίβλον προτειν. A　**23** τοῦ om. B　ἀνθρωπίνῃ: πρὸς ἀνθρώπους B　**25** Ῥῶς VBMN: Ῥὼς ACE Theoph. Cont. 343, 15 cod. V　**26** ὅλως VBMN Theoph. Cont. 343, 17: ῥᾳδίως ACE　ἀρχιερεὺς ante τῷ add. B

ἀψευδεῖ πιστεύσας λόγῳ τοῦ εἰπόντος ὅτι· ‘ὃ ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, λήψεσθε, ’καὶ ‘ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, καὶ αὐτὸς ποιήσει, καὶ μείζονα τούτων ποιήσει’, ἔφη πρὸς αὐτούς· ‘εἰ καὶ μὴ ἔξεστιν ἐκπειράζειν κύριον τὸν θεόν, ὅμως, εἰ ἐκ ψυχῆς διεγνώκατε προσελθεῖν τῷ θεῷ, αἰτήσασθε, | ὅπερ βούλεσθε, καὶ ποιήσει τοῦτο πάντως διὰ τὴν πίστιν ὑμῶν ὁ θεός, κἂν ἡμεῖς ἐσμεν ἐλάχιστοι καὶ ἀνάξιοι’. οἱ δὲ εὐθέως ᾐτήσαντο τὴν τοῦ θείου εὐαγγελίου πυκτίδα ἐν τῇ παρ’ αὐτῶν ἀναφθείσῃ ῥιφῆναι πυρκαϊᾷ, καὶ εἰ ἀβλαβὴς αὕτη τηρηθείη, προσελθεῖν καὶ αὐτοὺς τῷ παρ’ αὐτοῦ κηρυσσομένῳ θεῷ. ἔδοξε ταῦτα, καὶ τοῦ ἱερέως πρὸς θεὸν τοὺς ὀφθαλμοὺς καὶ τὰς χεῖρας ἐπάραντος καί· ‘δόξασόν σου τὸ ἅγιον ὄνομα, Ἰησοῦ Χριστέ, ὁ θεὸς ἡμῶν’ εἰπόντος, ἐν ὀφθαλμοῖς τοῦ ἔθνους τουτουὶ ἐρρίφη εἰς τὴν κάμινον ἡ τοῦ ἁγίου εὐαγγελίου βίβλος. ἐφ’ ὥρας δὲ ἱκανὰς τῆς καμίνου ἐκκαιομένης, εἶτα καὶ τέλεον μαρανθείσης, εὑρέθη τὸ ἱερὸν πυκτίον διαμεῖναν ἀπαθὲς καὶ ἀλώβητον, μηδεμίαν ὑπὸ τοῦ πυρὸς δεξάμενον λύμην. ὅπερ ἰδόντες οἱ βάρβαροι, καὶ τῷ μεγέθει καταπλαγέντες τοῦ θαύματος, ἀνενδοιάστως πρὸς τὸ βάπτισμα ηὐτομόλουν.

44. Κατὰ τοῦτον τὸν χρόνον Κωνσταντῖνος ὁ πρεσβύτερος τῶν τοῦ βασιλέως υἱῶν τὸν βίον ἐξέλιπε νόσῳ πυρεκτικῇ, πένθος ἀμύθητον καταλιπὼν τῷ πατρί· ἀλλὰ τοῦτο μὲν ὁ βασιλεὺς πράως ἤνεγκε, παρεμυθήσατο δὲ τὴν σύζυγον καὶ τὰ τέκνα.

45. Ἐναγόμενος δὲ παρὰ τῶν προϊσταμένων τοῦ δημοσίου ὁ βασιλεὺς ἐπόπτας εἰς τὰ θέματα ἐκπέμψαι, ὡς ἂν δυναμένων ἐκ τούτου τῶν δημοσίων συντελειῶν ἐπιδοῦναι, προσποιησάμενος ἀποδέχεσθαι τὴν ὑπόμνησιν, ἐκλέξασθαι καὶ εὐτρεπίσαι προσέταξε, καὶ αὐτῷ προσαγαγεῖν τοὺς μέλλοντας τὸ τοιοῦτον ἔργον ἐπιτελέσαι καλῶς. ἐπιλεξάμενος δ’ ὁ γενικός, οὓς ἐδόκει διακονῆσαι πρὸς τὸ τοιοῦτον ἔργον ὀρθῶς, | καὶ τὰς τῶν ἐκλεγέντων προσηγορίας εἰσαγαγών, πολλῆς ἐνομίσθη μέμψεως

45 a. circiter 879

27 ὃ ἂν αἰτήσητε . . . λήψεσθε: cf. Matth. 21, 22 **28** ὁ πιστεύων εἰς ἐμὲ . . . ποιήσει: Joh. 14, 12 **30** ἐκπειράζειν . . . τοὺ θεόν: cf. 1 Cor. 10, 9 **36** δόξασόν σου . . . ὄνομα: cf. Joh. 12, 28 cap. 44: Theoph. Cont. 344, 18—346, 4; Zon. III, 436, 6—436, 9; Glyc. 550, 10—550, 17 cap. 45: Theoph. Cont. 346, 5—348, 9

ACEVBMN FH **27** ὃ ἂν AEB Theoph. Cont. 343, 19 cod. V: ἐὰν CVMNFH αἰτήσητε EVB Theoph. Cont. 343, 19: αἰτήσησθε ACMNFH **28** ἐγὼ om. N καὶ αὐτὸς CEVMN Theoph. Cont. 343, 20 cod. V: κἀκεῖνος ABF Theoph. Cont. 343, 20 Bekker **30** πειράζειν B ὅμως, εἰ: καὶ B διέγνωτε B **31** αἰτήσεσθε E **33** ἱερὰν ante τοῦ add. A **34** ῥιφθῆναι E πυρκαϊᾷ: πυρᾷ A **35** ἱερέως: ἀρχιερέως B **36** τὸν ante θεὸν add. B **37** ὁ ἡμῶν θεός M ἁγίου om. M **37/38** τοῦ — τουτουί: τούτου τοῦ ἔθνους B **38** τουτουί: τούτου A **39** ὢ τοῦ θαύματος post μαρανθ. add. B **44** Κωνστ. post **45** υἱῶν E **45** ἀμύθητον πένθος B **47** δὲ: τε A **49** ἂν om. B **52** δ’: δὲ B **53** διακονῆσαι post ἔργον B ὀρθῶς: καλῶς N

ἄξιος, εἰ τοιούτους οἴοιτο λειτουργοὺς ἔσεσθαι ἀξίους πρὸς τοιοῦτον λειτούργημα. τοῦ δὲ μὴ ἔχειν κρείττονας ἀνθυπενεγκόντος ἐν ὅλῳ τῷ πολιτεύματι, ὑπολαβὼν ὁ βασιλεύς· 'τὸ τῆς προκειμένης διακονίας ἔργον τοιοῦτον παρ' ἐμοὶ κρίνεται, ὥστε, εἴπερ οἷόν τε ἦν, αὐτὸν ἐμὲ πρὸς τὴν τούτου διοίκησιν ἐξελθεῖν. ἐπεὶ δὲ τοῦτό ἐστι καὶ ἀπρεπὲς καὶ ἀδύνατον, ἐξ ἀνάγκης ἐπὶ τοῖς δυσὶ τῆς πολιτείας μαγίστροις, οἳ καὶ χρόνῳ καὶ πείρᾳ καὶ ταῖς πολλαῖς ἐν τῷ μακρῷ βίῳ τῶν πολιτικῶν ἀρχῶν διοικήσεσιν, ἐν αἷς ἐξητάσθησαν, ἀκίβδηλον καὶ καθαρὸν τῆς ἀρετῆς ἐξενηνόχασι τὸ δοκίμιον, τὰς ἐλπίδας σαλεύων, καὶ τὴν διακονίαν ὑπὸ τούτων ἀνυσθῆναι δεόντως θαρρῶ. ἀπελθὼν οὖν', φησίν, 'αὐτὸς σὺ ἀπάγγειλον αὐτοῖς τὸ τῆς διακονίας εἶδος καὶ τὸ θέλημα τὸ ἐμόν. καὶ βουλομένων | ἐξελθεῖν ἐπευδοκῶ καὶ αὐτός.' ὡς δ' ἀκούσαντες οἱ ἄνδρες ἦλθον εἰς ἔκπληξιν, καὶ τὸ γῆρας ἀνθ' ἱκετηρίας προὐβάλλοντο καὶ τοὺς προηγησαμένους ὑπὲρ τοῦ πολιτεύματος κόπους, καὶ παρενεχθῆναι ἐξ αὐτῶν τὴν τοιαύτην ὑπηρεσίαν ἱκέτευσαν, ὑπέστρεψεν ἄπρακτος ὁ πεμφθεὶς καὶ τῷ βασιλεῖ τὰ παρ' ἐκείνων λαληθέντα ἀπήγγειλεν. ἅπερ ἀκούσας· 'εἰ τὸ ἐμὲ ἐξελθεῖν δοκεῖ εἶναι ἀδύνατον, παραιτοῦνται δὲ τὴν ὑπουργίαν καὶ οἱ λαμπρότατοι μάγιστροι, οὐδένα ἔχων τοῦ πράγματος διοικητὴν ἀξιόχρεων καταλειφθῆναι τοῦτο ἀνεπίσκεπτον βούλομαι. κρεῖττον γάρ', φησί, 'παρακερδαίνειν τινὰς ἀπὸ τῶν τοῦ δημοσίου μὴ καλῶς, ἢ κακῶς ὑποπτεύειν ζημίαν ὑποστῆναί τινα ἐπιτρίβουσαν αὐτὸν καὶ συμπνίγουσαν. καὶ διὰ τοῦτο πάντα τὸν τῆς αὐτοκρατορίας αὐτοῦ χρόνον ἔμεινεν ἀνεξίσωτος, ἢ φάναι μᾶλλον, ἐλεύθερος καὶ ἀδιάπρακτος ὁ ὑπὸ τὴν Ῥωμαϊκὴν ἐξουσίαν ἅπας τῶν ὅλων θεμάτων λαός.

46. Τοῦ πρεσβυτέρου δὲ τῶν υἱῶν τοῦ βασιλέως Κωνσταντίνου, ὡς εἴπομεν, τὸν βίον μετημειφότος, καὶ τοῦ φίλτρου καὶ τῶν ἐλπίδων ἐπὶ

cap. 46: Theoph. Cont. 348, 10–351, 21; Zon. III, 437, 3–439, 10; Glyc. 550, 18–551, 15

ACEVBMN FH 55 ἔσ. λειτουργ. B τὸ post πρὸς add. B 58 ἔφη post τοιοῦτον add. B εἶπεν add. post κρίνεται A ὥστε, εἴπερ: ὡς, εἰ B εἰ ante εἴπερ add. E 59 τούτου: τούτων M ἐστιν BMNFH καὶ pr. om. BMNH 62 ἐξητάσθησαν ACEVB Theoph. Cont. 347, 8: ἐξετάσθησαν MNF 63 σαλεύω B 64 αὐτὸς om. B 66 ἐξελθεῖν VBMN Theoph. Cont. 347, 13: ἐπεξελθεῖν ACE 67 προὐβάλλοντο AVBMN: προὐβάλοντο CE 68 ὑπὲρ: ὑπὸ C κόπου C 69 τοιαύτην ACEVBF: τοιαύτης Theoph. Cont. 347, 16: om. MN 70 ὁ βασιλεὺς εἶπεν post ἀκούσας add. B εἰ: εἰς C 71 ὑπουργίαν VBMN Theoph. Cont. 347, 20: ὑπηρεσίαν ACE 72 ἔχω B 73 τοῦτο: τοῦτον V ἀνεπισκόπητον B 74 φησί om. B 75 ἐπιτρίβουσαν VB: ἐπιτριβούσῃ Theoph. Cont. 348, 1: συντρίβουσαν ACEMNFH 76 παρὰ ante πάντα add. AMNFH 77 ἀνεξίσατος C φάναι: φανῆναι V 78 ἅπας: ἅπασαν A 79 δὲ om. B τοῦ ante Κωνστ. add. B 80 μετειληφότος M καὶ τοῦ φίλτρου om. A

τὸν δεύτερον υἱὸν Λέοντα μεταπεσόντων, δεινῶς ὁ φθόνος ὁπλίζεται κατ' αὐτοῦ. καὶ ὅπως, τὰ ἑπόμενα δηλώσει τρανότερον. μοναχὸς ἦν τις τῶν πάνυ φιλουμένων καὶ πιστευομένων Βασιλείῳ τῷ βασιλεῖ, ἦν δὲ καὶ ἱερεύς, ὃν Σανδαβαρηνὸν κατωνόμαζον. ὃς εἰ καὶ παρὰ τοῦ βασιλέως ἐστέργετο, ἀλλ' οὐκ εἶχε παρὰ τοῖς ἄλλοις δόξαν χρηστήν, καὶ διὰ τοῦτο πολλάκις καὶ παρὰ Λέοντος τοῦ υἱοῦ τοῦ βασιλέως διεκωμῳδεῖτο, ὡς ἀπατεὼν καὶ γόης καὶ τὸν βασιλέα τῶν καθηκόντων ἐξάγων λογισμῶν καὶ εἰς ἃ μὴ δεῖ παρασύρων. ὑφ' ὧν δακνόμενος ἐκεῖνος τὴν ψυχὴν καὶ ἀνταμύνασθαι σπεύδων τὸν λυποῦντα φιλίαν ὑποκρίνεται πρὸς τὸν Λέοντα, καί ποτέ φησι πρὸς αὐτόν· 'ἵνα τί, ὦ βασιλεῦ, νεανίας ἤδη ὢν καὶ παρὰ τῷ πατρί σου φιλούμενος, μὴ ἐπιφέρῃ ῥομφαίαν, ἢ μάχαιραν, ὅταν κατ' ἀγροὺς συνιππάζῃ σου τῷ πατρί, ἵνα καὶ αὐτῷ, εἰ κατὰ θηρίου χρείαν σχῇ, ἐπιδίδως; καὶ εἴ τι λαθραῖον πολλάκις κατ' αὐτοῦ ἐπιβούλευμα γένηται, μὴ ἄνοπλος εὑρεθῇς, ἀλλ' | ἔχῃς τι, μεθ' ὅτου δυνήσῃ τοὺς πατρικοὺς ἐχθροὺς ἀνταμύνασθαι;' οὐχ ὑπειδόμενος δὲ τὸν δόλον ὁ Λέων, οὐδὲ συννοήσας τὴν μηχανὴν δέχεται τὴν συμβουλήν, καὶ μάχαιραν ἐντὸς τοῦ ὑποδήματος ἐπιφέρεσθαι πείθεται. γνοὺς δὲ ὁ Σανδαβαρηνὸς εἰς ἔργον χωρήσασαν τὴν αὐτοῦ σκευωρίαν, πρόσεισι τῷ βασιλεῖ καί φησι· 'γνωστόν σοι ἔστω, ὦ βασιλεῦ, ὡς ἐπιβουλεύει τῇ ζωῇ σου ὁ σὸς υἱός. καὶ εἰ ἀπιστεῖς, ὅταν κατὰ θήραν ἐξίῃς, κέλευσον περιαιρεθῆναι τὰ πέδιλα τῶν ποδῶν αὐτοῦ καὶ εἰ εὑρεθείη ξίφος ἐπιφερόμενος, ἔσται πάντως ἡ ἐμὴ συμβουλὴ συμφέρουσα.' ἐλέχθη ταῦτα, ἔξοδος κατηγγέλθη βασιλική, συνεξῆλθεν ἅπαν τὸ εἰωθός, ἔξεισι καὶ Λέων ὁ τοῦ βασιλέως υἱός. καὶ κατά τινα τόπον γενόμενος ὁ βασιλεὺς προσποιεῖται χρείαν ἔχειν μαχαίρας, καὶ ἐπεζήτει ταύτην μετ' ἐπιτάσεως. μηδὲν οὖν τῶν ὑπονοουμένων τῷ πατρὶ προειδόμενος ὁ υἱός, ἀπονήρως ἐφελκυσάμενος, ἣν ἐπεφέρετο μάχαιραν ἐπιδίδωσι τῷ πατρί. τούτου γενομένου αἱ μὲν τοῦ Σανδαβαρηνοῦ προσαγγελίαι εὐθὺς ἐπιστεύοντο, αἱ δὲ παρὰ τοῦ Λέοντος ἀπολογίαι μάταιοι καὶ κεναί. ὑποστρέψας οὖν ὁ βασιλεὺς εἰς τὰ βασίλεια πρὸς ὀργὴν κατὰ τοῦ υἱοῦ διανίσταται, καὶ ἔν τινι τῶν βασιλείων οἴκων,

ACEVBMN FH **81** δεινῶς VBMN: δεινὸς ACE **83** βασ. τῷ βασ. A ἦν δέ: ἦν δ' οὗτος B **84** Σανταβαρηνόν B **85** καὶ διὰ τοῦτο: διὰ τοῦτο οὖν B **86** πολλάκις καὶ VB Theoph. Cont. 349, 4: πολλάκις F: καὶ πολλάκις ACEMNH **89** ἀνταμύνασθαι MNF: ἀνταμύνεσθαι BH: ἀνταμείβεσθαι ACE σπεύδων: θέλων ACE **91** παρὰ om. B **92** ὅταν: ὅτε B σου τῷ πατρί: τῷ βασιλεῖ καὶ τῷ πατρί σου A **93** σχοίη B ποτε post σχῇ add. A πολλάκις: ἴσως B πολλάκις – αὐτοῦ: κατ' αὐτοῦ πολλάκις A **94** εὑρεθῇ A τι om. B **95** ἀνταμύνασθαι VB Theoph. Cont. 349, 14: ἀνταμύνεσθαι ACEMN δὲ om. E **2** τῶν ὑποδημάτων A Σανταβαρηνὸς B **3** σκαιωρίαν AB **4** πρὸς αὐτὸν post φησι add. B γνωστόν ἔστω σοι BM τῇ ζωῇ σου: τῇ σῇ ζωῇ V **5** ὅταν: ὅτε B ἐξίῃς: ἐξέλθῃς B **6** εὑρεθῇ B **7** συμβουλὴ VBF: βουλὴ ACEMN καὶ ante ἔξοδος add. A **8** ὁ ante Λέων add. B βασιλεὺς post Λέων add. M **10** οὖν om. VB **11** προειδόμενος VB Theoph. Cont. 350, 4: προειδὼς ACMNF: συνειδὼς E **13** Σανταβαρηνοῦ B **14** μάταιαι AB Theoph. Cont. 30, 85 εἰς: πρὸς A **15** πρός: εἰς A ἀνίσταται B

ὃς Μαργαρίτης κατονομάζεται, ἔμφρουρον τοῦτον πεποίηκεν, ἀφαιρεῖται δὲ καὶ τὰ τῆς βασιλείας παράσημα. διηρεθίζετο δὲ παρὰ τοῦ Σανδαβαρηνοῦ καὶ τοὺς λύχνους ἀποσβέσαι τῶν ὀφθαλμῶν αὐτοῦ. ἀλλὰ τοῦτο μὲν ἐκωλύθη ποιῆσαι ὑπὸ τοῦ πατριάρχου καὶ τῆς συγκλήτου βουλῆς, τῆς εἱρκτῆς δὲ ὅμως εἶχεν ἐντός. χρόνου δὲ παραδραμόντος συχνοῦ | καὶ πολλάκις τῆς συγκλήτου βουληθείσης διαπρεσβεύσασθαι περὶ τούτου, καὶ κατ' ἄλλην καὶ ἄλλην αἰτίαν ἄλλως καὶ ἄλλως κωλυομένης πρόφασις δίδοται εὔλογος, ἐξ ἧς ὡδηγήθησαν εἰς τὸ κατανύσαι τὰ σπουδαζόμενα. ζῷον ἦν τι πτηνὸν ἐν κλωβῷ κατὰ τὰ βασίλεια αἰωρούμενον πρὸς θέαν καὶ τέρψιν τῶν θεωμένων καὶ ἀκουόντων (ψιττακὸς ὄνομα τῷ ζῴῳ), μιμηλὸν καὶ πολύφωνον. ὅπερ, εἴτε πρός τινων διδαχθέν, εἴτ' ἄλλως πως ἐξ αὐτομάτου πολλάκις 'αἶ αἶ κῦρι Λέον' ἐφθέγγετο. εὐωχίας δέ ποτε τελουμένης τῷ βασιλεῖ καὶ τῶν πρώτων τῆς βουλῆς συνεστιωμένων αὐτῷ, καὶ τοῦ ὄρνιθος πολλάκις φθεγγομένου τὸ προρρηθέν, ἐπιστυγνάσαντες οἱ δαιτυμόνες τῆς εὐωχίας ἐπαύσαντο καὶ ἐπὶ συννοίας ἐκάθηντο. οἷσπερ προσσχὼν ὁ βασιλεὺς τὴν αἰτίαν τῆς ἀποχῆς τῶν βρωμάτων ἐπήρετο. οἱ δὲ δακρύων ὑποπλησθέντες τοὺς ὀφθαλμούς· 'τίνα, ὦ δέσποτα', εἶπον, 'βρῶσιν φαγούμεθα, οὕτως ὑπὸ τῆς φωνῆς τοῦ ἀλόγου τούτου ὀνειδιζόμενοι, δοκοῦντες ἡμεῖς λογικοί τε καὶ φιλοδέσποτοι, ὅτι αὐτὸ μὲν τὸ ἄλογον ζῷον τὸν οἰκεῖον ἀνακαλεῖται δεσπότην, ἡμεῖς δὲ τρυφῶντες λήθην τοῦ μηδὲν ἀδικήσαντος ἐλάβομεν δεσπότου. εἰ μὲν γὰρ ἀδικῶν ἐλέγχεται καὶ κατὰ τοῦ πατρὸς εὐτρεπίσας τὴν δεξιάν, αὐτόχειρες ἡμεῖς τούτου γενησόμεθα πάντες, τοῦ αἵματος αὐτοῦ μὴ λαμβάνοντες κόρον. εἰ δ' ἐφ' οἷς ἐνεκλήθη διαφεύγει τὸν ἔλεγχον, μέχρι τίνος ἡ συκοφάντις γλῶσσα κατ' αὐτοῦ δυναμοῦται;' μαλαχθεὶς οὖν τοῖς τοιούτοις λόγοις ὁ βασιλεὺς τότε μὲν καθεσθῆναι τούτους προσ|έταξε, σκοπῆσαι δ' αὐτὸς περὶ τοῦ πράγματος ἐπηγγείλατο. μετ' οὐ πολὺ δὲ πρὸς τὴν φύσιν ἐπανελθὼν ἐξάγει τε τῆς φρουρᾶς καὶ εἰς ὄψιν ἄγει τὸν υἱὸν καὶ τὴν πένθιμον ἀμείβει στολὴν καὶ τὸ περιττὸν τῆς ἐν

ACEVBMN F **17** Σανταβαρηνοῦ B **18** αὐτοῦ om. E **19** ὑπὸ EVBNF: παρὰ ACM **21** περὶ τούτου διαπρεσβ. A περὶ τούτου om. B **22** αἰτίαν om. V αἰτίαν ἄλλως καὶ: αἰτίαν ἄλλοτε AB καὶ post αἰτίαν add. E **23** εἰς τὸ κατανύσαι: ἀνύσαι B τὸ σπουδαζόμενον VB **24** κλουβῷ E καὶ post κλωβῷ add. E **25** ἀκουόντων καὶ θεωμ. M πιττακὸς E **25/26** ψιττακὸς – ζῴῳ: ψιττ. τῷ ζῴῳ τὸ ὄνομα τοῦτο δὲ B **26** δὲ ἦν post μιμ. add. A πρός: παρὰ AM εἴτ' CEVMN Theoph. Cont. 350, 23 cod. V: εἴτε AB **27** κῦρι ACENF: κύριε BM: κῦρ Theoph. Cont. 350, 23 **31** οἷσπερ: οἷς A **32** ὑποπλήσαντες E **33** ὦ om. B δέσπ.', εἶπον ACEF: εἶπον post τίνα VB: post φαγούμεθα MN **34** τούτου CEVMN: ζῴου A: om. B τε om. M φιλοδέσποταις M **35** αὐτὸ om. B **36** ἡμῶν post ἐλάβομεν add. A **37** ἐλέγχετο B **38** γενησόμεθα: γεγόναμεν B πάντες: ἅπαντες ἂν B **39** διαφεύγει ACEMN Theoph. Cont. 351, 13: φεύγει VB **41** οὖν: γοῦν B τούτους ACEMN Theoph. Cont. 351, 16: τούτοις VB **43** τε om. M **44** ἄγει: ἀνάγει B

τῇ λύπῃ τραφείσης κόμης περιαιρεῖ καὶ τὴν προτέραν τῆς βασιλείας τιμὴν ἀποδίδωσιν.

47. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ διαρροίας νόσῳ ἁλίσκεται, καὶ κατὰ μικρὸν τῇ τοιαύτῃ τηκεδόνι κατεμαραίνετο. διαθεὶς δ', ὡς ἐδόκει, τὰ τῆς βασιλείας, καὶ τὸν κληρονόμον καὶ διάδοχον γνώριμον ποιησάμενος τὸν βίον ἀπέλιπε, συμβασιλεύσας μὲν τῷ πρὸ αὐτοῦ Μιχαὴλ χρόνον ἕνα, ἑτέροις δὲ ἐννεακαίδεκα χρόνοις περὶ τὴν αὐτοκράτορα τῆς βασιλείας ἐνδιαπρέψας ἀρχήν. διαδέχεται δὲ τὴν ὅλην τῆς ἐξουσίας ἀρχὴν Λέων ὁ καθ' ἡλικίαν πρῶτος τῶν περιόντων υἱῶν.

50 die 29. mens. Aug. a. 886

cap. 47: Theoph. Cont. 351, 22—353, 3; Zon. III, 439, 11—440, 9; Glyc. 552, 8—552, 16; 553, 8—553, 10

ACEVBMN **45** τῇ om. EB κόμης ACEMN Theoph. Cont. 351, 19: τριχὸς VB **47** καταρροίας A **48** τηκεδόνι VBMN Theoph. Cont. 352, 3: νόσῳ ACE δ' B **50/51** ἀπέλιπε — ἐννεακαίδεκα: ἀπέλιπεν, ἐνιαυτὸν συμβασιλεύσας τῷ πρὸ αὐτοῦ Μιχαὴλ ἕνα, ἑτέρους δ' ἐννεακ. B **50** συμβασιλεύσας: βασιλεύσας E **51** αὐτοκράτορα: αὐτοκρατορίαν V αὐτοκράτορα — βασιλείας: τῆς αὐτοκρατορίας B **52** ἐνδιαπρέψας: ἐνδιατρίψας B ἐξουσίας ἀρχὴν: βασιλείας ἐξουσίαν B **53** post υἱῶν add. B: αὐτοῦ. ὅτι εἴκοσι χρόνων γέγονεν αὐτοκράτωρ Βασίλειος ὁ βασιλεύς. post υἱῶν add. E: οὗτος ὁ βασιλεὺς Βασίλειος χρόνους ιη', μῆνας ια', ἡμέρας δ'. ἐκράτησε γὰρ κατὰ τὴν κδ' τοῦ Σεπτεμβρίου μηνός, ἐτελεύτησε δὲ κατὰ τὴν κθ' τοῦ Αὐγούστου μηνός. ἐτάφη δὲ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῷ ἡρῴῳ τοῦ μεγάλου Κωνσταντίνου ἐν λάρνακι πρασίνῳ χρυσοπρασίνου (?)

ΛΕΩΝ Ο ΦΙΛΟΣΟΦΟΣ

1. Λέων δὲ τῶν ὅλων γενόμενος κύριος, τῶν ἄλλων τῶν συμβαλλομένων τῷ πολιτεύματι ὀλίγα ἢ τὸ παράπαν μὴ φροντίσας, τῷ θυμῷ δὲ σφαδᾴζων, καὶ τὴν παρὰ τοῦ Σανδαβαρηνοῦ κατ' αὐτοῦ συστᾶσαν σκευωρίαν ἔναυλον ἔχων, εὐθὺς διαναστῆναι ἔκρινε πρὸς ἐκδίκησιν, προκαταστησάμενος εὐλογοφανεῖς αἰτίας, ὡς ἂν δόξειε τὰ πραττόμενα μετ' εὐλόγου πράττεσθαι ἀφορμῆς, καὶ τὰ ἐμπόδια ἐκ μέσου περιελών. εἰδὼς γάρ, ὡς οὐκ ἄν τι δυνηθείη φλαῦρον ἐνδείξασθαι κατὰ τοῦ Σανδαβαρηνοῦ, Φωτίου τὸν πατριαρχικὸν ἰθύνοντος θρόνον· προστήσεσθαι γὰρ αὐτοῦ γενναιότερον καὶ ἀντιλήψεσθαι ὑπετόπασε, καὶ μὴ συγχωρῆσαι τυ|ραννικόν τι παθεῖν. καὶ γὰρ δὴ καὶ ἐφέρετο λόγος, ὡς αὐτὸς ὁ Φώτιος οἰκείῳ συγγενεῖ μνηστευόμενος τὴν βασιλείαν καὶ τῷ Σανδαβαρηνῷ κοινολογησάμενος, καὶ δόξαν ἀμφοῖν μὴ ἄλλως ἐπιτυχεῖν τοῦ ἐφετοῦ, εἰ μὴ ὁ Λέων ἐκποδὼν γένοιτο, τὴν προειρημένην ἔρραψαν κατ' αὐτοῦ συκοφαντίαν. τοῦτον οὖν ἔγνω πρῶτον μετακινῆσαι τοῦ θρόνου, καὶ ταχέως ἐκπέμψας τὸν μάγιστρον Ἀνδρέαν τὸν στρατηλάτην, ἅμα τῷ μαγίστρῳ Ἰωάννῃ καὶ γεγονότι λογοθέτῃ τοῦ δρόμου τῷ Ἁγιοπολίτῃ, κατὰ τὴν μεγάλην ἐκκλησίαν ἀνελθεῖν ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας προσέταξε, καὶ τὰς τοῦ πατριάρχου Φωτίου αἰτίας πάντων εἰς ἐπήκοον ἀναγνόντας τοῦ θρόνου τοῦτον καταγαγεῖν, κἀν τῇ τῶν Ἁρμονιανῶν περιορίσαι μονῇ. κατὰ πόδας δὲ Στέφανον σύγκελλον, τὸν ἑαυτοῦ ἀδελφόν, ὁ βασιλεὺς πατριάρχην προβάλλεται, ὅτι μὴ τοῖς

54 de ratione temporum imperii Leonis VI. cf. Jenkins, Studies, The flight of Samonas, p. 235 et Leo Choerosphaktes, p. 175 **55** die 30. mens. Aug. a. 886 **73** a. 886

cap. 1: Theoph. Cont. 353, 12—354, 8; Zon. III, 440, 10—440, 17; Glyc. 553, 11—553, 17; Balsamon, PG 137, 324 A et 433 C

ACEVMMN FH **54** Λέων — φιλ. ACEV (φιλόσ.: υἱὸς Βασιλείου V): ἀρχὴ βασιλείας Λέοντος υἱοῦ Βασιλείου τοῦ βασιλέως M: om. BN **55** τῶν ult. om. C **56** μή: μηδέν, post ἢ B **57** Σανταβαρηνοῦ B **58** σκαιωρίαν AB **59** δόξοιε B **61** φλαῦρον ACEMN: φαῦλον VBFH Σανδαβαρηνοῦ: Σανταβαρηνοῦ B: Σαυανδαρηνοῦ E **62** θρόνον: χρόνον C προστήσεσθαι: προστίθεσθαι M **63** αὐτοῦ om. B ἀντιλήψασθαι B ὑπετόπασε VBMN: ὑπετόπαζε A: ὑπετόπα CE **64** ὁ Φώτιος om. A **65** Σανταβαρηνῷ B **66** ἂν post μὴ add. B μὴ ἄλλως (ἂν B) ACEVB: ἄλλως μὴ MNF **67** ἐφετοῦ VBMN: σκοποῦ ACE ἐκποδών: ἐκ μέσου B γένοιτο ἐκποδὼν A **70** Ἁγιοαποστολίτῃ E **71** ἐν om. B τῆς ἐκκλησίας om. AM **74** Ἁρμονιανῶν ACEMN Theoph. Cont. 354, 4: Ἁρμονειανῶν B: Ἁρμονιάνων V τὸν ante Στέφανον add. AC σύγκελλον om. B **75** καὶ ante ὅτι add. B

ζῶσιν ἠριθμεῖτο ὁ Ἡρακλείας, ὑπὸ Θεοφάνους χειροτονηθέντα τοῦ πρωτοθρόνου. πέμψας δὲ διὰ ταχέων εἰς τὴν Εὐχάϊτα, τὸν Σανδαβαρηνὸν Θεόδωρον τὴν εἰρημένην ἐκκλησίαν πηδαλιουχοῦντα εἰσαγαγεῖν ὡς αὐτὸν προσέταξεν.

2. Ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, τὸν στρατηλάτην Ἀνδρέαν καὶ ἄλλους συγκλητικοὺς πολλοὺς εἰς τὸ ἐν Χρυσοπόλει τοῦ Φιλιππικοῦ μοναστήριον ἐκπέμψας μετὰ κλήρου καὶ κηρῶν καὶ λαμπάδων καὶ ἀρωμάτων ἐξαγαγεῖν τοῦ τάφου τὸν ἀναιρεθέντα βασιλέα Μιχαὴλ διωρίσατο, ἐν κυπαρισσίνῳ τε λάρνακι καταθεῖναι, καὶ ἐντίμως καὶ βασιλικῶς περιστείλαντας ἐν τῇ πόλει εἰσαγαγεῖν | κἀκεῖθεν μετὰ ᾠδῶν καὶ ὕμνων ἄχρι τοῦ ναοῦ τῶν ἁγίων ἀποστόλων προπέμψαι, ἑπομένων ἐκεῖσε καὶ τῶν τοῦ βασιλέως ἀδελφῶν Ἀλεξάνδρου καὶ Στεφάνου τοῦ πατριάρχου, καὶ ἐν λάρνακι καταθεῖναι μαρμαρίνῃ. ὃ καὶ ἐγένετο.

3. Προεβάλλετο δὲ καὶ Στυλιανὸν τὸν Ζαουτζᾶν μάγιστρον καὶ λογοθέτην τοῦ δρόμου. ἤδη γὰρ ἤρξατο πλησιάζειν τῇ αὐτοῦ θυγατρί, ζώσης ἔτι τῆς κατὰ νόμους συνεζευγμένης αὐτῷ γυναικὸς τῆς αὐγούστης Θεοφανοῦς, ἀκουούσης καὶ βλεπούσης τὰ γινόμενα, καὶ μηδαμῶς τῷ τῆς ζηλοτυπίας πάθει ἀναφλεχθείσης ποτέ.

4. Κατὰ πόδας δὲ παρελήφθη παρὰ τῶν Ἀγαρηνῶν καὶ ἡ κατὰ τὸ Χαρσιανὸν διακειμένη πόλις ἡ Ὑψηλή, καὶ ᾐχμαλωτίσθη ἅπας ὁ ἐν αὐτῇ λαός.

5. Ἐγένετο δὲ καὶ ἐμπρησμὸς κατὰ τὸ μεσημβρινὸν μέρος τῆς πόλεως, ἐν τῇ λεγομένῃ Σιδηρᾷ. ἔργον δὲ τούτου γέγονε καὶ ὁ ναὸς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ὃν τεφρωθέντα καὶ αἰθάλην γενόμενον ὁ βασιλεὺς αὖθις πολυτελῶς ἀνεκαίνισεν.

90 ante diem 10. mens. Nov. a. 897

---

cap. 2: Theoph. Cont. 353, 1—353, 11; Zon. III, 441, 1—441, 7 cap. 3: Theoph. Cont. 354, 9/10; Zon. III, 441, 7—441, 10 cap. 4: Theoph. Cont. 354, 11/12 cap. 5: Theoph. Cont. 354, 13—354, 15; Zon. III, 441, 11—441, 13

ACEVBMN FH 76 ζῶσι VB ἠριθμεῖτο ACE: ἐνηριθμεῖτο NF: συνηριθμεῖτο VB: προβάλλεται M ὁ om. M χειροτονηθέντα: χειροτονεῖται B 77 τὴν: τὰς B Σανταβαρηνὸν B 78 ὡς: εἰς M 81 τοῦ: τῆς B 83 καὶ ante ἐν add. B 84 τε om. B 86 ἐκπέμψαι B 88 ἐγένετο: γέγονε B 89 προεβάλλετο ACEVBFH: προβάλλεται Theoph. Cont. 354, 10: προβάλετο MN Στυλιανόν: Τυλιανὸν M Ζαουτζᾶν EVBMN: Ζαούτζαν Theoph. Cont. 354, 9 cod. V: Ζαατζᾶν C: Ζαατζάνην A 91 νόμον B ἔτι dittogr. post νόμους add. CE 92 Θεοφανῶ E 93 ἀναφλεγείσης AB 95 Ὑψηλός A αἰχμαλωτίσθη B αὐτῇ AVB Theoph. Cont. 354, 12: ταύτῃ CEMN 2 ὁ ante ἐμπρησμὸς add. B 3 ἔργου E 5 καὶ ante αὖθις add. B

6. Εἰσήχθη δὲ καὶ ὁ Σανδαβαρηνὸς εἰς τὴν πόλιν, καὶ ὑπέθεντο τῷ βασιλεῖ Ἀνδρέας ὁ στρατηλάτης καὶ Στέφανος μάγιστρος, οἱ πολλὰ παρὰ τοῦ Σανδαβαρηνοῦ πρὸς Βασίλειον τὸν βασιλέα διαβληθέντες, ἐξετάσαι τὰ τῆς γενομένης κατ' αὐτοῦ τοῦ βασιλέως γραφῆς. διεβεβαιοῦντο δὲ καὶ δυνατὸν εἶναι ἐξελεγχθῆναι, ὡς βουλόμενοι Φώτιός τε ὁ πατριάρχης καὶ αὐτὸς ὁ Σανδαβαρηνός τινα τῶν τοῦ Φωτίου συγγενῶν εἰς τὴν βασιλείαν ἀναγαγεῖν | τὸ μελετηθὲν ὑπεκρίναντο δρᾶμα. πεμφθέντες οὖν τινες πρὸς βασιλέως ἀγαγεῖν τόν τε Φώτιον καὶ τὸν Σανδαβαρηνὸν ἐν τοῖς παλατίοις τῶν Πηγῶν ἐκελεύσθησαν, ἰδίᾳ μέντοι ὥριστο φρουρεῖσθαι ἑκάτερον. ἐξετασταὶ δὲ καὶ διαγνώμονες τῶν κατ' αὐτῶν κινουμένων αὐτός τε ὁ στρατηλάτης ἐπέμφθη Ἀνδρέας καὶ ὁ μάγιστρος Στέφανος καὶ ὁ μάγιστρος ὁ Ἁγιοπολίτης καὶ Κρατερὸς καὶ Γοῦβερ οἱ πατρίκιοι. ἀγαγόντες οὖν τὸν πατριάρχην Φώτιον καὶ ἐντίμως ἐπὶ θρόνου καθίσαντες, καὶ αὐτοὶ καθεσθέντες, τὴν ἐξέτασιν ἐποιοῦντο. καί φησιν ὁ στρατηλάτης πρὸς τὸν πατριάρχην· 'γνωρίζεις, ὦ δέσποτα, τὸν μοναχὸν Θεόδωρον;' ὁ δέ· 'μοναχοὺς οἶδα Θεοδώρους πολλούς. ποῖον δὲ Θεόδωρον λέγεις, οὐκ οἶδα.' τοῦ δὲ Ἀνδρέου προσθεμένου τὴν τοῦ Σανδαβαρηνοῦ προσηγορίαν, ὁ πατριάρχης· 'γινώσκω', ἔφη, 'τὸν ἄνδρα, ἐπίσκοπον τῶν Εὐχαΐτων ὑπάρχοντα.' ἐνεχθέντος δὲ καὶ τοῦ Σανδαβαρηνοῦ φησι πρὸς αὐτὸν ὁ Ἀνδρέας· 'ὁ βασιλεύς σοι δηλοῖ, ποῦ εἰσὶ τὰ χρήματα καὶ τὰ πράγματα τῆς βασιλείας μου;' ὁ δὲ ὑπολαβών· 'παρ' ἐκείνοις, οἷς δέδωκε ταῦτα ὁ κατὰ τὴν ἡμέραν βασιλεύς. ἐπεὶ δὲ νῦν ἐπιζητεῖ ταῦτα ὁ ἄρτι κρατῶν, ἐξουσίαν ἔχει καὶ ζητεῖν ταῦτα καὶ λαμβάνειν.' καὶ ὁ Ἀνδρέας· 'εἰπὲ τέως, σὺ τίνα ἐβουλεύου βασιλέα ποιῆσαι, τῷ πατρὶ τοῦ βασιλέως ὑποτιθεὶς τοῦ οἰκείου παιδὸς ἐξορύξαι τοὺς ὀφθαλμούς; σὸν συγγενῆ, ἢ τοῦ πατριάρχου;' ὁ δὲ ἐξώμνυτο μηδέν, ὧν κατηγορεῖται, εἰδέναι. καί φησιν ὁ μάγιστρος Στέφανος· 'εἶτα,

cap. 6: Theoph. Cont. 354, 16—356, 13; Zon. III, 441, 13—441, 18; Glyc. 553, 17/18

ACEVBMN F 6 Σανταβαρηνὸς B πόλιν ACEMN: πόλει Theoph. Cont. 354, 17: βασιλίδα VB ὑπέθετο MF 8 Σανταβαρηνοῦ B πρὸς τὸν βασ. Βασ. B τὸν om. MN διαβληθ. post Σαντ. B 9 γραφῆς: ῥαφῆς B 10 βουλόμενος B τε om. B 11 Σανταβαρηνός B 13 τινὲς post βασιλέως ACE Σανταβαρηνὸν B 14 παλατίοις VBMN Theoph. Cont. 354, 22: βασιλείοις ACE 15 κινουμένων: γενομένων M 17 ὁ alt. om. E Ἁγιοπελαγίτης C Γοῦβερ CEVB: Γούβερ ANF Theoph. Cont. 355, 3 cod. V: Γούμερ M 19 καθεσθέντες: θέντες M 22 προθεμένου C 23 Σανταβαρηνοῦ B 24 Εὐχαΐτῶν A ὑπάρχοντα VMN: τυγχάνοντα ACEBF: ὄντα Theoph. Cont. 355, 10 καὶ om. B Σανταβαρηνοῦ B 26 ὑπολαβὼν ACEVBF: om. MN 27 ἔφη post ἐκείνοις add. AB 27 νῦν om. B 28 ἐπιζητεῖ VMNF: ζητεῖ ACEB Theoph. Cont. 355, 14 ταῦτα pr. post 27 ἐπεὶ δὲ VB ἄρτι: ἀρτίως E ταῦτα alt. post ἔχει M 29 εἰπὲ τέως: εἶπεν. τέως B ἐβούλου B 30 ὑποθεὶς E 31 ἐξόμνυται B 32 κατηγορεῖται AVBMN: κατηγορεῖτο E: κατηγορεῖτ C

ὦ πολύτροπε καὶ μηχανορράφε, | πῶς ἐμήνυσας τῷ βασιλεῖ ἐξελέγξειν περὶ τούτου τὸν πατριάρχην;' καὶ ὅς, ὡς ἤκουσε τούτου τοῦ λόγου, εὐθέως ἐπιλαμβάνεται τῶν τοῦ πατριάρχου ποδῶν, 'ὁρκίζω σε, δέσποτα, κατὰ τοῦ θεοῦ', λέγων, 'πρότερόν με καθαιρῆσαι, καὶ τότε γυμνὸν ἱερωσύνης παραλαβέτωσαν καὶ κολαζέτωσαν ὡς κακοῦργον. οὐδὲν γὰρ τοιοῦτον σύνοιδα ἐμαυτῷ, οὔτε τῷ βασιλεῖ ἐμήνυσα.' ὁ δὲ πατριάρχης ἀναλαμβάνων αὐτὸν καὶ τῶν ποδῶν ἀνιστῶν φησί· 'μὰ τὴν ἐμὴν σωτηρίαν, κῦρι Θεόδωρε, ἀρχιεπίσκοπος εἶ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.' θυμωθεὶς δὲ 'Ανδρέας ὁ στρατηλάτης· 'καὶ οὐκ ἐμήνυσας δι' ἐμοῦ τῷ βασιλεῖ, ἀπατεὼν καὶ γόης, τὸν πατριάρχην περὶ τούτου ἐλέγξαι;' ὁ δὲ καὶ πάλιν ἀπηρνεῖτο μηδὲν εἰδέναι. ὑποστρεψάντων δὲ τῶν ἀρχόντων καὶ τὰ λαληθέντα γνώριμα θεμένων τῷ βασιλεῖ, αὐτὸς τῷ θυμῷ φλεγμαίνων, καὶ πλέον διὰ τὸ μὴ κατὰ τοῦ πατριάρχου εὔλογον αἰτίαν εὑρεῖν, ἀποστείλας ἐμάστιξε τὸν Σανδαβαρηνὸν ἀπηνῶς καὶ ἐν 'Αθήναις ἐξώρισε, καὶ κατόπιν ἀποστείλας ἐτύφλωσε καὶ κατὰ τὴν ἕω μετέθηκε. μετὰ δὲ χρόνων πολλῶν παρολκὴν ἀνεκαλέσατο τοῦτον, καὶ σιτήσεις τούτῳ ἀφώρισεν ἀπὸ τῆς νέας ἐκκλησίας. ἐτελεύτησε δὲ μετὰ θάνατον Λέοντος, ἐπὶ Ζωῆς τῆς αὐτοῦ γυναικὸς καὶ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ βασιλευόντων.

7. Τῷ δευτέρῳ ἔτει τῆς βασιλείας Λέοντος 'Αγίων ὁ Λογγι|βαρδίας δούξ, γαμβρὸς δὲ τοῦ ῥηγὸς Φραγγίας, τὸν θάνατον πυθόμενος Βασιλείου τοῦ βασιλέως ἀπέστη τῆς πρὸς 'Ρωμαίους φιλίας καὶ πᾶσαν τὴν χώραν ὑφ' ἑαυτὸν ἐποιήσατο. τοῦτο γνοὺς ὁ βασιλεὺς τὸν πατρίκιον Κωνσταντῖνον, τὸν ἐπὶ τῆς αὐτοῦ τραπέζης, μετὰ τῶν δυτικῶν ἐκπέμπει κατ'

cap. 7: Theoph. Cont. 356, 14—356, 20; Zon. III, 442, 1—442, 7

ACEVBMN FH 33 ἐξελέγξειν AVMN: ἐλέγξειν Theoph. Cont. 355, 19: ἐξελέγχειν CEB 44 περὶ τούτου ACEVB Theoph. Cont. 355, 19: περὶ τοῦτο F: περὶ τούτων MN 33/34 καὶ — ποδῶν: ὁ δὲ πεσὼν πρὸ τῶν ἐκείνου ποδῶν A 34 τοῦ λόγου τούτου M 36 λέγων: ἔφη A καθαιρῆσαι ACEVBF: καθαιρήσῃς Theoph. Cont. 355, 22: καθαρῆσαι MN 38 ἐμαυτῷ: ἑαυτῷ A 39 ἐμὴν σωτηρίαν VBMN: σωτ. τὴν ἐμήν ACE 41 'Ανδρέας ACEMN Theoph. Cont. 356, 3: om. VB εἶπε post στρατηλ. add. B 41/42 δι' βασιλεῖ VBMN: σὺ τῷ βασιλεῖ δι' ἐμοῦ ACE (cf. Theoph. Cont. 356, 3/4) 42 γόης CEMN: γόη AVB τούτου VBMN: τούτῳ Theoph. Cont. 356, 4: τούτων ACE 43 διενιστάμενος post εἰδέναι add. B 44 θυμῷ ACEB Theoph. Cont. 356, 6: βασιλεῖ VMNF 46 Σανταβαρηνὸν B ἀπηνῶς: ἀφειδῶς B 48 πολλῶν παρολκὴν AVB: παρολκὴν πολλῶν CEMNFH τούτῳ om. B 49 καὶ post ἐκκλ. add. C 50 ἐπὶ om. B γυναικὸς αὐτοῦ B τοῦ om. M αὐτοῦ alt. VMN: αὐτῶν B: αὐτοῦ om. ACE 52 δὲ ante δευτ. add. AB 52 'Αγίων AVM: 'Αγίωνα Theoph. Cont. 356, 18 cod. V ('Εγίωνα Bekker): 'Αγίων CEBNF: 'Αγήων M 53 πυθομένου C 55 τὸν om. VB Theoph. Cont. 356, 17 πατρίκιον post 56 Κωνστ. B 56 αὐτοῦ: ἑαυτοῦ B

αὐτοῦ θεμάτων. συμβολῆς δὲ γενομένης οἱ περὶ τὸν Κωνσταντῖνον ἡττήθησαν καὶ κατεκόπησαν, μόγις ἐκείνου περισωθέντος.

8. Κατὰ τοῦτον τὸν καιρὸν ἐγένετο καὶ ἡλίου ἔκλειψις περὶ ὥραν τῆς ἡμέρας ἕκτην, ὥστε καὶ ἀστέρας φανῆναι, ἀνέμων τε βιαία πνοὴ καὶ ἀστραπαὶ καὶ βρονταὶ φρικώδεις καὶ σκηπτοὶ καυσώδεις, ὑφ' ὧν καὶ ἄνδρες ἑπτὰ ἐν τοῖς ἀναβαθμοῖς τοῦ ἁγίου Κωνσταντίνου ἐν τῷ φόρῳ ἐκεραυνώθησαν.

9. Ἐπολιορκήθη δὲ καὶ ὑπὸ Σαρακηνῶν ἡ Σάμος, συμπαραληφθέντος καὶ τοῦ στρατηγοῦντος ἐν αὐτῇ Κωνσταντίνου πατρικίου τοῦ Πασπαλᾶ.

10. Ὁ δὲ βασιλεὺς τῷ πρὸς Ζωὴν τὴν θυγατέρα τοῦ Ζαουτζᾶ φίλτρῳ νικώμενος τιμᾷ τὸν ταύτης πατέρα βασιλεοπάτορα, αὐτὸς τὸ ἀξίωμα καινουργήσας μὴ πρότερον ὄν. ἡ γὰρ Ζωὴ μέγιστον ἐπὶ κάλλει καὶ εὐπρεπείᾳ τῷ τότε διαλάμπουσα συνέζευκτο μὲν ἀνδρὶ Θεοδώρῳ πατρικίῳ τῷ Γουνιαζίτζῃ, ἐκείνου δὲ δολοφονηθέντος φαρμάκῳ ἐπαλλακεύετο τῷ βασιλεῖ καὶ ζώσης τῆς αὐτοῦ γυναικός.

11. Τῷ δ' ἐπιόντι ἔτει Στέφανος ὁ τοῦ βασιλέως ἀδελφὸς καὶ πατριάρχης ἀπέλιπε τὴν ζωήν, καὶ προεχειρίσθη Ἀντώνιος ἀντ' | αὐτοῦ πατριάρχης, ὁ τὴν ἐπωνυμίαν Καυλέας.

12. Καὶ τὰ μὲν κατὰ πόλιν ἐφέρετο οὕτως, Συμεὼν δ' ὁ τῶν Βουλγάρων ἄρχων τὰς πρὸς Ῥωμαίους σπονδὰς διαλύσασθαι σπεύδων πρόφασιν εὗρε τοιαύτην. δοῦλος ἦν εὐνοῦχος τῷ βασιλεοπάτορι Μουσικὸς καλούμενος. οὗτος συμφιλιωθεὶς ἀνδράσιν ἐμπορικοῖς καὶ φιλοκερδέσι, βουλόμενος κερδαίνειν αὐτούς, τῇ πρὸς τὸν Ζαουτζᾶν χρησάμενος παρρησίᾳ

73 a. 893 76 a. 893

---

59 cf. Synaxarium ecclesiae Constantinopolitanae, ed. H. Delehaye 1902, p. 872 (Propylaeum ad AASS, Nov.) cap. 8: Theoph. Cont. 356, 20–357, 2; Glyc. 553, 19–554, 1 cap. 9: Theoph. Cont. 357, 3–357, 4 cap. 10: Theoph. Cont. 357, 4–357, 8 cap. 11: Theoph. Cont. 357, 9–357, 11; Zon. III, 442, 7/8 cap. 12: Theoph. Cont. 357, 12–359, 16; Zon. III, 442, 9–444, 5

ACEVBMN F 57 θεμάτων VMN: θέμασι Theoph. Cont. 356, 18: ταγμάτων ACEB δὲ om. B 59 καὶ om. B 62 ἁγίου Κωνστ. om. B τοῦ post Κωνστ. add. V κίονος post φόρῳ add. B 64 καὶ om. B τῶν ante Σαρακ. add. B ἡ om. E 65 Παπαλά B 67 βασιλεοπάτερα M 69 τῷ ACEVBF: om. MN 70 Γονιαζίτῃ B 71 ὡς εἴρηται post ζώσης add. VB 73 Ἀντώνιος post αὐτοῦ E, post 74 πατριάρχης M 74 ὁ: ὃς B 75 μὲν om. C οὕτως: τῇδε E Λυμεὼν V δ' AEMN: δὲ CVB 76 διαλύσασθαι ACEVBF: διαλύσεσθαι MN 78 φιλιωθεὶς B 79 τε post βουλόμενός add. B

τὰς ἐκ Βουλγαρίας εἰσαγομένας πραγματείας εἰς τὴν πόλιν εὐθέως μετέστησεν ἐν Θεσσαλονίκῃ, καὶ τοὺς εἰρημένους ἐμπόρους τελώνας ἐκεῖσε κατέστησεν, οἵτινες κακῶς διετίθεσαν τοὺς τὰς πραγματείας μετιόντας Βουλγάρους, βαρέα εἰσπραττόμενοι τελωνήματα. τῶν δὲ Βουλγάρων ἀναγγειλάντων ταῦτα τῷ Συμεών, καὶ τούτου δῆλα τῷ βασιλεῖ καταστήσαντος, ἐπεὶ τῇ πρὸς τὸν Ζαουτζᾶν προσπαθείᾳ νικώμενος πάντα ὡς λῆρον ἡγήσατο καὶ οὐδεμιᾶς ἠξίωσεν ἐπιστροφῆς, μανεὶς ὁ Συμεών, καὶ ἄλλως, ὡς εἴρηται, πρόφασιν εὐπρόσωπον ζητῶν, αἴρει κατὰ Ῥωμαίων τὰ ὅπλα. ὅπερ ἀκούσας ὁ βασιλεὺς καὶ αὐτὸς ἀνθοπλίζεται, καὶ Προκόπιον τὸν Κρηνίτην τὴν τοῦ στρατηλάτου μετιόντα λειτουργίαν λαῷ πολλῷ καὶ ἄρχουσι καθοπλίσας, δούς τε αὐτῷ καὶ Κουρτίκιον τὸν Ἀρμένιον, ἐκπέμπει κατὰ τοῦ Συμεών. συρραγέντων δ' ἐν Μακεδονίᾳ τῶν στρατευμάτων ἡττῶνται Ῥωμαῖοι, καὶ κατασφάττεται αὐτός τε ὁ Κρηνίτης καὶ ὁ Κουρτίκιος Ἀρμένιος καὶ ἄλλοι πολλοὶ τῶν κατασχεθέντων ἀπὸ τῆς ἑταιρείας τοῦ βασιλέως, τοῦ Συμεὼν ἀποτεμόντος τὰς ῥῖνας καὶ εἰς τὴν πόλιν ἐκπεπομφότος πρὸς αἰσχύνην Ῥωμαίων. τῷ τοιούτῳ δὲ | πάθει καὶ τῷ προπηλακισμῷ τοῦ Συμεὼν περιαλγὴς ὁ βασιλεὺς γενόμενος Νικήταν πατρίκιον τὸν τὴν ἐπωνυμίαν Σκληρὸν διὰ τοῦ Ἴστρου πρὸς τοὺς Τούρκους τοὺς καὶ Οὔγγρους καλουμένους ἀπέστειλεν, ἐφ' ᾧ περαιώσασθαι τὸν ποταμὸν καὶ τὴν Βουλγαρίαν τὸν ἐνόντα τρόπον λυμήνασθαι. ὁ δὲ τοῖς Τούρκοις συμμίξας καὶ πείσας κατὰ Βουλγάρων ὅπλα κινεῖν ὁμήρους τε λαβὼν εἰς βασιλέα ὑπέστρεψεν. ἀλλὰ δὴ καὶ αὐτὸς ὁ βασιλεὺς διά τε γῆς καὶ θαλάττης ἐγνώκει Βουλγάροις πολεμεῖν. διὰ μὲν οὖν θαλάσσης Εὐστάθιον ἐκπέμπει τὸν πατρίκιον καὶ δρουγγάριον, διὰ δὲ γῆς τὸν πατρίκιον Νικηφόρον τὸν Φωκᾶν, προβαλλόμενος αὐτὸν μετὰ τὸν Ἀνδρέου θάνατον δομέστικον τῶν σχολῶν.

81 inter a. 889 et 893 secundum Cankova — Petkova **91** a. 894 **2** a. circiter 894

ACEVBMN FH **80** εὐθέως om. VB **81** μετέστησεν ἐν Θεσσαλονίκῃ ACE: ἐν Θεσσαλονίκῃ μετέστησαν Theoph. Cont. 357, 18: ἐκ Θεσσαλονίκης (εἰς Θεσσαλονίκην B) μετέστησεν VB **82** οἵτινες VBMN: οἳ ACE διετίθεσαν ACVMN: διετέθησαν E: διετίθεντο B πρὸς post διετίθ. add. VB **84** ἀναγγελλόντων B **85** προσπαθείᾳ VB Theoph. Cont. 357, 22: συμπαθείᾳ ACEMNFH **87** εὐπρόσοδον V **89** Κρινίτην EB **90** τε: δὲ M **91** δ': δὲ B **92** τῶν στρατευμάτων: Ῥωμαίων A ἡττῶντο CE σφάττεται B καὶ post κατασφ. add. E **93** Κρινίτης EB Κρηνίτης — Ἀρμένιος: ὁ Κουρτίκιος καὶ ὁ Κρινίτης B **94** δὲ ante ἀπὸ add. B ἀπὸ om. A **94/95** ἑταιρείας — αἰσχύνην: ἑταιρείας τῆς βασιλικῆς τὰς ῥῖνας ὁ Συμεὼν ἐκτεμὼν εἰς τὴν πόλιν αὐτοὺς ἐκπέπομφεν εἰς αἰσχύνην B **94** τοῦ Συμεὼν om. A **2** γενόμενος post **1** περιαλγὴς ACE τῇ ἐπωνυμίᾳ C **3** μετὰ δώρων post Ἴστρου add. VB (cf. Theoph. Cont. 358, 9) τοὺς pr. om. C τοὺς alt. om. MN **4** τὸν ποταμὸν om. B τοιοῦτον ante ποταμὸν add. V **5** τρόπον: τόπον BM διαλυμήνασθαι M Βουλγαρίας B **6** κινεῖν ACEMN: κινῆσαι VB **7** θαλάσσης CE **10** Ἀνδρέου ACEVF Theoph. Cont. 358, 15: Ἀνδρέα BMNH

ὧν μέχρι Βουλγαρίας ἀφικομένων ὁ βασιλεὺς ἔτι τὴν εἰρήνην στέργων τὸν κοιαίστωρα Κωνσταντινάκιον ἐκπέμπει πρὸς Συμεών. ὃν οὗτος κατασχὼν τίθησιν ἐν φρουρᾷ, δολίως πρὸς αὐτὸν ἀφικέσθαι νομίσας. ἀσχολουμένου δὲ ἐπὶ τὸ στράτευμα τὸ περὶ τὸν Φωκᾶν τοῦ Συμεὼν οἱ Τοῦρκοι περαιωθέντες τὸν ποταμὸν πᾶσαν τὴν Βουλγαρίαν ἐληΐσαντο. ὅπερ ὡς ἠγγέλθη τῷ Συμεών, τὸν Φωκᾶν ἀφεὶς κατὰ τῶν Τούρκων ἐτράπετο. γλιχόμενοι δὲ καὶ αὐτοὶ συμπλακῆναι τοῖς Βουλγάροις περαιωθέντες τὸν Ἴστρον τούτοις προσβάλλουσι καὶ νικῶσι κατὰ κράτος, μόλις τοῦ Συμεὼν ἐν Δοροστόλῳ περισωθέντος, ὃ καὶ Δρίστρα καλεῖται. νικήσαντες οὖν οἱ Τοῦρκοι ἠτήσαντο τὸν βασιλέα τοὺς κατασχεθέντας ὑπ' αὐτῶν αἰχμαλώτους ὠνήσασθαι. πρὸς ὃ καὶ κατανεύσας τοὺς πολίτας | ἐξαπέστειλεν εἰς τὴν τούτων ἐξώνησιν. θραυσθεὶς οὖν ὁ Συμεὼν διὰ τοῦ δρουγγαρίου Εὐσταθίου τὸν βασιλέα ἱκέτευε περὶ τῆς εἰρήνης. πρὸς ἣν ὑπεῖξεν ὁ βασιλεὺς καὶ τὸν Χοιροσφάκτην Λέοντα ἐπὶ τῷ ποιήσασθαι ἐξαπέστειλε τὰς σπονδάς, καὶ ὁ δομέστικος τῶν σχολῶν ὁ Φωκᾶς καὶ ὁ δρουγγάριος ὑποστρέψαι μετὰ τοῦ λαοῦ ἐκελεύσθησαν. ὁ δὲ Συμεὼν ἀπελθόντα πρὸς αὐτὸν τὸν Χοιροσφάκτην Λέοντα ἐν εἱρκτῇ κατέσχε, μηδὲ λόγου αὐτὸν ἀξιώσας. ἐκστρατεύσας δὲ βαρεῖ στρατῷ κατὰ τῶν Τούρκων, μὴ δυνηθέντος τοῦ βασιλέως διὰ τὸ αἰφνίδιόν τε καὶ ἀπροσδόκητον βοήθειαν αὐτοῖς παρασχεῖν, αὐτούς τε ἐτρέψατο καὶ τὴν χώραν πᾶσαν κατέδραμε. γαυριῶν δ' ἐπὶ τῇ νίκῃ καὶ φρυαττόμενος ἔγραψε πρὸς τὸν βασιλέα, μὴ πρότερον ποιῆσαι εἰρήνην, πρὶν ἂν ἀπολήψεσθαι τοὺς αἰχμαλώτους Βουλγάρους. ἐπένευσε πρὸς τοῦτο ὁ βασιλεύς. ἦλθεν οὖν μετὰ τοῦ Χοιροσφάκτου Θεόδωρός τις οἰκεῖος ὢν τῷ Συμεών, καὶ παρειλήφει πάντας.

13. Ἐξόχως δὲ τὸν δομέστικον Νικηφόρον τὸν Φωκᾶν ὑπὸ τοῦ βασιλέως ἀγαπώμενον ὁ βασιλεοπάτωρ Ζαουτζᾶς γαμβρὸν ἐσπούδαζε

12 a. circiter *894* *24/25* 901/902 secundum Cankova-Petkova

cap. 13: Theoph. Cont. 359, 17—360, 8

ACEVBMN FH **14** ἐπὶ VBMN Theoph. Cont. 358, 20: περὶ ACE τὸ pr. om. B **15** πᾶσαν τὴν Βουλγ. dittogr. C ἐληΐσαντο post πᾶσαν A **17** ἐτράπετο VBMN Theoph. Cont. 358, 22: ἐστράτευσε ACE τοῖς om. ACE **18** προβάλλωσι M **19** Δοροστόλῳ F: Δορυστόλῳ A: Δωροστόλῳ CEN: Ῥοδοστόλῳ VBM περισωθ. post Συμ. M διασωθέντος AB Δρίστρα AEVMN: Δίστρα C: Δρίστα B **21** αἰχμαλώτους om. M ὠνήσεσθαι A καὶ om. B **23** περὶ εἰρήνης ἱκέτευε A **24** ἣν: ὃν B Σχοιροσφάκτην B **25** τὰς σπονδ. ἐξαπέστ. A **26** ὁ Φωκᾶς om. ACE **27** Λέοντα om. B **28** αὐτὸν om. VB **31** δ': δὲ AEB **32** φρυαττόμενος ACEMN: ἐπαιρόμενος VB **33** ἀπολήψεσθαι VMN: ἀπολήψοιτο (post Βουλγ. A) AB: ἀπολήψεται CE Βουλγαρίας B δὲ post ἐπένευσε add. MNFH, οὖν post ἐπένευσεν add. C, μὲν post ἐπένευσε add. E Theoph. Cont. 359, 14 **35** τῷ: τοῦ BM **37** τὸν Φωκᾶν post **36** ἀγαπώμ. CE **37** Ζαουτζᾶς AVBN: Ζαούτζας CE Theoph. Cont. 359, 18: Ζαουτζὰς M

ποιῆσαι. ἀπαναινομένου δὲ πρὸς τοῦτο καὶ ὀργὴν ὑποπτεύοντος ἐκ βασιλέως θυμωθεὶς ὁ Ζαουτζᾶς καὶ αἰτίας κατ' αὐτοῦ ῥάψας παρέλυσε τοῦτον τῆς ἀρχῆς. προβαλλόμενος ἀντ' αὐτοῦ Κατακαλὼν μάγιστρον τὸν Ἀβίδηλαν. ἐπ' ὀλίγον δὲ σχολάσας ὁ Νικηφόρος στρατηγὸς τῶν Θρᾳκησίων προβάλλεται. ἀριστείας | δὲ πολλὰς ἐν πάσαις ταῖς αὐτοῦ ἀρχαῖς διαπραξάμενος καὶ πολλὰ κατὰ τῶν Ἀγαρηνῶν καὶ ἄλλων ἐθνῶν στήσας τρόπαια τελευτᾷ τὸν βίον ἐν γήρει βαθεῖ, δύο παῖδας καταλιπὼν Βάρδαν καὶ Λέοντα.

14. Ὁ δὲ βασιλεύς, μὴ θελήσαντος τοῦ Συμεὼν τὰς σπονδὰς ἐκπληρῶσαι, ἔγνω δεῖν αὐτὸν καταπολεμῆσαι καὶ τελείῳ ἀφανισμῷ παραδοῦναι. διορισάμενος τοίνυν πάντα περαιωθῆναι τὰ τῆς ἀνατολῆς θέματά τε καὶ τάγματα, παρασκευάσας δὲ καὶ τὰ δυτικὰ καὶ ἄλλον οὐκ ὀλίγον λαόν, ἐκπέμπει κατὰ τοῦ Συμεών, ἔξαρχον αὐτοῖς ἐπιστήσας καὶ ἡγεμόνα τὸν δομέστικον τῶν σχολῶν Κατακαλών, συνεπόμενον ἔχοντα καὶ τὸν πατρίκιον Θεοδόσιον καὶ πρωτοβεστιάριον. ἐρχομένῳ τοίνυν τῷ Συμεὼν συναντῶσι κατὰ τὸ Βουλγαρόφυγον, καὶ πολέμου κροτηθέντος τρέπονται Ῥωμαῖοι, καὶ πολὺς ἐγένετο φθόρος, ἀπώλετο δὲ καὶ αὐτὸς ὁ πρωτοβεστιάριος, αἰσχρῶς τοῦ δομεστίκου μετ' ὀλίγων τινῶν ἐν τῷ Βουλγαροφύγῳ περισωθέντος.

15. Ἀπελθόντος δὲ τοῦ βασιλέως ἐν τοῖς λεγομένοις ἀγροῖς τοῦ Δαμιανοῦ μετὰ Ζωῆς τῆς τοῦ Ζαουτζᾶ, καὶ δόξαν αὐτῷ μεῖναι ἐκεῖ, ἐπιβουλὴν συνεστήσαντο κατ' αὐτοῦ ὁ τοῦ Ζαουτζᾶ υἱὸς Λέων, Χριστοφόρος ὁ Τζάντζης καί τινες ἄλλοι. τῆς δὲ Ζωῆς τὸν θροῦν ἐνωτισθείσης ὁ βασιλεὺς διϋπνίσθη, ἐν πλοίῳ τε εἰσελθὼν εὐθὺς ἀπὸ Πηγῶν διεπέρασε κατὰ τὰ

53 a. 896

cap. 14: Theoph. Cont. 360, 8—360, 16; Zon. III, 444, 5—444, 9 cap. 15: Theoph. Cont. 360, 18—361, 12; Zon. III, 444, 10—444, 14

ACEVBMN F **39** Ζαουτζὰς M καὶ om. A αἰτίας VB Theoph. Cont. 359, 21: αἰτίαν ACEMNF **39/40** ῥάψας—ἀρχῆς: ῥάπτει καὶ τῆς ἀρχῆς παραλύει A **40** τῆς ἀρχῆς om. B Κατακαλὼν ACVMN Theoph. Cont. 359, 23: Κατακαλὸν E: Κατακαλῶν B **42** ἐν: κἀν B ταῖς αὐτοῦ ACEMN: αὐτοῦ ταῖς VB **43/44** Ἀγαρηνῶν—τρόπαια: Ἀγαρ. στήσας τρόπαια καὶ κατ' ἄλλ. ἐθ. A **44** ἐν om. B γήρᾳ B Theoph. Cont. 360, 5 **45** Βάρδα MN **46** ἐκπληρῶσαι τὰς σπονδάς A **48** πάντα om. B περαιωθῆναι: περιορηθῆναι B θέματα τε καὶ om. ACE (sed cf. Theoph. Cont. 360, 11) τε om. B **49** τάγματα: στρατεύματα E ἄλλων E **51** τῶν σχ. τὸν δομ. τὸν Κατακ. A Κατακαλὼν om. B **52** καὶ VBMN Theoph. Cont. 360, 10: τὸν ACE ἐρχομένῳ AEBVN: ἐρχομένων M: ἐρχομένου C τῷ om. B **59** συνεστήσατο E **60** Τζάντζης CEVMN Theoph. Cont. 360, 23 cod. V: Τζαντζῆς B: Τζάνζης A; Ταύτζης Theoph. Cont. 360, 23 Bekker δὲ om. B θροῦν VBMN Theoph. Cont. 361, 1: θόρυβον ACE ἐνωτισαμένης B **61** κατὰ ACEVBF: πρὸς MN

βασίλεια. καὶ Ἰωάννην μὲν τὸν τῆς βίγλας δρουγγάριον διεδέξατο ὡς ῥᾴθυμον τάχα περὶ τὴν ἑαυτοῦ φυλακήν, τὸν δὲ Ζαουτζᾶν ἀπεστρέφετο μέχρι τινός, ἕως οὗ Λέων ὁ μάγιστρος, | ᾧ Θεοδοτάκης ἐπώνυμον, φίλος ὢν ἀμφοῖν, τούτους κατήλλαξε.

16. Τῆς δὲ αὐγούστης Θεοφανοῦς τελευτησάσης στέφει Λέων ὁ βασιλεὺς Ζωὴν τὴν θυγατέρα τοῦ Ζαουτζᾶ καὶ εὐλογεῖται παρά τινος κληρικοῦ τοῦ παλατίου. καὶ ὁ μὲν εὐθὺς καθῃρέθη, ἡ δὲ μετὰ τὴν ἀναγόρευσιν ἔτος ἓν καὶ μῆνας ὀκτὼ ζήσασα ἐτελεύτησε. λάρνακος δὲ ἑτοιμαζομένης, ὥστε τὸ ταύτης ἀποτεθῆναι σῶμα, γράμματα εὑρέθησαν ἐν αὐτῇ ἐγκεκολαμμένα οὑτωσὶ διεξιόντα· 'θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος.'

17. Βασίλειος δὲ ὁ ἐπείκτης τοῦ βασιλέως, ἀνεψιὸς ὢν τοῦ Ζαουτζᾶ, μελετῶν κατὰ τοῦ βασιλέως τὸ ἀπόρρητον ἐκοινώσατο Σαμωνᾷ κουβικουλαρίῳ τῷ ἐξ Ἀγαρηνῶν, πίστεις λαβών, ὡς ἀνέκφορον διαφυλάξει τὸ μυστήριον. δόντος δὲ πίστεις ἐξέφηνεν αὐτῷ πάντα τὰ βουλευόμενα. ὁ δὲ εὐθέως ἐξιππασάμενος ἄπεισι πρὸς τὸν βασιλέα, καὶ ἰδίᾳ παραλαβὼν αὐτόν· 'θέλω τί σοι εἰπεῖν, ὦ βασιλεῦ, ὅπερ ἐμοὶ μὲν ῥηθέν, σοὶ δὲ σιωπηθὲν θάνατον προξενεῖ.' καὶ διεξῆλθε πᾶσαν τὴν τοῦ Βασιλείου ἐπιβουλήν. τοῦ δὲ βασιλέως διαπιστοῦντος, ὁ Σαμωνᾶς πληροφορῆσαι τοῦτον βουλόμενος δύο τινὰς τῶν οἰκειοτάτων ἐξαποστεῖλαι πρὸς τὴν αὐτοῦ οἰκίαν ᾐτήσατο, ἀξιώσας ἐν ἀποκρύφῳ στῆναι τούτους, ὁπηνίκα ὁ Βασίλειος ἀφίκηται πρὸς αὐτόν, κἀπειδὰν οὗτος παραγένηται καὶ ὁμιλῶσιν ἀλλήλοις, τὰ λεγόμενα παρ' ἀμφοῖν ἀπο|γράφεσθαι. ἐδέξατο τὸν λόγον ἡδέως ὁ βασιλεύς, καὶ πέμπει Χριστοφόρον τὸν πρωτοβεστιάριον καὶ Καλοκυρὸν ἕνα τῶν ἑαυτοῦ προκοίτων, οἵπερ ἐν τῇ καταγωγῇ γενόμενοι τοῦ Σαμωνᾶ κἀκεῖσε κρυβέντες προσέμενον τὸ μέλλον.

66 die 10. mens. Nov. a. 897 secundum Karlin-Hayter 67 circa finem a. 899 71 Ps. 136, 8

cap. 16: Theoph. Cont. 361, 13—361, 23; Zon. III, 444, 14—444, 18 cap. 17: Theoph. Cont. 362, 17—364, 8; Zon. III, 444, 18—445, 8

ACEVBMN 63 ἑαυτοῦ: αὐτοῦ B 63 ἀποστρέφεται B 64 οὗ: οὖν B Θεοδοτάκης ACBMN Theoph. Cont. 361, 11: Θεοδοτάκις E: Θεοδοτάκτης V 65 τούτοις A 66 Θεοφανὼ E τελευτησάσης om. MN (N suppl. in m.) 67 τοῦ om. B 68 κληρικοῦ ACEMN Theoph. Cont. 361, 19: τῶν κληρικῶν VB 69 δ' M 70 τεθῆναι B 71 ἐγκεκωλυμένα B 73 ἐπείκτης: πήκτης B 75 διαφυλάξει CVMN: φυλάξεις Theoph. Cont. 362, 21: διαφυλάξῃ B: διαφυλάξοι A: φυλάξει E 76 βουλευόμενα VBMN Theoph. Cont. 362, 22: βεβουλευμένα ACE 78 ἔφη post εἰπεῖν add. AB 79 τοῦ Βασιλείου MN Theoph. Cont. 363, 4 cod. V: τοῦ βασιλέως ACEVBF 81 οἰκειοτάτων ACEMN: οἰκειοτέρων VB 82 στῆσαι C 84 ὁμιλῶσιν ACEV: ὁμιλῶν B: ὁμιλοῦσιν MNF 85 πρωτοβεστιάριον: ποτε βεστιάριον B 86 Καλοκυρῶν M

ἀπατηθέντος δὲ τοῦ Βασιλείου καὶ παραγενομένου πρὸς τὸν Σαμωνᾶν, τῆς διαλέξεώς τε χώραν λαμβανούσης, ἐκφαυλιζομένων δὲ καὶ τῶν ἀπορρήτων, οἱ παρὰ τοῦ βασιλέως πεμφθέντες τὰ λεγόμενα ἀπεγράφοντο, καὶ τελευταῖον ἐκείνους ἀριστῶντας καταλιπόντες κρυφίως τε ὑπεξελθόντες ἀπῆλθον πρὸς βασιλέα τὰ γραφέντα κομίζοντες. ἀναγνοὺς δὲ ταῦτα τὸν μὲν Βασίλειον παραυτίκα εἰς Μακεδονίαν ἀπέστειλεν, ἐπὶ διανομῇ τάχα ψυχικῶν τῆς θείας αὐτοῦ Ζωῆς, κατέσχε δὲ καὶ τὸν τῆς βίγλας δρουγγάριον διὰ τοῦ Στυπειώτου, ὑπεξήγαγε δὲ καὶ τῆς πόλεως Νικόλαον τὸν ἑταιρειάρχην. εἶτα ἀγαγὼν ἀπὸ Μακεδονίας τὸν Βασίλειον καὶ ἀνακρίνας ἐν μέσῃ τε θριαμβεύσας τῇ πόλει ἐν Ἀθήναις ἐξώρισε. συγκαλεσάμενος δὲ πᾶσαν τὴν σύγκλητον, ἐπ' αὐτῶν ἀνέγνω τὰ ὑπὸ τοῦ Σαμωνᾶ μηνυθέντα. οἱ δὲ τοῦτον ἐπαινέσαντες μεγίστης εἶναι τιμῆς ἄξιον προσειρήκασι. καὶ ὁ βασιλεὺς παραυτίκα τῇ τοῦ πρωτοσπαθαρίου τοῦτον ἀξιοῖ τιμῇ, καὶ οἰκεῖον αὐτῷ κατεστήσατο.

18. Τελευτήσαντος δὲ καὶ τοῦ πατριάρχου Ἀντωνίου προχειρίζεται ὁ μυστικὸς Νικόλαος, ἐπὶ συνέσει καὶ σοφίᾳ δοκῶν πρωτεύειν.

19. Λέων δὲ ὁ βασιλεὺς μὴ δυνάμενος τὰ κατὰ τύπον ἐκτελεῖν κλητώρια, αὐγούστης μὴ οὔσης, στέφει Ἄνναν τὴν θυγατέρα Ζωῆς | τῆς τοῦ Ζαουτζᾶ. ἠγάγετο δὲ καὶ κόρην ἐκ τοῦ Ὀψικίου, ὡραίαν τε καὶ περικαλλῆ, τοὔνομα Εὐδοκίαν, ἣν δὴ καὶ ἔστεψεν. ἐγκύμων δὲ γενομένη καὶ μέλλουσα τίκτειν ἀπέθανε καὶ αὐτὴ καὶ τὸ ἔμβρυον.

20. Τιμῶν δὲ τὴν προτέραν αὐτοῦ γαμετὴν Θεοφανὼ ὁ βασιλεὺς ἐπ' ὀνόματι ταύτης ᾠκοδόμησε ναὸν ἀγχοῦ τῶν ἁγίων ἀποστόλων περικαλλῆ. ἀνήγειρε δὲ καὶ ναὸν ἄλλον κατὰ τοὺς τόπους εἰς ὄνομα

8 a. 901 **11** aestate a. 900

---

cap. 18: Theoph. Cont. 364, 9—364, 11 cap. 19: Theoph. Cont. 364, 14—364, 19; Zon. III, 445, 9—445, 13 cap. 20: Theoph. Cont. 364, 20—365, 3; Zon. III, 446, 11—446, 17; Glyc. 554, 1—554, 4

ACEVBMN F **89** τε om. E λαβούσης B **91** καταλιπόντες κρυφίως τε: καταλείψαντες καὶ κρυφίως B **92** πρὸς: ὡς VB διακομίζοντες A ἀναγνοὺς δὲ ταῦτα dittogr. M **94** ψυχικῆς V κατέχειν C **95/1** καὶ — Νικόλαον VBMN: τῆς πόλ. καὶ Νικ. ACE **1** εἶτ' VB ἀπὸ ACEMN: ἐκ V Theoph. Cont. 363, 23: ἐν B Μακεδονίαις B **5** εἶναι om. B εἰρήκασι B **6** ἀξιοῖ τιμῇ CEVMN: ἀξίαν τιμᾷ B: ἀξίᾳ κοσμεῖ A αὐτῷ EVB: ἑαυτῷ Theoph. Cont. 364, 8: αὐτοῦ ACMN: αὐτ͂ F **7** δὲ om. M καὶ om. AB **8** ἐπὶ σοφίᾳ καὶ συνέσει M **9** τὰ om. B ἐκτελεῖν VBMN: τελεῖν A: ποιεῖν E (A et E post δυνάμενος) Theoph. Cont. 364, 15: om. C κλητόρια VB Theoph. Cont. 364, 16 **10** μὴ οὔσης αὐγούστης B **12** δὴ: δὲ M **14** καὶ post δὲ add. E γαμετὴν — βασιλεύς: γαμ. ὁ βασ. τὴν Θεοφ. A **15** τὸν ante ναὸν add. C τοῦ post ἀγχοῦ, ναοῦ post ἀποστόλων add. A **16** ἀνήγειρε — ἄλλον: ἀλλὰ καὶ ἕτερον ναὸν ἀνήγειρε B περικαλλῆ post ἄλλον add. ACE

τοῦ ἁγίου Λαζάρου, ἐν ᾧ καὶ τὸ τοῦ ἁγίου μετακομίσας ἀπέθετο σῶμα, καὶ τῆς ἀδελφῆς αὐτοῦ Μαρίας τῆς Μαγδαληνῆς.

21. Τοῦ δὲ στόλου ἐν ταῖς τῶν τοιούτων κτίσεσιν ἀσχολουμένου ὁ τῶν Ἀγαρηνῶν στόλος τὸ ἐν Σικελίᾳ ἐξεπολιόρκησε Ταυρομένιον, καὶ πολὺς τῶν Ῥωμαίων ἐγένετο φόνος. κατεσχέθη δὲ καὶ ἡ νῆσος Λῆμνος ὑπὸ τῶν Ἀγαρηνῶν καὶ ἠνδραποδίσθη λαὸς οὐκ ὀλίγος. συνήθους δὲ προελεύσεως γενομένης κατὰ τὴν ἡμέραν τῆς μεσοπεντηκοστῆς ἐν τῷ ναῷ τοῦ ἁγίου Μωκίου, ἀπῆλθε μετὰ προόδου καὶ Λέων ὁ βασιλεύς. ἐν δὲ τῷ μέλλειν εἰσοδεύειν καὶ πλησίον γενέσθαι τῶν ἁγίων θυρῶν, ἄνθρωπός τις ἐκπεπηδηκὼς ἐκ τοῦ ἄμβωνος ῥάβδῳ παχείᾳ καὶ ἰσχυρᾷ ἔπαισεν αὐτὸν κατὰ κεφαλῆς. καὶ κἂν ἐθανάτωσε παρευθύ, εἰ μὴ τὸ ἄκρον τῆς ῥάβδου τῷ αἰωρημένῳ λύχνῳ προσκεκρουκὸς τῆς βιαίας μικρὸν ἀνεσχέθη φορᾶς. αἵματος δὲ σφοδροῦ ἐκ τῆς τοῦ βασιλέως καταρρέοντος κεφαλῆς ταραχή τε καὶ φυγὴ τῶν ἀρχόντων ἐγένετο. Ἀλέξανδρος δὲ ὁ τοῦ | βασιλέως ἀδελφὸς νόσον σκηψάμενος οὐ παρῆν ἐν τῇ εἰσόδῳ, καὶ δέδωκεν ὑπόνοιαν τοῖς πολλοῖς τὴν τοιαύτην ἐπιβουλὴν αὐτὸς συρράψαι. ὁ δὲ τὸν βασιλέα πλήξας κατασχεθεὶς καὶ πολλὰς ὑπομείνας βασάνους, ἐπεὶ μηδένα καθωμολόγει συνίστορα, χεῖρας καὶ πόδας ἐκτμηθεὶς ἐν τῇ τοῦ ἱππικοῦ ἐκαύθη Σφενδόνῃ. ἐσχόλασε δ' ἔκτοτε καὶ ἡ τοιαύτη προέλευσις, κἂν ὁ σοφώτατος μοναχὸς Μάρκος, οἰκονόμος ὢν τῆς τοιαύτης μονῆς, ὁ τὸ τετραῴδιον τοῦ μεγάλου ⟨σαββάτου⟩ ἀναπληρώσας ⟨τοῦ μεγάλου⟩ Κοσμᾶ, πολλὰ κατεδεήθη τοῦ βασιλέως. τούτου γὰρ δεομένου καὶ τοῦ βασιλέως ἀπαναινομένου φησὶν ὁ μονα-

21 a. 902

---

cap. 21: Theoph. Cont. 365, 3—366, 9; Zon. III, 446, 17—448, 6; Glyc. 554, 4—555, 5

ACEVBMN FH **17** κατέθετο B **19** τῶν τοιούτων EV: τοιούτων Theoph. Cont. 365, 4: τοῦ τοιούτου ACMN: τοιούτου F: τοιαύταις H ἀσχολουμένου V Theoph. Cont. 365, 4: ἀπασχολουμένου ACEMNFH: ἀμελουμένου B **21** φόνος VBMN Theoph. Cont. 365,6: φθόρος ACE ἡ Λῆμνος νῆσος M **23** γενομένης προελεύσεως B μεσοπεντηκοστῆς ACMN Theoph. Cont. 365, 9 (cf. Const. Porphyrog., De caerem., I, p. 92, l. 3 Vogt; Vita Euthymii patr. CP, ed. P. Karlin-Hayter, Bruxelles 1970, p.67, 3): πεντηκοστῆς EVB Glyc. 554, 5 Fabrot: πεντηκοστὴν Zon. III, 447, 3: die inter pentecosten interiecta Gabius 48v **24** ἀπῆλθε — βασιλεύς: ἀπῆλθεν ὁ βασ. μετὰ προόδου A καί: ὁ B **25** μέλλειν om. B **26** εἰς post τις add. B ἐκ: ἀπὸ M παχείᾳ ῥάβδῳ A ἰσχυρᾷ: στιβαρᾷ B **28** αἰωρημένῳ V: αἰωρουμένῳ ACE: ἑωρουμένῳ F: ἠωρημένῳ B: ἑωρημένῳ MN βιαίας: βίας B **30** τε: τις B **31** νόσῳ B ἐν om. M **35** δ': δὲ B **35/36** καὶ ἡ dittogr. post. ἔκτοτε V **37** σαββάτου F Fabrot: σαββάτῳ Theoph. Cont. 365, 23: om. ACEVBMN **38** τοῦ μεγάλου Theoph. Cont. 365, 23: τοῦ κυρ̄ F Fabrot: om. ACEVBMN: qui quadripartitos canones magni Cosmae explevit Gabius 48v Κοσμᾶ: σαββάτου B **39** ἀπαναινομένου ACEVN: ὀργιζομένου M: οὐ παραγενομένου B

χός. 'μὴ ὀργίζου, μηδὲ χαλέπαινε, ὦ βασιλεῦ. προγεγραμμένον γὰρ ἦν παθεῖν σε παρὰ τοῦ προφήτου Δαβίδ, εἰρηκότος· 'ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.' δεῖ οὖν σε, δέσποτα, ἀπὸ τοῦ νῦν ἐπ' ἄλλα δέκα ἔτη κατασχεῖν τὴν βασιλείαν.' ὃ δὴ καὶ γέγονεν. ἀπέθανε γὰρ κατ' αὐτὴν τὴν ἡμέραν μετὰ δέκα χρόνους, ἐν ᾗ καὶ ἐπλήγη.

22. Ἠγάγετο δὲ καὶ τετάρτην γυναῖκα Λέων ὁ βασιλεύς, Ζωὴν τὴν Καρβωνοψίναν, ἥτις ἐβίω χρόνον συχνὸν μετ' αὐτοῦ ἀστεφής.

23. Τῶν δὲ Βουλγάρων ταῖς ἐφόδοις Ῥωμαίους ἐπιτριβόντων, οἱ ἐξ Ἄγαρ μαθόντες τοῦτο στόλον ἐξαρτύσαντες κατὰ τῶν παραλίων τῆς ἀρχῆς Ῥωμαίων ἐκπέμπουσιν, ἐπιστήσαντες τῷ στόλῳ ναύαρχον Λέοντα τὸν Ἀτταλέα, τὴν Χριστιανῶν ἐξομοσάμενον πίστιν, | κἀν τῇ Τριπόλει οἰκήσαντα, κἀξ αὐτῆς εἰληφότα τὴν προσηγορίαν. ἔφθασε δὲ τὸν βασιλέα ἡ περὶ τοῦ Τριπολίτου ἀγγελία κατὰ τὸ ἐμπόριον τοῦ Βοαιτίου, ἐκεῖσε γενόμενον ἐπὶ τῷ ἀνακαινίσαι τὴν μονὴν Χριστοφόρου πρωτοβεστιαρίου αὐτοῦ. προσετίθεσαν δ' οἱ ἀγγελιαφόροι, ὡς κατ' αὐτῆς ἔχει τὴν ὁρμὴν τῆς βασιλίδος. πέμπει οὖν ὁ βασιλεὺς Εὐστάθιον τὸν τηνικαῦτα δρουγγάριον τῶν πλωΐμων μετὰ τοῦ στόλου, ὃς μὴ δυνηθεὶς ἀντιτάξασθαι τῷ Τριπολίτῃ ὑπεστράφη κενός. ἑπόμενος δὲ τούτῳ ὁ Τριπολίτης εἰσῆλθεν εἰς τὰ στενὰ τοῦ Ἑλλησπόντου, καὶ μέχρι τοῦ Παρίου κατέλαβεν. ὅπερ τῷ βασιλεῖ ἀγγελθὲν εἰς μεγάλην ἐνέβαλεν

44 die 12. mens. Mai a. 912 **47** nuptiae factae sunt die 9. mens. Ian. a. 906 **51** a. 904

41 Ps. 73, 3/4 cap. 22: Theoph. Cont. 366, 10/11; Zon. III, 446, 1; Glyc. 555, 7—555, 9 cap. 23: Theoph. Cont. 366, 11—368, 5

ACEVBMN FH **40** ὦ om. M ὦ βασιλεῦ: τῷ βασιλεῖ C **40/41** ἦν — Δαβίδ: ἦν παρὰ τοῦ προφ. Δαβὶδ τὸ παθεῖν σε B **41** εἰρηκότος: εἰρημένον M **42** σου post ἐχθρός B **43** ἄλλοις δέκα ἔτεσι A **44** γέγονεν — καί: γέγονε. μετὰ γὰρ δέκα ἔτη ἀπέθανε κατ' αὐτὴν τὴν ἡμέραν, καθ' ἣν A κατ' αὐτὴν ACEMN: τῇ αὐτῇ Theoph. Cont. 366, 8: κατὰ ταύτην VB **45** χρόνους VBMNF: ἔτη ACEH καὶ om. B **47** Καρβωναψίαν B ἀστεμφής V **51** Χριστιανῶν AVBMN: Χριστιανὸν C: τῶν Χριστιανῶν E κἀν: καὶ B **52** ἔφθασε — βασιλέα: ἔφθασεν οὖν καὶ περὶ τὸν βασιλέα B **53** περὶ om. BM Βοϊταίου E **54** ἐγκαινίσαι Χριστοφόρον πρωτοβεστιάριον C **55** αὐτοῦ ACEMN Theoph. Cont. 366, 18: om. VB δ': δὲ AB ἀγγελιαφόροι AEVN: ἀγγελιοφόροι CB: ἀγγελιφόροι M **56** ἔχειν B **57** τοῦ om. M παντὸς ante στόλου add. ACE **58** ὑπεστράφη VMN: ἀπεστράφη Theoph. Cont. 367, 1: ὑποστρέφη B: ὑπέστρεψε ACE **60** Παρίου AEVBF: Παρείου CMN Theoph. Cont. 367, 2 τῷ βασιλεῖ om. B ἐνέβαλεν: ἐνέβαλλε τὸν βασιλέα B **60/61** ἀθυμίαν ἐνέβαλε A

ἀθυμίαν καὶ ταραχήν. Ἱμερίῳ γοῦν τῷ πρωτοασηκρῆτις τὴν ναυτικὴν ἐγχειρίσας δύναμιν κατὰ τοῦ Τριπολίτου ἀπέστειλεν, ὃς Ἄβυδον διελθὼν καὶ τὸ Αἰγαῖον πέλαγος Στροβίλῳ προσορμίζει, εἶτα καταίρει πρὸς Ἴμβρον. Σαμοθρᾴκην δὲ διαβὰς κατέλαβε τοὺς πολεμίους ναυλοχοῦντας ἐν Θάσῳ. πλὴν πλήθει τε καὶ προθυμίᾳ ὑπερέχοντας αὐτοὺς ἰδών, οὐδὲ πλησιάσαι τούτοις τετόλμηκεν. ὁ δὲ Τριπολίτης ὀπισθόρμητος γεγονὼς καὶ κατὰ Θεσσαλονίκην γενόμενος ταύτην ἐπολιόρκησε, κατασχεθέντος καὶ Λέοντος τοῦ στρατηγοῦ ἐν αὐτῇ, ᾧ Χατζιλάκιος τὸ ἐπώνυμον. ἐγένετο δὲ χύσις αἱμάτων πολλὴ καὶ αἰχμαλωσία.

24. Ῥοδοφύλης δέ τις κουβικουλάριος κατά τινα χρείαν ἐν Σικελίᾳ πεμφθεὶς μετὰ χρυσίου λιτρῶν ἑκατόν, νόσῳ περιπεσὼν ἐν Θεσσαλονίκῃ εἰσῆλθεν ἐφ' ᾧ | ἐπιμελείας ἀξιωθῆναι. ὅνπερ κατασχὼν ὁ Τριπολίτης καὶ πολλὰ βασανίσας διὰ τὸ χρυσίον ἀπέκτεινε μηδὲν ἔχειν ἰσχυριζόμενον. τοῦτο γὰρ ἔτυχε καταλιπὼν ἐν τῇ ὁδῷ, ὅπερ Συμεὼν ἀσηκρῆτις διερχόμενος ἀνείλετο. καὶ τοῦ Τριπολίτου βουληθέντος καταστρέψαι τὴν πόλιν ὁ Συμεὼν λαβεῖν αὐτὸν χρυσίον ἐμήνυσε καὶ τῆς καταστροφῆς ἀποσχέσθαι. ὃ καὶ γέγονε, καὶ λαβὼν τὸ χρυσίον ὁ Τριπολίτης ἀπενόστησεν. ἀποδεξάμενος δὲ τὸν Συμεὼν τοῦ ἔργου ὁ βασιλεὺς πατρίκιον καὶ πρωτοασηκρῆτις τετίμηκε. πυθόμενος δὲ τὴν τῶν Σαρακηνῶν ὑποστροφὴν ὁ ναύαρχος Ἱμέριος πρὸς τὴν κατ' αὐτῶν διανίσταται δίωξιν. οἱ δὲ τῇ Κρήτῃ προσίσχουσι, καὶ ἀπόμοιραν δόντες τοῖς Κρησὶ τῆς λείας ἀβλαβεῖς οἴκαδε ἀπενόστησαν, ἄπρακτον ἐν Λήμνῳ καταλιπόντες τὸν Ἱμέριον. ὁ δὲ βασιλεὺς πρὸς τὴν ἕω δύο γενναιοτάτω ἐκπέμπει στρατηγώ, Εὐστάθιόν τε τοῦ γένους τῶν Ἀργυρῶν καταγόμενον καὶ Ἀνδρόνικον τὸν ἐκ τοῦ Δουκός, οἵτινες πολλὰ τρόπαια ἐστήσαντο κατὰ τῶν Ἀγαρηνῶν.

67 Thessalonice urbs capta est die 31. mens. Iul. a. 904

cap. 24: Theoph. Cont. 368, 6–369, 5

ACEVBMN F **61** γοῦν: γὰρ C πρωτοασηκρῆτις AEVN: πρωτοασηκρίτῃ C: πρωτασηκρῆτι M: πρωτασηκρήτης Theoph. Cont. 367, 4 cod. V: πρωτοσπαθαρίῳ B **63** Στροβίλῳ AEVMN: Στρουβίλῳ C: Στροβήλῳ B **64** Σαμαθρᾴκην B **65** ἰδὼν αὐτούς B **67** ἐπολιόρκει A **68** στρατηγοῦ ACEMN: στρατηγοῦντος VB **69** ἄμετρος post αἰχμ. add. A **70** τινα: τινος V εἰς Σικελίᾳ B **72** εἰπῆλθεν MN ἐφ' ᾧ om. B **73** ἔχων C ἔχειν om. M **74** τοῦτο γάρ: τοῦτον γοῦν B **76** χρυσίον λαβεῖν αὐτὸν VB **77** καὶ alt. om. B γὰρ post λαβὼν add. B ὁ Τριπ. τὸ χρ. A **78** ὑπενόστησεν B τοῦ Συμεὼν τὸ ἔργον ACE **79** αὐτὸν post πατρίκιον add. ACE πρωτοασηκρήτην C τοῦτον ante τετιμ. add. B τετίμηκε(ν) VBF: ἐτίμησε ACEMN **80** Ἡμέριος B διανίσταται VBMN Theoph. Cont. 368, 17: ἀνίσταται ACE **82** καταλιπόντες ἐν Λήμνῳ B **83** Ἡμέριον B δύο post βασιλεὺς E γενναιοτάτους CB **84** στρατηγώ AVMN: στρατηγούς B: ἀρχηγούς C: ἀρχηγώ E τε: τὸν A **85** Δουκός CEVB: Δούκα AMFH: Δοῦκα N οἵτινες: οἱ ACE

25. Σαμωνᾶς δὲ ὁ τὴν ἐπιβουλὴν καταμηνύσας διαφερόντως τιμώμενος τῷ βασιλεῖ ἐξελθεῖν ἐν τῇ αὐτοῦ μονῇ προφασισάμενος φυγῇ ἐχρήσατο ἅμα χρήμασι καὶ ἵπποις, τοὺς ἐν ἑκάστῳ σταθμῷ δημοσίους ἵππους ἀγκυλοκοπῶν. ἀποστέλλει οὖν ὁ βασιλεὺς καταδιῶξαι αὐτὸν Βασίλειον ἑταιρειάρχην τὸν Καματηρὸν καὶ τὸν Κρηνίτην Γεώργιον. ἤδη δὲ τὸν | Ἅλυν διαπερῶντα τὸν Σαμωνᾶν κατέλαβε Νικηφόρος δρουγγάριος ὁ Καμινᾶς, καὶ κατέσχεν ἱκετεύοντα πολλὰ καὶ ὑπισχνούμενον δώσειν. ἐπεὶ δὲ οὐκ ἔπειθεν, εἰς τὸν ἐν τῷ Σιριχᾷ καταφεύγει σταυρὸν εὐχῆς χάριν ἐληλυθέναι προφασισάμενος. ἐλθὼν οὖν Κωνσταντῖνος ὁ τοῦ Ἀνδρονίκου τοῦ Δουκὸς υἱὸς καὶ τοῦτον ἀναλαβὼν ἐν τῇ πόλει ὑπέστρεψεν. εἰσελθόντων δὲ ἐν Κωνσταντινουπόλει, τὸν μὲν ἐν τῇ τοῦ καίσαρος Βάρδα οἰκίᾳ φυλάττεσθαι προσέταξεν ὁ βασιλεύς, Κωνσταντίνῳ δὲ τῷ Δουκί, ἐπείπερ ἐπληροφορήθη, ὡς ταῖς ἀληθείαις προσφεύγων ἦν ἐν Μελιτηνῇ ὁ Σαμωνᾶς, παρήγγειλε, μὴ τοῦτο ἐνώπιον τῆς συγκλήτου εἰπεῖν, ἀλλ' ὅτι ἐν τῷ Σιριχᾷ χάριν εὐχῆς ἀπῄει. ἐβούλετο γὰρ συγγνώμης τοῦτον τυχεῖν. ἕωθεν δὲ προσκαλεσάμενος τὴν σύγκλητον καὶ εἰς μέσον τὸν Κωνσταντῖνον παραγαγὼν ἠρώτα μεθ' ὅρκων, οὑτωσὶ λέγων· 'πρὸς τοῦ θεοῦ καὶ τῆς ἐμῆς κεφαλῆς, ἔφευγεν ἐν Συρίᾳ ὁ Σαμωνᾶς ἢ οὔ;' ὁ δὲ τοὺς ὅρκους εὐλαβηθείς (παρηγγέλθη γὰρ ἄνευ ὅρκων πρῶτον τὴν ἀλήθειαν ἀποκρύψασθαι) ὡμολόγησε πάντων ἐνώπιον, ὅτιπερ εἰς τὴν ἑαυτοῦ πατρίδα ἀπῄει Μελιτηνήν. ὁ δὲ βασιλεὺς τὸν μὲν Κωνσταντῖνον μετ' ὀργῆς ἀπεπέμψατο, τὸν δὲ Σαμωνᾶν ἐν τοῖς τοῦ καίσαρος κατέχεσθαι διωρίσατο. καὶ μετὰ ταῦτα ἐκεῖθέν τε ἐξεβλήθη καὶ τῆς προτέρας ἠξιώθη τιμῆς.

26. Ἐτέχθη δὲ τῷ βασιλεῖ ἀπὸ Ζωῆς τῆς τετάρτης αὐτοῦ γαμετῆς

16 a. 905

cap. 25: Theoph. Cont. 369, 5—370, 7; Zon. 448, 7—449, 4 cap. 26: Theoph. Cont. 370, 8—370, 20; Zon. III, 446, 3—446, 11; Glyc. 555, 9—555, 13

ACEVBMN F **87** μηνύσας E **87/88** διαφ. τῷ βασ. τιμ. A **88** προφασιζόμενος B **89** δημοσίους ACVMN: δημοσίου E: δημοσίᾳ B **90** ἀγκυλοκοπῶν VBMN Theoph. Cont. 369, 8: ἀγκυλοτομῶν ACE **91** Κρηνίτην ACEBNF: Κρηνήτην VM: Κρινήτην Theoph. Cont. 369, 10 cod. V **92** καταλαβὼν B **93** καὶ pr. om. B **94** δ' B τῷ om. B Συριχῷ B **95** ἐληλυθ. om. M **1** Δουκὸς EVB Theoph. Cont. 369, 15: Δούκα ACM: Δοῦκα NF λαβὼν B **2** δὲ: οὖν B **2/3** τοῦ Βάρδα τοῦ καίσαρος M **3** τοῦ ante Βάρδα add. VB (sed cf. Theoph. Cont. 369, 18) προσέταξε φυλάττεσθαι B **4** Δούκᾳ A ἐπληροφορήθην MN (ἐπληροφορηθ' F) ταῖς — προσφεύγων: ὡς ἀληθείας φεύγων B **6** εἰπεῖν ante **5** ἐνώπιον BM Σιριχῷ B χάριν εὐχῆς VBMN Theoph. Cont. 369, 21: εὐχῆς χάριν ACE **8** καὶ om. B **9** ἔφυγεν B **10/11** ἄνευ ὅρκων πρῶτον VBMN: πρῶτον ἄνευ ὅρκων ACE **11** γὰρ post ὡμολόγ. add. A **13** ἀπεπέμψατο μετ' ὀργῆς B **16** τῆς ante Ζωῆς add. B γαμετῆς: γυναικὸς C

παιδίον ἄρρεν, οὗπερ ἐν τῇ γεννήσει κομήτης ἐφάνη, τὰς | ἀκτῖνας ἐπ' ἀνατολὰς ἀφιεὶς καὶ λάμπων ἄχρι τεσσαράκοντα ἡμερῶν. ἐβάπτισε δὲ τὸ παιδίον ἐν τῇ ἁγίᾳ σοφίᾳ Νικόλαος ὁ πατριάρχης, ἀναδεξαμένων αὐτὸ ἀπὸ τῶν ἁγιασμάτων Ἀλεξάνδρου ⟨τοῦ αὐταδέλφου⟩ τοῦ βασιλέως, τοῦ πατρικίου Σαμωνᾶ καὶ τῶν τῆς συγκλήτου ἐξόχων. εὐλογήθη δὲ μετὰ Ζωῆς ὁ Λέων ὑπὸ Θωμᾶ πρεσβυτέρου, ὅστις καὶ καθηρέθη, καὶ ⟨αὐγοῦσταν⟩ αὐτὴν ἀνηγόρευσε. διὰ ταύτην οὖν τὴν αἰτίαν ὁ πατριάρχης εἰς τὴν ἐκκλησίαν εἰσέρχεσθαι διεκώλυε τὸν βασιλέα, ὅθεν διὰ τοῦ δεξιοῦ μέρους διήρχετο εἰς τὸ μιτατώριον.

27. Προεβλήθη δὲ καὶ ὁ πατρίκιος Σαμωνᾶς παρακοιμώμενος, πρὸς πᾶσαν παρανομίαν καὶ κακίαν συνεργὸς αὐτῷ καθεστὼς δεξιώτατος. παρεσκεύασε γὰρ τὸν βασιλέα ἀναγκάσαι τὸν πατριάρχην καὶ ἄκοντα προσδέξασθαι αὐτὸν ἐν τῇ ἐκκλησίᾳ. ὁ δὲ κατὰ τὴν ἀρχὴν τοῦ Φεβρουαρίου μηνὸς μεταπεμψάμενος αὐτὸν λιπαρῶς ἐδεῖτο προσδεχθῆναι. ἐπεὶ δὲ μὴ προσίετο τὴν ἔντευξιν, ἀπὸ τοῦ λεγομένου Βουκολέοντος πλοίῳ μακρῷ ἐμβιβάσαντες διαπερῶσιν ἐν τῇ Ἱερείᾳ, ἀφ' ἧς πεζῇ τὴν ὁδοιπορίαν ποιούμενον ἄγουσιν εἰς τὸ παρ' αὐτοῦ κτισθὲν μοναστήριον τῶν Γαλακρηνῶν. οὐ πολὺς παρῆλθε καιρός, καὶ χειροτονεῖται πατριάρχης ὁ σύγκελλος Εὐθύμιος, ἀνὴρ θεοσεβὴς καὶ ἀρετῆς ἥκων εἰς τὸ ἀκρότατον. φασὶ δ', ὅτι καὶ ἀπαναινόμενος τὴν ἱερωσύνην θείᾳ ἀποκαλύψει ἐπείσθη αὐτὴν καταδέξασθαι. διενοεῖτο δὲ ὁ βασιλεύς, πολλῶν ἐλλογίμων ἀνδρῶν εἰς τοῦτο συνεργούντων αὐτῷ, νόμον θεῖναι τοῦ ἄγεσθαι τὸν ἄνδρα | κατὰ ταὐτὸν τρεῖς ἢ καὶ τέσσαρας γυναῖκας. ἀλλὰ τοῦτο μὲν πάσῃ σπουδῇ διεκώλυσεν ὁ πατριάρχης.

19 die 6. mens. Ian. 906 **23** die 9. mens. Ian. a. 906 **34** mens. Febr. a. 907

cap. 27: Theoph. Cont. 370, 21—371, 11; Zon. III, 449, 3—449, 14; Glyc. 555, 13—556, 1

ACEVBMN FH **17** γεννήσει VBMN Theoph. Cont. 370, 9: γενέσει ACE **18** ἄχρι ACEMN: μέχρι VB **20** αὐτὸ BMN: αὐτὸν ACEV: αὐτῶν Theoph. Cont. 370, 13 cod. V τῶν ἁγιασμάτων: τοῦ ἁγίου βαπτίσματος FH Theoph. Cont. 370,13 τοῦ αὐταδέλφου Fabrot: Alex. imperatoris frater Gabius 49r: τοῦ ἀδελφοῦ M: om. ACEVBNFH Theoph. Cont. 370, 13 cod. V **21** καὶ ante τοῦ add. ACE **22** δὲ om. MN (sed cf. Theoph. Cont. 370, 16) πρεσβυτέρου: ἱερέως B ὅστις: ὃς B αὐγοῦσταν Fabrot: Augustam declaravit Gabius 49r: βασίλισσαν Theoph. Cont. 370, 17: om. ACEVBMNFH καὶ ante διὰ add. V **24** εἰσέρχεσθαι διεκώλυε (διεκώλυσεν H) VBMNH: εἰσέρχεσθαι διεκώλυσεν Theoph. Cont. 370, 19: διεκώλυσεν εἰσέρχεσθαι ACE **26** καὶ om. ACE **27** αὐτῷ VB: τῷ βασιλεῖ Theoph. Cont. 370, 22: αὐτοῦ ACEMNH: αὐτ῀ F **28** καὶ ἄκοντα post **29** αὐτὸν ACE **29** κατ' ἀρχὴν B **31** λεγομένου om. B **32** ἐν τῇ: εἰς τὰ A Ἱερείᾳ EMN: Ἡρία A: Ἱρείᾳ C: Ἡρείᾳ V: Ἱρίᾳ B: Ἡρίᾳ Theoph. Cont. 371, 5 cod. V ἀφ' ἧς om. ACE (sed cf. Theoph. Cont. 371, 5) **33** καὶ ante ἄγουσιν add. A αὐτὸν post ἄγουσιν add. B ἐξ ACE Γλακαρηνῶν C **35** τὸ ἀκρότατον: τὴν ἀκρότητα B **37** ὁ om. V **38** κατὰ ταὐτὸν: κατ' αὐτὸν B **39** τέσσαρας ACEBF Theoph. Cont. 371, 10: τέτταρας VMN **40** διεκώλυσεν ACEMN: διεκώλυεν VB

28. Ἰουνίῳ δὲ μηνὶ προσεκλήθη Λέων ὁ βασιλεὺς παρὰ Κωνσταντίνου τοῦ Λιβὸς εἰς τὴν καινουργηθεῖσαν παρ' αὐτοῦ μονὴν ἔγγιον τῶν ἁγίων ἀποστόλων, ἐφ' ᾧ τὰ ἐγκαίνια ἐπιτελέσαι καὶ ἀριστῆσαι. ἐξαίφνης οὖν ἔπνευσεν ἄνεμος λὶψ σφοδρός, καὶ συνέσεισεν οἰκοδομὰς πολλὰς καὶ συνετάραξε τοὺς ἀνθρώπους καὶ ἐξεφόβησεν, ὡς πάντας φεύγειν ἐκ τῶν οἰκιῶν εἰς τὰ ὕπαιθρα. ὄμβρος δὲ ἐπιγενόμενος ἔστησε τὴν τοιαύτην καταιγίδα.

29. Στόλου δὲ τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων ἐξελθόντος ὁ βασιλεὺς Ἱμέριον τὸν λογοθέτην τοῦ δρόμου ἀρχηγέτην τοῦ Ῥωμαϊκοῦ κατεστήσατο στόλου. προσετάχθη δὲ καὶ Ἀνδρόνικος ὁ Δοὺξ συνεισελθεῖν αὐτῷ καὶ ἀγωνίσασθαι κατὰ τῶν Ἀγαρηνῶν. ὁ δὲ Σαμωνᾶς τῷ τῶν Δουκῶν γένει ἀκατάλλακτος ὢν ἐχθρὸς διὰ τὴν παρὰ τοῦ Κωνσταντίνου κατάσχεσιν ὑποθείς τινι τῶν Ἀνδρονίκου φίλων ἔπεισε γράψαι λαθραίως, μὴ ἐν τοῖς πλοίοις εἰσελθεῖν, τοῦ Ἱμερίου παράγγελμα ἔχοντος ἐκ βασιλέως, ὑποβολῇ τοῦ Σαμωνᾶ, ἐκτυφλῶσαι αὐτόν. ὡς οὖν ἐδέξατο τὸ γράμμα, οὐκ ἤθελε τῷ Ἱμερίῳ συνελθεῖν. διὸ καὶ μόνος ἠναγκάσθη κατὰ τὴν ἕκτην τοῦ Ὀκτωβρίου μηνὸς συμβαλεῖν τοῖς ἐχθροῖς. καὶ συμβαλὼν ἐτρέψατο κατὰ κράτος καὶ ἠφάνισε. τοῦτο μαθὼν ὁ Ἀνδρόνικος καὶ τοῖς ὅλοις ἀπεγνωκώς, συσκευασάμενος ἅμα συγγενέσι καὶ δούλοις αὐτοῦ ἀπελθὼν κατέσχε τι φρούριον ἄνωθεν τοῦ Ἰκονίου διακείμενον, | ὃ Καβάλαν ὠνόμαζον, καὶ εἰς ἀποστασίαν ἔβλεψεν. οὐκ ἀνίει δ' ὁ Σαμωνᾶς ἀφορμῆς δραξάμενος καὶ παροξύνων καὶ συνταράσσων τὸν βασιλέα, καὶ λέγων, ὡς 'ἐγὼ πάλαι κατανενοήκειν τὸν ἄνθρωπον, καὶ ὡς ἀποστασίαν ὠδίνει, καὶ ὡς χρὴ προκαταλαβεῖν τὰς ὁρμὰς αὐτοῦ. ἐπεὶ δὲ τῇ σῇ μελλήσει, ὦ βασιλεῦ, παρεῖται μὲν ὁ ἐπιτήδειος καὶ ῥᾷστος καιρός, καὶ ᾤχετο ἐκ μέσων ἡμῶν τῶν χειρῶν ὁ πολέμιος, τὸν δεύτερον

58 mense Oct. a. *906(?)*

cap. 28: Theoph. Cont. 371, 12—371, 18 cap. 29: Theoph. Cont. 371, 19—373, 14; Zon. III, 449, 15—452, 3; Glyc. 556, 4/5 **66** δεύτερον ... πλοῦν: prov., cf. Plat. Phd. 99d; Mac. 3, 20; Apost. 5, 98

ACEVBMN FH **41** ἐκλήθη B **43** διαριστῆσαι B **44** λὶψ σφοδρός: λίαν σφοδρῶς B συνέσεισεν: συνέστησεν M **45** ἐξεφόβησεν: συνεφόβησεν M **46** ἐς E δ' ACE ἐπιγινόμενος E **49** Ἡμέριον B **50** συνεξελθεῖν B **52** ἐχθρὸς VB Theoph. Cont. 371, 23: om. ACEMNFH παρὰ τοῦ: τοῦ παρὰ B **53** γράψειν B **54** εἰσελθεῖν (συνεισελθεῖν E) post μὴ ACE Ἡμερίο B **56** Ἡμερίῳ B συνελθεῖν ACMN: συνεισελθεῖν EVB: εἰσελθεῖν F Theoph. Cont. 372, 6 **57** Ὀκτωμβρίου CE **59** συσκευασάμενος: συμβουλευσάμενος VB καὶ post ἅμα add. MN **60** τι ACEVN: τὸ B: τε M **61** διακείμενον om. ACE Καβάλαν ACMN Theoph. Cont. 372, 11: Κάβαλαν E: Γαβάλαν VB ἔβλεψαν B **61—63** οὐκ—βασιλέα: ὁ γοῦν Σαμ. ἀφορμῆς δραξ. παρώξυνε τὸν βασ. συνταρ. αὐτόν A **62** δ' CEVBF: δὲ MNH καὶ pr. om. B **63** πάλιν κατενόησα B **63/64** ἄνθρωπον — ὠδίνει: ἀνθρ. ἀποστασίαν ὠδίνοντα A **64** καὶ pr. om. CE **65** καὶ ῥᾷστος om. B **66** τῶν χειρῶν ἡμῶν AM

κἂν πλοῦν ποιητέον, μὴ καὶ λάθῃ δράσας τι μᾶλλον, ἢ παθών. τούτοις τοῖς λόγοις ὥσπερ ὑπό τινος πλήκτρου νυγεὶς ὁ βασιλεὺς τὸν Ἰβηρίτζην Γρηγορᾶν, δομέστικον τῶν σχολῶν καὶ κηδεστὴν Ἀνδρονίκου τυγχάνοντα, μετὰ δυνάμεως ἁδρᾶς ἀποστέλλει κατ' Ἀνδρονίκου. ὅπερ μαθὼν ἐκεῖνος, καὶ ὡς ὁ πατριάρχης Νικόλαος, ᾧ τὰ πολλὰ ἐθάρρει, ἐξεβλήθη τῆς ἐκκλησίας, καταλιπὼν τὴν Καβάλαν πανοικὶ προσέφυγε τοῖς Ἀγαρηνοῖς. ὃν ὁ ἀμερμουμνῆς ἐντίμως καὶ μεγαλοπρεπῶς ὑπεδέξατο. ἀναλογιζόμενος δ' ὁ βασιλεύς, οἷον ἀπώλεσε στρατηγόν, καὶ οἷον ἕξειν πολέμιον ἔμελλεν, ἤσχαλλε καὶ ἐδυσφόρει καὶ τρόπον ἐζήτει, πῶς ἂν αὐτὸν Ῥωμαίοις ἐπανασώσηται. ἐγένετο οὖν γράμμα βασιλικὸν πᾶσάν τε ἀμνηστίαν αὐτῷ κακῶν χαριζόμενον, τὴν οἴκαδέ τε ἐπιστροφὴν ἐπιτρέπον, καὶ τὴν προτέραν εὐημερίαν καθυπισχνούμενον, καὶ μυρίας ἄλλας δωρεὰς καὶ εὐεργεσίας. ὅπερ ἑλίξαντες κηρῷ λαμπάδι προσεοικότι διδοῦσί τινι τῶν Σαρακηνῶν ἀπὸ τοῦ πραιτωρίου ἐκβληθέντι καὶ μεγαλοπρεπῶς φιλοφρονηθέντι, ἐπισκήψαντες ἀπελθεῖν ἐν Συρίᾳ καὶ ἐγχειρίσαι τοῦτο τῷ | Ἀνδρονίκῳ. ἀπελθόντα γοῦν τὸν Σαρακηνὸν προσλαβόμενος ἰδίᾳ ὁ Σαμωνᾶς· 'οἶδας, ὃ κατέχεις;' ἠρώτα, τὸν κηρὸν αἰνιξάμενος. ἀγνοεῖν δ' ἐκείνου φήσαντος 'ὁ δοθείς σοι κηρός, ὦ φίλος,' ἔφη, 'τῆς Συρίας ἐστὶν ἡ ἀπώλεια. καὶ εἴ τι κήδῃ τοῦ ἔθνους τοῦ σοῦ καὶ τῶν ὁμοπίστων, χερσὶ κατάθου τοῦτο τοῦ Οὐζήρ.' ὥστε δὲ διακονῆσαι τοῖς ὑπ' αὐτοῦ παραγγελθεῖσι, καὶ δώροις αὐτὸν μεγίστοις πολυτελῶς ἐφιλοφρονήσατο. ἀπελθὼν οὖν ὁ Σαρακηνὸς ἐνεχείρισε τῷ Οὐζὴρ τὸν κηρόν. ὃν καθελὼν ἐκεῖνος καὶ τὸ γραμμάτιον εὑρών, καὶ τὸν ἐν τούτῳ κείμενον ἀναλεξάμενος νοῦν, ἀπήγγειλε τῷ ἀμερμουμνῇ. καὶ εὐθὺς Ἀνδρόνικον καὶ τοὺς σὺν αὐτῷ τὸ δεσμωτήριον ὑπεδέχετο. ἐπὶ πολὺ οὖν κακουχούμενοι, καὶ μὴ φέροντες τὰ ἐκ τῆς φυλακῆς λυπηρά, ἠναγκάσθησάν τινες τὴν οἰκείαν ἐξομόσασθαι πίστιν. ὁ μὲν οὖν Ἀνδρόνικος οὕτω καὶ τὸν βίον κατέλυσε. Κωνσταντῖνος δὲ ὁ τούτου υἱὸς πρὸ

72 a. 906 **76/77** inter diem 22. mens. Oct. a. 906 et mens. Febr. a. 907

ACEVBMN FH **67** κἂν — παθών: κἂν γοῦν πλοῦν αἱρετέον καὶ μὴ δράσας τι μᾶλλον λάθῃ ἢ παθών B λάθῃ: λάθρᾳ E **68** ὑπὸ om. B Ἰβηρίτζην ACEVN: Ἰβιρίτζην M: Ἰβιρίτζιν B **69** τῶν om. N **70** κατ': κατὰ τοῦ E ὅπερ: ὃ ACE **71** τὰ om. E **72** Καβάλαν ACVMN: Κάβαλαν E: Γαβάλαν B **73** ὁ om. M ἀμερμουμνὴς VM **75** πόλεμον A ἤσχαλλε AV: ἤσχαλε CEBMN **76** τοῖς ante Ῥωμ. add. ACEMNFH ἐπανασώσεται B **77** τε pr. om. ACE κακῶν om. ACE **78** αὐτῷ καὶ πάλιν post εὐημ. add. A **79** εὐεργεσίας καὶ δωρεάς A **80** ἐκβληθέντος C **81** φιλοφρονηθέντι VBMN: φιλοτιμηθέντι AE: φιλοτιμηθέντα C **82** ἀπελθόντα ACEMN: ἀπαλλαγέντα VB **83** ἠρώτα om. AB **86** Οὐρζῇ E ὥστε: ὡσὰν A διακονήσῃ A **88** οὖν: δὲ B Οὐζὴρ ACVMN: Οὐρζῇ E: Οὐζῆν B **89** ὃν καθελὼν: ὅνπερ ἑλὼν B γραμμάτιον ACVMN: γραμματεῖον E: γράμμα B **90** τούτῳ: αὐτῷ VB ἀπήγγειλε om. CE ἀπήγγειλε — ἀμερμ.: ἀμερμ. ἀπαγγέλλει A τῷ om. C **91** τὸ om. B ὑπεδέχετο CEVMN: ὑποδέχεται A: ὑπεδέξατο B **92** κακοχούμενοι MN **94** καὶ om. B

τοῦ θανεῖν ἐκεῖνον, εἰδήσει καὶ τοῦ πατρός, συσκευασάμενος μετὰ καί τινων ἄλλων τῶν περὶ αὐτόν (ἐτύγχανον γὰρ συχνοὶ μετ' αὐτοῦ ἔτι ἐν τῇ φρουρᾷ καθειργμένοι διὰ τὸ μὴ θελῆσαι τὸ οἰκεῖον ἀπώμοτον θέσθαι σέβας) τὰ δεσμὰ διαρρήξαντες ἐξέρχονται τῆς φυλακῆς, καὶ καλωδίῳ ἑαυτοὺς καθιμήσαντες ἵππων τε εὐπορήσαντες ἀπεδίδρασκον. στρατιωτῶν δὲ πεμφθέντων εἰς τὴν κατάσχεσιν τούτων, νῦν μὲν ὑποστρέφοντες καὶ πολεμοῦντες, νῦν δὲ χρυσίον ῥιπτοῦντες ἀπεσκευάζοντο τοὺς διώκοντας, καὶ οὕτως ἴσχυσαν ἐπιβῆναι τῶν ὁρίων Ῥωμαίων. ταχὺ μὲν οὖν ὁ βασιλεὺς τὸν Κωνσταντῖνον | μετεπέμψατο, καὶ ὡς αὐτὸν ἀγαγὼν δώροις παντοίοις αὐτὸν καὶ τοὺς περὶ αὐτὸν ἐφιλοφρονήσατο.

30. Πληρωθείσης δὲ τῆς ἐντυχίας, ἐν τῷ μέλλειν ἀπὸ τοῦ χρυσοτρικλίνου ἐξιέναι τὸν Κωνσταντῖνον (ἐκεῖσε γὰρ ἐποιήσατο τὴν αὐτοῦ δοχὴν ὁ βασιλεύς) ὑποστρέψαι κελεύσας αὐτόν, ἐνατενίσας πρὸς τὰς ἐστηλωμένας ἄνωθεν τῆς πύλης εἰκόνας τοῦ Χριστοῦ καὶ τῆς θεομήτορος ὁ βασιλεύς, τάδε πρὸς τὸν Κωνσταντῖνον εἰρήκει· 'μή σε πλανάτω, ὦ Κωνσταντῖνε, τὸ ὄνομα, μηδὲ διὰ τοῦτο οἴου κατάρξειν Ῥωμαίων. ἡ βασιλεία γὰρ τῷ ἐμῷ υἱῷ Κωνσταντίνῳ ἐκ θεοῦ τεταμίευται, καὶ τοῦτό μοι δῆλον γέγονεν ἐκ προρρήσεων θείων ἀνδρῶν καὶ προορᾶν τὰ μέλλοντα διὰ καθαρότητος κτησαμένων. ἔμμενε οὖν τῇ δοθείσῃ σοι τάξει, καὶ μὴ φαντάζου τὰ ὑπὲρ σεαυτόν. ἦ μὴν ἴσθι, ὡς τυραννήσαντος ἡ κεφαλή σου σώματος ἄτερ διὰ τῆσδε τῆς πύλης εἰσελεύσεται.' ὃ καὶ γέγονεν ὕστερον. μετὰ θάνατον γὰρ τοῦ Λέοντος τυραννήσας ὁ Κωνσταντῖνος ἀνῃρέθη ἐν τῷ τοῦ γενικοῦ σεκρέτῳ, καὶ διὰ τῆς ῥηθείσης πύλης λύθρῳ καὶ αἵματι σταζομένη εἰσήχθη ἡ τούτου κεφαλὴ εἰς τὰ βασίλεια. ὁ δὲ βασιλεὺς διά τινα ὑπόνοιαν Εὐστάθιον μάγιστρον τὸν Ἀργυρὸν μετεκίνησε τῆς ἀρχῆς (ἦν γὰρ δρουγγάριος τῆς βίγλας), ὃς καὶ ἀπιὼν οἴκαδε φαρμάκῳ κατεργασθεὶς ἐτελεύτησε, πολὺν πόθον αὐτοῦ τῷ τε στρατῷ καὶ τῷ

cap. 30: Theoph. Cont. 373, 15—374, 19; Zon. III, 452, 3—452, 10; Glyc. 556, 5—556, 18

ACEVBMN F **95** συσκευασάμενος om. ACE **1** καὶ ἕτεροι ante συχνοὶ add. B μετ' αὐτοῦ om. B ἔτι om. ACEB **2** ἐν om. MNH **2/3** ἀπώμοτον — σέβας: σέβας θ. ἀπότομον B **4** καλῳδίοις B ἵππων τε εὐπορ. om. B ἐλαύνοντες ὅτι τάχιστα post ἀπεδίδρ. add. A **5** τὴν om. VB **6** πολεμοῦντες: μαχόμενοι B χρυσίου B ἀποσκευάζονται B **7** ἴσχυσε B ἐπιβῆναι — Ῥωμαίων MN: τῶν Ῥωμαϊκῶν ἐπιβῆναι ὁρίων B: τῶν Ῥωμαϊκῶν ὁρίων ἐπιβῆναι ACE: τῶν ὁρίων Ῥωμαίων ἐπιβῆναι V **9** περὶ: μετ' M **10** ἀπό: ἐκ VB **13** ἐστηλωμένας VBMN: ἀνεστηλωμένας ACE τοῦ: τῆς M **14** ὁ βασιλεύς om. B **15** μηδέ: μὴ B οἴει B κατάρξαι ACE **16** τοῦτόν B **17** γέγονε ἐκ προρρήσεως B **18** τῇ δοθείσῃ: διαδοθείσῃ B **19** σεαυτόν: σέ B σου: τοῦ M **21** μετὰ θάνατον dittogr. E ὁ Κωνστ. om. A **23** σταζομένης MN (sed σταζομένη F) τὰ om. B **25** οἴκαδε ἀπιὼν A

στόλῳ καταλιπών, μεμνημένοις τῶν ἀνδραγαθημάτων αὐτοῦ. ἐτάφη δὲ κατὰ τὸ Χαρσιανὸν ἐν τῇ μονῇ τῆς ἁγίας Ἐλισάβετ, ἣν Λέων ὁ πάππος αὐτοῦ ἐκαι|νούργησεν, ὃς καὶ τὸ τῶν Ἀργυρῶν ἐπίθετον ἐκληρώσατο πρῶτος, εἴτε διὰ καθαρότητα βίου, εἴτε καὶ δι' εὐπρέπειαν σώματος, εἴτε καὶ διά τινα τρόπον τῆς αὐτοῦ γενναιότητος. τοσοῦτον γὰρ περιῆν ὁ ἀνὴρ τῶν ἐπὶ τοῦ βασιλέως Μιχαὴλ γενομένων ἀνθρώπων, ὥστε μόνος μετὰ τῶν οἰκογενῶν συνερρήγνυτο τοῖς ἐκ Τεφρικῆς Μανιχαίοις καὶ τοῖς ἐκ Μελιτηνῆς Ἀγαρηνοῖς, καὶ τούτους ῥᾳδίως ἐτρέπετο. καὶ τὸ ὄνομα αὐτοῦ μόνον φημιζόμενον φόβητρον ἦν πᾶσι τοῖς ἀντιπάλοις.

31. Χάριν δὲ ἀλλαγίου ἐκπεμφθέντες ἀπό τε Ταρσοῦ καὶ Μελιτηνῆς ὅ τε Ἀβελβάκης ἐκεῖνος, καὶ ὁ τοῦ Σαμωνᾶ πατὴρ κατέλαβον τὴν βασιλεύουσαν. καὶ τούτους ὁ βασιλεὺς ἐδέξατο μεγάλην δοχὴν ποιήσας καὶ κόσμῳ πολλῷ τὴν Μαγναύραν κατακοσμήσας. ἐκαλλώπισε δὲ καὶ τὴν μεγάλην ἐκκλησίαν πολυτελῶς, καὶ εἰσήγαγε τούτους ἐκεῖσε, καὶ τὰ τίμια ὑπέδειξεν ἅπαντα καὶ τὰ τῇ θείᾳ λατρείᾳ λειτουργοῦντα σκεύη. τοῦτο δὲ ἀνάξιον ἦν Χριστιανικῆς καταστάσεως, ἀλλοφύλοις ἀνθρώποις καὶ ἀλλοπίστοις ἐκθεατὰ ποιεῖν τὰ καὶ τοῖς μὴ καλῶς βιοῦσιν εὐσεβέσιν ἀθέατα. ὁ δὲ τοῦ Σαμωνᾶ πατὴρ τὴν παρρησίαν, ἣν ὁ τούτου υἱὸς εἶχε πρὸς βασιλέα, καὶ τὴν τιμὴν θεασάμενος καὶ τὴν δόξαν, ἠρετίσατο συνεῖναι τῷ υἱῷ, Μελιτηνὴν τὴν πατρίδα ἀπαρνησάμενος. Σαμωνᾶς δὲ οὐ συνεχώρει, παρῄνει δὲ μᾶλλον εἰς τὰ οἰκεῖα ὑπονοστῆσαι καὶ τῆς ἰδίας ἔχεσθαι πίστεως, προσμένειν δὲ καὶ αὐτόν, εἰ καιροῦ λάβοιτο, ἐκεῖσε γενέσθαι.

32. Τῆς δὲ ἑορτῆς ἐπιστάσης, ἐν ᾗ τὸ πνεῦμα τὸ ἅγιον ἐν πυρίναις γλώσσαις τοῖς ἀπο|στόλοις ἐφοίτησεν, ἔστεψε τὸν οἰκεῖον υἱὸν Κωνσταντῖνον ὁ βασιλεὺς διὰ Εὐθυμίου τοῦ πατριάρχου. σπεύδων δὲ ὁ Σαμωνᾶς τὴν τῆς βασιλίδος πρὸς ἑαυτὸν ἐπισπάσασθαι εὔνοιαν Κωνσταντῖνον

cap. 31: Theoph. Cont. 374, 20—375, 8; Zon. III, 452, 11—452, 18; cap. 32: Theoph. Cont. 375, 9—376, 22; Zon. III, 453, 1—454, 17; Glyc. 556, 19—557, 7

ACEVBMN FH 27 μεμνημένων C 28 δέ: γὰρ B 30 καθαρότητος M καὶ om. CE 31 τινα ACEMN Theoph. Cont. 374, 14: om. VB 32 περιὸν B γενομένων ἀνθρώπων VBMN: om. A: ἐκληρώσατο πρῶτος C: καὶ τὰ πρωτεῖα ἐκληρώσατο E 33 τῆς ante Τεφρ. add. B καὶ ante Μαν. add. B 35 πᾶσι om. A 37 τε Ταρσοῦ καὶ om. B τῆς ante Μελιτ. add. B 38 Ἀβελβάκης ACEVBF Theoph. Cont 374, 20: Βελβάκης N: Βελβάκις M 41 μεγαλοπρεπῶς καὶ ante πολυτ. add. VB 42 λατρείᾳ: λειτουργίᾳ, supra quod λατρείᾳ E λειτουργοῦντα: ὑπουργοῦντα A 44 ἐκθεατὰ VNF: ἐκθέατα M: θεατὰ ACEB καὶ τοῖς μή: καὶ μὴ τοῖς AB 46 υἱὸς — βασιλέα: εἶχεν υἱὸς εἰς βασ. A 47 τὴν om. B ἀπαρνησάμενος: καταλιπών B 49 καὶ alt. om. E καιρὸν λήψοιτο A 52 οἰκεῖον: ἐκείνου B 53 διὰ ACEMN Theoph. Cont. 375, 10: δι' VB 54 πρός: περὶ B

τὸν ἑαυτοῦ ὑπηρέτην ἐκτομίαν ὄντα καὶ τῆς τῶν Παφλαγόνων ὁρμώμενον χώρας τῇ αὐγούστῃ παρέσχεν ὑπηρετεῖν. τοσοῦτον δὲ οὗτος ἠγαπήθη παρ' αὐτῆς καὶ Λέοντος τοῦ βασιλέως, ὡς καὶ αὐτὸν τὸν Σαμωνᾶν διερεθίσαι πρὸς φθόνον, καὶ διαλοιδορεῖσθαι αὐτῷ πρὸς βασιλέα, ὡς τῇ αὐγούστῃ τάχα πλησιάζοντι. ὅπερ ὡς ἀληθὲς πιστεύσας, ἀποστείλας ἀπέκειρεν αὐτὸν μοναχὸν ἐν τῇ τοῦ ἁγίου Ταρασίου μονῇ δι' αὐτοῦ τοῦ Σαμωνᾶ. μετ' ὀλίγον δὲ πάλιν μεταγνοὺς καὶ προσλαβεῖν τοῦτον ἐθέλων μετήγαγε δι' αὐτοῦ τοῦ Σαμωνᾶ εἰς τὴν μονὴν τῶν Σπειρῶν. ἐν τῷ Δαματρύϊ οὖν ἐξελθὼν ὁ βασιλεὺς καὶ ἐν τῇ τοῦ Σαμωνᾶ ἀριστήσας μονῇ, καὶ θεασάμενος τὸν Κωνσταντῖνον εὐθέως διεκελεύσατο, καὶ ἀπέδυσαν αὐτὸν τὰ τοῦ μονήρους βίου ἄμφια καὶ ἐνέδυσαν στολὴν κοσμικήν. καὶ εὐωχούμενός τε παρ' αὐτοῦ δοθῆναί οἱ ἐκέλευσε τὸ ποτήριον ἐν τῷ ἀρίστῳ, καὶ εἰσερχόμενος ἐν τῷ παλατίῳ ἐφείλκετο καὶ αὐτὸν μετ' αὐτοῦ. ὁρῶν δὲ ὁ Σαμωνᾶς αὐξανομένην τὴν πρὸς τὸν Κωνσταντῖνον τοῦ βασιλέως ἀγάπην ἐπιβουλὴν κατ' αὐτοῦ ῥάπτει, τόνδε συντεθειμένην τὸν τρόπον. κοινολογησάμενος Μεγίστῳ τῷ κοιτωνίτῃ καὶ Μιχαὴλ τῷ Τζιρίθωνι γραμμάτιον συντίθησι λοιδορίας ἔχον κατὰ τοῦ βασιλέως ἀπείρους, Κωνσταντίνου τοῦ Ῥοδίου, ὃς ὑπεγραμμάτευε τῷ Σαμωνᾷ, τοῦτο συνθέντος. ὅπερ γράψαντες καὶ σφραγίσαντες ἐν | τῷ μιτατωρίῳ ἔρριψαν. τοῦ δὲ βασιλέως δημοσίαν πρόοδον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ποιησαμένου, κἀν τῷ μιτατωρίῳ εἰσελθόντος, καὶ ἐν ᾧ ηὔχετο τόπῳ τοῦτο ἐρριμένον ἰδόντος, εἰληφότος, τε καὶ ἀναγνόντος πολλὴ κατέσχεν ἀπορία τοὺς συμπαρόντας, διστάζοντος ἑκάστου καὶ ἀγνοοῦντος τὸν ῥίψαντα. κατέσχε δὲ καὶ τὸν βασιλέα ἀθυμία πολλή, καὶ τὸν πεποιηκότα ἐζήτει. γέγονε δὲ κατὰ τὸν αὐτὸν χρόνον καὶ ἔκλειψις σελήνης μεγίστη, δι' ἣν ὁ βασιλεὺς τὸν μητροπολίτην Συνάδων μετεκαλέσατο Παντολέοντα, τῆς ἀστρονομικῆς παιδείας ἐν μυήσει τυγχάνοντα,

ACEVBMN FH **55/56** χώρας ὁρμώμ. A **57** τοῦ ante Λέοντος add. E **58** ἐρεθίσαι A αὐτῷ: αὐτὸν A **59** τάχα om. B πλησιάζοντα CE ᾧπερ V ὡς ἀληθὲς: ὁ βασιλεὺς B ἀληθές: ἀληθεῖ V τάχα ante πιστ. add. CVMNFH πιστεύσας: προσδεξάμενος A **60** ἀποστείλας CEMN Theoph. Cont. 375, 16: om. AVB **61/62** προσλαβεῖν — ἐθέλων: θέλων αὐτὸν προσλ. A **62** θέλων AB **63** Πειρῶν B Δαματρύϊ AEB: Δαμάτρυϊ CVMN: Δαματρυ (sic) F: Δαματρὺ Theoph. Cont. 375, 20 **64** διεκελεύσατο ACEVBF Theoph. Cont. 375, 22: διεκελεύετο MN **65** ἐνέδυσε B **66** τε om. ACEB παρ' αὐτοῦ om. B αὐτοῦ: αὐτῷ V **68** καὶ ante ὁ add. ACE αὐξανομένην EVM Theoph. Cont. 376, 1: αὐξομένην ACN: αὐξαμένην B τὴν om. B τὸν om. B τὴν post Κωνστ. add. B **69** ἀγάπην τοῦ βασ. A **69/70** ἐπιβουλὴν — τρόπον om. ACE συντιθεμένην B **71** Μιχαὴλ: Βασιλείῳ C Τζιρίδωνι B ἐκτίθησι A ἔχον om. A **72** ἀπείρους om. A Κωνσταντῖνος M **73** συνθέντος ACEV: συντεθέντος BMN: τοῦτο θέντος F ὅπερ: ὃ ACE **74** μυταταρίῳ B **75** κἀν τῷ μιτατωρίῳ: καὶ τοῦ μυταταρίου B καὶ om. B **76** τοῦτο: καὶ τοῦτον B τοῦτο om. E καί: ὡς B **78** πολλή: ἀλλὰ B **79** κατὰ τὸν αὐτὸν: κατ' αὐτὸν τὸν M χρόνον: καιρὸν E **80** τῆς ante σελ. add. B σελήνη M μεγίστη: μεγάλη B μετεκαλέσατο post βασιλεὺς B **81** τῆς — τυγχάνοντα om. B τυγχάνοντα: ὑπάρχοντα M

τὸ τῆς ἐκλείψεως ἀποτέλεσμα μαθεῖν ὀριγνώμενος. ὃν εἰσερχόμενον πρὸς τὸν βασιλέα ὁ Σαμωνᾶς ἰδίᾳ παραλαβὼν ἠρώτησεν, εἰς τίνα τὴν κάκωσιν ἔσεσθαι, καὶ τόνδε φάναι, ὅτι 'εἰς σέ. τὴν τρισκαιδεκάτην δὲ τοῦ Ἰουνίου διερχόμενος ἡμέραν οὐδὲν ἔκτοτε πείσῃ κακόν.' ἐρωτηθεὶς δὲ καὶ παρὰ τοῦ βασιλέως περὶ τούτου εἶπεν, ὅτι εἰς τὸ δεύτερον πρόσωπον ἡ κάκωσις ἀποσκήψει. ὑπώπτευεν οὖν ὁ βασιλεὺς δεύτερον πρόσωπον εἶναι τὸν ἑαυτοῦ ἀδελφὸν Ἀλέξανδρον. καὶ τὰ μὲν τῆς προρρήσεως, ἣν ἔσχεν ἀπόβασιν, προϊὼν ὁ λόγος δηλώσει. Μιχαὴλ δὲ τοῦ Τζιρίθωνος κατ' ἰδίαν τῷ βασιλεῖ προσελθόντος καὶ καταμηνύσαντος, ὡς ὁ Σαμωνᾶς εἴη τὸ πιττάκιον πεποιηκώς, παρευθὺ καταβιβάζεται εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀποκείρεται μοναχός, εἶτα ἐν τῇ μονῇ τοῦ πατριάρχου Εὐθυμίου ἀπάγεται, κἀκεῖθεν διαλοιδορηθεὶς εἰς τὴν τοῦ Μαρτινακίου μετατίθεται. ταῦτα δὲ ἐπράχθη, μήπω τῆς ὡρισμένης προθεσμίας παρὰ τοῦ μητροπολίτου διαδραμούσης. ἐποίησε δὲ ἀντ' αὐτοῦ τὸν Κωνσταντῖνον | παρακοιμώμενον. ἔκτισε δὲ αὐτῷ καὶ μοναστήριον ἐν ταῖς Νοσιαῖς, ἐπ' ὀνόματι τοῦ σωτῆρος, ἣν καὶ ἐνεκαίνισεν ἅμα Εὐθυμίῳ τῷ πατριάρχῃ.

33. Ἀγαρηνῶν δὲ ἐξελθόντων μετὰ πλοίων τριακοσίων, ὧν ἡγεῖτο Δαμιανός τε ὁ τῆς Τύρου ἀμηρᾶς καὶ Λέων ὁ Τριπολίτης, Ἱμέριος ὁ λογοθέτης ναύαρχος ὢν τῶν Ῥωμαίων κατὰ τὸν Ὀκτώβριον μῆνα συνήντησε τούτοις κατὰ τὴν Σάμον, ἧς ἐστρατήγει Ῥωμανὸς ὁ Λακαπηνός. καὶ συμπλακεὶς τοῖς μετ' αὐτοῦ ἡττήθη, καὶ τῶν ὑπ' αὐτὸν νεῶν διασκεδασθεισῶν μόλις αὐτὸς διεσώθη εἰς Μιτυλήνην.

34. Κοιλιακῷ δὲ νοσήματι ληφθεὶς ὁ βασιλεύς, καὶ ἐπὶ χρόνον τῷ τοιούτῳ πάθει κατεργασθεὶς καὶ εἰς ἐσχάτην ἀδυναμίαν ἐληλακώς, μόλις ἠδυνήθη ἐν τῷ τῆς ἐγκρατείας καιρῷ τὴν συνήθη ποιήσασθαι δημηγορίαν. συνηθροισμένης γὰρ τῆς συγκλήτου τοιούτων ἤρξατο πρὸς

7 mens. Oct. a. 911

cap. 33: Theoph. Cont. 376, 23—377, 4   cap. 34: Theoph. Cont. 377, 5—377, 16; Zon. III, 455, 1—455, 13

ACEVBMN F   82 τὸ — ὀριγνώμενος: μαθεῖν ὀριγνώμενος τὸ ἀποτέλεσμα τῆς ἐκλείψεως B   πρὸς VBMN Theoph. Cont. 376, 11: εἰς ACE   83 ἠρώτησεν ACEVBF Theoph. Cont. 376, 11: ἐρώτησεν MN   84 ιγ' CB   85 Ἰουλίου B   86 καὶ ante παρὰ om., ante περὶ add. E   τὸ αὐτὸ ante εἶπεν add. B   β' C   87 ἀποσκήψει ACEMN Theoph. Cont. 376, 14: ἐπισκήψει V: ἐνσκήψει B   ὑπώπτευσεν B   88 εἶναι om. B   93 διαλοιδορηθεὶς ACEMN: δὴ λοιδορηθεὶς V: λοιδορηθεὶς B   94 προθεσμίας: προθυμίας E   1 Νοσιαῖς VMN Theoph. Cont. 376, 21: Νοσίαις B: Νοσσιαῖς ACE   2 ἣν: ὃ B   4 Ἡμέριος B   5 κατὰ: κατ' αὐτὸν B   Ὀκτώμβριον CE   7 τοῖς CEMN: αὐτοῖς VB   τοῖς μετ' αὐτοῦ om. A   αὐτὸν AEVMN: αὐτῶν C: αὐτοῦ B   11 δημηγορίαν ποιήσασθαι (ποιήσεσθαι A) ACE   12/13 πρὸς αὐτοὺς ἤρξατο M

αὐτοὺς λόγων· 'τὸ μὲν ἐμὸν σαρκίον, ὦ φίλοι, νόσῳ ἐκτρυχωθὲν ἀπέρρευσε, καὶ ἡ ἰσχὺς ἐπιλέλοιπε, καὶ τάχα οὐκέτι μεθ' ὑμῶν βιοτεύω, οὐδὲ καταλήψομαι τὴν τοῦ δεσπότου Χριστοῦ ἀνάστασιν. μίαν τοίνυν καὶ τελευταίαν ὑμᾶς αἰτῶ τήνδε τὴν χάριν, ἀπομνημονεῦσαι ἣν εἶχον πρὸς ὑμᾶς χρηστὴν διάθεσιν, καὶ ἀντὶ ταύτης εὔνοιαν τῇ ἐμῇ συζύγῳ διατηρῆσαι καὶ τῷ υἱῷ.' καὶ ἡ μὲν τοῦ βασιλέως δημηγορία τοιαύτη, ἡ δὲ σύγκλητος βουλὴ ὑπέσχετο δακρυρροοῦσα καὶ μετ' ὀλοφυρμῶν λύπῃ μὲν συνέχεσθαι ἀπαραμυθήτῳ τοιούτου στερισκομένη δεσπότου καὶ βασιλέως, εὔνοιαν δὲ διατηρήσειν εἴς τε τὴν δέσποιναν καὶ τὸν ἡμέτερον δεσπότην καὶ βασιλέα τὸν σὸν υἱόν, ὥστε, εἰ | δεήσει, μυριάκις ἔμπροσθεν αὐτῶν ἀποθανεῖν. ταῦτα εἰποῦσα ἡ σύγκλητος καὶ τελευταῖον ἀσπασμὸν ἀποδοῦσα τῷ βασιλεῖ ἀπηλλάγη. οὐ μήν γε καὶ εὐθὺς ὁ βασιλεὺς ἐτελεύτησεν, ἀλλὰ διετέλεσε νοσηλευόμενος καὶ σφακελιζόμενος ἄχρι τῆς ἑνδεκάτης τοῦ Μαΐου μηνός, καθ' ἣν ἀπηλλάγη τοῦ βίου Ἀλεξάνδρῳ τῷ αὐτοῦ ἀδελφῷ τὰ τῆς βασιλείας παραδοὺς σκῆπτρα. ὃν ἰδών, ὥς φασιν, ἐρχόμενον κατὰ τὴν τελευταίαν ἐντυχίαν εἰπεῖν λέγεται· 'ἴδε ὁ κακὸς καιρὸς μετὰ τοὺς δεκατρεῖς μῆνας.'

προσέκειτο δὲ τοῖς μαθήμασιν ὁ τοιοῦτος βασιλεύς, καὶ μάλιστα τῇ περὶ τὴν ἀστρονομίαν ἀποτελεσματικῇ. καὶ στιχηρὰ δὲ μελίσας τῇ ἐκκλησίᾳ παρέδωκε ψάλλεσθαι πάσης ἡδύτητος ἀνάπλεα. καὶ ἐπιστολαὶ δὲ αὐτοῦ καὶ ἄλλα πονήματα πάσης παιδεύσεως περίπλεα φέρονται, πρὸς τὸν ἀρχαῖον χαρακτῆρα ἀποτετορευμένα. ἀνέγνωσε δὲ καὶ τὰ Ἀρχιμήδεια ἀκριβῶς καὶ ὡς οὐδεὶς ἕτερος τῶν κατ' αὐτόν.

παραδοὺς τοίνυν, ὡς εἴρηται, τὸ τῆς βασιλείας κράτος, καὶ πολλὰ παρακαλέσας τὸν αὐτοῦ υἱὸν Κωνσταντῖνον παιδοτροφῆσαι καὶ ἐπιμελείας ἀξιοῦν προσηκούσης, τελευταῖον δὲ καὶ διάδοχον αὐτοῦ καταλιπεῖν, ἐτελεύτησεν.

26 die 11. mens. Maii a. 912

15/16 τοίνυν — χάριν ACEMN: τοίνυν ὑμᾶς αἰτῶ καὶ τελευταίαν ταύτην τὴν χάριν VB   17 διατηρῆσαι (post υἱῷ B) VB: τηρῆσαι ACEF: διατηρεῖν MN   18 δημηγορία τοιαύτη: τοιαύτη ἡ δημηγορία B   18/19 ἡ σύγκλητος δὲ A   19 βουλὴ om. AB   ὑπέσχετο βουλὴ V   ὑπέσχετο om. B   καὶ om. B   ἀπεκρίνατο ante λύπῃ add. B   20 στερισκομένους CE   21 διατηρήσειν: τηρήσειν ὑπέσχετο B   21/22 ἡμέτερον δεσπότην καὶ om. B   22 τὸν σὸν: καὶ B   αὐτοῦ post υἱὸν add. B   ἔμπροσθεν: τρι|| κινδυνεῦσαι B   23 ἀποθανεῖν om. B   23/24 δοῦσα ἀσπασμὸν A   24 μήν — βασιλεύς: μὴν τε καὶ ὁ βασ. εὐθὺς B   εὐθὺς om. M   25 ἐτελεύτα V   26 ἑνδεκάτης AEV: ια' CBNH: δεκάτης πρώτης M   Μαΐου ACEVB: Μαΐῳ Theoph. Cont. 377, 12: Ἰουνίου MN   ἀπηλλάγη: καὶ ἀπαλλάγη B   27 αὐτοῦ ἀδελφῷ: αὐταδελφῷ B   29 μετὰ τῶν δεκατριῶν μηνῶν A   30—34 interpol. ACEB   30/31 τῇ περὶ — ἀποτελεσματικῇ: τοῖς περὶ τὴν ἀστρ. ἀποτελεσματικοῖς A   31 δὲ om. B   31/32 πάσης — ἀνάπλεα om. B   32 ἀνάπλεω A   δὲ om. E   33 ἀποτετυρευμένα B   ἀνέγνωσε CE: ἀνέγνω B: ἀνέγνω A   35 τοίνυν: οὖν B   αὐτῷ post τοίνυν add. V, τῷ ἀδελφῷ ibidem add. B   36 τὸν αὐτοῦ υἱὸν VBMN Theoph. Cont. 371, 16 cod. V: τὸν υἱὸν αὐτοῦ ACE   38 post ἐτελεύτησεν duo lineas (erasas?) add. E, quas legere non potui

ΑΛΕΞΑΝΔΡΟΣ

1. Ἀλέξανδρος δὲ ὁ τοῦ Λέοντος ἀδελφός, ἤδη νεανίας ὢν καὶ τὸ εἰκοστὸν τῆς ἡλικίας αὐτοῦ παραμείβων ἔτος, τοῦ Λέοντος ἀποθανόντος παρέλαβε τὰς τῆς βασιλείας ἡνίας, συμβασιλεύοντος αὐτῷ καὶ Κωνσταντίνου τοῦ Λέοντος παιδός. ὃς ἅμα τε ἐπέβη τῆς βασιλείας καὶ ἅμα ἐκπέμψας ἤγαγε Νικόλαον ἐκ Γαλακρηνῶν τὸν πατριάρχην, καὶ τοῦ θρόνου καταγαγὼν τὸν Εὐθύμιον ἀνήγαγε τὸ δεύτερον τὸν Νικόλαον. καὶ ἅμα αὐτῷ καθεσθεὶς ἐν τῇ Μαγναύρᾳ, σελεντίου γενομένου, τὴν τοῦ Εὐθυμίου καθαίρεσιν ἐποιήσατο. ὃν οἱ προσκείμενοι τῷ Νικολάῳ κληρικοὶ ἅμα τῇ | καθαιρέσει ὥσπερ ἄγριοι ἐμπηδῶντες θῆρες ἔπληττον, κονδύλους ἐνέτριβον, ἐκολάφιζον, τὴν ἱεροπρεπῆ ἀπέτιλλον γενειάδα, ἐπὶ τράχηλον ὤθουν, καὶ ἄλλας ἀνυποίστους ποινὰς τούτῳ ἐπέφερον, ἐπιβάτην ἀποκαλοῦντες καὶ μοιχὸν καὶ ἀλλοτρίᾳ ἐπεισπηδήσαντα γυναικί. ὁ δὲ ἱερὸς ἐκεῖνος ἀνὴρ πράως πάντα καὶ ἡσύχως ὑπέφερεν. ὑπερόριος οὖν ἐν τοῖς Ἀγαθοῦ σταλείς, καὶ μετὰ μικρὸν χρόνον ἀποβιούς, ἐν τῇ πόλει εἰσαχθεὶς θάπτεται εἰς τὴν αὐτοῦ μονήν. ὁ δὲ κληρικὸς ὁ τὰς πολιὰς αὐτοῦ τίλας ὑποστρέψας κατ' αὐτὴν τὴν ὥραν εἰς τὴν οἰκίαν αὐτοῦ εὗρε ταύτην ἐμπεπρησμένην καὶ τὴν θυγατέρα παρειμένην καὶ ἐκλελυμένην, ἥτις καὶ διήρκεσεν ἐπὶ χρόνους ἱκανοὺς μεταιτοῦσα καὶ τὰς πρὸς τὸ ζῆν ἀφορμὰς συλλέγουσα.

2. Ὁ δὲ βασιλεὺς Ἀλέξανδρος καὶ πάλαι βίον ἀβροδίαιτον ἔχων καὶ διακεχυμένον καὶ πρὸς μόνα ἐπτοημένον τὰ κυνηγέσια καὶ τὰς ἄλλας

41 die 11. mens. Maii

cap. 1: Theoph. Cont. 377, 19–378, 17; Zon. III, 455, 14–456, 3 cap. 2: Theoph. Cont. 378, 18–379, 9; Zon. III, 456, 3–456, 14

ACEVBMN FH **39** Ἀλέξανδρος ACEV: Ἀρχὴ βασιλείας Ἀλεξάνδρου ἀδελφοῦ Λέοντος βασιλέως M (et in mg. N?): Βασιλεία Ἀλεξάνδρου ἀδελφοῦ Λέοντος, υἱοῦ τοῦ Μακεδόνος B **41** θανόντος AB **42** αὐτῷ: αὐτοῦ B Κωνστ. post 43 παιδὸς B **43** τοῦ Λέοντος ACEMN: τοῦ τοῦ Λέοντος VB παιδός: υἱοῦ, post Κωνστ. A ἅμα alt. om. A **44** ἐκ — πατριάρχην: τὸν πατρ. ἐκ Γαλακ. B **45** β' C **46** Εὐθυμίου: πατριάρχου B **47/48** ἅμα τῇ καθαιρέσει om. A **48** ὥσπερ: ὡς A ἐκπηδῶντες M **50** ἀνυποίστους ποινάς: πλοίστους B **50/51** ἐπιβάτην — μοιχόν: μοιχὸν ἀποκαλοῦντες A **52** πράως πάντα: πάντα ταῦτα πράως A ἐπέφερεν E **52/53** ἐν τοῖς: ἐκτὸς V **53** τοῦ ante Ἀγαθοῦ add. E Ἀγαθοῖς B χρόνον μικρὸν B **55/56** εὗρε ταύτην VBMN: εὗρεν αὐτὴν ACE **57** καὶ pr. om. B μεταιτοῦσα CEMN: προσαιτοῦσα A: μετ' αὐτοῦ VB: μετελθοῦσα F καὶ alt. om. B **60** συγκεχυμένον M

ἀκολάστους καὶ ἐκδεδιῃτημένας τῶν πράξεων, καὶ μηδὲν βασιλέως ἔργον εἰδὼς διαπράττεσθαι, ἀλλὰ τρυφαῖς καὶ ἀσελγείαις σχολάζειν ἠγαπηκώς, ἐπεὶ τῆς βασιλείας καὶ τῶν ὅλων ἐγένετο ἐγκρατής, οὐδὲν ἄξιον λόγου ἢ διενοήσατο ἢ κατεπράξατο. μοναρχήσας γὰρ Ἰωάννην τινὰ ἀγύρτην καὶ μηδενὸς ἄξιον λόγου (Λαζάρης τούτῳ ἐπώνυμον) ῥαίκτωρα πεποίηκεν, ὃς καὶ μετὰ μικρὸν κακῶς ἀπέρρηξε τὴν ζωήν, ἐν τῷ Ἑβδόμῳ σφαιρίζων ὁ κληρικός. ὡσαύτως καὶ Γαβριηλόπωλον καὶ Βασιλίτζην, συμ|παίστορας αὐτῷ ὄντας πρὸ τῆς βασιλείας καὶ τῶν ἀκολάστων πράξεων κοινωνοὺς καὶ θεράποντας, πλείστοις τε χρήμασι περιήντλησε καὶ εἰς πατρικιότητος τιμὴν ἀνεβίβασεν. ἐβούλετο δ', ὥς φασιν, εἰ μὴ θεὸς ἐπέσχε, τὸν Βασιλίτζην εἰς τὸν βασίλειον θρόνον ἀναγαγεῖν καὶ Κωνσταντῖνον τὸν οἰκεῖον εὐνουχίσαι ἀνεψιόν. ὃ καὶ ἐγένετο ἄν, εἰ μὴ θεὸς μὲν πρότερον διεκώλυσεν, ἔπειθ' οἱ πρὸς Λέοντα τὸν τοῦ παιδὸς πατέρα διαφυλάττοντες εὔνοιαν, ποτὲ μὲν λέγοντες, ὡς νήπιός ἐστι, ποτὲ δέ, ὡς ἀσθενής, καὶ οὕτω κατὰ μικρὸν ἀποβουκολήσαντες τὸν Ἀλέξανδρον τὸν παῖδα διεσώσαντο, τοῦ θανάτου καταλαβόντος ἐκεῖνον.

3. Ἐπὶ τούτου βασιλεύσαντος ἐφάνη κομήτης ἐκ δύσεως, ὃν ξιφίαν καλοῦσιν οἱ περὶ ταῦτα δεινοί. τοῦτον δὲ ἔλεγον αἱμάτων χύσιν προσημαίνειν ἐν τῇ βασιλίδι.

4. Ὁ δὲ βασιλεὺς πλάνοις καὶ γόησιν ἐκδεδωκὼς ἑαυτὸν καὶ πυνθανόμενος περὶ τῆς ἑαυτοῦ βασιλείας, εἰ μακροχρόνιος ἔσεται, ὑπέσχοντο

cap. 3: Theoph. Cont. 379, 9—379, 11; Glyc. 557, 9—557, 11 cap. 4: Theoph. Cont. 379, 12—379, 21; Zon. III, 456, 14—457, 6; Glyc. 557, 11—557, 15

ACEVBMN FH **61** μηδὲν: μηδὲ B **62** καὶ ante τρυφαῖς add. B καὶ — ἠγαπηκώς: ἠγαπ. σχολ. καὶ ἀσελγ. B **64** ἢ pr. om. B διενοήσατο — κατεπράξατο: διενοήσατο πώποτε, ἢ ὅλως κατεπράξατο B ἀγύρτην τινὰ B **65** λόγου ἄξιον V Theoph. Cont. 378, 22 **65** Λαζάρης VBN: Λαξάρης ACE: Λάζαρος M (lectio Theoph. Cont. 378, 23 incerta; cod. V habet vel Λαξάρης vel Λαξάνης vel Λαζάρης vel Λαζάνης; Bekker habet l. c. Λαζάνης) Λαζάρης — πεποίηκεν: πεποίηκεν ῥαίκτωρα. Λαζάρης τούτῳ ἐπώνυμον B **66** κακῶς om. B **67** ὡσαύτως — Βασιλίτζην: καὶ Γαβριλόπωλον δέ τινα ὡσαύτως καὶ Βασιλείτζιν B Γαβριηλόπωλον AEVMN: Γαβριλόπωλον B: Γαβριηλόπουλ C: Γαβριλόπουλον Theoph. Cont. 379, 3 cod. V Βασιλίτζην CVF: Βασιλείτζην AEMN: Βασιλείτζιν B: Βασιλίτζιν Theoph. Cont. 379, 3 cod. V **68** ὄντας αὐτῷ VB **68/69** πρὸ — κοινωνούς: πρὸς τῆς μοναρχίας καὶ πράξεων ἀκωλάστων κοινωνοὺς B **70** ἠβούλετο B δ' VBMN: δὲ ACEH **70/71** εἰ μὴ θεὸς ἐπέσχε post ἀγαγεῖν B **71** Βασιλίτζην VF: Βασιλείτζην ACEBMN: Βασιλίτζιν Theoph. Cont. 379, 5 cod. V καὶ ante εἰς add. AB ἀγαγεῖν BM(?) καὶ om. B **72** δὲ post Κωνστ. add. B εὐνουχ. τὸν οἰκ. ACEB ἂν om. M **73** μὲν om. M ὡς εἴπομεν (ὡς εἴρηται CFH) post πρότερον add. ACFH, ὡς εἴρηται post διεκώλυσεν add. E διεκώλυσεν ACEVB: ἐκώλυσεν MNF παιδὸς om. B **75** ὡς VB Theoph. Cont. 379, 8: om. ACEMNF οὕτως VB **75** ἀποβοκολήσαντες M **76** διεσώσαντο VBMNH: διέσωσαν ACE **77** βασιλεύσαντος VMN: βασιλεύοντος ACEB **81** περὶ — βασιλείας om. B μακροχρόνιος: μακρόβιος B ὑπέσχοντο: εὗρε τούτους ὑπισχνουμένους B

μακρόβιον αὐτὸν ἔσεσθαι, εἰ ὁ ἐν τῷ ἱππικῷ ἑστηκὼς σύαγρος ὁ χαλκοῦς, αἰδοῖα καὶ ὀδόντας μὴ ἔχων, προσλάβοι παρ' αὐτοῦ. στοιχεῖον γὰρ αὐτοῦ εἶναι τοῦτον προφανῶς· Λέοντι γὰρ ἀντιμάχεται τῷ αὐτοῦ, φασίν, ἀδελφῷ. οἷς πεισθεὶς ὁ ταῖς ἀληθείαις χοιρόβιος τὰ λείποντα μέρη τῷ χοίρῳ προσανενέωσε. τῇ τοιαύτῃ οὖν ἐχόμενος ἀπονοίᾳ ἱππικὸν πεποιηκὼς τοὺς ἱεροὺς τῶν ἐκκλησιῶν πέπλους καὶ τοὺς θείους λύχνους καὶ τοὺς λαμπτῆρας ἀναλαβὼν τὸ ἱππικὸν κατεκόσμησε, | τὰ θεῷ ἀνατεθειμένα κοινῶν, ἢ μᾶλλον εἰπεῖν, τοῖς εἰδώλοις ἀνατιθεὶς ὁ δείλαιος.

5. Ἱμέριον δὲ τὸν λογοθέτην ἐκ τῆς ἥττης τῶν Ἀγαρηνῶν ὑποστρέψαντα καὶ τὴν βασιλίδα κατειληφότα ἀποστείλας περιώρισεν ἐν τῇ μονῇ τῶν Καλυπῶν, ἐπαπειλούμενος, ὡς ἐχθρῷ τούτῳ χρήσασθαι διὰ τὸ καὶ αὐτὸν πολλὰ κατ' αὐτοῦ συνθέσθαι ἐν ταῖς ἡμέραις τοῦ ἀδελφοῦ. οὗτος δὲ μικρὸν τῇ ἐξορίᾳ βιοὺς ἀπέθανεν ὑπὸ τῆς θλίψεως κατεργασθείς.

6. Τοῦ Βουλγάρων δὲ ἄρχοντος Συμεὼν πρέσβεις πεπομφότος τοὺς πευσομένους, εἰ τὴν εἰρήνην ἀσπάζοιτο καὶ τιμὴν φυλάττοι πρὸς αὐτόν, ὁποίαν ὁ προβεβασιλευκὼς ἀδελφὸς αὐτοῦ, τοὺς μὲν πρέσβεις ἀτίμως ἐξέπεμψεν, ὑπερόγκους καὶ ἀλαζόνας λόγους καὶ φρυαγματώδεις ἐκπέμψας καὶ ἀπειλαῖς χρησάμενος κατὰ Συμεών, ἐν τούτοις καταπλήττειν τοῦτον οἰόμενος. ὑποστρεψάντων δὲ τῶν πρέσβεων πρὸς τὸν Συμεών, μὴ ἐνεγκὼν οὗτος μετρίως τὰς ἐκ τοῦ Ἀλεξάνδρου ὕβρεις καὶ τὰ φρυάγματα καὶ τὰς ἀπειλὰς ἔλυσε τὴν εἰρήνην καὶ κατὰ Ῥωμαίων ἔκρινεν ὅπλα κινεῖν.

7. Ἀλέξανδρος δὲ τῇ ἕκτῃ τοῦ Ἰουνίου μηνὸς λουσάμενος καὶ ἀριστήσας καὶ οἰνωθεὶς μετὰ τοὺς ὕπνους κατῆλθε σφαιρίσων. πόνου δέ τινος

95 indutiae a. 896 factae sunt   9 a. 913

cap. 5: Theoph. Cont. 379, 22—380, 4   cap. 6: Theoph. Cont. 380, 5—380, 11; Zon. III, 457, 7—457, 11   cap. 7: Theoph. Cont. 380, 12—380, 22; Zon. III, 457, 12—458, 4

ACEVBMN FH   82 ὁ alt. om. A   83 προσλάβοιτο B   83/84 γὰρ εἶναι αὐτοῦ τοῦτο B   84 αὐτοῦ alt.: ἑαυτοῦ AB   85 ὁ — χοιρόβιος: ὁ χοιρόβιος ἀληθῶς B   χοιρόβιος VBMN (cf. Theoph. Cont. 379, 15): χοίρινος ACE   86 προσανανέωσε B οὖν: γοῦν A τε ante πεποιηκὼς add. E   88 τὸ ἱππικὸν om. B   τῷ ante θεῷ add. ACEH (τὰ om. H)   89 εἰπεῖν om. C δείλαιος om. E   90 Ἡμέριον B   ἥττης post Ἀγαρηνῶν ACEMNF (sed cf. Theoph. Cont. 379, 22)   92 Καλυπῶν EVBMN: Καλυβῶν A: Καλυτῶν C   χρήσεσθαι A   ἐν ante τῇ add. B   ὑπό: ἀπὸ B   95 Βουλγαρίας B   Συμεὼν om. B 95/1 τοὺς πευσομένους om. ACE   1 φυλάττοι ACVH: φυλάττει EB: φυλάττοιτο MN   2 ἀδελφὸς om. B   μὲν om. E   3 καὶ ante ὑπερόγκους add. B   ὑπερόγκους ACEVBH: ὑπερόγκοις MN   λόγους post φρυαγμ. ACE   ἐκπέμψας CEVMN: εἰπὼν A: ἐρευξάμενος B   4 τούτοις: τούτῳ V   5 τῶν — Συμεών: πρὸς τὸν Σ. τῶν πρέσβ. A   6 οὗτος VBMN: οὕτω ACE μετρίως post ὕβρεις VB   7/8 ἔκρινεν — κινεῖν: ἐκστρατεῦσαι ἔκρινεν ACE   9 Ἀλέξανδρος δὲ: ὁ δὲ Ἀλέξ. B   ς C

γεννηθέντος ἐν τοῖς ἐγκάτοις αὐτοῦ ἀπὸ τῆς τῶν βρωμάτων ἀπληστίας καὶ τῆς μέθης ἀνελθὼν ἐν τῷ παλατίῳ, αἵματος αὐτοῦ πολλοῦ ἐκ τῶν ῥινῶν καὶ τῶν αἰδοίων ῥυέντος, μετὰ μίαν ἡμέραν ἐτελεύτησεν, ἐπιτρόπους καταλιπὼν τὸν πατριάρχην Νικόλαον, τὸν μάγιστρον Στέφανον, τὸν μάγιστρον Ἰωάννην τὸν Ἐλαδᾶν, Ἰωάννην τὸν ῥαίκτορα, τὸν Βασιλίτζην καὶ τὸν Γαβριηλόπωλον, τὴν βασι|λείαν παραδοὺς Κωνσταντίνῳ τῷ οἰκείῳ ἀνεψιῷ. ἀποθανὼν δὲ ἐτέθη μετὰ τοῦ πατρὸς αὐτοῦ Βασιλείου.

16 Const. VII. secundum. Grierson et Jenkins die 9. mens. Iun. a. 908 coronatus est

---

ACEVBMN H **11** αὐτοῦ om. C **12** αὐτοῦ EVB Theoph. Cont. 380, 14: αὐτῷ ACMNH **14** καὶ post Νικ. add. M **15** Βασιλίτζην VB: Βασιλείτζην ACEMN: Βασιλίτζιν Theoph. Cont. 380, 19 cod. V **16** Κωνσταντίνῳ om. VB (sed cf. Theoph. Cont. 380, 20) **17** αὐτοῦ VBH Theoph. Cont. 380, 22: τοῦ MN: om. ACE **18** post Βασ. add. E: οὗτος ὁ Ἀλέξανδρος ἐκράτησεν τῆς βασιλείας ἔτος α' καὶ μῆνα α' κατὰ τὴν τοῦ οἰκείου ἀδελφοῦ πρόρρησιν

ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΥΙΟΣ ΛΕΟΝΤΟΣ

1. Οὕτω μὲν τὸν τρόπον, ὃν εἴπομεν, ἀποθανόντος Ἀλεξάνδρου ἐς Κωνσταντῖνον τὸν υἱὸν Λέοντος, ἕβδομον τῆς ἡλικίας ἄγοντα ἔτος, τὸ βασίλειον περιελήλυθε κράτος, ὑπὸ ἐπιτρόπους τελοῦντα τοὺς ἄνωθεν ἠριθμημένους. λαβόμενος οὖν τῆς ἐξουσίας Νικόλαος ὁ πατριάρχης, ὡς καὶ αὐτὸς ἐπιτρόπος ὤν, συνάμα τοῖς ἄλλοις ἐπηδαλιούχει τὰ τοῦ κοινοῦ.

2. Τῶν δὲ πραγμάτων οὕτως ἐχόντων, καὶ τῆς βασιλείας, ὡς εἴπομεν, παρὰ τῶν ἐπιτρόπων ἰθυνομένης, Κωνσταντῖνος ὁ τοῦ Δουκὸς Ἀνδρονίκου υἱός, δομέστικος τῶν σχολῶν τυγχάνων καὶ δυναστείαν περιβεβλημένος μεγίστην, γράμμασι τῶν ἐν τῇ βασιλίδι φίλων καὶ συγγενῶν αὐτοῦ παρακινηθείς, γεγραφότων ἀκέφαλον εἶναι τὴν βασιλείαν, καὶ κακῶς διεξάγεσθαι, καὶ μικρὸν ὅσον κινδυνεύειν ὀλεθρίῳ κινδύνῳ ὑποπεσεῖν, αὐτόν τε ἀνακαλουμένων ὡς ἐχέφρονα καὶ ἀνδρεῖον καὶ μόνον δυνάμενον ἐπαξίως κυβερνᾶν τὴν περιβόητον τῶν Ῥωμαίων ἀρχήν, προσθεμένων δ', ὅτι καὶ ἡ σύγκλητος αὐτὸν ἀσπάζεται καὶ ὁ πολιτικὸς ὄχλος, καὶ ἐπισπευδόντων, ὡς τάχος καταλαβεῖν, συνειδότος, ὥς φασι, καὶ τοῦ πατριάρχου Νικολάου καὶ τοῖς γραφεῖσι συνευδοκοῦντος διὰ τὸ μήπω τὰς διαθήκας Ἀλεξάνδρου ἀναγνωσθῆναι, μηδὲ γνωσθῆναι αὐτῷ, ὡς ἐπίτροπος γέγραπται καὶ αὐτὸς τοῦ παιδός, Ἀρταβάσδου πρὸς τοῦτο διακονήσαντος καὶ παρὰ τοῦτο πρώτου τῶν ἱερέων τῆς μεγάλης ἐκκλησίας μετέπειτα γενομένου. πατὴρ δ' ὁ Ἀρτάβασδος ἦν Ἀνδρέου | τοῦ ἐπὶ ζωγραφικῇ τέχνῃ λάμψαντος. ὁ Κωνσταντῖνος καὶ πρότερον ὀνειροπολῶν τὴν βασιλείαν καὶ διὰ παντὸς αὐτῆς ἐφιέμενος, καὶ μηδέποτε ἄλλοσέ πῃ, ἀλλ' ἢ πρὸς τὴν τοιαύτην ὄρεξιν τετραμμένον ἔχων τὸν νοῦν δεξάμενος τὰ γράμματα ταχύ τε ἐπείσθη καὶ ταχὺ τὴν βασιλίδα

20 die 7. mens. Iun. a. 913

cap. 1: Theoph. Cont. 381, 3–381, 14; Zon. III, 458, 5–458, 8; Glyc. 557, 8/9. 15/16
cap. 2: Theoph. Cont. 381, 14–385, 4; Zon. III, 458, 8–461, 13

ACEVBMN H **19** Κωνσταντῖνος — Λέοντος ACEVN: Ἀρχὴ βασιλείας Κωνσταντίνου υἱοῦ Λέοντος βασιλέως M: om. B post Λέοντος add. E: τοῦ φιλοσόφου μετὰ τῶν ἐπιτρόπων **20** τοῦ ante Ἀλεξ. add. A **23** ἠριθμημένους: εἰρημένους B τῆς om. B **24** ὢν om. ACE συνάμα: ἅμα B **32** ἐπαξίως VBH: ἐπαξίων MN: ἐπισταμένως ACE κυβερνᾶν VB: διακυβερνᾶν Theoph. Cont. 381, 17 cod. V: κυβερνῆσαι ACEMNH τῶν: τὴν E **34** ὥς φασι: ὡς ἔφασαν B **36** μήπω ACEVB: μήπως MN **37** καὶ αὐτὸς om. ACE Ἀρταβάρδου B **38** τοῦτο ACV: τούτου MNH: τοῦ EB πρῶτος V τοῦ θεοῦ ante μεγάλης add. B **39** γενόμενος V Τάβαρδος B **40** διαλάμψαντος B ὁ om. M δὲ ante Κωνστ. add. B **43** τε om. M

κατέλαβεν, ἑπομένους ἔχων τοὺς τῶν στρατευμάτων ἐκκρίτους. καὶ τῶν νυκτῶν ἀωρὶ διὰ πυλίδος εἰσελθὼν τοῦ πρωτοβεστιαρίου Μιχαήλ, πλησίον οὔσης τῆς ἀκροπόλεως, ἐν τῷ οἴκῳ τοῦ μαγίστρου Γρηγορᾶ τοῦ Ἰβηρίτζη (πενθερὸς δὲ ὁ Γρηγορᾶς τοῦ Κωνσταντίνου) παρεγένετο, ἐν ᾗ διανυκτηρεύων μετὰ τῶν σὺν αὐτῷ διετέλει. Νικήτας δὲ ἀσηκρῆτις τὴν ἔλευσιν αἰσθόμενος τοῦ Κωνσταντίνου τῷ πατρικίῳ Κωνσταντίνῳ τῷ Ἑλαδικῷ τυγχάνοντι μοναχῷ θᾶττον ἐμήνυσε, καὶ παρειληφὼς αὐτὸν κατὰ τὴν αὐτὴν νύκτα πεφοιτήκασι πρὸς τὸν Δοῦκα. βουλὴν δὲ ποιησάμενοι, μήπω τῆς ἡμέρας καταλαμπούσης, μετὰ λαμπάδων καὶ λαοῦ πολλοῦ καὶ ὄχλου τὴν τοῦ ἱπποδρόμου πύλην καταλαμβάνουσι, Κωνσταντῖνον ἀνευφημοῦντες αὐτοκράτορα. τῶν δὲ ἔνδον εὐσθενῶς ἀντεχομένων καὶ μὴ ἀνοιγνύντων οἱ τὰς πύλας ὁ τοῦ Κωνσταντίνου πρῶτος τῶν ἱπποκόμων ἐπ' ἀνδρείᾳ μέγα φρονῶν καὶ βιαιότερον, ἢ μᾶλλον εἰπεῖν, ἀτακτότερον τῇ ἀνοίξει ἐπιχειρῶν τῶν πυλῶν λογχεύεται παρά τινος τῶν εἴσω διὰ τῆς ἁρμογῆς τῶν θυρῶν. καὶ θνῄσκει μὲν οὗτος εὐθύς, ὁ Κωνσταντῖνος δὲ ἀποκρουσθεὶς ἐκεῖθεν καὶ τῷ τῆς βασιλείας ἔρωτι οἷά τινι μέθῃ κάτοχος ὢν καὶ μὴ καθεστῶτας ἔχων τοὺς λογισμοὺς ἄρας ἐκεῖθεν εἰς τὸ ἱπποδρόμιον παραγίνεται, κακὸν οἰωνὸν τὴν τοῦ ἱπποκόμου ἔχων σφαγήν, ὅμως δὲ τῶν δεδογμένων οὐκ ἀφιστά|μενος. ἐκεῖθεν οὖν εὐφημούμενος κατέλαβε τὴν λεγομένην Χαλκῆν καὶ δι' αὐτῆς εἰσελθὼν ἔφθασεν ἄχρι τῶν ἐξκουβίτων. ὁ δὲ μάγιστρος Ἰωάννης ὁ Ἐλαδᾶς, εἷς ὑπάρχων τῶν ἐπιτρόπων, ἐκλογήν, ὡς ὁ καιρὸς ἐδίδου, τῶν ἑταιρειῶν καὶ τῶν ἐλατῶν ποιησάμενος καὶ καθοπλίσας, ὅπως ποτὲ ἕκαστος ἅρματος εὐπόρει, ἀπέστειλε κατὰ τοῦ Δουκός. οἵτινες φθάσαντες τοῖς περὶ τὸν Δοῦκα συμπλέκονται καὶ γίνεται φόνος πολὺς ἑκατέρωθεν. ἔπεσε δὲ καὶ Γρηγορᾶς ὁ τοῦ Δουκὸς υἱὸς καὶ Μιχαὴλ ὁ ἀνεψιὸς αὐτοῦ καὶ Κουρτίκιος ὁ Ἀρμένιος. ταῦτα ταραχῆς οὐ μικρᾶς τὸν Κωνσταν-

ACEVBMN H **44** κατέλαβεν AEMN Theoph. Cont. 382, 8: κατείληφεν VB: κατέλιπεν C ἐγκρίτους EM τῶν νυκτῶν VBMN: τῆς νυκτὸς ACE: νυκτὸς Theoph. Cont. 382, 10 **45** τῆς ante πυλίδος add. B πρωτοβεστιαρίτου M **46** ἐν τῷ οἴκου B **47** δ' ACE **48** διετέλεσε C **49** αἰσθόμενος om. B **50** Ἐλαδικῷ VBMN Theoph. Cont. 382, 15: Ἑλλαδικῷ ACE θᾶττον: ταῦτα B **52** μήπως M **53** ἱπποδρομίου B καταλαμβάνουσι VB Theoph. Cont. 382, 18: καταλαμβάνοντες ACEMNH **54** ἀνευφημοῦντες VB Theoph. Cont. 382, 18: ἀνευφήμουν ACEMNH **55** ἀνοιγνύντων EVBMN: ἀνοιγνέντων C: ἀναπεταννύντων A: ἀνοιγνύντο B οἱ om. ACEB τοῦ Κωνσταντῖνος M **56** τῶν om. B τῶν ἱπποκόμων: ἱπποκόμος C **57** πυλῶν: πολλῶν M λοχεύεται CM **58** παρά: διά ACE ἔσω B διὰ: ἀπὸ ACE **60** τινι: τι E **61** τὸν (τὸ M) ἱπποδρόμον ABM **62** δεδομένων E **63** ἐκεῖθεν — εὐφημ. om. E οὖν om. ACE (sed cf. Theoph. Cont. 383, 2) Χαλκῆν λεγομ. E (sed λεγομένης Χαλκῆς Theoph. Cont. 383, 2 cod. V) **64** ἐξσκουβίτων V **65** Ἐλλαδᾶς E ἐνεδίδου V **67** ἕκαστος om. BMNH ἅρματος om. A ηὐπόρει A ἀπέστειλε — Δουκός: κατὰ τοῦ Δούκα ἐξέπεμψεν A οἵτινες: οἳ καὶ A **67/68** οἵτινες — γίνεται om. B **68** γίνεται post **69** ἑκατέρωθεν M **69** Δούκα A **70** καὶ ὁ Ἀρμ. Κουρτ. A ὢν post Κουρτ. add. V

τῖνον ἐμπίπλησι. σπεύδων οὖν ἐπιρρῶσαι τὸ ἑαυτοῦ μέρος, τὸν ἵππον ἐλάσας ἠπείγετο συμμῖξαι τοῖς ἔμπροσθεν. ὁ δ' ἵππος ταῖς ἐκεῖσε ὑπεστρωμέναις κατολισθήσας πλαξὶν εἰς γῆν τὸν ἐπιβάτην κατέβαλε, καί τις αὐτὸν κατὰ γῆς ἐρριμένον καὶ μεμονωμένον καταλαβὼν (οἱ γὰρ ἄλλοι διεσκεδάσθησαν ἅπαντες) ξίφει τὴν τούτου ἀπέτεμε κεφαλὴν καὶ δρομαίως τῷ βασιλεῖ ἀπήνεγκε Κωνσταντίνῳ. τὸ δὲ τοιαύτην αὐτὸν καταλήψεσθαι τύχην προεγνωσμένον ἦν τοῖς ἐπιτρόποις καὶ ἐξ ἑτέρας αἰτίας. Νικόλαός τις δημοσιώνης τῶν ἐν Χαλδίᾳ εἰσπράξεων τὰς συντελείας κατασπαθήσας καὶ μὴ ἔχων, ὅθεν ἀποδῷ τὸ δημόσιον ὄφλημα, φυγὰς εἰς Συρίαν ᾤχετο, ἐξομοσάμενος τὴν καθ' ἡμᾶς εὐσεβῆ θρησκείαν ἀστρολογίας ἀντεποιεῖτο. οὗτος ἐν ὀθόνῃ μελαίνῃ γράμματα γράψας ἀπεστάλκει τῷ λογοθέτῃ Θωμᾷ, καὶ τῆς ὀθόνης ῥυφθείσης δι' ὕδατος φανερὰ τὰ γράμματα γέγονεν. ἦν δὲ ὁ νοῦς τῶν | γεγραμμένων οὗτος· 'μὴ φοβηθῆτε ἀπὸ τοῦ πυρροῦ πετεινοῦ τοῦ Δουκός. νεωτερισθήσεται γὰρ ἀφρόνως, καὶ εὐθέως ὀλοθρευθήσεται.' τοιοῦτον δὲ τέλος λαβούσης τῆς ἀποστασίας, παραυτίκα μὲν ὁ μάγιστρος Γρηγορᾶς καὶ πενθερὸς τοῦ Κωνσταντίνου μετὰ Λέοντος πατρικίου τοῦ Χοιροσφάκτου τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ σοφίας προσέδραμον. οὓς ἐκεῖθεν ἀποσπάσαντες οἱ ἐπίτροποι ἀπέκειραν μοναχοὺς ἐν τῇ τοῦ Στουδίου μονῇ. Κωνσταντῖνον δὲ πατρίκιον τὸν Ἐλαδικὸν βουνεύροις τύψαντες ἀφειδῶς διὰ μέσης τῆς πόλεως ἐθριάμβευσαν καὶ ἐν τῇ μονῇ τοῦ Δαλμάτου ἀπέκλεισαν. Λέοντα δὲ πατρίκιον τὸν Κατακαλίτζην καὶ Ἀβεσσαλὼμ πατρίκιον τὸν τοῦ Ἀροτρᾶ ἐκτυφλώσαντες ἐν ἐξορίᾳ παρέπεμψαν, Κωνσταντῖνον τε τὸν τοῦ Εὐλαμπίου καὶ ἑτέρους σὺν αὐτῷ Φιλόθεος ὁ ἔπαρχος ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ ἀπέτεμε. Νικήτας δὲ ὁ ἀσηκρῆτις καὶ Κωνσταντῖνος ὁ Λίψ, καίπερ ἀναζητηθέντες πολλά, οὐχ εὑρέθησαν. τὸν δὲ πατρίκιον Αἰγίδην, τὸν ἐπ' ἀνδρείᾳ περιβόητον, καί τινας σὺν αὐτῷ στρατηγοὺς οὐκ ἀσήμους, ἀπὸ τῆς ἐν Χρυσοπόλει δαμάλεως καὶ μέχρι τοῦ τόπου τοῦ

ACEVBMN FH 71 ἐνέπλησε E 72 ἐνυπεστρωμέναις M 73 πέτραις ante κατολ. add. C ἐνολισθήσας A κατέβαλλε(ν) V Theoph. Cont. 383, 14 cod. V 75 δρομαῖος A 76 ἀπήνεγκε: ἀπήγγειλε B 78 Χαλδίᾳ ACEVB Theoph. Cont. 314, 9: Χαλδείᾳ MNF 79 κατασπαθήσας ACEMN: κατασπασθείσας VF: κατευπαθήσας B: κατασπασθήσας H ἀποδῷ VBMN: ἀποδώσει ACE 80 τε post ἐξομοσ. add. A 84 Δούκα A 85 τὸ ante τέλος add. B 86 ἐπιστασίας E 87 τοῦ post Λέοντος add. M Χοιροσφάκτη C 88 προσέδραμον post τεμένει A προσέδραμεν B 89 τοῦ om. E 90 Ἐλλαδικὸν AV Theoph. Cont. 384, 8 cod. V 91 τοῦ Δαλμάτου ACE Theoph. Cont. 384, 9: τῆς Δαλμάτου VMNFH: τῶν Δαλμάτων B 92 τὸν post δὲ add. E Κατακαλίτζην AEMN Theoph. Cont. 384, 11 cod. V: Κατακαλύτζην C: Καλίτζην V: Καλλίτζην B Ἀβεσσαλὼμ F Theoph. Cont. 384, 11: Ἀβεσσαλὼν A: Ἀβεσαλὼμ CEVBMNH 93 ἐν ACMN Theoph. Cont. 384, 12: om. EVBFH τε ACVMN: δὲ EB Theoph. Cont. 384, 13 τοῦ om. B τὸν AEVB Theoph. Cont. 384, 13: om. CMN 94 τοῦ ἱππικοῦ VB Theoph. Cont. 384, 14: ἱππικῇ ACEMNFH 95 Λείψ V 2 τὸν: καίτοι B ὄντα post περιβ. add. B τινας: ἄλλους B 3 καὶ om. B 3/4 μέχρι — Λευκατίου: μέχρι τοῦ Λευκάκτου λεγ. τόπ. A

λεγομένου Λευκατίου ἀνεσκολόπισαν. πολλοὶ δ' ἂν καὶ ἄλλοι ἀπωλώλεισαν τῶν συγκλητικῶν παρὰ τῶν λεγομένων ἐπιτρόπων ἀνηλεῶς τε καὶ ἀναιτίως, εἰ μή τινες παρρησιασάμενοι τῶν δικαστῶν τῆς ἀδίκου ὁρμῆς ἀνεχαίτισαν, φάμενοι, ὡς 'παιδὸς ὄντος τοῦ βασιλέως καὶ μὴ | νοοῦντος τὰ πεπραγμένα, πῶς ἄνευ τῆς αὐτοῦ κελεύσεως τολμᾶτε τοιαῦτα διαπράττεσθαι;' οἱ δὲ ἐπίτροποι καὶ τὴν τοῦ Δουκὸς ἀποκείραντες γυναῖκα εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον αὐτῆς ἐξαπέστειλαν. ἐξέτεμον δὲ καὶ Στέφανον τὸν ταύτης υἱόν.

3. Ἀλλὰ τούτων κατὰ τὴν πόλιν πραττομένων Συμεὼν ὁ Βουλγαρίας ἄρχων μετὰ βαρείας δυνάμεως εἰσβολὴν κατὰ Ῥωμαίων ἐποιήσατο, καὶ τὴν βασιλίδα φθάσας χάρακα περιέβαλεν ἀπό τε Βλαχερνῶν καὶ μέχρι τῆς λεγομένης Πόρτης χρυσῆς καὶ μετέωρος ἦν ταῖς ἐλπίσι ῥᾳδίως ταύτην ἑλεῖν. καταμαθὼν δὲ τὴν ὀχυρότητα τῶν τειχῶν καὶ τὸ πλῆθος τῶν τειχοφυλακούντων καὶ τὴν τῶν πετροβόλων καὶ τοξοβόλων ὀργάνων δαψίλειαν, ἀφέμενος τῶν ἐλπίδων ἐν τῷ Ἑβδόμῳ ὑπέστρεψεν, εἰρηνικὰς σπονδὰς ἐξαιτούμενος. τῶν δ' ἐπιτρόπων ἀσμενέστατα δεξαμένων τὸν λόγον ἀποστέλλει ὁ Συμεὼν τὸν ἑαυτοῦ μάγιστρον Θεόδωρον ὁμιλῆσαι περὶ εἰρήνης. οὗ παραγενομένου καὶ λόγων κινηθέντων πολλῶν ὁ πατριάρχης ἅμα τοῖς λοιποῖς ἐπιτρόποις ἀναλαβόντες τὸν βασιλέα ἐν τοῖς παλατίοις ἦλθον τῶν Βλαχερνῶν, καὶ ὁμήρους δόντες ἀξιολόγους εἰσήγαγον τὸν Συμεὼν ἐν τῷ παλατίῳ, καὶ συνειστιάθη τῷ βασιλεῖ, τοῦ Συμεὼν ὑποκλίναντος τῷ πατριάρχῃ τὴν κεφαλὴν καὶ εὐχὴν δεξαμένου παρ' αὐτοῦ, ἐπιθέντος, ὥς φασι, τῇ τοῦ βαρβάρου κεφαλῇ ἀντὶ στεφάνου τὸ ἴδιον ἐπιρριπτάριον. μετὰ δὲ τὴν ἑστίασιν, ἀσυμβάτων γενομένων περὶ τῆς εἰρήνης, δώροις ὅ τε Συμεὼν καὶ οἱ τούτου παῖδες φιλοφρονηθέντες εἰς τὴν ἰδίαν ἀπηλλάγησαν χώραν.| καὶ ταῦτα μὲν ἐπράττετο τῇδε.|

14 mens. Aug. a. 913   **28/29** mens. Aug. a. 913

cap. 3: Theoph. Cont. 385, 5—385, 24; Zon. III, 461, 14—462, 8

ACEVBMN   **4** Λευκατίου CEVMN: Λευκάκτου A: Λευκάκου B: Λευκάτου Theoph. Cont. 384, 18   ἀνεσκολοσπίσθησαν B   ἀπωληλάκησαν B   **6** πεπαρρησιασμένοι A   παρρησ. — δικ.: τῶν δικ. παρρησ. B   τῆς ἀδίκου post **7** ἀνεχαίτ. B   **8** αὐτοὺς ante ἀνεχαίτ. add. B **8** νοοῦντος τὰ πεπρ.: συναινοῦντος τοῖς πραττομένοις B   **9** τοιαῦτα διαπράττ. VBMN: διαπράττ. τοιαῦτα ACE Δοῦκα A   **14** περιέβαλεν MNB: περιεβάλετο A: περιέβαλλεν V Theoph. Cont. 385, 7 cod. V: περιεβάλλετο CE   τε om. B   μέχρι om. E   **15** Πόρτης χρυσῆς VBMN Theoph. Cont. 385, 8 cod. V: Χρυσῆς πόρτης ACE   **17** τειχοφυλακτούντων V πετροβόλων: προβόλων V   καὶ τοξοβ. om. B   **21** κινηθέντων πολλῶν VBMN: πολλ. κιν. ACE   **22** βασιλέα: Βασίλειον C   **23** ἦλθον post **22** βασιλέα B **24** συνεστιάθη BM   **25** τοῦ πατριάρχου C   **26** ἐπιτιθέντος V   **27** ἀσυμβάντων CB   δὲ post ἀσυμβ. add. V   **29** διεπράττετο B

4. Τοῦ δὲ βασιλέως Κωνσταντίνου διὰ παντὸς ὀδυρομένου καὶ τὴν ἑαυτοῦ ἀνακαλουμένου μητέρα (ἤδη γὰρ αὐτὴν κατήγαγε τοῦ παλατίου Ἀλέξανδρος) ἀναβιβάζουσι καὶ ἄκοντες πάλιν αὐτήν. ἀνελθοῦσα οὖν καὶ ἐγκρατὴς γενομένη τῆς βασιλείας προσλαμβάνεται τὸν παρακοιμώμενον Κωνσταντῖνον καὶ Ἀναστάσιον καὶ Κωνσταντῖνον τοὺς αὐταδέλφους τοὺς τὴν ἐπωνυμίαν Γογγυλίους. συμβουλεύσαντος δὲ καὶ Ἰωάννου τοῦ Ἐλαδᾶ καταβιβάζουσι τοὺς οἰκείους Ἀλεξάνδρου, Ἰωάννην τὸν ῥαίκτωρα, τὸν Γαβριηλόπωλον, τὸν Βασιλίτζην καὶ τοὺς λοιπούς. προβάλλεται δὲ καὶ Ζωὴ αὐγοῦστα Δομίνικον ἑταιρειάρχην δραστήριον δοκοῦντα καὶ τοῖς αὐτῆς προσκειμένον προστάγμασιν, οὗ τῇ συμβουλῇ καταβιβάζεται ὁ πατριάρχης τοῦ παλατίου. καὶ ὁ μάγιστρος δὲ Ἰωάννης ὁ Ἐλαδᾶς κατῆλθεν ἑκουσίως, νόσῳ βληθείς, ὑφ' ἧς καὶ ἀπεβίω Κωνσταντῖνος δὲ ὁ παρακοιμώμενος ὑφ' ἑαυτὸν ἀγαγεῖν τὴν ἅπασαν τῆς βασιλείας ἡνίαν βουλόμενος, καὶ μηδένα ἔχειν τὸν ἐμποδίζοντα, διαβάλλει τὸν ἑταιρειάρχην εἰς τὴν αὐγοῦσταν ὡς σφετεριζόμενον τὴν βασιλείαν εἰς τὸν ἑαυτοῦ ἀδελφόν. οὗ τοῖς λόγοις πεισθεῖσα πατρίκιον αὐτὸν τιμᾷ, καὶ κατελθόντα, ὡς ἔθος, λαβεῖν εὐχὴν οἴκοι μένειν προσέταξε. προχειρίζεται δὲ ἀντ' αὐτοῦ Ἰωάννην τὸν Γαριδᾶν ἑταιρειάρχην, καὶ Δαμιανὸν εὐνοῦχον ἀρτιφανῆ τῆς βίγλας δρουγγάριον.

5. Ἄγοντος δὲ καὶ φέροντος τοῦ Συμεὼν τὰ Θρᾳκῷα μέρη, καὶ τῆς αὐγούστης φροντιζούσης μετὰ τῶν ἐν τέλει, ὅπως αὐτοῦ παύσωσι τὰς ἐπιδρομάς, Ἰωάννης ὁ Βογᾶς ὑπέσχετο πατρίκιος τιμη|θεὶς ἀγαγεῖν κατ' αὐτοῦ Πατζινάκας, καὶ τυχὼν τῆς αἰτήσεως, δῶρα λαβὼν ἄπεισιν εἰς Πατζινακίαν. καὶ σπεισάμενος καὶ ὁμήρους εἰληφὼς ἐπάνεισιν ἐν τῇ πόλει, συνθεμένων τῶν Πατζινάκων τὸν Ἴστρον περαιώσασθαι καὶ

49 a. 914 51 non multum ante mens. Sept. a. 914

cap. 4: Theoph. Cont. 386, 1–386, 22; Zon. III, 462, 9–463, 2 cap. 5: Theoph. Cont. 386, 22–387, 13 cap. 6: Theoph. Cont. 387, 14–388, 4; Zon. III, 463, 3–463, 9

ACEVBMN **31** ἑαυτοῦ: αὐτοῦ M καὶ post γὰρ add. B **32** πάλιν αὐτὴν ACEMN Theoph. Cont. 386, 3 cod. V: αὐτὴν VB **35** τὴν VBMN: κατ' ACE **36** οἰκείου E **37** Βασιλίτζην VB Theoph. Cont. 386, 9: Βασιλείτζην ACEMN **38** δὲ om. B ἡ ante αὐγ. add. B αὐγούστα BE **39** προσκείμενον VBMN: πειθόμενον ACE **40** καὶ — δὲ: ὁ δὲ μάγ. B **41** Ἑλλαδᾶς E βληθείς: ληφθεὶς BE ὑφ': ἐφ' B **44** αὐγούσταν BE **47** ἑταιρειάρχην ACEMN Theoph. Cont. 386, 20: om. VB **48** τῆς — δρουγγάριον VBMN Theoph. Cont. 386, 22: δρουγγ. τῆς β. ACE **51** Βογᾶς AEVMN: Βογῆς C: Βαγὰς B: Βορᾶς Theoph. Cont. 387, 2 cod. V **52** Πατζινάκους B τῆς om. MN ἄπεισιν εἰς Πατζινακίαν VBMN: εἰς Π. ἦλθεν A: εἰς Π. ἀπῄει CE: εἰς τὴν Πατζινακῶν ἀπῄει Theoph. Cont. 387, 4 cod. V **53** καὶ σπεισάμενος — ἐπάνεισιν: ἐπάνεισι δὲ αὖθις σπεισάμενος καὶ ὁμήρους εἰληφὼς A σπεισάμενος: πεισάμενος B εἰληφώς: λαβὼν B ἐν τῇ πόλει om. A **54** Πατζινάκων CVMN Theoph. Cont. 387, 6: Πατζινακῶν AE

Βουλγάροις πολεμεῖν. ηὐτομόλησε δὲ τότε καὶ Ἀσώτιος ἀνὴρ ὀνομαστός, υἱὸς ὢν τοῦ ἄρχοντος τῶν ἀρχόντων. ἐλέγετο δὲ οὗτος ῥάβδον σιδηρᾶν ἀμφοτέραις χερσὶ τῶν ἄκρων λαμβάνων περικλᾶν τῇ τῶν χειρῶν βίᾳ καὶ κάμπτειν, τῆς ἀντιτύπου τοῦ σιδήρου βίας ὑπεικούσης τῇ τῶν χειρῶν ἰσχύϊ. ὃν φιλοφρόνως ἡ δέσποινα δεξαμένη οἴκαδε πάλιν ὑπονοστῆσαι πεποίηκε.

6. Πολιορκοῦντος δὲ τοῦ Συμεὼν τὴν Ἀδριανούπολιν ἐφ' ἡμέρας ἱκανὰς καὶ μηδὲν ἀνύοντος, Παγκρατούκας τις γένος ὢν Ἀρμένιος καὶ εἷς τῶν φυλάττειν τεταγμένων τὴν πόλιν χρυσίῳ δελεασθεὶς προὔδωκεν αὐτὴν τῷ Συμεών. μετ' ὀλίγον δὲ ἀπεστάλη παρὰ τῆς αὐγούστης Βασίλειος πατρίκιος ὁ ἐπὶ τοῦ κανικλείου καὶ Νικήτας ὁ Ἑλλαδικός, καὶ χρυσίῳ καὶ χρήμασι πλείστοις πάλιν αὐτὴν ἀνεκτήσαντο.

7. Τούτῳ τῷ ἔτει καὶ Δαμιανὸς ὁ τῆς Τύρου ἀμηρᾶς μετὰ πολεμικῶν πλοίων καὶ δυνάμεως πολλῆς εἰσβολὴν ἐποιήσατο κατὰ Ῥωμαίων, καὶ τὴν Στρόβηλον καταλαβὼν ἐνεργῶς αὐτὴν ἐπολιόρκει. καὶ ἐξεπόρθησεν ἄν, εἰ μὴ νοσήσας ἀπεβίω, ὑποστρεψάντων διὰ κενῆς τῶν Σαρακηνῶν.

8. Μὴ φέρουσα δὲ Ζωὴ ἡ βασιλὶς τὰς τοῦ Συμεὼν συνεχεῖς ἐπιδρομὰς καὶ βουλομένη ταύτας ἀνακόψαι, δέον ἐγνώκει μετὰ τῆς συγκλήτου εἶναι σπείσασθαι τοῖς Σαρακη|νοῖς, καὶ πάντα τὸν ἐν τῇ ἕῳ στρατὸν διαπερᾶσαι πρὸς τὴν ἑσπέραν, καὶ ἑνωθέντων τῶν τε ἑῴων καὶ τῶν δυτικῶν στρατευμάτων πόλεμον συστήσασαθαι κατὰ τῶν Βουλγάρων, καὶ τελέως ἀφανίσαι αὐτούς. ἔδοξε τοῦτο, καὶ πεμφθεὶς εἰς Συρίαν Ἰωάννης πατρίκιος ὁ Ῥαδηνὸς καὶ Μιχαὴλ ὁ Τοξαρᾶς ἐσπείσαντο τοῖς Σαρακηνοῖς. καὶ δὴ τῆς ἀπ' αὐτῶν ἀπαλλαγεῖσα φροντίδος ἡ βασιλὶς τὴν συνήθη διανομὴν τῆς

61 a. 914 **67** non multum post mens. Sept. a. 914 **76** mense Iun. a. circiter 917

---

cap. 7: Theoph. Cont. 388, 5—388, 8 cap. 8: Theoph. Cont. 388, 13—389, 19; Zon. III, 463, 9—464, 9

ACEVBMN FH **55** Ἀδότιος B **56** ῥάβδῳ σιδηρᾶν B **57** χερσὶ om. VB λαμβάνων: κατέχων B **58/59** καὶ κάμπτειν — ἰσχύϊ om. ACE **59** αὐτοῦ post ἰσχύϊ add. B **59** ὃν — δέσποινα: ἡ δὲ δέσποινα τοῦτον φιλοφρόνως B **62** Παγκρατοῦκας M **64** αὐτὴν AEVMN: ταύτην B: αὐτὸν C δὲ om. B **65** πατρ. Βασίλ. V Ἑλλαδικός ACEV Theoph. Cont. 388, 3 cod. V: Ἐλαδικός BMN **66** ἀνεκτήσατο V **67** καὶ om. M **69** Στρόβιλον AE ἐνεργῶς om. B αὐτὴν om. M ἐπολιόρκει αὐτήν B **70** ὑποστρεψ. post Σαρ. ACEMNFH (sed cf. Theoph. Cont. 388, 7/8) **71** Ζωὴ ἡ βασιλὶς VMN: ἡ Ζωὴ E: ἡ βασιλὶς Ζωὴ AB: ἡ βασίλισσα Ζωὴ C: Ζωὴ βασίλισσα Theoph. Cont. 388, 13 **72** ἐγνώκει: ἐδόκει B εἶναι ante μετὰ VB **74** τε om. ACE τῶν alt. om. MN (sed non F) **75** συστήσεσθαι A τελείως C **76** Ῥαδινὸς B Theoph. Cont. 388, 18 cod. V **77** ἐπείσαντο B **78/79** τῆς ῥόγας: τὰς ῥόγας M

ῥόγας κελεύσασα γενέσθαι τῶν στρατευμάτων, Λέοντι τε μαγίστρῳ τῷ Φωκᾷ ταῦτα παραδοῦσα, δομεστίκῳ τῶν σχολῶν τυγχάνοντι, ἀπᾶραι κατὰ Βουλγάρων ἐπέτρεψεν. ἀθροισθέντων δὲ πάντων τῶν θεμάτων καὶ τῶν ταγμάτων κατὰ τὴν Διάβασιν (πεδίον δὲ ἡ Διάβασις μέγα καὶ πρὸς ὑποδοχὴν στρατοῦ ἐπιτήδειον) ἀποσταλεὶς ὁ πρωτοπαπᾶς τοῦ παλατίου μετὰ τῶν τιμίων ξύλων παρεσκεύασε προσκυνήσαντας πάντας ἐπομόσασθαι συναποθνήσκειν ἀλλήλοις. καὶ τοῦ ὅρκου τελεσθέντος πανστρατὶ κατὰ Βουλγάρων ἐξώρμησαν. ἦρχον δὲ τοῦ μὲν τάγματος τῶν ἐξκουβίτων Ἰωάννης ὁ Γράψων, ἀνὴρ πολεμικὸς καὶ πολλάκις ἐν μάχαις ἀνδραγαθήσας, τοῦ δὲ ἱκανάτου Ὀλβιανὸς ὁ Μαρούλης, ἀνὴρ δεδοκιμασμένος, καὶ Ῥωμανὸς καὶ Λέων οἱ τοῦ Ἀργυροῦ παῖδες καὶ Βάρδας ὁ Φωκᾶς ἑτέρων ταγμάτων ἐξῆρχον. συνῆν δὲ τούτοις καὶ Μελίας ὁ μάγιστρος μετὰ τῶν Ἀρμενίων καὶ πλεῖστοι ἄλλοι στρατηγοὶ τῶν θεμάτων. παρείπετο δὲ καὶ Κωνσταντῖνος πατρίκιος ὁ Λίψ, ὡς τάχα σύμβουλος Λέοντι τῷ δομεστίκῳ τῶν σχολῶν. κατὰ δὲ τὴν ἕκτην τοῦ Αὐγούστου | μηνός, τῆς πέμπτης ἰνδικτιῶνος, πολέμου συρραγέντος Ῥωμαίοις τε καὶ Βουλγάροις πρὸς τῷ Ἀχελῴῳ φρουρίῳ τρέπονται κατὰ κράτος οἱ Βούλγαροι, καὶ φόνος αὐτῶν ἐγένετο πολύς. ἱδρῶτι δὲ τοῦ δομεστίκου περιρρανθέντος πολλῷ καὶ λειποθυμήσαντος καὶ τοῦ ἵππου ἀποβάντος ἐπί τινι πηγῇ καὶ τὸν ἱδρῶτα ἀποπλύνοντος καὶ ἑαυτὸν ἀποψύχοντος, τὸν δεσμὸν ἀπορρήξας ὁ ἵππος τυχαίως ἔθει διὰ τοῦ στρατοπέδου κενὸς ἐπιβάτου. ὃν οἱ στρατιῶται θεώμενοι γνώριμον ὄντα, καὶ τὸν δομέστικον πεσεῖν ὑποτοπάσαντες εἰς πτοίαν ἐνέπεσον καὶ κατεβλήθησαν τὰς ψυχὰς καὶ τῆς διώξεως ἔστησαν, ἔνιοι δὲ καὶ παλίντροποι γεγόνασιν. ἐξ ὑπερδεξίων δὲ ταῦτα θεώμενος ὁ Συμεὼν (οὐ γὰρ ἔτυχεν ἀσύντακτον τὴν φυγὴν ποιησάμενος) ἐπαφῆκε τοὺς Βουλγάρους κατὰ Ῥωμαίων. οἱ δὲ καὶ πρότερον, ὡς εἴπομεν, τὰς γνώμας θλασθέντες καὶ τεθηπότες, ὡς καὶ αἰφνίδιον ἐπιόντας ἐθεάσαντο τοὺς Βουλγάρους, τρέπονται πανστρατί, καὶ γέγονε φυγὴ φρικωδεστάτη, τῶν μὲν ὑπ'

12 die 20. mens. Aug. a. 917

ACEVBMN F 79 διακελεύσασα B τε om. E 80 δομέστικον... τυγχάνοντα C ἀπαίρειν B 81 τῶν om. B 82 τὴν om. E 84 προσκυνήσαντας πάντας ACEN: πάντας προσκυν. VB: ἅπαντες προσκυνήσομεν Theoph. Cont. 389, 2 cod. V πάντας om. M 85 συναποθν. om. B 86 ἐξώρμησαν VBN Theoph. Cont. 359, 4: ἐξώρμησεν ACEN ἤρχοντο δὲ (?) M 87 ἐξσκουβίτων V 90 ἐξῆρχε B 91 πλεῖστοι ἄλλοι VBMN: ἄλλοι πλεῖστοι ACE 93 Λέοντι σύμβουλος A Λέοντι om. E ς' C 94 ε' CN 1 δὲ ACEVB: τε MN 2 τῶν σχολῶν post δομεστίκου add. VB περιρραντισθέντος B πολλῷ: πολλῶν M 3/4 ἀποπλύνοντος... ἀποψύχοντος: ἀποψύχοντος... ἀποπλύνοντος ACE 4 ὑποψύχοντος M 4/5 ὁ — ἐπιβάτου: ὁ ἵππος κενὸς ἐπιβάτου ἔθει διὰ τοῦ στρατοπ. A 5 ἐπιβάτης C 5/6 γνώριμον ὄντα om. ACE 6 ὑποτοπήσαντες E 7 ἔστησαν om. B 8 ὑπερδεξιῶν MNF 10 θλασθέντες: θραυσθέντες B 11 καὶ om. ACEB 12 φυγὴ φρικωδεστάτη: φρικωδ. ἧττα A τῶν: τὸ M

ἀλλήλων συμπατουμένων, τῶν δὲ ὑπὸ τῶν ἐναντίων ἀναιρουμένων. Λέων δ' ὁ δομέστικος ἐν Μεσημβρίᾳ διεσώθη φυγών. ἔπεσε δὲ λαὸς οὐ τῶν κοινῶν στρατιωτῶν, ἀλλὰ καὶ στρατηγοὶ καὶ ταγματάρχαι ἀριθμοῦ κρείττους. ἐσφάγη δὲ καὶ Κωνσταντῖνος ὁ Λὶψ καὶ ὁ τῶν ἐξκουβίτων ἔξαρχος Ἰωάννης μάγιστρος ὁ Γράψων.

9. Ἦν δὲ ἀποσταλεὶς ὁ πατρίκιος Ῥωμανὸς ὁ Λακαπηνός, δρουγγάριος τηνικαῦτα τῶν πλωΐμων ὤν, μετὰ παντὸς τοῦ στόλου παραπλεῖν τοῖς αἰγιαλοῖς προσταχθεὶς καὶ εἰς βοήθειαν τυγχάνειν τῷ Λέοντι, διαπεράσαι δὲ καὶ τοὺς παρὰ τοῦ Βογᾶ ἀχθέντας Πατζινάκας εἰς | συμμαχίαν Ῥωμαίων. διενέξεως δὲ γενομένης μέσον τοῦ Ῥωμανοῦ καὶ τοῦ Βογᾶ ἰδόντες αὐτοὺς οἱ Πατζινάκαι στασιάζοντας πρὸς ἀλλήλους, ὑπέστρεψαν εἰς τὰ ἴδια, καὶ γέγονεν ἡ ἐξ αὐτῶν βοήθεια ἄπρακτος καὶ ἀνόνητος. ἄλλοι δὲ οὐχ οὕτω φασὶ γενέσθαι τὴν τροπὴν Ῥωμαίων, τρόπον δὲ ἕτερον. τρεψαμένου γὰρ τοῦ Φωκᾶ τὸν Συμεὼν καὶ διώκοντος φήμη τις ἐξαίφνης ἔφθασε πρὸς αὐτὸν ἀπαγγέλλουσα, ὡς ὁ δρουγγάριος τῶν πλωΐμων ἄπεισι μετὰ τοῦ στόλου παντὸς παραληψόμενος τὴν βασιλείαν. ὁ δὲ τῇ ἀκοῇ καταβροντηθεὶς (ἐσφετερίζετο γὰρ εἰς ἑαυτὸν τὸ τῆς βασιλείας κράτος) καταλιπὼν τὸ διώκειν ὑπέστρεψεν εἰς τὴν παρεμβολήν, ὡς τάχα τὸ ὂν μαθησόμενος. διαδοθέντος δὲ λόγου πρὸς τὸν στρατόν, ὡς ὁ δομέστικος πέφευγεν, ἀλκῆς ἐπιλησθέντες οἱ λοιποὶ ἐποίουν ὁμοίως. οὓς ἰδὼν ὁ Συμεὼν φεύγοντας (ἵστατο γάρ, ὡς εἴρηται, ἐν εὐκαίρῳ τόπῳ τὸ τέλος ἀφορῶν τοῦ ἀγῶνος) ἐξεχύθη πανστρατὶ καὶ παλίντροπον τὴν φυγὴν ἐποιήσατο. οὗτος μὲν δὴ καὶ ὁ δεύτερος λόγος. εἴτε δὲ οὕτως, εἴτε ἐκείνως ἡ ἀλήθεια ἔχει, ὅμως ἐτράπησαν οἱ Ῥωμαῖοι καὶ τὰ λεχθέντα ἄνωθεν διεπράχθη. μετὰ τὴν τροπὴν δὲ τῶν σωθέντων ἐκ τοῦ πολέμου παραγενομένων τὰ κατὰ τὸν Ῥωμανὸν καὶ τὸν Βογᾶν ἐκινήθη. καὶ εἰς τοσοῦτον κινδύνου περιέστη τῷ δρουγγαρίῳ τὰ πράγ-

cap. 9: Theoph. Cont. 389, 19—390, 21; Zon. III, 464, 10—466, 4

ACEVBMN FH 13 τῶν — ἀναιρουμένων: τῶν δ' ὑπὸ τῶν πολεμίων κτεινομένων B 14 δ' VMNF: δὲ ACEH: om. B 15 μόνον post στρατιωτῶν add. B ταγματάρχοι C 16 κρείττονες B ὁ ante Κωνστ. add. B Λεὶψ V ἐξσκουβίτων V 17 ἐξάρχων B 18 Λακατινός B 20 προταχθεὶς C 21 Βογᾶ AVMN Theoph. Cont. 390, 7: Βογὰ C: Βοχᾶ E: Βαγᾶ B 22 δὲ om. M μέσον om. C τοῦ om. E 23 Βαγᾶ B Πατζινάκαι ACEV Theoph. Cont. 390, 4: Πατζινάκοι BNF: Πατζινάκιοι M 25 τῶν ante Ῥωμ. add. AC 26 τρόπον: πρότερον V 27 ἐξαίφνης ἔφθασε: ἐξῆλθεν ἐξαίφνης B 28 τῶν πλωΐμων: τῆς βίγλας μων M ἀπῄει M 28/29 τὴν βασιλ. παραληψ. ABM 29 καταβροντισθεὶς EBM ἐσφαιρίζετο MN (sed ἐσφεταιρίζετο F) εἰς ACEMN: πρὸς VB 30 τὸ τῆς βασιλείας κράτος: τὴν βασιλείαν ACE 31 τοῦ ante λόγου add. B 34 εὐκαίρῳ: ἐπικαίρῳ B 36 εἴτε alt.: εἴτ' A ἐκείνως: οὕτως B 37 τὰ λεχθέντα ἄνωθεν VBMN: τὰ ἄνωθεν λεχθέντα ACE διεπράχθη ACEMN: ἐπράχθη VB 38 ἐκ ACEMN: ἀπὸ VB Βογᾶν ACEV: Βαγᾶν B: Βογᾶ MN: Βογὰν F 39 κίνδυνον EB

ματα, ὡς ψῆφον κατ' αὐτοῦ ἐξενεχθῆναι παρὰ τῶν δικαστῶν καταδικάζουσαν αὐτὸν ἐκκοπῆναι τὰς ὄψεις, ὡς ἀμελείᾳ ἢ μᾶλλον κακουργίᾳ μὴ διαπεράσαντα Πατζινάκας, πάλιν δὲ μηδὲ | τοὺς ἀπὸ τῆς τροπῆς δεχόμενον ὑποστρέψαντας. τοῦτο δὲ ἂν ἐπεπόνθει, εἰ μὴ Στέφανος μάγιστρος ὁ τῶν ἐπιτρόπων εἷς καὶ Κωνσταντῖνος πατρίκιος ὁ Γογγύλης, πολλὰ δυνάμενοι παρὰ τῇ δεσποίνῃ, αὐτὸν ἐξερρύσαντο. Συμεὼν δὲ ἐπαρθεὶς τῇ νίκῃ καὶ γαυριῶν ἄρας ἅπαν αὐτοῦ τὸ στράτευμα κατὰ τῆς βασιλίδος ἠπείγετο. ἐξῆλθεν οὖν πάλιν ὁ δομέστικος Λέων ὁ Φωκᾶς καὶ ὁ εταιρειάρχης Ἰωάννης καὶ Νικόλαος ὁ Κωνσταντίνου τοῦ Δουκὸς υἱὸς μετά τινων στρατιωτῶν τῶν παρευρεθέντων εἰς συνάντησιν αὐτοῦ, καὶ κατὰ τὸν τόπον τὸν λεγόμενον Κατασύρτας ἀπομοίρᾳ τινὶ Βουλγάρων εἰς προνομὴν πεμφθείσῃ συνηντηκότες προσρήγνυνται τούτοις καὶ τρέπονται εὐπετῶς. ἀκραιφνοῦς δὲ πάλιν ἑτέρας ἐπεισπεσούσης ὑφίστανται καὶ ταύτην ῥᾳδίως τε καὶ ἀνδρικώτερον, καὶ γίνεται μάχη καρτερὰ καὶ ἐπὶ πολὺν διαρκέσασα χρόνον, καὶ τρέπονται μὲν οἱ Βούλγαροι, ἐσφάγη δὲ Νικόλαος ὁ τοῦ Δουκὸς υἱός, ἡρωϊκῶς ἀγωνισάμενος, καὶ αἴτιος τῆς νίκης Ῥωμαίοις γενόμενος. καὶ τὰ μὲν κατὰ τὸν πόλεμον συνηνέχθη γενέσθαι οὕτως.

10. Τὰ δὲ κατὰ πόλιν ἐνόσει δεινῶς, πολλῶν καὶ μεγίστων ἐπιμαινομένων τῇ βασιλείᾳ καὶ τῷ ταύτης ἔρωτι φλεγομένων, ὧν κορυφαῖος ἦν ὁ Φωκᾶς. ὑπάρχων γὰρ οὗτος ἐπ' ἀδελφῇ γαμβρὸς τοῦ παρακοιμωμένου Κωνσταντίνου, μεγάλα τότε τῶν ἐν τοῖς βασιλείοις δυναμένου εὐνούχων, καὶ ἐπ' αὐτῷ πλεῖστα θαρρῶν ῥᾳδίως ᾤετο τὸ τῆς βασιλείας καθέξειν κράτος. διὸ καὶ πολὺς ἐφέ|ρετο, καὶ οὐ κρύβδην, ἀλλὰ φανερῶς ταύτης ἀντεποιεῖτο, ὡσπερεὶ πατρῴου πράγματος καὶ προγονόθεν

51 a. 917/18

cap. 10: Theoph. Cont. 390, 22—392, 11; Zon. III, 466, 5—467, 9

ACEVBMN FH   40 δικαστῶν ACEMN: δικαζόντων VB   41 αὐτὸν ACEVBF: αὐτῷ MN   42 τοὺς ante Πατζ. add. ACEB   Πατζινάκας AEVMN Theoph. Cont. 390, 10: Πατζινάκους CBNFH   μηδὲ: μήτε B   ἀπὸ τῆς om. E   43 ὑποστρέψαντα C   44 Γογγύλης ACEB: Γογγύλη Theoph. Cont. 390, 13: Γογγύλιος VMN: Γογγύλ F   45 δὲ VBMN: δ' ACE   46 ἅπαν om. B   κατὰ — βασιλίδος: πρὸς τὴν βασιλίδα B   47 ὁ pr. om. B   ὁ Φωκᾶς om. ACE Theoph. Cont. 390, 16   48 Δουκὸς CEVB Theoph. Cont. 390, 18: Δούκα AMN: Δοῦκα F   49 τῶν om. B   παρευρεθέντων: πορευθέντων C   καὶ om. B   50 καὶ ante ἀπομοίρᾳ add. B   τινὶ: τινὰ E   51 τούτοις VBMN: ταύτῃ ACE   52 αὐτὴν post τρέπονται add. B   πάλιν: πάλης A   ἑτέρας om. ACE   ἐπιπεσούσης B   53 ῥᾳδίως τε καὶ om. VB   τε om. ACE   ἀνδρικώτερον ACEMN: ἀνδρείως VB   54 καὶ pr. om. B   55 Δούκα A καὶ γενναίως post ἡρωϊκῶς add. A   56 Ῥωμαίοις VBMN: Ῥωμαίων ACE   γινόμενος C   τὸν om. EB   57 γενέσθαι om. B   58 μεγίστων: μεγάλων B   59 βασιλείᾳ: βασιλίδι B   τῷ om. M   63 καὶ ante φανερῶς add. E   64 ὡσπερεὶ ACEMN: ὡς περὶ VB   τε post πατρῴου add. B   προγονόθι B

ἀνήκοντος αὐτῷ καὶ ὅσον οὔπω ἥξειν εἰς αὐτόν, ὡς εἰς νόμιμον διαδοχὴν ἐφαντάζετο. οὗ τὴν ὁρμὴν ἀκατάσχετον οὖσαν φοβηθεὶς ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγὸς Θεόδωρος, καὶ μή τι πάθῃ δείσας ὁ βασιλεύς, ὑπέθετο τῷ βασιλεῖ Κωνσταντίνῳ λαθραίως προσλαβέσθαι τὸν πατρίκιον Ῥωμανὸν καὶ δρουγγάριον τῶν πλωΐμων, πατρικὸν ὄντα δοῦλον καὶ τὰ αὐτοῦ φρονοῦντα διὰ παντός, ὥστε συνεῖναι καὶ διαφυλάττειν αὐτὸν καί, εἰ δεήσει, σύμμαχον ἔχειν καὶ βοηθόν. ἐντυχίας οὖν πρῶτον περὶ τούτου γενομένης ὁ Ῥωμανὸς ἀπείπατο, καὶ πάλιν καὶ πολλάκις πειραθέντων τῶν ἀμφὶ τὸν Θεόδωρον ἀπείπατο. ἐπεὶ δὲ γραμμάτιον αὐτόχειρον χαράξας ὁ βασιλεὺς καὶ φοινικοῖς ὑποσημάνας γράμμασιν ἀπέστειλεν αὐτῷ, εἶξέ τε ἐπὶ χεῖρας τοῦτο λαβὼν καὶ καθυπέσχετο τὴν τοῦ παρακοιμωμένου Κωνσταντίνου καὶ τῶν συγγενῶν αὐτοῦ ἐπίθεσιν κωλῦσαι κατὰ τὸ ἐγχωροῦν. τὰ μὲν οὖν λαληθέντα καὶ στοιχηθέντα οὕτω προέβη, καὶ διὰ τῆς ἀγορᾶς καὶ τῶν λεωφόρων καὶ τῶν στενωπῶν ὑπεψιθυρίζετο. ὁ δὲ παρακοιμώμενος, καίπερ οὐκ ἀνήκοος ὢν τῶν κατ' αὐτοῦ μελετωμένων, κατεφρόνει, μὴ ἄν ποτε οἰηθεὶς τολμῆσαί τινα ἐπιχείρησιν κατ' αὐτοῦ ποιήσασθαι. ἐξελθὼν οὖν καὶ τὴν συνήθη διανομὴν τῆς ῥόγας ποιησάμενος τῶν πλωΐμων, καὶ τὸν Ῥωμανὸν ἐπισπεύδων τάχιον ἐκπλεῦσαι, περιπίπτει τῷ λόχῳ. | δουλικῷ γὰρ ἐν σχήματι προσυπαντήσας ὁ Ῥωμανὸς αὐτῷ καὶ προθύμως ποιήσειν τὸ κελευσθὲν ἐπαγγελλόμενος ἠρέμα καὶ κατὰ μικρὸν ἦγεν αὐτὸν εἰς τὴν ἐνέδραν. μηδὲν δὲ ἐπαισθέσθαι τῶν μελετωμένων δυνηθέντος τοῦ παρακοιμωμένου, ἀλλ' ἀκάκως καὶ χωρὶς ὑπονοίας διαλεγομένου, καὶ μᾶλλον ἔγγιστα προσιόντος αὐτῷ, καὶ πυθομένου, εἰ ἔχει ἄνδρας εὐειδεῖς καὶ γενναίους καὶ τὴν βασιλικὴν ἐρέττειν ἐπιτηδείους τριήρη, τοῦ δὲ καὶ ἔχειν καὶ ἐγγὺς παρεῖναι τούτους εἰρηκότος, καὶ τῇ κεφαλῇ νεύσαντος ἥκειν πλησίον τινὰς τῶν εὐειδεστέρων, ὁ Κωνσταντῖνος θεασάμενος τού-

74 ante mens. Mart. a. 919

ACEVBMN FH **66/67** ὁ — Θεόδωρος ACEMN: ὁ τοῦ Κωνστ. τοῦ βασ. παιδ. VB **67** δείσας ante μή B πάθοι M **69** τε post πατρικόν add. VB **70** *αὐτοῦ* V: *αὐτῷ* MN: *αὐτ˜* F: *αὐτὰ* ACE **71** *αὐτὸν* VBMN: διὰ παντὸς CE: om. A εἰ δεήσει ACEMN: δεῆσαν VB ἔχειν ACEMN: εἶναι VB **72/73** καὶ pr. — ἀπείπατο om. B **74** ὑποσημάνας AEV: ὑποσημήνας CB(?) MN **75** τε: καὶ B τοῦτο AVBMN: ὅπερ Theoph. Cont. 391, 7: τότε CE καὶ om. B **76** Κωνστ. om. B **77** καὶ στοιχηθέντα: στοιχήματα M **78** οὕτω: οὔπω B τῶν λεωφόρων: τῆς λεωφόρου ACE **79** καίπερ VBMN: καίτοι ACE **80** οἰηθεὶς ACEVBF: om. MN **81/82** διανομὴν τῆς ῥόγας VBMN: ῥόγαν ACE **82** ὁ ante τῶν add. C **83** ἐκπλεῦσαι VBMN Theoph. Cont. 391, 14: ἐμπλεῦσαι ACE παραπίπτει C λόγῳ CE **84** αὐτῷ ὁ Ῥωμ. ACE **84/85** καὶ — ἐπαγγελλόμενος om. M **84** ποιεῖν B **85** αὐτὸν ἦγεν ACE **85/86** τὰ ἔνεδρα B **86** δὲ om. ACE δυνηθέντα A τοῦ παρακοιμ. om. A **87** διαλεγόμενον A μᾶλλον: μάλιστα B **88** προσιόντα A πυθομένου VMN: πυνθανόμενον A: πυνθανομένου CEB καὶ ἐπιτηδείους add. post ἄνδρας B **89** καὶ pr. om. B ἐπιτηδείους om. B τριήρη ACEVB: τριήρην MN: τριήριν Theoph. Cont. 391, 23

τους, καὶ τάχα ἀποδεξάμενος, ἀπαίρειν ἠπείγετο. ὁ δὲ Ῥωμανὸς ἔγγιστα τούτου περιπατῶν, ὡς πλησίον ἐγένοντο τῇ στρατηγίδι τριήρει, κατασχὼν τὸν Κωνσταντῖνον καὶ μηδὲν πλέον εἰπών, ἀλλ' ἢ μόνον· 'ἄρατε τοῦτον,' αὐτὸς μὲν ἔστη, οἱ δὲ πρὸς τὸ ἔργον ὄντες ηὐτρεπισμένοι εἰσήγαγον εἰς τὴν ναυαρχίδα καὶ ἐν ἀσφαλείᾳ κατεῖχον, μηδενὸς ἐπαμῦναι τοῦτον τολμήσαντος τῶν συνεπομένων αὐτῷ, ἀλλὰ πάντων παραυτίκα διασπαρέντων. τῆς φήμης οὖν ἐξαρθείσης ταραχὴ κατέσχε πᾶσαν τὴν πόλιν, τυραννίδος, ὡς εἰκός, ἐπίθεσιν λογισαμένην. φθάσαντος οὖν τοῦ λόγου καὶ μέχρι τῆς βασιλίδος Ζωῆς, εἰς ἀμηχανίαν καὶ οἱ ἐν τέλει ἐνέπιπτον. προσκαλεῖται γοῦν ἡ βασιλὶς τὸν πατριάρχην Νικόλαον καὶ τοὺς τῆς συγκλήτου λογάδας, κοινολογησαμένη τε μετ' αὐτῶν ἐκπέμπει πρὸς Ῥωμανόν, τὴν αἰτίαν τοῦ γεγονότος μαθεῖν ἐθέλουσα. τῶν πεμφθέντων γενομένων, ἔνθα προσώρμουν αἱ τριή|ρεις, καὶ μελλόντων ζήτησιν ποιεῖσθαι τῆς τοῦ παρακοιμωμένου κατασχέσεως, ὁ τῶν πλωΐμων διαναστὰς ἀκόλαστος ὄχλος λίθοις αὐτοὺς ἐξήλασαν. ἕωθεν οὖν ἡ βασιλὶς ἐξελθοῦσα περὶ τὸν Βουκολέοντα καὶ τὸν υἱὸν μεταστειλαμένη καὶ τοὺς περὶ αὐτὸν ἐπηρώτα, πῶς γέγονεν ἡ ἀνταρσία αὕτη. μηδενὸς δὲ ἀποκριναμένου, ὁ παιδαγωγὸς τοῦ βασιλέως Θεόδωρος ἔφη· 'διὰ τὸ ἀπολέσαι, ὦ δέσποινα, Λέοντα μὲν τὸν Φωκᾶν τὰ στρατόπεδα, Κωνσταντῖνον δὲ τὸν παρακοιμώμενον τὸ παλάτιον, ἡ τοιαύτη γέγονε κίνησις.'

11. Ὁ βασιλεὺς δὲ εἰς ἑαυτὸν τὴν ἐξουσίαν ἀπὸ τῆς μητρὸς ἐφελκόμενος τὸν πατριάρχην Νικόλαον σὺν τῷ μαγίστρῳ Στεφάνῳ ἀνήγαγεν ἐν τῷ παλατίῳ, καὶ τῇ ἐπαύριον στέλλουσιν Ἰωάννην τὸν Τουβάκην τὴν αὐγοῦσταν τοῦ παλατίου καταβιβάσαι. ἡ δὲ μετ' ὀλολυγῆς καὶ δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ πρὸς συμπάθειαν αὐτὸν μητρικὴν καὶ οἶκτον ἐκίνησε. διὸ καί φησι πρὸς τοὺς ἄγοντας· 'ἐάσατε εἶναι μετ' ἐμοῦ τὴν μητέρα μου.' οἱ δὲ ἅμα τῷ λόγῳ ταύτην κατέλιπον.

cap. 11: Theoph. Cont. 392, 11—394, 17; Zon. III, 467, 9—468, 7

ACEVBMN F   93 ἐγένετο B   τῇ στρατηγίδι om. ACE   τριήρους A   94 κατασχεῖν A   εἰπεῖν A   95 ηὐτρεπισμένοι AVB: εὐτρεπ. CEMNFH   1 αὐτὸν ante εἰς add. B   εἰς: πρὸς C   2 τοῦτον: τούτῳ B   τοῦτον post τολμ. add. B   3 διασπαρέντων VBMN: διεσπαρμένων ACE   4 τὴν πόλιν πᾶσαν B   5 καὶ μέχρι: μέχρι καὶ A   6 γοῦν VMN: οὖν ACEB   9 δὲ ante τῶν πεμφθ. (τῶν σταλέντων A) add. ACE   γενομένων post προσώρμουν V, post τριήρεις B   10 ποιεῖσθαι ACEVBF: ποιήσασθαι MN   11 ἀναστὰς B   λίθων C   ἐξήλασεν M   13 μεταστειλαμένη VBMN: μετακαλεσαμένη ACE   ἠρώτα B   14 ἀποκριναμένου CEVNF: ἀποκρινομένου ABMH   16 στρατόπεδα: στρατεύματα BM   εἰς ante τὸ add. CE   18 Ὁ — ἑαυτὸν: Εἰς ἑαυτὸν δὲ ὁ βασ. B   20 τῇ om. ACE   21 καταβιβάσαντα B   ὀλυγῆς M   22 μητρικὴν om. B   23 ἐκίνησε CEMN: ἐκίνησεν Theoph. Cont. 392, 17: ἐνίκησε A: ἀνεκαλέσατο V: ἐξεκαλέσατο B   24 ἔστησαν καὶ post λόγῳ add. M

προεβάλλετο δ' ὁ βασιλεὺς δομέστικον τῶν σχολῶν, διαδεξάμενος τὸν Φωκᾶν, τὸν μάγιστρον Ἰωάννην τὸν Γαριδᾶν, τὴν ἐκ τοῦ Λέοντος δεδοικὼς ἐπανάστασιν. τῇ αἰτήσει τε τούτου προεβλήθησαν Συμεὼν ὁ υἱὸς αὐτοῦ καὶ Θεόδωρος ὁ τῆς γυναικὸς αὐτοῦ ἀδελφός, ὁ Ζουφινέζερ, ἑταιρειάρχαι. ὅρκοις τε οὖν καταληφθεὶς ὑπὸ τοῦ βασιλέως κατῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ παραχρῆμα οἱ συγγενεῖς αὐτοῦ ἀπελύθησαν τῶν βασιλείων. ὅπερ μαθὼν ἐκεῖνος ἀγωνίᾳ καὶ φόβῳ ἐλήφθη. εὐθὺς | οὖν ἐξιππασάμενος ἀπῆλθεν ἐν τῷ ναυστάθμῳ πρὸς τὸν Ῥωμανὸν τὸν δρουγγάριον, τὴν ὕβριν, ἣν ὑπέστη, καὶ τὸν προπηλακισμὸν διηγούμενος. κοινοπραγήσαντες οὖν καὶ ὅρκοις ἀλλήλους κατασφαλισάμενοι καὶ κῆδος εἰς τοὺς ἑαυτῶν ποιησάμενοι παῖδας ἐν τῷ κρυπτῷ κατεῖχον τὸ σπουδαζόμενον. ὁ δὲ Ῥωμανὸς πέμψας εἰς τὸ παλάτιον περὶ τοῦ γεγονότος ἀπελογεῖτο, μὴ ἀνταρσίαν εἶναι, μηδὲ ἀπόστασιν ὀμνύμενος τὰ πραχθέντα. τὴν τοῦ Φωκᾶ δὲ ἐπίθεσιν ὑφορώμενος, φησί, καὶ δεδιὼς περὶ τοῦ βασιλέως, μή τι καὶ πάθῃ φλαῦρον, ἐν τῷ παλατίῳ ἀνελθεῖν ἠβουλήθη καὶ φυλακὴν τούτου ποιήσασθαι καὶ τοῦ βασιλέως. μὴ πιστεύοντος δὲ τοῦ πατριάρχου, μηδὲ τὰ λεγόμενα δεχομένου, ἐπισπέρχει Θεόδωρος ὁ παιδαγωγὸς τὸν Ῥωμανὸν ἄραντα πάντα τὸν στόλον ἀφικέσθαι πρὸς τὸ τοῦ παλατίου νεώριον ἐν τῷ Βουκολέοντι. μέλλοντος δὲ τούτου καὶ ἀναδυομένου, οἱ πρὸς τὴν λεληθυῖαν πρᾶξιν τοῦτον ἐνάγοντες ἀνέπεισαν καὶ ἄκοντα ποιῆσαι τὸ κελευόμενον. ἀμέλει καὶ κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ ἐξαρτίσας τὸν στόλον πολεμικῶς ἀφικνεῖται πρὸς τὸν Βουκολέοντα. καὶ Στέφανος μὲν εὐθὺς ὁ μάγιστρος κάτεισι τῶν βασιλείων, ἄνεισι δ' ὁ πατρίκιος Νικήτας, κηδεστὴς ὢν Ῥωμανοῦ, καὶ κατάγει τὸν πατριάρχην. οἱ δὲ περὶ τὸν βασιλέα τὰ τίμια καὶ ζωοποιὰ ξύλα πέμψαντες πρὸς τὸν Ῥωμανὸν καὶ ὅρκοις αὐτὸν κατασφαλισάμενοι φοβερωτάτοις καὶ ἀραῖς παλαμναιοτάταις, μηδέποτε δόλιον κατὰ τοῦ βασιλέως ἐννοήσασθαι, συγχωροῦσι μετ' ὀλίγων αὐτὸν ἀνελθεῖν | ἐν τῷ παλατίῳ. ὅνπερ δεξάμενος ὁ βασιλεὺς ἀνελθόντα καὶ προσκυνήσαντα εἰσάγει κατὰ τὸν ἐν τῷ Φάρῳ ναὸν

54 die 25. mens. Mart. a. 919

ACEVBMN FH 25 δ' VBMN: δὲ ACEFH 28 Ζουφινέξερ B 29 ἑταιρειάρχαι: ὁ ἑταιρειάρχης E τε om. B 30 παραχρῆμα: παραυτίκα B ἀπελύθησαν: ἐξεβλήθησαν B 32 τὸν om. VB Theoph. Cont. 393, 5 34 εὐθὺς post οὖν add. E ἀλλήλοις M ἀσφαλισάμενοι A 38 φησί om. B 39 καὶ om. B πάθοι AM φαῦλον C 40 ἐβουλήθη A 41 διαδεχομένου B 42 τοῦ βασιλέως (τουβῆς C) ante παιδαγ. add. ACE πάντα om. ACE (sed cf. παντὸς Theoph. Cont. 393, 20) 43 πρὸς τὸ: εἰς τὴν B 44/45 τοῦτον ἐνάγοντες: ἀνάγοντες τοῦτον B 45 ἀνέπειθον A καὶ alt. om. A 46 καὶ ante τῆς add. B τῆς ἑορτῆς om. A τὸν στόλον om. B 49 τοῦ ante Ῥωμ. add. ACE (sed cf. Theoph. Cont. 394, 2) 50 καὶ ζωοποιὰ om. B 51 παλαμναιοτάτοις B 52 τι post μηδέποτέ add. B δόλιον ACEVBF: δόλον MN καὶ ante συγχωρ. add. M 53 ἀνελθεῖν αὐτὸν B 54 τῷ om. ACE (sed cf. Theoph. Cont. 394, 8)

καὶ πίστεις αὐτῷ δοὺς καὶ λαβὼν προχειρίζεται τοῦτον μέγαν ἑταιρειάρχην. γράμματα οὖν εὐθὺς ἐφοίτα πρὸς Λέοντα τὸν Φωκᾶν μὴ ὀλιγωρῆσαι, μηδ' ἀπογνῶναι, μηδὲ σκαιόν τι βουλεύσασθαι, ἀλλὰ προσμεῖναι μικρὸν ἡσύχως ἐν τῷ οἰκείῳ οἴκῳ διοριζόμενα, ὡς μελλούσης γενέσθαι διὰ βραχέων τῆς αὐτοῦ προνοίας. τὰ παραπλήσια δὲ γράψαι πρὸς αὐτὸν καὶ τὸν παρακοιμώμενον κατηνάγκασε Κωνσταντῖνον. ἅπερ δεξάμενος ὁ Φωκᾶς ἡσυχίαν ἦγεν ἐν τῷ κατὰ τὴν Καππαδοκίαν οἴκῳ αὐτοῦ.

12. Τῇ δὲ πέμπτῃ ἑβδομάδι τῶν ἁγίων νηστειῶν δίδοται παρὰ Κωνσταντίνου τοῦ βασιλέως ἀρραβὼν γαμικοῦ συναλλάγματος 'Ελένῃ τῇ θυγατρὶ 'Ρωμανοῦ, καὶ τῇ τρίτῃ τῇ λεγομένῃ τῆς Γαλιλαίας στεφανοῦται μετ' αὐτῆς παρὰ Νικολάου πατριάρχου ὁ βασιλεύς, τὸν 'Ρωμανὸν βασιλεοπάτορα προβαλλόμενος, καὶ ἀντ' αὐτοῦ ἑταιρειάρχην Χριστοφόρον τὸν τούτου υἱόν.

13. Καὶ μετὰ μικρὸν Λέων ὁ Φωκᾶς ἀναπεισθεὶς ὑπὸ τῶν ἑαυτοῦ συγγενῶν καὶ τῶν ταγμάτων πρὸς ἀποστασίαν ἀπεῖδε, καὶ ἀποστείλας προσελάβετο μετ' αὐτοῦ τὸν παρακοιμώμενον Κωνσταντῖνον, καὶ Κωνσταντῖνον καὶ 'Αναστάσιον τοὺς Γογγυλίους καὶ αὐταδέλφους, καὶ Κωνσταντῖνον τὸν τῆς Μαλελίας, πληροφορῶν ἅπαντας ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τὰ ὅπλα αἴρειν. 'Ρωμανὸς δὲ χρυσοβούλλια ἐκθέμενος ἀνατροπὴν ἔχοντα τῆς τοῦ Φωκᾶ προφάσεως, καὶ τῇ χειρὶ τοῦ βασιλέως | καὶ τῇ σφραγῖδι ταῦτ' ἐμπεδώσας μετά τινος γυναικὸς ἑταιρίδος, ἣν διὰ τὴν τοιαύτην ὑπηρεσίαν καὶ Βασιλικὴν ὕστερον προσηγόρευσαν, ἐν τῷ τοῦ Λέοντος στρατοπέδῳ ἐξέπεμψε, καὶ ἕτερα δὲ μετά τινος κληρικοῦ Μιχαὴλ ὑποσχέσεσι τιμῶν καὶ δωρεῶν διαφθείροντα τοὺς

56 non multum post diem 25. mens. Mart. a. 919 65/66 mense Maii a. 919
74/75 non multum post diem 27. mens. Apr. a. 919

---

cap. 12: Theoph. Cont. 394, 18—395, 2; Zon, III, 468, 8—468, 12; Glyc. 557, 18
cap. 13: Theoph. Cont. 395, 2—397, 3; Zon. III, 468, 12—469, 11

ACEVBMN F 56 οὖν: δὲ B εὐθὺς om. ACE (sed cf. Theoph. Cont. 394, 10) 57 βουλεύεσθαι B 58 οἰκείῳ: ἰδίῳ BM 59 διὰ βραχέων: βραχέως M γράψαι om. B 60 ἠνάγκασε AB 61 ὅπερ B κατὰ om. E 64 τοῦ om. B 65 τοῦ ante 'Ρωμ. add. B 66 τοῦ ante πατρ. add. ACE (sed cf. Theoph. Cont. 394, 23) 67 προβαλλόμενος EVBMN: προβαλόμενος A Theoph. Cont. 394, 23: προὐβαλλόμενος C 69 μετὰ: κατὰ M ἀναπεισθεὶς ACEMN: ἀνασεισθεὶς V: πεισθεὶς B 70 τῶν om. EB 71/72 παρακοιμώμενον — 'Αναστάσιον: παρακοιμ. Κωνστ., καὶ 'Αναστ. καὶ Κωνστ. B καὶ Κωνστ. ACE Theoph. Cont. 395, 4: om. VMNF 74 χρυσοβούλλια ACEVN: χρυσόβουλλον B: χρυσοβούλλιον M 77 καὶ post ἣν add. ACE καὶ VBMN Theoph. Cont. 395, 13 79 ὑποσχέσει M δωρεῶν καὶ τιμῶν B ὑποφθείροντα B

τῶν ταγμάτων ἐξάρχους καὶ τὸν λαόν. ἀλλ' οὗτος μὲν ὁ Μιχαὴλ φωραθεὶς ὑπὸ τοῦ Φωκᾶ καὶ τυφθεὶς ἀνηλεῶς ἀπετμήθη τὰ ὦτα. ἔλαθε δ' ἡ γυνὴ ἐν τῷ στρατῷ διασπείρασα, ἃ ἐπήγετο. πρῶτον οὖν ὁ τοῦ Βαρέος Μιχαὴλ υἱὸς Κωνσταντῖνος, τοῦ τάγματος ἄρχων τῶν Ἱκανάτων, καταλιπὼν τὸν Λέοντα τῷ Ῥωμανῷ προσεχώρησεν. ᾧτινι καὶ ὁ Βαλάντης καὶ ὁ λεγόμενος Ἄτζμωρος, τουρμάρχαι καὶ ἄμφω ὄντες, ἐπηκολούθησαν. Λέων δὲ ὅμως ὁ Φωκᾶς τὴν Χρυσόπολιν καταλαβών, καὶ τὸν λαὸν παρατάξας κατὰ τὴν ἀντιπέραν ἐν τῷ κίονι ἱσταμένην λιθίνην δάμαλιν ἐξεφόβει τοὺς ἐν τῇ πόλει. Ῥωμανὸς δὲ μετὰ δρόμωνος τὸν ἐπὶ τοῦ κανικλείου Συμεὼν ἐκπέμψας πρὸς τὸν τοῦ ἀποστάτου λαὸν καὶ χρυσόβουλλον ἐνσεσημασμένον παρὰ τοῦ βασιλέως ἐνεχείρισεν αὐτῷ, καὶ παρηγγύησε πάντα τρόπον σπουδάσαι τῷ λαῷ τοῦτο ὑπαναγνῶναι. ὁ δὲ τοῦ χρυσοβούλλου νοῦς εἶχεν οὕτως· 'ἡ βασιλεία μου φύλακα αὐτῆς ἐγρηγορώτατον καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα, ἢ Ῥωμανὸν εὑροῦσα, τούτῳ μετὰ θεὸν τὴν ἑαυτῆς φυλακὴν κατεπίστευσε, καὶ ἀντὶ πατρὸς αὐτὸν κρίνει, σπλάγχνα πατρικὰ πρὸς αὐτὴν ἐνδεικνύμενον. Λέοντα δὲ τὸν Φωκᾶν ἀεὶ ταύτῃ προσπολεμοῦντα καὶ ἐπιβουλεύοντα, καὶ νῦν τὴν κρυπτομένην αὐτοῦ μοχθηρίαν φανερώσαντα, οὔτε δομέ|στικον εἶναι βούλεται, οὐθ' ἕνα κρίνει τῶν ὑπηκόων, ἀλλ' ἀποστάτην καὶ τύραννον, καὶ χωρὶς ἐμῆς βουλῆς τὴν τοιαύτην ἀνταρσίαν συστήσαντα, ἵν' εἰς ἑαυτὸν τὸ τῆς βασιλείας ἐπισπάσηται κράτος. τοῦτο οὖν εἰδὼς ὁ ἐμὸς λαὸς τὸ δέον συνιέναι θέλησον, καὶ τὸν προγονικὸν ἐπιγνοὺς δεσπότην τῆς πικρᾶς τυραννίδος ἀπόστηθι.' τοῦ δὲ Συμεὼν γενομένου κατὰ τὴν παρεμβολὴν καὶ τὸ χρυσοβούλλιον φανερῶς ἐκπέμψαντος τῷ λαῷ, ὡς τοῦτο ἀνέγνωσαν καὶ τὸν ἐν αὐτῷ νοῦν κατενόησαν, ἤρξαντο πάντες ἀναχωρεῖν καὶ τῷ βασιλεοπάτορι προσρύεσθαι Ῥωμανῷ. ὁ Φωκᾶς δὲ πρῶτον μὲν πειραθεὶς τὴν ἀνάγνωσιν κωλῦσαι τοῦ χρυσοβούλλου καὶ μὴ δυνηθείς, εἶτα καὶ ὑπορρέουσαν

92 inter mens. Apr. et mens. Aug. a. 919

ACEVBMN FH **81** δὲ B **82** ἐν — διασπείρασα: διασπ. ἐν τῷ λαῷ B **83** Βαρέος ACEV: Βαρέως BF: Βάρεος N: Βάρεως M Μιχαὴλ om. VB (sed cf. Βαρὺ Μιχαὴλ Theoph. Cont. 395, 19 cod. V) **84** καταλιπεῖν B Ῥωμανῷ: βασιλεῖ B **85** ὁ Βαλάντης CEVMN Theoph. Cont. 395, 22: Ἀβαλάντης A: ὁ Ἀβαλάντιος B Ἀτζάμωρ B **86** ἐπακολούθησαν B δὲ — Φωκᾶς: δὲ ὁ Φωκᾶς ὅμως B **88** πάντας post πόλει add. A δράμωνος M **90** καὶ om. B **91** παρεγγυήσατο A τοῦτο: τούτῳ C **92** χρυσοβουλλίου M **93** ἐγρηγορώτατον CEMN Theoph. Cont. 396, 6: γρηγορώτατον AVB **94** ἑαυτῆς: αὐτῆς A **1** ταύτῃ: ταύτην B προπολεμοῦντα M **2** αὐτοῦ μοχθηρίαν MN: μοχθ. αὐτοῦ VB μοχθηρίαν VBMN: κακίαν ACE: πονηρίαν FH **3** ὡς ante ἕνα add. A κρίνει om. VB ἐπηκόων B λογίζεται post ἐπηκ. add. B **4** τῆς ante ἐμῆς add. B **5** ἵνα B ὑποσπάσηται B **8** χρυσόβουλλον B φανερῶς om. A **10** κατενόησαν ACEVBH: κατανοήσαντες MN **11** πρῶτον VBMN: πρῶτα AE: πρῶτος C πειρασθεὶς M **12** χρυσοβούλλου ACEBMNH: χρυσοβουλλίου V

κατὰ μικρὸν τὴν ἑαυτοῦ βλέπων δύναμιν, τοῖς ὅλοις ἀπειρηκὼς φυγῇ τὴν σωτηρίαν ἐπραγματεύετο, καὶ μετά τινων ὀλίγων τῶν πιστοτάτων τὸ φρούριον κατέλαβεν Ἀτεοῦς. ἀποκρουσθεὶς δ' ἐκεῖθεν ἔν τινι χωρίῳ κατήντησεν, Ὠὴ Λέων τὸ χωρίον κατονομάζεται. κἀκεῖσε παρὰ Μιχαὴλ τοῦ Βαρέος καί τινων ἄλλων πλείστων ἐπ' αὐτὸν συστάντων συλλαμβάνεται. στέλλεται τοίνυν Ἰωάννης ὁ Τουβάκης καὶ Λέων ὁ Παστιλᾶς εἰσαγαγεῖν αὐτὸν εἰς τὴν βασιλεύουσαν. οἱ δὲ τοῦτον κρατήσαντες ἀπετύφλωσαν, ὡς μὲν ἔνιοι λέγουσιν, ἐντολὴν λαθραίαν εἰληφότες ἐκ Ῥωμανοῦ, ὡς δ' οἱ περὶ τὸν Ῥωμανὸν διενίσταντο, αὐθαιρέτῳ γνώμῃ καὶ προαιρέσει. καὶ γὰρ δὴ καὶ ἐδόκει ἀγανακτεῖν ὁ Ῥωμανός, ὡς παρὰ τὴν αὐτοῦ θέλησιν γεγονότος τοῦ ἔργου. ἡ μὲν οὖν τοῦ Λέοντος ἀποστασία τοιοῦτον ἔσχε τὸ τέλος. |

14. Συνέστη δὲ καὶ ἑτέρα ἐπιβουλὴ κατὰ Ῥωμανοῦ, παρά τινος Κωνσταντίνου Κτηματινοῦ, Δαβὶδ τοῦ Κουμουλιανοῦ καὶ Μιχαὴλ κουράτωρος τῶν Μαγγάνων. οὗτοι γὰρ νεανίας τινὰς καθοπλίσαντες κατὰ τὸ κυνήγιον ἐξελθόντα τὸν Ῥωμανὸν ἐπετρέψαντο διαχειρίσασθαι. ὧν γνωσθέντων καὶ συλληφθέντες οἱ τῆς ἐπιβουλῆς πρωτουργοὶ τοὺς ὀφθαλμοὺς ἐπηρώθησαν καὶ διὰ μέσης τῆς πόλεως περιήχθησαν. συνῆν δὲ ταύτῃ τῇ ἀτίμῳ περιαγωγῇ καὶ Λέων ὁ Φωκᾶς, ἡμιόνῳ ἐφεζόμενος. κατηγορήθη δὲ καὶ Ζωὴ ἡ βασιλὶς τῇ ζωῇ ἐπιβουλεύουσα Ῥωμανοῦ, καὶ τοῦ παλατίου κατάγεται, κἂν τῇ τῆς ἁγίας Εὐφημίας μονῇ ἀποκείρεται. ἐξεβλήθη δὲ τῆς πόλεως καὶ Θεοφύλακτος πατρίκιος καὶ Θεό-

18/19 die 12. mens. Dec. a. 919

cap. 14: Theoph. Cont. 397, 4—398, 3; Zon. III, 469, 12—469, 18; Glyc. 557, 19—558, 1

ACEVBMN FH   13 βλέπων post 12 ὑπορρέουσαν VB   ἑαυτοῦ ACEMN: αὐτοῦ VH: om. B   14 ἐπραγματεύετο: ἐπίστευσε B   τῶν om. AB   πιστοτάτων om. A   αὐτῷ post πιστ. add. M   15 καταλαβὼν A   Ἀτεοῦς CEVMN: Ἀτεοὺς AH Theoph. Cont. 396, 20: Ἀτροῦς B   δ' ἐκεῖθεν: τε κἀκεῖθεν A   χωρίῳ VBMN Theoph. Cont. 396, 21: φρουρίῳ ACE   16 Ὠὴ Λέων V: ὦ Ἠλέων B: Ὠηλέον ACE: Ὦν Λέων MN: Ὠὴ Λέοντα F: Γοηλέοντι Theoph. Cont. 396, 21   16 τὸ χωρ. κατονομ.: τῷ χωρίῳ τὸ ὄνομα A   κατονομάζεται CMN: κατονομάζετο EVB   κἀκεῖθεν ACE   17 Βαρέος ACEV: Βαρέως BH: Βάρεος N: Βάρεως M   πλείστων CEVMN: πιστῶν A: om. B   αὐτὸν: αὐτῷ A   συστάντων ACEMN: συσταθέντων VB   18 Παστιλᾶς ACEVN: Παστηλᾶς B: Παστιλλᾶς M   19 εἰσαγαγεῖν ACEMN Theoph. Cont. 396, 23: ἀγαγεῖν VB   22 δὴ om. B   25 Συνέστη VBMN: Συνέβη ACE   26 Κτηματινοῦ AEVMN Theoph. Cont. 397, 5: Κτηματηνοῦ B: Κτηματικοῦ C   Καμουλιανοῦ B   28 κυνήγιον VBMN: κυνηγέσιον ACE   κυνηγ. — διαχειρίσ.: κυνηγέσιον ἐξελθεῖν τὸν Ῥωμ. μαθόντες διαχ. ἐπετρέψ. A   29 συλληφθέντες VBMN: συλληφθέντων ACEB   31 δὲ ταύτῃ: δ' ἐν ταύτῃ B   33 κἂν — ἀποκείρεται: καὶ ἐν τῇ μονῇ τῆς ἁγίας Εὐφ. ἀποκείρ. B

δωρος ὁ παιδαγωγὸς τοῦ βασιλέως καὶ ὁ τούτου ὁμαίμων Συμεών, καὶ ἐν τῷ Ὀψικίῳ διάγειν ἐτάχθησαν, ὡς τάχα κατὰ Ῥωμανοῦ μελετῶντες. ὑπούργησε δὲ πρὸς τὸν ἐξοστρακισμὸν τῶν τοιούτων ὁ δρουγγάριος τῆς βίγλας Ἰωάννης, ὁ Κουρκούας, αἰφνίδιον συναρπάσας αὐτοὺς καὶ πλοίοις εἰς τὴν περαίαν διαβιβάσας. τῇ δὲ εἰκάδι τετάρτῃ τοῦ Σεπτεμβρίου μηνὸς ἀνάγεται Ῥωμανὸς εἰς τὴν τοῦ καίσαρος ἀξίαν, καὶ Δεκεμβρίου μηνὸς τῷ τῆς βασιλείας διαδήματι στέφεται, ἐπιτροπῇ τοῦ βασιλέως Κωνσταντίνου, τοῦ πατριάρχου Νικολάου αὐτὸν ἀναδήσαντος.

ACEVBMN FH **36** μελετῶντος M **37** καὶ post ὑπούργησε add. B **39** τῇ εἰκ. δὲ B **40** μηνὸς om. B ἀνάγεται: ἀναγορεύεται E **40/41** Δεκεμβρίῳ μηνὶ CE **41** τοῦ om. M

ΡΩΜΑΝΟΣ Ο ΛΑΚΑΠΗΝΟΣ

1. Ῥωμανὸς δὲ ταινιωθεὶς τῷ βασιλικῷ διαδήματι στέφει κατ' αὐτὴν τὴν ἡμέραν τῶν ἁγίων φώτων καὶ τὴν ἑαυτοῦ σύζυγον Θεοδώραν. Μαΐῳ δὲ μηνὶ | κατὰ τὴν τῆς ἁγίας πεντηκοστῆς ἡμέραν στέφει καὶ τὸν ἑαυτοῦ υἱὸν Χριστοφόρον διὰ Κωνσταντίνου τάχα, κατὰ μὲν τὸ φαινόμενον ἐθέλοντος καὶ καταδεχομένου διὰ τὴν βίαν, ἐν δὲ τῷ ἀφανεῖ ἀλύοντος καὶ τὴν συμφορὰν ἀποκλαιομένου εἰς ἑαυτόν. καὶ μόνοι οἱ δύο κατὰ τὴν τοιαύτην προῆλθον προέλευσιν.

2. Ἰουλίῳ δὲ μηνὶ ἰνδικτιῶνος ὀγδόης ἡ τῆς ἐκκλησίας γέγονεν ἕνωσις, ἑνωθέντων τῶν διαφερομένων μητροπολιτῶν τε καὶ κληρικῶν τῶν ἀπὸ Νικολάου πατριάρχου καὶ Εὐθυμίου διεσχισμένων. ὁ δὲ βασιλεὺς Ῥωμανὸς ἐξορίζει τὸν μάγιστρον Στέφανον εἰς τὴν Ἀντιγόνου νῆσον, ὡς τῆς βασιλείας τάχα ὀριγνώμενον, καὶ μοναχὸν ἀποκείρει, σὺν αὐτῷ δὲ καὶ Θεοφάνην τὸν Τειχεώτην καὶ Παῦλον τὸν ὀρφανοτρόφον, τοὺς οἰκειοτάτους αὐτῷ. προκένσου δὲ γενομένου ἐν τῷ τριβουναλίῳ, αἰφνίδιον οἱ βασιλεῖς εἰς τὸ παλάτιον ὑποστρέφουσιν ἐπιβουλῆς μηνυθείσης αὐτοῖς. κατασχεθέντες δὲ οἱ ἔξαρχοι, ὅ τε πατρίκιος Ἀρσένιος καὶ ὁ μαγγλαβίτης Παῦλος, τυφλωθέντες καὶ δημευθέντες ἐξωρίσθησαν. ἠγάγετο δὲ τούτῳ τῷ ἔτει καὶ γαμβρὸν ἐπὶ τῇ αὐτοῦ θυγατρὶ Ἀγάθῃ Ῥωμανὸς ὁ βασιλεὺς Λέοντα τὸν τοῦ Ἀργυροῦ, ἄνδρα γενναῖον, καὶ κάλλει σώματος καὶ ἰδέᾳ ὑπερφέροντα, συνέσει τε καὶ φρονήσει κοσμούμενον.

3. Ἐγένετο δὲ ἐν τῷ αὐτῷ χρόνῳ καὶ τὰ κατὰ τὸν Ῥεντάκιον. οὗτος ἐξ Ἑλλάδος ὡρμημένος τὸν ἑαυτοῦ γεννήτορα ἐπεχείρησεν ἀνελεῖν. δεδιὼς δ' ἐκεῖνος τὴν τοῦ υἱοῦ ἀταξίαν πλοίου ἐπιβὰς ἔπλει πρὸς

46 die 20. mens. Maii a. 921 **51** a. 920

---

cap. **1**: Theoph. Cont. 398, 4—398, 8; Zon. III, 469, 19—470, 2; Glyc. 558, 1
cap. **2**: Theoph. Cont. 398, 8—399, 11 cap. **3**: Theoph. Cont. 399, 12—399, 22

ACEVB (M lac. a **43**) FH **43** ὁ Λακαπ. om. N ὁ καὶ Ἀβάστακτος post Λακαπ. add. E **45** ἁγίαν ante ἡμ. add. ACEN (sed non F) ἁγίων VBN Theoph. Cont. 398, 4: om. ACE **47** διὰ: τοῦ B **50** προῆλθον ACEB: διῆλθον VNF **51** Ἰουνίῳ A η' C **54** μάγιστρον om. VB **55** τάχα post ὡς ACE **57** οἰκείους A προκείνσου B **58** αἰφνίδιον: εὐθὺς A **60** μαγγλαβίτης ACEB: μαγλαβίτης VN: μαγλαβίτου Theoph. Cont. 399, 4 **61** καὶ om. B γαμβρὸς C **62** γενναῖον ἄνδρα A **66** γὰρ post οὗτος add. N ὡρμημένος VBNF: ὁρμώμενος ACEH

τὸ Βυζάντιον, ὡς τάχα βασιλέως δεησόμενος ἀνακοπὴν γενέσθαι τῆς τοῦ υἱοῦ ἀπαιδευσίας. ἀνιὼν δὲ κατεσχέθη | παρὰ τῶν ἐν τῇ Κρήτῃ Σαρακηνῶν. καὶ ὁ Ῥεντάκιος ὑποχείριον ἔχων τὸν πατρῷον πλοῦτον, ἀνελθὼν μετ' αὐτοῦ εἰς τὴν μεγαλόπολιν, τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ σοφίας προσέδραμε, κἀν τούτῳ προσκαθήμενος τὴν πατρικὴν κατεσπάθα οὐσίαν. οὐκ ἔλαθε τοῦτο τὸν Ῥωμανόν, ἀλλὰ γνοὺς ἐξαγαγεῖν ἐβουλεύσατο τοῦτον τῆς ἐκκλησίας καὶ παιδεῦσαι. ὁ δὲ πληροφορίαν σχὼν βασιλικὰ πλασάμενος γράμματα, ὡς δῆθεν ἐκπεμφθέντα πρὸς τὸν Συμεών, αὐτομολήσειν ἐβουλεύσατο πρὸς τοὺς Βουλγάρους. καὶ ἐλεγχθεὶς τῆς τε οὐσίας καὶ τῶν ὀφθαλμῶν στερεῖται.

4. Ἀδραλέστου δὲ τοῦ δομεστίκου τῶν σχολῶν ἀποθανόντος προεβλήθη Πόθος ὁ Ἀργυρός. καὶ τῶν Βουλγάρων ἄχρι τῶν Κατασυρτῶν ἐξελασάντων, ἔξεισι καὶ αὐτὸς μετὰ τῶν ταγμάτων, καὶ κατασκηνοῖ κατὰ τὴν λεγομένην Θερμόπολιν. ἐκεῖθεν δὲ Μιχαὴλ ταγματάρχην τὸν τοῦ πατρικίου Μωρολέοντος υἱόν, ἐπὶ κατασκοπὴν τῶν Βουλγάρων ἐκπέμπει. ὁ δὲ ἀπροόπτως ταῖς βαρβαρικαῖς ἐμπεσὼν ἐνέδραις, ἐπείπερ ἄφυκτα ἦν, τρέπεται πρὸς ἀλκήν, καὶ πολλοὺς τῶν Βουλγάρων ἀνελὼν καὶ τρεψάμενος, καιρίαν δὲ τυπεὶς καὶ αὐτός, ἐπανῆκεν εἰς τὴν βασιλίδα καὶ μετὰ μικρὸν ἐτελεύτησε.

5. Τότε δὴ καὶ τῷ βασιλεῖ Ῥωμανῷ ἐπιβουλὴ μηνύεται κατ' αὐτοῦ, προστάτην ἔχουσα τὸν σακελλάριον Ἀναστάσιον, ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου δῆθεν ἀγωνιζόμενον. καὶ τῶν αἰτίων συσχεθέντων ἕκαστος κατὰ τὸ δόξαν ἐτιμωρήθη τῷ βασιλεῖ Ῥωμανῷ, τοῦ Ἀναστασίου ἀποκαρέντος μοναχοῦ. ἐξ ἧς αἰτίας καὶ ὁ Κωνσταντῖνος ὑποβιβάζεται, καὶ δεύτερος ἀνηγορεύετο βασιλεύς, | πρῶτος δὲ ὁ Ῥωμανός, προφασισάμενος οὕτως μόνως δυνατὸν εἶναι κατευνασθῆναι τὰς ἐπιβουλάς, διὰ πράγματα πρόσκαιρα καὶ βασιλείαν φθαρτὴν καὶ ἐπίκηρον, ἐπιορκίᾳ

79 seq. Symeon rex a. 921, 922, 924 Constantinopolim capere conatus est

cap. 4: Theoph. Cont. 400, 1–400, 8   cap. 5: Theoph. Cont. 400, 9–401, 2; Zon. III, 470, 7–479, 11

ACEVBN FH   **68** δεηθησόμενος AB   **68/69** τῆς τοῦ υἱοῦ post **68** δεηθησόμενος A   **69** τῇ om. ACE   **70** ὑποχείριον: ὑπὸ χεῖρα A   ὑποχείριον ἔχων post πλοῦτον VB   ἔχων post πλοῦτον A   **72** κατεσπάθη(?) B   **75** βασιλικὴν C   **76** τοὺς VBNH: om. AC Theoph. Cont. 399, 20   **79** Πόθος VBN Theoph. Cont. 400, 3: om. ACE   **80** ἐξελασάντων VBN Theoph. Cont. 400, 1: ἐξελθόντων ACE   **81** ταγματάρχην ACEB: ταγματάρχης VNFH   **82** Μωρολέοντος: Λέοντος B   Μωρολ. πατρ. ACE   κατασκοπὴν CVN: κατασκοπῇ AE: καταστροφῇ B   **83** βαρβαρικαῖς: Βουλγαρικαῖς B   **84** Βουλγάρων: βαρβάρων E   **85** βασιλίδα: βασιλεύουσαν B   **87** δή: δὲ B   **88** Ἀναστάσιον om. A   **89** Κωνσταντίνου VB Theoph. Cont. 400, 13: om. ACENFH   **93** οὗτος μόνος δυνατὸς B   μόνως: μόνον C   κατευνᾶσαι B   **94** τὰ ante πράγματα add. EV   βασίλειον φθαρτὸν B

περιπεσὼν καὶ τοῦ θεοῦ γενόμενος μήκοθεν. καὶ τὰ μὲν κατὰ τὴν πόλιν ἐφέρετο τῇδε.

6. Ὁ δὲ Συμεὼν πάλιν δύναμιν βαρεῖαν ἐκπέμπει κατὰ Ῥωμαίων, ἔξαρχον ἔχουσαν Χαγάνον, ἕνα τῶν παρ' αὐτῷ μέγα δυναμένων, καὶ Μινικὸν τῶν ἱπποκόμων τὸν πρῶτον, οἷς ἐπέσκηψε κατ' αὐτῆς ὡς τάχιστα τῆς πόλεως ἐκστρατεύειν. ὧν τὴν ἔφοδον ἀναμαθὼν ὁ βασιλεὺς Ῥωμανὸς καὶ λογισάμενος, μή πως ἐπελθόντες τὰ κάλλιστα τῶν πλησιαζόντων τῇ πόλει παλατίων καὶ οἰκημάτων πυρπολήσωσι, τὸν ῥαίκτωρα Ἰωάννην ἅμα Λέοντι καὶ Πόθῳ τοῖς Ἀργυροῖς ἐκπέμπει μετὰ πλήθους ἱκανοῦ ἔκ τε τῆς βασιλικῆς ἑταιρείας καὶ τῶν ταγματικῶν, οἷς συνῆν καὶ ὁ πατρίκιος Ἀλέξιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Μωσηλὲ μετὰ τῶν ὑπ' αὐτὸν πλωΐμων. κατὰ δὲ τὴν πέμπτην ἑβδομάδα τῶν νηστειῶν διατάξαντες τὸν λαὸν ἐν τοῖς πεδινοῖς τῶν Πηγῶν τόποις προσέμενον. ἐκεῖθεν δὲ τῶν Βουλγάρων ἀναφανέντων καὶ βοῇ χρησαμένων ἀσήμῳ καὶ σφοδρῶς ἐπελασάντων κατ' αὐτῶν, φεύγει μὲν ὁ ῥαίκτωρ Ἰωάννης, σφάττεται δὲ ὑπὲρ αὐτοῦ ἀγωνιζόμενος Φωτεινὸς πατρίκιος ὁ τοῦ Πλατύποδος υἱὸς καὶ ἄλλοι οὐκ ὀλίγοι. μόλις οὖν ὁ ῥαίκτωρ διασωθεὶς εἰσῆλθεν εἰς τὸν δρόμωνα. τοῦτο καὶ Ἀλέξιος ὁ δρουγγάριος ποιῆσαι βουληθείς, καὶ μὴ δυνηθεὶς ἀνελθεῖν, | ἐν τῇ τοῦ δρόμωνος ὑποβάθρᾳ πεσὼν ἐν τῇ θαλάσσῃ σὺν τῷ αὐτοῦ πρωτομανδάτωρι ἀπεπνίγη. Λέων δὲ καὶ Πόθος οἱ Ἀργυροὶ ἐν τῷ Καστελλίῳ διαφυγόντες ἐσώθησαν. τοῦ δὲ λοιποῦ πλήθους οἱ μὲν τὰς τῶν πολεμίων χεῖρας φεύγοντες ἀπεπνίγησαν, οἱ δὲ σιδήρου γεγόνασι παρανάλωμα, οἱ δὲ χερσὶ βαρβαρικαῖς συνελήφθησαν. οἱ δὲ Βούλγαροι κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν τά τε τῶν Πηγῶν ἐνέπρησαν παλάτια καὶ ἅπαν τὸ Στενὸν ἐπυρπόλησαν.

7. Εἰκάδι δὲ Φεβρουαρίου μηνός, ἰνδικτιῶνος δεκάτης, θνήσκει Θεοδώρα ἡ σύμβιος Ῥωμανοῦ καὶ θάπτεται ἐν τῷ Μυρελαίῳ. ἀνηγορεύθη

cap. 6: Theoph. Cont. 401, 3—402, 7; Zon. III, 470, 12—471, 1 cap. 7: Theoph. Cont. 402, 8—402, 21; Zon. III, 471, 1—471, 4

ACEVBMN 95 πεσὼν A μήκοθεν: πόρρωθεν A τὴν om. E 2 ἐκπέμπει βαρεῖαν A 3 ἔχουσαν EVF: ἔχουσα ACN Γαχάνον B 4 ἱππικόμων B 5 ἐκστρατεύειν VBN: ἐκστρατεῦσαι ACE ἀναμαθὼν: μαθὼν AE Theoph. Cont. 401, 7: λαβὼν C 6 ἐπελθόντες ACEN: κατελθόντες Theoph. Cont. 401, 8: ἐλθόντες VB 7 παλάτια καὶ οἰκήματα B 8 Λέοντα E Πόθον C 10 Μωσηλὲ corr. in Μουσηλὲ N 11 μετὰ — πλωΐμων: μετὰ τῶν πλωΐμων τῶν ὑπ' αὐτόν A πέμπτην om. ACE (sed cf. Theoph. Cont. 401, 13) ἑβδομάδα: ἑβδόμην A 12 διάξαντες V 13 δὲ: τε B 15 Φωτινὸς B 16 οὐκ ὀλίγοι: πολλοὶ B 17 τοῦτο post 18 δρουγγάριος B 19 ὑποβάθρᾳ VBN: ἀναβάθρᾳ AE: ἀποβάθρᾳ Theoph. Cont. 401, 22 τῷ αὐτοῦ: αὐτῷ τῷ B 20 καταφυγόντες B 21/22 χεῖρας φεύγοντες ACEN Theoph. Cont. 402, 2: φεύγοντες χεῖρας V: φυγόντες χεῖρας B 26 δὲ om. B ι' C 27 ἡ τοῦ Ῥωμ. σύμβιος A

δὲ αὐγοῦστα Σοφία ἡ τοῦ βασιλέως Χριστοφόρου γυνή. παρεγένετο δὲ καὶ ἐξ Ἰβηρίας ὁ κουροπαλάτης ὁ Ἴβηρ, καὶ διὰ μέσης τῆς ἀγορᾶς διελθὼν κεκοσμημένης λαμπρῶς μετὰ δόξης πολλῆς καὶ τιμῆς ὑπεδέχθη. ὃν καὶ ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ σοφίᾳ ἀπέστειλεν ὁ βασιλεὺς τὸ κάλλος αὐτῆς θεάσασθαι καὶ τὸ μέγεθος. ἀπελθὼν οὖν καὶ τοῦ ναοῦ τὴν καλλονὴν καταπλαγεὶς καὶ τὸν πολυτελῆ κόσμον ὑπερθαυμάσας, καὶ ἀληθῶς θεοῦ καταγώγιον τὸν ἱερὸν τουτονὶ χῶρον εἰπὼν ὑπέστρεψεν εἰς τὰ ἴδια.

8. Τῶν δὲ Βουλγάρων πάλιν εἰσβολὴν ποιησαμένων κατὰ τῆς Ῥωμαίων χώρας, καὶ τοῖς παλατίοις τῆς βασιλίδος ἐγγισάντων Θεοδώρας, ὡς οὐδὲν ἦν τὸ προσιστάμενον, πυρὶ ταῦτα παρέδοσαν. ὁ δὲ βασιλεὺς Ῥωμανὸς ἄριστον ποιησάμενος πολυτελὲς τοὺς τῶν ταγμάτων ἄρχοντας συνεκάλεσε. συνῆν δὲ τούτοις καὶ ὁ τὴν ἐπωνυμίαν Σακτίκιος, τοῦ τάγματος ἄρχων τῶν ἐξκουβίτων. ἐπίδο|σιν δὲ λαμβανούσης τῆς εὐωχίας λόγος ἐκινήθη περὶ τῶν Βουλγάρων. καὶ τοῦ βασιλέως ἐπαγωγὰ πολλὰ εἰρηκότος πρὸς ὁρμὴν ἐπανιστῶντα ἐνθουσιώδη καὶ παρακαλοῦντα εὐψύχως ἐξελθεῖν κατὰ τῶν ἐναντίων καὶ τῆς σφῶν ὑπεραγωνίσασθαι πατρίδος, πάντες συνέθεντο ἑτοίμως ἐξελθεῖν καὶ τῶν Χριστιανῶν ὑπεραγωνίσασθαι. ἕωθεν οὖν καθοπλισθεὶς ὁ Σακτίκιος, ὄπισθεν τῶν Βουλγάρων γενόμενος καὶ εἰς τὸ στρατόπεδον αὐτῶν εἰσελθών, τῶν πλειόνων ἐπὶ διαρπαγὴν σκύλων σκεδασθέντων κατὰ τὴν χώραν, πάντας τοὺς ἐν τῇ παρεμβολῇ εὑρεθέντας κατέσφαξε. μαθὸν οὖν τὸ πλῆθος τῶν Βουλγάρων ὑπὸ τῶν διαδράντων τὸ γεγονὸς ὑποστρέφουσιν ἐν τῷ στρατοπέδῳ. καὶ συμπλοκῆς γενομένης ἀκμῆτες οἱ Βούλγαροι πρὸς κεκμηκότας μαχόμενοι καὶ ἀκραιφνεῖς πρὸς ἤδη τῷ προηγησαμένῳ πολέμῳ κεκακωμένους ἄνδρας τρέπουσι τὸν Σακτίκιον σὺν ὀλίγοις τὴν προσβολὴν τῶν ἐναντίων δεξάμενον. γενναίως οὖν ἀγωνισάμενος καὶ πολλοὺς ἀνελὼν τῶν πολεμίων, ἐπειδὴ κατισχύετο,

cap. 8: Theoph. Cont. 402, 22—403, 19

ACEVBN FH **28** γυνή: γαμετή B **29** καὶ pr. om. B κοροπαλάτης E **30** ἐλθὼν B διελθὼν om. E κεκοσμημένης CE Theoph. Cont. 402, 14: κεκοσμημένος AVBNFH πολλῆς om. B **31** καὶ om. B τοῦ θεοῦ om. B **31/32** αὐτῆς τὸ κάλλος A **32** θεάσασθαι post μέγεθος VB τὸ om. B **32/33** οὖν— καταπλαγεὶς: οὖν καὶ τὸ κάλλος καταπλαγεὶς τοῦ ναοῦ A **33** θαυμάσας B **34** χῶρον: τόπον B **36/37** τῆς Ῥωμ. χώρας: Ῥωμαίων ACE **41** ἐξκουβιτῶν B **43** καὶ ante πρὸς add. E **44** ἐμψύχως B ἐξελθεῖν VBN Theoph. Cont. 403, 3: ἀγωνίσασθαι ACE ἐναντίων ACEVBF: πολεμίων N **44/45** καὶ — πατρίδος om. ACE **46** ὄπιθεν VB **48** διαπαγὴν VBN: διαρπαγῇ ACE **49** τοὺς — κατέσφαξε ACEN (cf. Theoph. Cont. 403, 9): τοὺς παρευρεθέντας ἐν τῇ παρεμβολῇ ἀπέσφαξε VB οὖν: δὲ B **52** μαχόμενοι VBN: ἀγωνιζόμενοι ACE **52/53** ἤδη — τρέπουσι VBN: ἤδη κεκακωμένους ἄνδρας τῷ προηγησ. πολ. τρέπ. ACE **54** τῶν — ἀγωνισάμενος: δεξάμενον τῶν ἐναντίων. ὃς γενναίως ἀγωνισάμενος B **55** ἐπειδὴ: ἐπεὶ A

μεθίησι τοῦ ἵππου τὸν χαλινὸν καὶ νῶτα δοὺς ἔφευγεν. ἔν τινι δὲ ποταμῷ γενόμενος καὶ τοῦτον διαπερῶν, καὶ τῇ ἰλύϊ τοῦ ἵππου ἐμπαγέντος, καταλαμβάνεται παρὰ τῶν Βουλγάρων καὶ δέχεται πληγὴν καιρίαν κατὰ τῆς ἕδρας καὶ τοῦ μηροῦ. καὶ τοῦ ἵππου δὲ ἀνασπασθέντος ἐκ τῆς ἰλύος σπουδῇ καὶ συνεργίᾳ τῶν θεραπόντων αὐτοῦ, νῦν μὲν φεύγων, νῦν δ' ὑποστρέφων μετὰ τῶν ὑπ' αὐτὸν καὶ τοὺς ἐπιόντας ἀνακόπτων τῶν Βουλγάρων, διασῴζεται μέχρι τῶν Βλαχερνῶν καὶ | ἐν τῷ ναῷ τῆς ἁγίας σοροῦ τεθεὶς τῇ ἐπιούσῃ νυκτὶ ἐτελεύτησε, μέγα πένθος οὐ τῷ βασιλεῖ μόνον, ἀλλὰ καὶ τῷ στρατῷ καὶ παντὶ τῷ πλήθει Ῥωμαίων ἀπολιπών.

9. Ἐγένετο δὲ καὶ ἑτέρα τις ἀποστασία κατὰ τοῦ βασιλέως ἐν Χαλδίᾳ, ὑποθήκῃ τοῦ στρατηγοῦντος αὐτῆς Βάρδα πατρικίου τοῦ Βοΐλα. ἐξῆρχον δὲ τοῦ νεωτερισμοῦ Ἀδριανός τις Χάλδος καὶ Τατζάτης ὁ Ἀρμένιος, πλούσιοι σφόδρα. κατασχόντες οὖν οὗτοι φρούριον τὸ λεγόμενον Παΐπερτε κατὰ τοῦ βασιλέως ὡπλίζοντο. ἀλλ' ὀξὺς ἐπιφανεὶς (ἔτυχε γὰρ ἐνδημῶν ἐν Καισαρείᾳ ὁ τῶν σχολῶν ἐξηγούμενος Ἰωάννης ὁ Κουρκούας) τὴν σύστασιν διεσκέδασε, τοὺς ἐμφανεστέρους τῶν κατασχεθέντων ἀποτυφλώσας καὶ τὰς οὐσίας δημεύσας, τοὺς δὲ πενιχροὺς καὶ ἀσήμους ἀθῴους κελεύσας, ὅπῃ βούλονται, ἀπιέναι. μόνος δὲ ὁ Τατζάτης φρούριον ἐπί τινος ὑψηλοῦ λόφου κατεσκευασμένον κατεσχηκώς, καὶ λόγον τοῦ μή τι κακὸν παθεῖν δεξάμενος ἀπὸ τοῦ δομεστίκου καὶ λαβών, εἰσῆλθεν ἐν τῇ βασιλίδι καὶ τῇ τοῦ μαγγλαβίτου ἀξίᾳ τιμηθεὶς ἐν τῷ οἴκῳ τῶν Μαγγάνων ἐτηρεῖτο. δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται καὶ τῶν ὀφθαλμῶν στερεῖται. Βάρδας δὲ ὁ Βοΐλας

71 Ioannes Curcuas a. 923 domesticus scholarum factus est

---

cap. 9: **Theoph. Cont. 404, 3—404, 17**

ACEVBN FH **56** ἔφυγεν B ἔν — ποταμῷ: ἐν ποταμῷ δὲ B **57** καὶ om. ACE **58** παρὰ: ὑπὸ B **60—62** νῦν — Βουλγάρων om. B **60** φευγόντων VNFH **61** δὲ C **63** νυκτὶ om. B οὐ om. C **64** οὐ ante μόνον alia m. add. C **66** τις om. B κατὰ τοῦ βασιλέως om. VB (sed cf. Theoph. Cont. 404, 6) ἐν Χαλδίᾳ post Ἐγένετο δὲ VB **67** Χαλδείᾳ N **68** Βοΐλα CEVB: Βόϊλα AN: Βόϊλη FH: Βοήλα Theoph. Cont. 404, 5 Χάλδιος B Τατζάτος B **69** ὁ om. VB Theoph. Cont. 404, 4 πλούσιοι σφόδρα om. ACE (sed cf. Theoph. Cont. 404, 5) **70** Παΐπερται B **71** ἐξηγούμενος VB: ἀφηγούμενος F: δομέστικος ACE Theoph. Cont. 404, 8 **72** ἐπιφανεστέρους B **74** κελεύσας post ἀπιέναι ACE (om. Theoph. Cont. 404, 11 cod. V) ὅπῃ VN: ὅπου AC: ὅποι EB: om. Theoph. Cont. 404, 11 cod. V **75** Τατζάτης EVN Theoph. Cont. 404, 11: Τατζάτος AB: Πατζάτης C **75/76** λόφου — κατεσχηκώς: κατεσκευασμένον λόφου κατειληφὼς ACE **76** παθεῖν om. CE δεξάμενος παθεῖν A **77** καὶ pr. om. E μαγγλαβίτου ACEB: μαγλαβίτου VN Theoph. Cont. 404, 13 cod. V **79** Βοΐλας CEVB: Βόϊλας ANF: Βόϊλος H: Βόηλαν Theoph. Cont. 404, 16

φιλίως πρὸς αὐτὸν διακειμένου τοῦ βασιλέως ἀπεκάρη μοναχός, μηδὲν ἄλλο ἀνιαρὸν πεπονθώς.

10. Συμεὼν δὲ ὁ τῶν Βουλγάρων καθηγεμὼν τὴν Ἀδριανούπολιν καταλαβὼν καὶ ταύτην χάραξι καὶ τάφροις περιστοιχίσας ἐπιμελῶς ἐπολιόρκει. ἐστρατήγει δὲ τῆς πόλεως ὁ πατρίκιος Λέων, ὃν διὰ | τὴν ὀξύρροπον πρὸς τοὺς πολέμους ὁρμὴν καὶ Μωρολέοντα ἐκάλουν. οὗτος εὐψύχως τὴν πολιορκίαν ἐδέξατο, καὶ γενναιότατα ποτὲ μὲν ἀπὸ τοῦ τείχους τοὺς προσιόντας τῶν Βουλγάρων ἠμύνετο, ποτὲ δὲ τὰς πύλας ἀναπεταννὺς ἐπετίθετο σὺν ῥύμῃ ἀνυποστάτῳ καὶ ῥᾳδίως ἐτρέπετο. ἐπεὶ δὲ ὁ σῖτος τοὺς ἐν τῇ πόλει ἐπιλελοίπει καὶ λιμὸς ἐπίεζε τοὺς ἔνδοθεν κραταιός, μηδαμόθεν ἐλπίδα ἔχοντες ἐπισιτισμοῦ, τῇ ἐνδείᾳ πιεσθέντες προδεδώκασι τὴν πόλιν καὶ ἑαυτοὺς καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις. ὃν χειρωσάμενος ὁ Συμεών, καὶ ὧν εἰς τοὺς Βουλγάρους ἐνεδείξατο μεμνημένος κακῶν, μυρίαις αἰκίαις τιμωρησάμενος τελευταῖον ἀπέκτεινε θανάτῳ πικρῷ. Βουλγάρους οὖν ἐπιστήσας φύλακας τῇ πόλει ὑπεχώρησεν· οἵτινες Ῥωμαϊκὸν στρατόπεδον ἀκηκοότες ἥκειν κατ' αὐτῶν καταλιπόντες τὴν πόλιν ἔφυγον, καὶ πάλιν ἡ Ἀδριανούπολις ὑπὸ Ῥωμαίους ἐγένετο.

11. Τότε δὴ καὶ Λέων ὁ Τριπολίτης μετὰ δυνάμεως πολλῆς καὶ πλοίων πολεμικῶν ἐξῆλθε κατὰ Ῥωμαίων. ὃν ἐν τῇ νήσῳ Λήμνῳ ναυλοχοῦντα Ἰωάννης πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Ῥαδηνὸς κατονομαζόμενος αἰφνίδιον ἐπιφανεὶς ῥᾳδίως ἐτρέψατο, τῶν Ἀγαρηνῶν σχεδὸν πάντων ἀνῃρημένων, τοῦ δὲ Τριπολίτου μόνου φυγῇ τὴν σωτηρίαν πορισαμένου.

12. Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος δευτέρας, ὁ ἄρχων Βουλγαρίας Συμεὼν πανστρατὶ κατὰ Κωνσταντινουπόλεως ἐκστρατεύει καὶ ληΐζεται μὲν Μακεδονίαν, ἐμπιπρᾷ δὲ τὰ ἐπὶ Θρᾴκης χωρία, καὶ πάντα καταστρέ-

91 a. 923 7 a. 921 vel 922

cap. 10: Theoph. Cont. 404, 18—405, 10; Zon. III, 471, 5—471, 8 cap. 11: Theoph. Cont. 405, 11—405, 16; Zon. III, 471, 9—471, 13 cap. 12: Theoph. Cont. 405, 17—409, 20; Zon. III, 471, 13—472, 7; Glyc. 558, 4—558, 16

ACEVBN FH 82 ἡγεμὼν B 83 καὶ om. ACEBFH 86 ἀνεδέξατο V γενναιοτάτως B 88 σὺν — ἐτρέπετο om. B 89 τοὺς pr.: τοῖς B ἐπίεζε ante 90 κραταιός B ἔνδοθεν: ἔνδον EB 90 πιεσθέντες: βιασθέντες B 95 οἵτινες: οἳ A 1 ἡ om. B 3 δὴ: δὲ B 4 ναυλομαχοῦντα B 5 ὁ ante πατρ. add. E Ῥοδηνὸς B 6 κατονομαζόμενος VN Theoph. Cont. 405, 14: om. ACEBFH 7 φυγῇ: φυγόντος καὶ οὕτω B 9 Σεπτεμβρίου δὲ μηνὸς AB β' CE 9/10 Βουλγαρίας — πανστρατί: Συμεὼν Βουλγ. παντὶ στρατῷ B

φει τὰ ἐν ποσίν. ἔγγιστα | δὲ Βλαχερνῶν στρατόπεδον πήξας ἐπεζήτησεν ἀποσταλῆναι αὐτῷ τὸν πατριάρχην Νικόλαον καί τινας τῶν ἐν τέλει, ὥστε περὶ εἰρήνης διαλεχθῆναι. λαβόντες οὖν ὁμήρους παρ' ἀλλήλων, ὡς οὐδεμία τις ἐπακολουθήσει ἐπιβουλή, καὶ τοῦ πατριάρχου τοῖς ὅρκοις ἀναθαρρήσαντος, γέγονε λόγος, ὁποίους δεῖ τῶν συγκλητικῶν τούτῳ συνεξελθεῖν. προεκρίθη γοῦν ὁ πατρίκιος Μιχαὴλ ὁ Στυπειώτης καὶ Ἰωάννης ὁ μυστικὸς καὶ παραδυναστεύων. ἤδη γὰρ Ἰωάννης ὁ ῥαίκτωρ διαβληθεὶς πρὸς τὸν βασιλέα, κατελθὼν τοῦ παλατίου, ἐν τῇ αὐτοῦ μονῇ τὴν κοσμικὴν ἀπεκείρατο τρίχα. ἀφικομένους οὖν αὐτοὺς πρὸς τὸν Συμεὼν καὶ μέλλοντας κινεῖν λόγους περὶ εἰρήνης, τούτους μὲν ἀπεπέμψατο, αὐτὸν δὲ τὸν βασιλέα Ῥωμανὸν ἐπεζήτει θεάσασθαι. πεπληροφόρητο γὰρ ἄνδρα συνετὸν αὐτὸν εἶναι καὶ ἀληθῆ. ἀσπασίως δὲ ὁ Ῥωμανὸς ἐδέξατο τοῦτο. ἀποστείλας οὖν ἐν τῷ τοῦ Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ἐν τῇ θαλάσσῃ ὀχυρωτάτην ἀπόβασιν, ὥστε τὴν βασιλικὴν τριήρη διεκπλέουσαν ἐν αὐτῇ προσορμίζεσθαι, περιφράξας αὐτὴν πάντοθεν διατειχμίσμασι, μέσον δὲ θριγκίον γενέσθαι προσέταξεν, ἔνθα ἀλλήλοις ἔμελλον ὁμιλεῖν. ὁ δὲ Συμεὼν ἀποστείλας ἐνέπρησε τὸν τῆς ὑπεραγίας θεοτόκου ναὸν τὸν ἐν τῇ Πηγῇ, ὃν ὁ βασιλεὺς Ἰουστινιανὸς ἐδομήσατο, ἐπυρπόλησε καὶ τὰ κύκλῳ σύμπαντα, καὶ δῆλος ἦν ἐκ τούτου μὴ εἰρήνην ἀξιῶν. ὁ δὲ βασιλεὺς ἐν τῷ ναῷ γενόμενος τῶν Βλαχερνῶν ἅμα τῷ πατριάρχῃ, καὶ ἐν τῇ ἁγίᾳ σορῷ εἰσελθὼν καὶ ἱκετηρίας ᾠδὰς ἀπο|δοὺς τῷ θεῷ, τὸ ὠμοφόριον τῆς θεοτόκου λαβὼν ἐξῄει τοῦ ναοῦ, ὅπλοις ἀσφαλέσι φραξάμενος. τὸν σὺν αὐτῷ οὖν στόλον κοσμήσας ἀριπρεπῶς τὸν ὡρισμένον κατείληφε τόπον. ἐννάτη τοῦ Νοεμβρίου μηνὸς ἦν, ὅτε ταῦτα ἐγίνετο. παρεγένετο δὲ καὶ ὁ Συμεὼν πλῆθος ἐπαγόμενος εἰς πολλὰς διῃρημένον τὰς παρατάξεις καὶ τὰς ἰδέας. οἱ μὲν γὰρ ἦσαν χρυσάσπιδες καὶ χρυσᾶ δόρατα ἔχοντες, οἱ δὲ ἀργυράσπιδες, οἱ δὲ χαλκάσπιδες, οἱ δὲ ἄλλῃ χροιᾷ, ὥς πῃ ἑκάστῳ ἐδόκει, ἐκεκόσμην-

13/14 autumno a. 924

ACE (a **24** ἀσ lac.) VBN FH [**12** τῶν ante Βλαχ. add. AB στρατόπεδα B **12/13** ἐπεζήτησεν — αὐτῷ: ἀποσταλ. αὐτῷ ἐπεζήτησε A **14** τέλει: τῇ πόλει B ὥστε om. B **15** παρακολουθήσει A **16** θαρρήσαντος B **17** τούτῳ VBN: τούτοις ACE **18/19** γὰρ ὁ ῥ. Ἰ. B **19** κατελθὼν (ἐκ add. ACEBF) τοῦ παλατίου ACEVBF: τοῦ παλατίου κατελθὼν N: τοῦ παλατί κατεληλύθει Theoph. Cont. 406, 4 cod. V **21** αὐτοὺς — Συμεὼν ACEN: πρὸς τὸν Σ. αὐτοὺς VB **22** αὐτὸν om. B **24** τοῦτο ACENF: τοῦτον VBH: (ἐπὶ τούτῳ Theoph. Cont. 406, 9 cod. V) **27** περιφράγξας V θριγκίον N: θριγγίον ACVFH: θριγγεῖον B **27/28** προσέταξε γενέσθαι B **29** ἐνέπρησε — Πηγῇ: ἐνέπρ. τὸν ἐν τῇ Π. ναὸν τῆς ὑπεραγ. θ. B ὑπεραγίας VBN Theoph. Cont. 406, 16: om. AC **30** δὲ post ἐπυρπ. add. B πάντα B **31** τούτων A ἀξιῶν VBN: ζητῶν AC **32** καὶ pr. om. B **33** ἱκετηρίους A **34** ἔξεισι B καὶ ante ὅπλοις add. B τὸν — οὖν: τὸν οὖν σὺν αὐτῷ B **35** ὡρισμένον VBN Theoph. Cont. 407, 8: εἰρημένον AC κατέλαβε B **36** ἐγίνετο: ἐγένετο B καί om. C **37** διῃρημένας C **39** ἄλλῃ χροιᾷ: ἀλλοιχροιᾷ B κεκόσμηντο B

το. οἵτινες μέσον αὐτῶν εἰληφότες τὸν Συμεὼν ὡς βασιλέα εὐφήμουν Ῥωμαϊκῇ τῇ φωνῇ. πάντες δὲ οἱ ἐν τέλει καὶ ὁ ἀστικὸς δῆμος ἐκ τῶν τειχῶν ἐθεῶντο τὰ δρώμενα. πρῶτος οὖν ὁ βασιλεὺς Ῥωμανὸς τὴν εἰρημένην ἀποβάθραν καταλαβὼν τὸν Συμεὼν ἐξεδέχετο. ὅμηρα δὲ δόντες ἀλλήλοις, καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διερευνήσαντες ἀκριβῶς, μή πού τις δόλος ἢ ἐνέδρα κρύπτηται, τότε κατελθεῖν τὸν Συμεὼν τοῦ ἵππου προετρέψαντο καὶ εἰσελθεῖν πρὸς τὸν βασιλέα. ἠσπάσαντο γοῦν ἀλλήλους, καὶ περὶ εἰρήνης ἤρξαντο διαλέγεσθαι. φασὶ δ' οὖν εἰπεῖν τὸν Ῥωμανὸν πρὸς τὸν Συμεών· 'ἀκήκοά σε Χριστιανὸν ἄνθρωπον καὶ θεοσεβῆ, βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λόγοις συμβαίνοντα. εἰ μὲν γὰρ ἀληθὴς Χριστιανὸς ὑπάρχεις, στῆσόν ποτε τὰς ἀδίκους σφαγὰς καὶ τὰς χύσεις τῶν ἀνοσίων αἱμάτων, καὶ σπεῖσαι μεθ' ἡμῶν τῶν Χριστιανῶν, Χριστιανὸς καὶ αὐτὸς ὢν καὶ ὀνομαζόμενος, καὶ μὴ θέλε μολύνεσθαι Χριστιανῶν δεξιὰς αἵμασιν ὁμοπίστων Χριστιανῶν. ἄνθρωπος εἶ καὶ αὐτός, θάνατον προσδοκῶν καὶ ἀνάστασιν καὶ κρίσιν καὶ ἀνταπόδοσιν τῶν βε|βιωμένων. σήμερον ὑπάρχεις, καὶ αὔριον εἰς κόνιν διαλυθήσῃ. εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγώ σε τούτου ἐμπλήσω εἰς κόρον. μόνον ἄσπασαι τὴν εἰρήνην καὶ ἀγάπησον τὴν ὁμόνοιαν, ἵνα καὶ αὐτὸς βίον ζήσῃς εἰρηνικὸν καὶ ἀναίμακτον, καὶ οἱ Χριστιανοὶ παύσωνταί ποτε κατ' ἀλλήλων ὅπλα κινοῦντες.' καὶ ταῦτα μὲν εἶπεν ὁ βασιλεύς, αἰδεσθεὶς δὲ ὁ Συμεὼν τὴν τούτου ταπείνωσιν ὑπέσχετο τὴν εἰρήνην ποιήσασθαι. καὶ ἀσπασάμενοι ἀλλήλους διεχωρίσθησαν, τοῦ βασιλέως δώροις μεγαλοπρεπέσι δεξιωσαμένου τὸν Συμεών. συμβέβηκε δέ τι τεράστιον τότε, ὡς ἄξιον εἶναι καὶ διηγήσασθαι. δύο φασὶν ἀετοὺς τῶν βασιλέων ὁμιλούντων ἄνωθεν αὐτῶν ὑπερπτῆναι, κλάγξαι τε καὶ ἀλλήλοις συμμῖξαι καὶ παραυτίκα διαζευχθῆναι, καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ ἐπὶ τὴν Θρᾴκην ἀποπτῆναι. τοῦτο δὲ οἱ περὶ τὰς ὀρνιθοσκοπίας ἐπτοημένοι οὐκ αἴσιον ἔκριναν οἰωνόν. ἀσυμβάτους γὰρ διαλυθήσεσθαι ἐπὶ τῇ εἰρήνῃ ἀμφοτέρους ἔφησαν. ὁ δὲ Συμεὼν ὑποστρέψας τοῖς οἰκείοις ἄρχουσι

60 a. circiter 924

ACVBN F **40** αὐτῶν: αὐτὸν C **41** τῇ ACVBF Theoph. Cont. 407, 15: om. N δὲ om. B δῆμος ACVB: λαὸς N **42** πρώτως N (sed cf. Theoph. Cont. 408, 1) Ῥωμανὸς om. B **42/43** τὴν — ἀποβάθραν VBN: τὴν ἀποβάθρησιν AC **45** κρύπτεται B **46** πρὸς VBN Theoph. Cont. 408, 5: εἰς AC γοῦν VBNF: οὖν ACH Theoph. Cont. 408, 5 ἀλλήλοις B **47** δ' om. B **48** ἄνθρωπον om. B **49** μηδαμῶς — λόγοις: τοῖς λόγοις μηδ' ὅλως B **50** ἀληθὴς ACN Theoph. Cont. 408, 12: ἀληθῶς VB ὑπάρχεις Χριστιανὸς A **53** δεξιὰς — Χριστιανῶν VBN Theoph. Cont. 408, 16: δεξιὰς Χριστιανῶν (Χριστιανοῖς A) αἵμασιν AC **56** ἐρῶν: ἔρωτι A εἰς κόρον ἐμπλήσω A καὶ ante μόνον add. AC (sed cf. Theoph. Cont. 409, 1) **57** ἄσπασον B **57/58** ζήσεις βίον B **59** κινεῖν B δ' A **60** τὴν alt. om. B ποιήσεσθαι A **63** καὶ om. B φασὶν VN Theoph. Cont. 409, 11: φησὶν ACB **64—66** κλάγξαι — ἀποπτῆναι om. AC (sed cf. Theoph. Cont. 409, 12—14) **65** ἐλθεῖν: διελθεῖν B **67** γὰρ: τε A

τὴν τοῦ βασιλέως ἐξηγεῖτο μετριότητα καὶ τὸ πρὸς τὰ χρήματα προετικόν τε καὶ ἐλευθέριον.

13. Κατὰ δὲ τὴν ἑορτὴν τῶν Χριστουγέννων, ἰνδικτιῶνος δευτέρας, Ῥωμανὸς ὁ βασιλεὺς στέφει τοὺς δύο υἱοὺς αὐτοῦ, Στέφανον καὶ Κωνσταντῖνον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. τὸν δὲ λοιπὸν υἱὸν αὐτοῦ Θεοφύλακτον ὁ πατριάρχης ἀπέκειρε κληρικόν, χειροτονήσας αὐτὸν ὑποδιάκονον, προχειρισάμενος καὶ σύγκελλον, πρότερον διελθόντα εἰς τὰ ἅγια μετὰ τοῦ τάγματος τῶν ὑποδιακόνων. ἐτίμησε δὲ καὶ τὸν μυστικὸν Ἰωάννην καὶ παραδυναστεύοντα πατρίκιον | καὶ ἀνθύπατον.

14. Πεντεκαιδεκάτῃ δὲ Μαΐου μηνός, ἰνδικτιῶνος τρίτης, τελευτᾷ ὁ πατριάρχης Νικόλαος, κρατήσας ἐν τῇ δευτέρᾳ ἀναρρήσει ἔτη τρισκαίδεκα. καὶ καθίσταται Αὐγούστῳ μηνὶ πατριάρχης ὁ τῆς Ἀμασείας μητροπολίτης Στέφανος. κατηγορηθεὶς δὲ καὶ ὁ μυστικός, ὡς τὴν βασιλείαν σφετεριζόμενος ὑποθήκῃ τοῦ πατρικίου Κοσμᾶ καὶ λογοθέτου τοῦ δρόμου, μνηστευομένου τοῦτον εἰς τὴν ἑαυτοῦ θυγατέρα, καταβιβάζεται τοῦ παλατίου. συγχωρεῖται δ' ὅμως εἰσέρχεσθαι καὶ προσκυνεῖν τὸν βασιλέα. στέργων γὰρ αὐτὸν ὁ βασιλεὺς τελέως ἀπώσασθαι οὐκ ἐβούλετο. ἐγκειμένων δὲ τῶν κατηγόρων καὶ σαφῆ δεικνύντων τὴν κατηγορίαν, ἐρευνήσας ὁ βασιλεὺς καὶ ἀληθῆ τὰ κατ' αὐτοῦ εὑρὼν λαληθέντα ἔμελλε κατασχεῖν καὶ ἐξετάσαι. ὁ δὲ τοῦτο προγνοὺς φυγῇ τὴν Μονοκάστανον λεγομένην καταλαμβάνει μονὴν καὶ ἀποκείρεται μοναχός. τὸν δὲ πατρίκιον Κοσμᾶν καὶ λογοθέτην αἰκισάμενος ὁ βασιλεὺς ἐν τῷ ὡρολογίῳ παρέλυσε τῆς ἀρχῆς. προβάλλεται δὲ ἀντὶ τοῦ μυστικοῦ Ἰωάννου τὸν πρωτοβεστιάριον Θεοφάνην παραδυναστεύοντα.

15. Ἐγένετο τηνικαῦτα καὶ σεισμὸς ἐν τῷ θέματι τῶν Θρᾳκησίων καὶ χάσματα γῆς καταπληκτικά, ὥστε πολλὰ χωρία καὶ ἐκκλησίας αὐτάνδρους καταποθῆναι.

71 die 25. mens. Dec. a. 924 78/79 a. 925

cap. 13: Theoph. Cont. 409, 21—410, 7; Zon. III, 472, 8—472, 18 cap. 14: Theoph. Cont. 410, 8—411, 9 cap. 15: Theoph .Cont. 411, 10—411, 13; Glyc. 558, 16—558, 18

ACVBN F 69 ἐξηγεῖτο: διηγεῖτο, post 68 ἄρχουσι, A πρός: περὶ B 73 Θεοφύλακτος C 78 ιε' C γ' AC 79 β' C 80 ἕτερος post πατριάρχης add. B Ἀμασείας AV: Ἀμασίας CBNF Theoph. Cont. 410, 12 cod. V 81 καὶ om. B 84 συγχωρεῖ B 85 αὐτὸν post βασιλεὺς B τελείως A ἠβούλετο B 87 εὑρὼν λαληθέντα VBN: λαληθέντα εὑρὼν AC ἔμελλε: ἔμελλεν αὐτὸν B 88 ἐξετάσαι VBN: ἐξετάζειν Theoph. Cont. 411, 1: ἐτάσαι AC λεγομένην VBN Theoph. Cont. 411, 2 cod. V: om. AC 91 πρωτοβεστιάρην C 92 Θεοφάνιον C Θεοφάνην παραδυναστεύοντα: παραδυναστεῦον (!) Θ. B 93 δὲ post Ἐγέν. add. B μέγας post σεισμὸς add. B

16. Μαΐῳ δὲ μηνί, ἰνδικτιῶνος πεντεκαιδεκάτης, εἰσβολὴν Συμεὼν ὁ τῆς Βουλγαρίας ἄρχων ἐποιήσατο κατὰ Χρωβάτων, καὶ συμβαλὼν μετ' αὐτῶν καὶ ἡττηθεὶς ἐν ταῖς τῶν ὀρῶν δυσχωρίαις ἅπαν τὸ | ἑαυτοῦ ἀπώλεσε στράτευμα.

17. Ἰωάννης δέ τις ἀστρονόμος προσελθὼν τῷ βασιλεῖ ἔφησεν, ὡς, εἰ πέμψας ἀποκόψει τὴν κεφαλὴν τῆς ἱσταμένης ἄνωθεν τῆς ἐν τῷ Ξηρολόφῳ ἀψῖδος καὶ πρὸς δύσιν βλεπούσης στήλης, ἀποθανεῖται ὁ Συμεὼν παραυτίκα. αὐτῷ γὰρ ἐστοιχειῶσθαι τὴν τοιαύτην στήλην. ὁ δὲ τοῖς ἐκείνου πιθήσας λόγοις ἀπέτεμε τὴν κεφαλὴν τῆς στήλης καὶ αὐτῇ τῇ ὥρᾳ, καθὼς ἀκριβωσάμενος ἔγνω ὁ βασιλεύς, ὁ Συμεὼν ἐν Βουλγαρίᾳ τέθνηκε νόσῳ κατακαρδίῳ ἁλούς.

18. Οὗ τελευτήσαντος τὴν τῶν Βουλγάρων ἀρχὴν Πέτρος κατέσχεν ὁ ἐκ τῆς δευτέρας αὐτοῦ γυναικὸς τῆς ἀδελφῆς Γεωργίου τοῦ Σουρσουβούλη, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν ἐγκατέστησε. Μιχαὴλ γὰρ τὸν ἐκ τῆς προτέρας ἀποτεχθέντα παῖδα αὐτῷ ἔτι ζῶν ὁ Συμεὼν ἀπέκειρε μοναχόν. τὰ γοῦν πέριξ ἔθνη, Τοῦρκοι, Σέρβοι, Χρωβάτοι, καὶ οἱ λοιποί, τὴν τοῦ Συμεὼν ἀναμαθόντες τελευτὴν ἐκστρατεύειν κατὰ Βουλγάρων ἐβουλεύοντο. κατέσχε δὲ καὶ λιμὸς μέγας σὺν ἀκρίδι τὸ Βουλγάρων ἔθνος, ἰσχυρῶς ἐκπιέζων καὶ καταδαπανῶν τὰ πλήθη καὶ τοὺς καρπούς. ἐδεδοίκεισαν μὲν οὖν οἱ Βούλγαροι καὶ τὴν τῶν ἄλλων ἔφοδον ἐθνῶν, ἐδεδίεσαν δὲ πλέον τὴν τῶν Ῥωμαίων ἐπέλευσιν. βουλευσάμενος οὖν μετὰ τῶν περὶ αὐτὸν ὁ Πέτρος ἔγνω δεῖν ἐπιστρατεῦσαι Ῥωμαίοις ἐπὶ καταπλήξει. καταλαμβάνουσι τοίνυν τὴν Μακεδονίαν.

2 a. circiter 926 **11** die 27. mens. Maii a. 927

---

cap. 16: Theoph. Cont. 411, 13—411, 16; Zon. III, 473, 3—473, 6 cap. 17: Theoph. Cont. 411, 17—412, 2; Zon. III, 473, 7—473, 16; Glyc. 558, 18—559, 5 cap. 18: Theoph. Cont. 412, 2—415, 9; Zon. III, 473, 16—475, 4

ACE (ab **18** σὺν) VBN F **1** πεντεκαιδεκάτης VN: ιε' A Theoph. Cont. 411, 13: ε' C: πέμπτης B Συμεὼν om. AC (sed cf. Theoph. Cont. 411, 13) **2** τῆς Βουλγαρίας: τῶν Βουλγάρων B Χρωβάτων CN Theoph. Cont. 411, 14: Χροβάτων V: Χορβάτων A: Χορβατῶν B **5** ἀστρονόμος om. V **7** καὶ om. B στήλης om. ACN (sed. cf. Theoph. Cont. 411, 18) **10** καθὼς: καθὰ B ἔγνω om. VB εὗρε post βασιλεὺς add. B **11** κατὰ καρδίας B **13** Σουρσουβούλη CF: Σουρσούβουλη Theoph. Cont. 412, 4 cod. V: Σουσουβουλ' A: Σουρσούλου V: Σουρσούβελι B: Σουρσουβούλου N **14** ἐγκατέστησε: καταλέλοιπε B **15** γυναικὸς ante ἔτι add. A **15/16** ὁ Συμεὼν om. B **16** Χρωβάτοι CNF Theoph. Cont. 412, 10: Χορβάτοι A: Χροβάτοι V: Χορβάται B **19** δαπανῶν B **20** ἐδεδοίκεισαν VBN: ἐδεδοίκεσαν ACE μὲν om. B **21** ἔλευσιν V **22** οὖν om. B **23** καταλαμβάνουσι — Μακεδονίαν om. ACE (sed cf. Theoph. Cont. 412, 15)

εἶτα μαθόντες, ὡς ἔξεισι κατ᾽ αὐτῶν ὁ βασιλεύς, πέμπουσι λάθρᾳ τινὰ μοναχὸν Πέτρος τε ὁ ἄρχων Βουλγαρίας καὶ ὁ τῶν παίδων | τοῦ Συμεὼν ἐπιτροπεύων Γεώργιος, γράμματα ἐπαγόμενον. ἔφραζε δὲ τὰ γράμματα, ὡς βούλονται Ῥωμαίοις σπείσασθαι, εἰ αἱροῦνται δέ, καὶ γαμικὸν συστήσασθαι συνάλλαγμα μετ᾽ αὐτῶν. ὃν ἀφικόμενον ὁ βασιλεὺς ἀσμενέστατα προσδεξάμενος εὐθέως ἀπέστειλε μετὰ δρόμωνος μοναχόν τινα Θεοδόσιον καὶ Κωνσταντῖνον βασιλικὸν κληρικὸν τὸν Ῥόδιον, συλλαλῆσαι τοῖς Βουλγάροις τὰ εἰς εἰρήνην ἐν Μεσημβρίᾳ. οἵτινες παραγενόμενοι καὶ τὰ εἰκότα διαλεχθέντες ὑπέστρεψαν διὰ ξηρᾶς ἅμα Στεφάνῳ τινὶ περιωνύμῳ ἐν Βουλγαρίᾳ. κατόπιν δὲ τούτων παρεγένετο καὶ ὁ ἐπίτροπος Γεώργιος ὁ Σουρσουβούλης καὶ ἄλλοι τινὲς τῶν ἐπιφανῶν. καὶ εἰς ὄψιν ἐλθόντες τῷ βασιλεῖ, θεασάμενοι δὲ καὶ τὴν θυγατέρα Χριστοφόρου τοῦ βασιλέως Μαρίαν καὶ ἐπ᾽ αὐτῇ μεγάλως ἀρεσθέντες (ἦν γὰρ ὑπερφέρουσα τῷ κάλλει), ἔγραψαν τῷ Πέτρῳ διὰ τάχους παραγενέσθαι, σύμφωνα ποιησάμενοι πρότερον περὶ τῆς εἰρήνης. ἀπεστάλη δὲ καὶ Νικήτας μάγιστρος, ὁ τοῦ βασιλέως συμπένθερος Ῥωμανοῦ, ὑπαντῆσαι καὶ ἀγαγεῖν τὸν Πέτρον μέχρι τῆς βασιλίδος. οὗ καταλαβόντος ἐν Βλαχέρναις ὁ βασιλεὺς μετὰ τριήρους ἐλθὼν τοῦτον ἠσπάσατο καὶ φιλοτίμως ἐδεξιώσατο. ἀλλήλοις οὖν τὰ εἰκότα προσομιλήσαντες τά τε τῆς εἰρήνης σύμβολα καὶ τὰ τοῦ γάμου ἐπεραιώσαντο, τοῦ πρωτοβεστιαρίου Θεοφάνους ἐν πᾶσι μεσολαβοῦντος. καὶ τῇ ὀγδόῃ τοῦ Ὀκτωβρίου μηνὸς ἐξελθὼν ὁ πατριάρχης Στέφανος ἅμα τῷ | πρωτοβεστιαρίῳ Θεοφάνει καὶ πάσῃ τῇ συγκλήτῳ εὐλόγησε Πέτρον τε καὶ Μαρίαν ἐν τῷ ναῷ τῆς ὑπεραγίας θεοτόκου τῆς Πηγῆς, παρανυμφευόντων τοῦ πρωτοβεστιαρίου καὶ τοῦ Σουρσουβούλη. φαιδρῶν δὲ καὶ πολυτελῶν γενομένων τῶν γάμων εἰσῆλθεν ὁ πρωτοβεστιάριος ἅμα τῇ θυγατρὶ τοῦ βασιλέως ἐν τῇ πόλει. τρίτην δὲ μετὰ τὸν γάμον ἑστίασιν

29/30 inter diem 27. mens. Maii et diem 8. mens. Oct. a. 927 **37/38** ante diem. 8. mens. Oct. a. 927

ACEVBN DF **26** ἔφραζε ACEB: ἔφρασαν F: ἔφραδε VN **28** συνάλλαγμα συστήσασθαι AB **33** τινὶ post **32** ἅμα B **33** τούτων VBN: αὐτῶν Theoph. Cont. 413, 8: τούτου ACE ὁ om. ACE **34** Σουρσουβούλης CVN: Σουρσούβελης Theoph. Cont. 413, 8 cod. V: Σαρσαβούλης A: Σαρσουβάλης E: Σουρσούβελις B **35** τοῦ ante Χριστοφ. add. A **39** ἀπαντῆσαι B **41** ἐλθὼν μετὰ τριήρους A ἠσπάσαντο N **42** ἐδεξιώσατο VBN: ἐδέξατο ACE τε: περί (?) B τε om. ACE (sed cf. Theoph. Cont. 413, 21) **43** συμβόλαια B τὰ τοῦ γάμου VB: τὰ γαμικὰ Theoph. Cont. 413, 21: τοῦ γάμου ACENDF ἐπέραναν B **44** ἐν VBN Theoph. Cont. 413, 22: ἐπὶ ACE μεσολαβόντος E η᾽ C **45** Ὀκτωμβρίου CE **46** Θεοφάνῃ C Theoph. Cont. 414, 2 cod. V ηὐλόγησε E τε om. ACEB (sed cf. Theoph. Cont. 414, 5) **48** Σουρσουβούλῃ C: Σουρσούβουλῃ Theoph. Cont. 414, 7 cod. V: Σουρσουβούλ AE: Σουρσουβούλου VN: Σουρσουβέλι B δὲ om. E **49** τῶν γάμων γενομένων A **51** ὁ βασιλεὺς post **50** ἑστίασιν A

ἐν τῇ τῶν Πηγῶν ἀποβάθρᾳ ποιήσας ὁ βασιλεύς, παρ' αὐτῇ τῇ ἀποβάθρᾳ τοῦ βασιλικοῦ δρόμωνος ἱσταμένου, συνειστιάθη τῷ Πέτρῳ. παρῆσαν δὲ τῇ εὐωχίᾳ καὶ Κωνσταντῖνος ὁ βασιλεὺς καὶ Χριστοφόρος. ἐγένετο δὲ στάσις οὐ μικρὰ παρὰ τῶν Βουλγάρων, ἐνισταμένων πρότερον εὐφημηθῆναι τὸν Χριστοφόρον, εἶτα καὶ τὸν Κωνσταντῖνον. ὧν τῇ ἐνστάσει παραχωρῶν ὁ βασιλεὺς Ῥωμανὸς ἐκέλευσεν οὕτω γενέσθαι. πάντων δὲ τῶν ἐν τοῖς τοιούτοις εἰωθότων πράττεσθαι συντελεσθέντων ἀπῇρεν ἡ Μαρία σὺν τῷ οἰκείῳ συζύγῳ καὶ τῆς πρὸς Βουλγαρίαν ἥψατο, προπεμφθεῖσα παρὰ τῶν γονέων αὐτῆς καὶ τοῦ πρωτοβεστιαρίου μέχρι τοῦ Ἑβδόμου. καὶ τὰ μὲν ἐν τῇ πόλει τοῦτον ἐτελεῖτο τὸν τρόπον.

19. Ὁ δὲ δομέστικος τῶν σχολῶν Ἰωάννης μάγιστρος ὁ Κουρκούας, ἄγων καὶ φέρων τὰ τῆς Συρίας καὶ ἅπαν ἀντίξουν καταστρεφόμενος, καὶ πλεῖστα φρούρια καὶ ὀχυρώματα καὶ πόλεις βαρβαρικὰς καθελών, ἔφθασε καὶ μέχρι τῆς περιβοήτου Μελιτηνῆς, πολιορκίᾳ δὲ τοὺς ἔνδον στενοχωρήσας ἠνάγκασε πρὸς συμβάσεις ἰδεῖν. παρεγένετο οὖν πρὸς αὐτὸν Ἀπόχαψ ὁ τοῦ Ἄμερ | ἔκγονος, ἀμηρᾶς ὑπάρχων Μελιτηνῆς, καὶ Ἀποσαλὰθ ὁ τῶν ἐν αὐτῇ κατάρχων ταγμάτων. οὓς προσδεξάμενος ὁ δομέστικος ἱλαρῶς καὶ μετὰ προσηνείας πρὸς τὸν αὐτοκράτορα ἐξαπέστειλεν. ἐντυχόντες οὖν αὐτῷ καὶ εἰρηνικὰ ποιήσαντες σύμφωνα ὑπέστρεψαν εἰς τὰ ἴδια, τοῖς φίλοις καὶ συμμάχοις Ῥωμαίων καταγραφέντες καὶ μετ' αὐτῶν κατὰ τῶν ὁμοφύλων καθοπλιζόμενοι. τελευτήσαντος δὲ τοῦ Ἀπόχαψ καὶ τοῦ Ἀποσαλὰθ διελύθη τὰ τῆς εἰρήνης. ἐκστρατεύει οὖν κατ' αὐτῶν ὁ εἰρημένος δομέστικος, ᾧ συνῆν μετὰ τῶν Ἀρμενίων καὶ ὁ μάγιστρος ὁ Μελίας. καὶ πρότερον μὲν πολέμῳ τοὺς Μελιτηνοὺς συνήλασαν εἴσω τείχους κατατολμήσαντας ἀντιποιήσασθαι τῶν ὑπαίθρων. ἔπειτα περικαθίσαντες τὴν πόλιν καὶ μετὰ συντονίας ταύτην πολιορκήσαντες πολέμου νόμῳ κατέσχον. κατέδραμον δὲ καὶ πάντα τὰ πέριξ καὶ ἐχειρώσαντο καὶ δοῦλα Ῥωμαίοις εἰργάσαντο. τὴν μὲν οὖν Μελιτηνὴν

69 a. 927/928 **77** a. 931

cap. 19: Theoph. Cont. 415, 10—417, 2

ACE (usque **64** τῆς) VBN FD **53** ἐν post δὲ pr. add. B **55** καὶ VN: lac. F: om. ACEBD **56** Ῥωμανὸς om. B δὲ: οὖν B **59** δὲ post προπεμφθ. add. A **61** ὁ ante μάγιστρος add. B **64** πολιορκίᾳ δέ: καὶ πολ. B **65** ἠνάγκαζε A συμβασίαν B ἰδεῖν: ἐλθεῖν C **66** ὁ ante Ἀπόχαψ add. C ἔγγονος B ὁ ante ἀμηρᾶς add. B **67/68** οὓς – δομέστικος VBN: οὓς ὁ δομ. προσδεξ. AC **68** καὶ om. B **70** καταγραφέντες CVN: ἐγγραφέντες, post τοῖς φίλοις, B: ἐναριθμηθέντες A **71** καθοπλιζόμενοι VBN: ἐξοπλιζόμενοι AC **74** ὁ om. AC (sed cf. Theoph. Cont. 416, 16) συνήλασεν AC **75** ἀντιποιήσασθαι — ὑπαίθρων: οὐμενουν τῶν ὑπαίθρων ἀντιποιήσασθαι A **76** παρακαθίσαντες B τὴν πόλιν περικαθ. A ταύτην om. VB **78** καὶ — εἰργάσαντο om. B

εἰς κουρατωρείαν καταστήσας ὁ βασιλεὺς καὶ πᾶσαν τὴν περιοικίδα, πολλὴν συντέλειαν τῷ δημοσίῳ προσήγαγε.

20. Νικήτας δὲ ὁ μάγιστρος καὶ πενθερὸς Χριστοφόρου τοῦ βασιλέως κατηγορηθείς, ὡς ὑποτιθέμενος τῷ Χριστοφόρῳ κατὰ τοῦ ἰδίου γενέσθαι πατρὸς καὶ τοῦτον ἐξῶσαι τῆς βασιλείας, ἐξεβλήθη τῆς πόλεως καὶ ἀπεκάρη μοναχός.

21. Μηνὶ δὲ Ἰουλίῳ πεντεκαιδεκάτῃ, ἰνδικτιῶνος ἕκτης, ἐτελεύτησεν ὁ Ἀμασείας Στέφανος, πατριαρχήσας ἔτη δύο καὶ μῆνας ἕνδεκα. Δεκεμβρίῳ δὲ μηνὶ ἄγουσι Τρύφωνα μοναχὸν καὶ χειροτονοῦσι πατριάρχην ἐπὶ χρόνῳ ῥητῷ, μέχρις ἂν Θεοφύλακτος ὁ τοῦ βασιλέως υἱὸς εἰς μέτρον φθάσῃ τῆς νομίμου ἡλικίας.

22. Τῷ αὐτῷ | δὲ μηνὶ γέγονε χειμὼν ἀφόρητος, ὡς κρυσταλλωθῆναι τὴν γῆν ἐπὶ ἡμέρας ἑκατὸν εἴκοσιν. ἐπηκολούθησε δὲ τῷ χειμῶνι καὶ ὁ μέγας λιμός, τοὺς πώποτε γενομένους ὑπερβαλλόμενος, καὶ θάνατος ἀπὸ τούτου, ὡς μὴ δύνασθαι τοὺς ζῶντας ἐκκομίζειν τοὺς τεθνεῶτας, τοῦ βασιλέως πολλὴν πρόνοιαν ποιησαμένου κατὰ τὸ δυνατὸν καὶ τοῦ χειμῶνος καὶ τοῦ λιμοῦ δι' εὐποιϊῶν καὶ ἄλλων βοηθημάτων παντοδαπῶν.

23. Πέτρῳ δὲ τῷ Βουλγαρίας ἄρχοντι ἐπέθετο Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ μεθ' ἑτέρων τῶν μέγα δυναμένων ἐν Βουλγαρίᾳ. καὶ φωραθεὶς αὐτὸς μὲν τύπτεται καὶ καθείργνυται, οἱ δὲ λοιποὶ πάντες ταῖς ἐσχάταις ὑπεβλήθησαν τιμωρίαις. δῆλα δὲ ἔθετο καὶ τῷ βασιλεῖ Ῥωμανῷ Πέτρος τὰ γεγενημένα. ἅπερ μαθὼν οὗτος τὸν μοναχὸν Ἰωάννην τόν ποτε ῥαίκτωρα πέπομφε, προφάσει μὲν ἀλλαγίου, τῇ δ' ἀληθείᾳ Ἰωάννην ποικιλοτρόπως εὑρεῖν καὶ εἰς Κωνσταντινούπολιν ἀγαγεῖν. ὃ δὴ καὶ γέγονε. καὶ δυνηθεὶς ὁ ῥαίκτωρ ἀποκλέψαι τὸν Ἰωάννην, ἐν πλοίῳ ἀπὸ

85/86 a. 928

cap. 20: Theoph. Cont. 417, 3—417, 7 cap. 21: Theoph. Cont. 417, 8—417, 14; Zon. III, 475, 5—475, 9; Glyc. 559, 8—559, 12 cap. 22: Theoph. Cont. 417, 15—419, 9; Zon. III, 475, 9—475, 11 cap. 23: Theoph. Cont. 419, 10—420, 10

ACVBM (a 90) N F **79** κουρατωρείαν ACV: κουρατωρίαν Theoph. Cont. 416, 23: κουρατορίαν BN **85** ιε' ACBN ς ACBN **86** Ἀμασίας B ια' CB **91** δὲ (tantum A) καὶ ante τὴν add. AC (sed cf. Theoph. Cont. 41, 16) ἐπηκολούθησε VBMN: ἐξηκολούθησε AC **92** ὁ om. VB (sed cf. Theoph. Cont. 417, 17) ὑπερβαλόμενος A **93** μή: μηκέτι A **94** ἐλύθη δὲ ante τοῦ pr. add. B **1** Βουλγάρων B **2** Βουλγαρίᾳ ACVN: Βουλγαρίῳ M: Βουλγάροις B **3** ταῖς om. B **5** γενόμενα B **5/6** τὸν pr. — ῥαίκτωρα: τόν ποτε ῥαίκτωρα μοναχὸν Ἰωάννην A **6** δ': δὲ M **7** ποικιλοτρόπως ACMN: πολυτρόπως VB **8** τὸν om. B

Μεσημβρίας εἰσελθών, ἅμα αὐτῷ τὴν βασιλίδα κατέλαβε. καὶ μετ' οὐ πολὺ τὸ μοναχικὸν ἀπορρίψας σχῆμα καὶ γυναῖκα αἰτήσας ἔλαβε, προσέλαβε δὲ καὶ οἶκον καὶ κτήματα πάμπολλα. καὶ Μιχαὴλ δέ, ὁ τοῦ Πέτρου ἕτερος ἀδελφός, τὴν Βουλγαρικὴν ἱμειρόμενος κατασχεῖν ἐξουσίαν, φρούριον καταλαβὼν ἐρυμνὸν ἀνέσειε τὰ Βουλγάρων, καὶ πολλοὶ προσερρύησαν αὐτῷ. μετὰ μικρὸν δὲ τούτου ἀποθανόντος δεδιότες οἱ προσρυέντες τὴν τοῦ Πέτρου ἀγανάκτησιν | ἐπῆλθον ταῖς Ῥωμαϊκαῖς χώραις διὰ Μακεδονίας καὶ Στρυμόνος καὶ Ἑλλάδος, καταλαβόντες τὴν Νικόπολιν, πάντα τὰ ἐν ποσὶ ληϊσάμενοι καὶ τέλος ἐν αὐτῇ σαββατίσαντες. οἵτινες ὕστερον διαφόρως καταπολεμηθέντες ὑποχείριοι Ῥωμαίων ἐγένοντο.

24. Κατὰ τούτους τοὺς χρόνους ἔπεσε λίθος ἀπὸ τῆς ἐν τῷ φόρῳ ἀψῖδος, ὃν κοσμίτην καλεῖν εἰώθασι, καὶ ἀπέκτεινεν ἄνδρας ἑξήκοντα. ἐγένετο δὲ καὶ ἐμπρησμὸς φοβερὸς ἔγγιστα τῆς ὑπεραγίας θεοτόκου τοῦ φόρου, καὶ ἐπυρπολήθη ὁ ἔμβολος ἄχρι τῶν λεγομένων Ψιχῶν.

25. Ἐτελεύτησε δὲ καὶ Χριστοφόρος ὁ βασιλεύς, μηνὶ Αὐγούστῳ, ἰνδικτιῶνος τετάρτης, καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ πατρὸς αὐτοῦ.

26. Τοῦ ῥητοῦ δὲ χρόνου τελεσθέντος, ὃν ἔθετο Τρύφων ὁ πατριάρχης, οὐκ ἤθελε κατελθεῖν τοῦ θρόνου, ὡς ὑπέσχετο, ἀλλὰ κρίσεις ἐζήτει καὶ αἰτιάματα κατ' αὐτοῦ προβληθῆναι, δι' ἃ τῆς ἐκκλησίας ἐκβάλλεται. ἀμηχανοῦντος δ' ἐπὶ τούτῳ τοῦ βασιλέως καὶ μὴ ἔχοντος, ὅ τι καὶ χρήσαιτο, ὁ Καισαρείας Θεοφάνης, ὃν δὴ καὶ Χοιρινὸν ἐκάλουν, κωτίλος ἀνήρ, ἀλύοντα βλέπων τὸν βασιλέα καὶ τὸν ἐμπαιγμὸν καὶ τὴν ἀπάτην μὴ φέροντα, ὑπέσχετο αὐτῷ εἰς τέλος ἄξαι τὸ σπουδαζόμενον. ἀποδεξαμένου δὲ τοῦ βασιλέως τὴν ὑπόσχεσιν, ἀπάτῃ περιέρχεται τὸν πατριάρχην, καὶ προσελθὼν ἔφη πρὸς αὐτόν· 'πολλὴ μέν, ὦ δέσποτα, ἡ κατὰ

24 a. 931

cap. 24: Theoph. Cont. 420, 11—420, 16; Glyc. 559, 5—559, 7 cap. 25: Theoph. Cont. 420, 17—420, 21; Zon. III, 475, 11/12 cap. 26: Theoph. Cont. 421, 1—421, 6. 422, 3—422, 9; Zon. III, 475, 12—476, 14; Glyc. 559, 12—560, 10

ACE (a 14 οἱ) VBMN F 9 εἰσελθών — κατέλαβε: ἐμβὰς τὴν βασιλίδα κατέλαβεν ἅμα αὐτῷ B 10 ὁ Ἰωάννης post σχῆμα add. B 13 τι post φρούριον add. B ἀνέσεισε B 16 Μακεδονίαν E Στρύμονος B 17 καὶ ante πάντα add. B ποσὶ ACEMN: αὐτῇ VB 18 διαφόρως om. M 22 καὶ ante ἔγγιστα add. E 23 Ψυχῶν B 25 δ' ACEB 28 κατ' αὐτοῦ προβληθῆναι: προτεθῆναι κατ' αὐτοῦ A 29 δ' VMN: δὲ ACB: om. E χρήσατο B 30 Χοιρηνὸν CEV 32 ἄξαι τὸ σπουδαζόμενον: τὸ σπουδ. ἀγαγεῖν B 33 πατριάρχην: βασιλέα A 34 ἔφη VBF: ἔφησε ACEMN

σοῦ τῆς βασιλείας ἐπίθεσις, καὶ αἰτιάσεις ζητεῖ δυναμένας σε κατασπάσαι τοῦ θρόνου, πολλὰ δὲ μοχθῶν οὐχ εὑρίσκει. πῶς γὰρ ἂν τοῦ | ἀναιτίου αἰτίασις ἅψαιτο. ἓν δὲ προφέρουσιν αἴτιον οἱ σπουδασταὶ τῆς σῆς καθαιρέσεως, φάσκοντες μὴ ὅλως εἰδέναι σε γράμματα. εἰ οὖν τοῦτο ἀποτρέψασθαι δυνηθείημεν, λύκος πάντως χανὼν φανήσονται οἱ κατὰ σοῦ μελετῶντες. εἴ τι οὖν μοι πείθῃ, ἐπὶ παρουσίᾳ πάσης τῆς συνόδου γράψας ἐν ἀγράφῳ χαρτίῳ τὸ σὸν ὄνομα καὶ τὸ τῆς ἱερωσύνης ἀξίωμα πέμψον τῷ βασιλεῖ, ὡς ἂν πληροφορηθῇ καὶ τῆς τοιαύτης ἐλπίδος ἐκπεσὼν ἀπόσχηται τοῦ κατὰ σοῦ μελετᾶν.' ἔδοξε λυσιτελὴς ἡ παραίνεσις. εὐθὺς οὖν συνηθροίζετο σύνοδος, καὶ συναθροισθείσης φησὶ πρὸς αὐτὴν ὁ πατριάρχης· 'οἱ τοῦ θρόνου με βουλόμενοι καταγαγεῖν ἀδίκως, ὦ θεῖοι συλλειτουργοί, πολλὰς μηχανὰς κεκινηκότες, ὥστε εὔλογον αἰτίαν εὑρεῖν καὶ δι' αὐτῆς με ἐξοστρακίσαι, οὐχ εὗρον. τελευταίαν οὖν μοι προσάπτουσιν αἰτίαν ταύτην. φασί με ἀγράμματον εἶναι. νῦν οὖν ἐπ' ὄψει πάντων ὑμῶν τάδε χαράσσω τὰ γράμματα, ἵν' ἰδόντες καὶ πληροφορηθέντες οἱ συκοφάνται ἀπόσχωνται τοῦ ἀδίκως μοι ἐνοχλεῖν. εἶπε, καὶ γραμματεῖον ἄγραφον εἰληφὼς ἐπ' ὄψει πάντων ὑπέγραψεν οὕτως· 'Τρύφων ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.' καὶ γράψας ἐκπέμπει διὰ τοῦ πρωτοθρόνου τῷ βασιλεῖ. ὅπερ λαβὼν ἐπὶ χεῖρας οὗτος, καὶ ἄγραφον ἕτερον χαρτίον ἄνωθεν προσανυφάνας παραίτησιν ἔγραψεν, ὡς ἀνάξιος ὢν ἐξίσταται τῷ βουλομένῳ τοῦ θρόνου. τῆς δὲ τοιαύτης παραιτήσεως προκομισθείσης ἐπὶ συνόδου κατάγεται τῆς ἐκκλησίας ὁ Τρύφων, | πολλὰ τὴν ἀπάτην ὀλοφυρόμενος καὶ τῷ πρωτοθρόνῳ ἐπιμεμφόμενος. καὶ μετὰ χρόνον ἕνα καὶ μῆνας πέντε (τοσοῦτον γὰρ ὁ τῆς ἡλικίας τοῦ Θεοφυλάκτου ἐνέδει χρόνος πρὸς τελειότητα καὶ χειροθεσίαν ἀρχιερωσύνης) Φεβρουαρίῳ, δευτέρας ἰνδικτιῶνος, χειροτονεῖται πατριάρχης Θεοφύλακτος ὁ τοῦ βασιλέως υἱός.

57 a. 931 **61** die 2. mens. Febr. a. 933

39 λύκος χανών: prov., cf. Aristoph. Fragm. 337; Greg. Cypr. M 4, 15; Apost. 10, 85

ACEVBMN F **35** τῆς βασιλείας: τοῦ βασιλέως B **37** προσφέρουσιν AN **38** δλως: δλον C τοῦτο: τούτους E ἀποτρίψασθαι B **39/40** λύκος — μελετῶντες: λύκος μάτην χανὼν οἱ κατὰ σοῦ μελετ. φανήσονται B **40** παρουσίας C **41** χάρτῃ A ἀξίωμα: ἀξίμα B **42** πληροφορηθείη B **43** ἀπέσχηται E **44** συνηθροισθείσης B αὐτήν: αὐτούς B **47** με om. B προσάπτουσιν: προσάγουσιν B **47/48** προσά[πτουσιν] αἰτίαν lac. in A **49** χαράττω B ἵνα VB **50** μοι: με B γραμματεῖον: χαρτίον B **51** ἔγραψεν M **54/55** καὶ — προσανυφάνας: καὶ ἄνωθεν ἄγραφον ἕτερον χαρτίον προσανυφάνας E **54** χαρτίον ἕτερον B **55** προσανυφάνας: προσθέμενος B ἐξίσταται VBMN: ἐξίσταμαι ACE καὶ ante τῷ add. B **56** παραχωρεῖ post θρόνου add. B **59** τοσοῦτον VBMN: τοσοῦτος ACE **59/60** ὁ — χρόνος MN: ὁ τῆς τοῦ (τοῦ om. CE) Θεοφ. ἡλικίας ἐνέδει χρόνος ACE: ὁ τῆς ἡλικίας χρόνος τοῦ Θεοφ. ἐνέδει VB **61** β' CEB ἰνδ. δευτ. (β' CE) ACE Θεοφύλακτος post **62** υἱὸς B

27. Βασίλειος δέ τις Μακεδών, Κωνσταντῖνον τὸν τοῦ Δουκὸς ἑαυτὸν ἐπιφημίσας, πολλοὺς ἐξαπατήσας πρὸς ἑαυτὸν ἐπεσπάσατο, καὶ περιπατῶν ἐκύκα καὶ συνετάραττε τὰς πόλεις καὶ πρὸς ἀποστασίαν ἐκίνει. συσχεθεὶς δὲ παρά τινος τουρμάρχου Ἐλεφαντίνου τὴν προσηγορίαν, καὶ ὡς βασιλέα ἀχθεὶς τῆς μιᾶς ἀλλοτριοῦται χειρός. εἶτα πάλιν, ὡς ἀφείθη, χεῖρα χαλκῆν ἑαυτῷ περιθεὶς καὶ σπάθην ὑπερμεγέθη κατασκευάσας περιενόστει τὸ Ὀψίκιον, τοὺς ἀφελεστέρους πλανῶν, ὡς αὐτὸς εἴη Κωνσταντῖνος ὁ τοῦ Δουκός. μεγάλην οὖν χεῖρα συναθροίσας ἀποστασίαν κινεῖ. καὶ τὸ φρούριον κατασχών, ὃ Πλατεῖα πέτρα κατονομάζεται, πᾶν εἶδος ἐν τούτῳ ἀπέθετο, ἀφ' οὗπερ ἐξορμώμενος ἐληλάτει τὰ παρατυχόντα καὶ ἐληΐζετο. πέμψας οὖν ὁ βασιλεὺς στρατὸν κατ' αὐτοῦ αὐτόν τε συλλαμβάνει καὶ τοὺς σὺν αὐτῷ. καὶ πολλὰ ἀνακρίνας μαθεῖν, μή τινες εἶεν τῶν ἐν τέλει συνίστορες, τελευταῖον μηδὲν καίριον καταλαβών, ἐν τῷ λεγομένῳ Ἀμαστριανῷ πυρὶ τὸν τοιοῦτον παραδίδωσιν.

28. Ἄγεται δὲ καὶ γυναῖκα Στεφάνῳ τῷ υἱῷ ὁ βασιλεὺς Ῥωμανὸς Ἄνναν τὴν θυγατέρα τοῦ Γαβαλᾶ. ἅμα δὲ τῷ νυμφικῷ στεφάνῳ καὶ τὸ τῆς βασιλείας διάδημα αὐτῇ ἐπετίθετο. |

29. Ἐγένετο δὲ καὶ εἰσβολὴ Τούρκων κατὰ Ῥωμαίων Ἀπριλλίῳ μηνί, ἰνδικτιῶνος ἑβδόμης, καὶ κατέδραμον πᾶσαν τὴν δύσιν μέχρι τῆς πόλεως. ἀπεστάλη γοῦν ὁ πατρίκιος Θεοφάνης καὶ πρωτοβεστιάριος, καὶ ἀλλάγιον μετ' αὐτῶν ἐποιήσατο, μηδενὸς χρήματος φεισαμένου τοῦ βασιλέως πρὸς τὴν τῶν αἰχμαλώτων ἀνάρρυσιν.

30. Ἐνυμφεύθη δὲ καὶ Κωνσταντίνῳ τῷ λοιπῷ υἱῷ τοῦ βασιλέως κόρη τις Ἑλένη τοὔνομα, ἐκ γένους τῶν Ἀρμενιακῶν ἕλκουσα τὴν σειράν,

82 post diem 1. mens. Apr. a. 934

---

cap. 27: Theoph. Cont. 421, 7—422, 2 cap. 28: Theoph. Cont. 422, 16—422, 19
cap. 29: Theoph. Cont. 422, 20—423, 7 cap. 30: Theoph. Cont. 423, 8—423, 13

ACEVBMN F **63** Δούκα A ἑαυτὸν: ἑαυτῷ A **64** ἐπιφημίσας VMN: ἐπιφημήσας Theoph. Cont. 421, 8 cod. V: ἐπιφημίζων ACEB **65** περιπατῶν: περιϊὼν B καὶ pr. om. VB συνετάραττε MN: συνετάρασσε ACE: om. VB τὰς πόλεις post ἐκύκα ACE **68** περιθεὶς (περιτιθεὶς B) ἑαυτῷ VB **69** τ' Ὀψίκιον C **70** Δούκα A **71** Πλατεῖα ACEVB Theoph. Cont. 421, 16: Πλατεία F: Παλαιὰ MN κατονομάζεται: λέγεται, post ὃ, A **72** καὶ ante πᾶν add. V ἐξορμώμενος VBMN: ἐξερχόμενος B: ὁρμώμενος ACE **73** πέμψας — βασιλεὺς: ὁ γοῦν βασιλεὺς πέμψας A στρατὸν om. ACE, sed non, ut Bekker, Theoph. Cont. 421, 19 cod. V **74** καὶ τοὺς dittogr. V **75** εἶεν VBMN Theoph. Cont. 421, 21: εἰσὶ ACE καίριον VBMN: τέλειον ACE **76** τὸν τοιοῦτον VBMN: τοῦτον ACE **77** καὶ om. M αὐτοῦ post υἱῷ add. B **79** ἐπιτίθετο CEB **80** καὶ om. M **80/81** μηνὶ Ἀπριλλ. E **81** ζ' ACEB κατέδραμε ACEB (sed cf. Theoph. Cont. 422, 21) δύσιν ACEVBF: κτίσιν MN **86** τις — τοὔνομα: τοὔν. Ἑλένη M γένους: τοῦ θέματος B τοῦ γένους post Ἀρμεν. add. B

θυγάτηρ Ἀδριανοῦ πατρικίου. ἧς μετὰ μικρὸν ἀποθανούσης προσήρμοσεν αὐτῷ ἑτέραν, Θεοφανὼ τοὔνομα, ἐκ γένους καταγομένην τοῦ Μάμαντος.

31. Δεκάτῃ δὲ καὶ τετάρτῃ ἰνδικτιῶνι, Ἰουνίῳ μηνί, ἐπέλευσις κατὰ τῆς πόλεως ἐγένετο Ῥωσικοῦ στόλου πλοίων χιλιάδων δέκα. ἐξῆλθεν οὖν κατ' αὐτῶν ὁ πατρίκιος καὶ πρωτοβεστιάριος Θεοφάνης μετὰ τοῦ στόλου, κἀν τῷ Ἱερῷ προσωρμίσατο, ἐκείνων ἐν τῷ Φάρῳ καὶ τῷ ἐπέκεινα αἰγιαλῷ ναυλοχούντων. καιροσκοπήσας οὖν ἀθρόον τούτοις ἐπέθετο, καὶ τήν τε σύνταξιν αὐτῶν διέλυσε καὶ πολλὰ τῶν πλοίων τῷ σκευαστῷ πυρὶ ἀπετέφρωσε, τὰ δὲ τελέως ἐτρέψατο. οἱ περιλειφθέντες οὖν τῶν Ῥῶς περαιοῦνται εἰς τὴν ἀνατολὴν καὶ κατὰ τὰ λεγόμενα Σγόρα προσίσχουσι. Βάρδας δὲ πατρίκιος, ὁ τοῦ Φωκᾶ υἱός, τοὺς αἰγιαλοὺς παρατρέχων μεθ' ἱππέων καὶ ἐκκρίτων ἀνδρῶν, συντάγματι τούτων ἱκανῷ πρὸς συλλογὴν τροφῆς ἐκπεμφθέντι συναντήσας ἐτρέψατο καὶ κατέσφαξεν. ἀλλὰ μὴν καὶ ὁ δομέστικος τῶν σχολῶν ὁ Κουρκούας, ὀξὺς ἐπιφανεὶς μετὰ τῶν ταγμάτων καὶ ἀποσπάδας τούτους εὑρίσκων τῇδε κἀκεῖσε πλανωμένους, κα|κῶς διετίθει. ἃ δὲ οὗτοι ἔδρασαν κακὰ πρὸ τοῦ καταπολεμηθῆναι, πᾶσαν ὑπερεκπίπτει τραγῳδίαν. τοὺς μὲν γὰρ τῶν ἁλισκομένων ἀνεσταύρουν, τοὺς δὲ τῇ γῇ προσεπαττάλευον, τοὺς δὲ ὥσπερ σκοποὺς ἱστῶντες βέλεσι κατετόξευον. ὅσοι δὲ τῶν ἁλόντων ἱερωσύνης ἠξίωντο, τούτων ἥλοις ὀξέσι διεπερόνουν τὰς κεφαλάς. οὐκ ὀλίγους δὲ καὶ θείους ναοὺς ἐπυρπόλησαν. ἀλλὰ ταῦτα μὲν πρότερον. ἐπεὶ δέ, ὡς ἄνωθεν ἐρρέθη, καταναυμαχηθέντες καὶ διὰ γῆς οὐχ ἥκιστα κακωθέντες συσταλέντες ἠρέμουν ἐν τοῖς σφετέροις πλοίοις, καὶ ἤδη αὐτοῖς ἐπιλελοίπει τὰ ἐπιτήδεια, ἐβουλεύοντο μὲν εἰς τὰ ἴδια ὑπονοστῆσαι, ἐδεδίεσαν δὲ τὸν στόλον παραγειτονοῦντα καὶ τὸν ἀπόπλουν φυλάττοντα. καιρὸν δ' ὅμως τηρήσαντες καὶ σύνθημα δόντες καὶ τὰ πρυμνήσια λύσαντες

90 mense Iun. a. 941

cap. 31: Theoph. Cont. 423, 14—425, 24; Zon. III, 476, 15—477, 16

ACEVBMN DF **87** θυγατέρα C θανούσης B **88** καταγομένην ACEMN: καταγομένη V: κατογομένης B **90** δ' CE ἰνδικτιῶνος BM Ἰουνίου μηνός A **91** Ῥουσικοῦ B δέκα ACEMN Theoph. Cont. 423, 16: δεκαπέντε B: καὶ ε' i. m. post δέκα add. V **92** ὁ ante Θεοφ. add. B **93** Φάρα E ἐν ante τῷ ult. add. B **95** σκευαστῷ CVBMN: σκευαστικῷ E: ἱερῷ A: ἐσκευασμένῳ Theoph. Cont. 424, 9 **1** ἀπετέφρωσαν E τελείως B οἱ — οὖν ACEMN: οἱ δὲ περιλ. B: οἱ περιλ. δὲ V Ῥῶς VBMN: Ῥὼς ACE Theoph. Cont. 423, 15.20 **3** παρατρέχων CVMN: παρατρέχειν Theoph. Cont. 424, 17: περιτρέχων AEB **4** ἐγκρίτων M **5** ἐκπεμφθέντες E **6** ὁ alt. om. B **7** τῶν om. E ἀποσπάδας ACEB Theoph. Cont. 425, 1: ἀποσπάσας VMNDF τούτους B εὑρίκων V **10** τοὺς δὲ τῇ γῇ: τῇ γῇ δ' ἑτέρους A **11** τοῖς ante βέλεσι add. E ὅσοι: ἄλλοι B **11/12** ἱερωσύνης — κεφαλάς: ἥλοις ὀξέσι διεπερονοῦντο τὰς κεφαλάς, ὅσοι δηλαδὴ τοῦ ἱερατικοῦ ἐτύγχανον τάγματος B **13** ἐπυρπό N, quod corr. m. rec. in ἐπυρπόλουν **16** ἐβούλοντο B

ἀπέπλεον. οὐκ ἔλαθον δὲ τὸν πατρίκιον καὶ πρωτοβεστιάριον Θεοφάνην, ἀλλὰ γνοὺς οὗτος τὴν αὐτῶν ἀναχώρησιν ὑπαντιάζει τούτοις εὐθύς, καὶ γίνεται ναυμαχία δευτέρα, καὶ τρέπονται πάλιν οἱ Ῥῶς. καὶ τὰ μὲν τῶν σκαφῶν βυθῷ παρεδόθησαν, τὰ δὲ σίδηρος καὶ πῦρ ἐμερίσαντο, τὰ δὲ αὔτανδρα ὑπὸ ταῖς τῶν Ῥωμαίων χερσὶν ἐγένοντο, ὀλίγα δὲ τὴν τοῦ πολέμου διαφυγόντα ἀνάγκην πρὸς τὰ οἰκεῖα ἐχώρησαν.

32. Ἀνθ' ὧν ὁ βασιλεὺς τὸν πρωτοβεστιάριον ἀποδεξάμενος καὶ παρακοιμώμενον αὐτὸν προεβάλλετο. φθόνου δὲ κινηθέντος κατὰ τοῦ δομεστίκου τῶν σχολῶν Ἰωάννου τοῦ Κουρκούα παρὰ τῶν ἄλλων βασιλέων (ἐβούλετο γὰρ Ῥωμανὸς ὁ βασιλεὺς Εὐφροσύνην τὴν τοῦ δομεστίκου θυγατέρα νύμφην ἀγαγέσθαι τῷ οἰκείῳ ἐκγόνῳ Ῥωμανῷ ⟨τῷ υἱῷ⟩ τοῦ ἐσχά|του παιδὸς αὐτοῦ Κωνσταντίνου) ἠναγκάσθη τῆς ἀρχῆς αὐτὸν παραλῦσαι, ἐπὶ δυσὶ καὶ εἴκοσι χρόνοις καὶ μησὶν ἑπτὰ ἀδιαδόχως τὴν τοῦ δομεστίκου ἀρχὴν ἰθύναντα, καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν Συρίαν καταδραμόντα καὶ ταπεινώσαντα. ὅτῳ δὲ βουλητὸν τὰς ἐκείνου μαθεῖν ἀριστείας, ζητησάτω τὴν πονηθεῖσαν βίβλον παρά τινος Μανουὴλ πρωτοσπαθαρίου καὶ κριτοῦ (ἐν ὀκτὼ γὰρ βίβλοις ἐκεῖνος τὰ τούτου ἀνδραγαθήματα συνεγράψατο), καὶ ἐξ αὐτῆς εἴσεται, οἷος ἦν ὁ ἀνὴρ τὰ πολεμικά. παραπλησίως τούτῳ καὶ Θεόφιλος ὁ τούτου ὁμαίμων, ὁ πάππος Ἰωάννου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, τὰς ἐν Μεσοποταμίᾳ τῶν Σαρακηνῶν πόλεις διέθετο, στρατηγὸς ἐν αὐτῇ γεγονὼς καὶ ταπεινώσας καὶ τελέως ἀφανίσας τοὺς ἐκ τῆς Ἄγαρ. καὶ Ῥωμανὸς δὲ ὁ πατρίκιος, ὁ τοῦ δομεστίκου Ἰωάννου υἱός, στρατηγὸς καταστὰς πολλά τε φρούρια παρεστήσατο καὶ πλείστων λαφύρων αἴτιος ὑπῆρξε τοῖς Ῥωμαίοις. τοῦ Ἰωάννου δὲ παραλυθέντος τῆς ἀρχῆς προβάλλεται δομέστικος τῶν σχολῶν ὁ Πανθήριος, ὁ τοῦ βασιλέως Ῥωμανοῦ συγγενής.

31 a. 944 **44** a. 944/945

---

cap. 32: Theoph. Cont. 425, 24—429, 16; Zon. III, 477, 17—478, 3

ACEVBMN DF **19** ἔλαθε B Θεοφάνην post πατρίκιον E **20** αὐτῶν om. B **21** Ῥῶς VBMN: Ῥώς ACE **23** τῶν om. B Ῥωμαίων VBMN: πολεμίων ACE **24** φυγόντα M **25** καὶ om. ACE **26** προεβάλλετο CEVBN: προεβάλετο A: προβάλλεται M **29** ἄγεσθαι B ἐγγόνῳ B **30** τῷ υἱῷ B Fabrot Theoph. Cont. 426, 8: om. ACEVMNDF τοῦ — Κωνσταντίνου: τοῦ γαμβροῦ αὐτοῦ Κωνσταντίνου τοῦ βασιλέως B **32/33** ἰθύνοντι ... καταδραμόντι ... ταπεινώσαντι A ὅτῳ: ὅετο M δὲ: δὴ B **36** αὐτῆς: αὐτῶν B **36/37** ἦν ὁ om. B **37** δὲ post παραπλησίως add. E **40** τελείως B ἀφανίσας VBMN: ἐξαφανίσας ACE καὶ alt. om. B ὁ om. ACE **41** Ἰωάννου om. M **42** παρεστήσατο ACVBN: περιεστήσατο M: κατεστήσατο E αἴτιος ὑπῆρξεν ACEMN: ὑπῆρξεν αἴτιος VB τοῖς om. ACE **43** τοῦ δὲ Ἰωάννου M

33. Ἱλασκόμενος δὲ τὸν θεὸν ὁ βασιλεὺς Ῥωμανὸς διὰ τὴν τῶν ὅρκων παράβασιν, καὶ μετανοῶν ἐφ' οἷς κακῶς παρεσπόνδησεν, ἐποίει μὲν καὶ ἄλλας εὐποιΐας, ἃς καταλέγειν ἔργον, ἀπέτισε δὲ καὶ τὰ χρέα τῆς πόλεως ἀπό τε πλουσίων καὶ πενήτων, δεδοικώς, ὥς φασι, κεντηνάρια δεκαεννέα, τὰ δὲ γραμματεῖα κατακαύσας ἐν τῷ κατὰ τὴν Χαλκῆν πορφυρῷ ὀμφαλίῳ. δέδωκε δὲ καὶ τὰ | ἐνοίκια τῆς πόλεως ἀπὸ τοῦ ὑψηλοτέρου καὶ μέχρι τοῦ ἐσχάτου. ἃ δὲ διετυπώσατο γίνεσθαι ψυχικὰ ἐπετείως ἐν τῇ παρ' αὐτοῦ νεουργηθείσῃ μονῇ τοῦ Μυρελαίου, ἴσασι πάντες μέχρι τοῦ νῦν τελούμενα.

34. Κατὰ δὲ τὴν πρώτην ἰνδικτιῶνα τῶν Τούρκων πάλιν ἐπιδρομὴν ποιησαμένων κατὰ Ῥωμαίων, ὁ παρακοιμώμενος Θεοφάνης ἐξελθὼν ἐσπείσατο μετ' αὐτῶν καὶ λαβὼν ὁμήρους ὑπέστρεψε.

35. Δευτέρᾳ δὲ ἰνδικτιῶνι Πασχάλιον πρωτοσπαθάριον καὶ στρατηγὸν Λογγιβαρδίας ἐξέπεμψεν ὁ βασιλεὺς πρὸς τὸν ῥῆγα Φραγγίας Οὔγωνα, τὴν αὐτοῦ θυγατέρα ἐπιζητῶν νυμφευθῆναι τῷ τοῦ Πορφυρογεννήτου υἱῷ Ῥωμανῷ. ἥτις καὶ ἀχθεῖσα μετὰ πλούτου πολλοῦ συνήφθη Ῥωμανῷ. συνεβίωσε δὲ μετ' αὐτοῦ ἔτη πέντε καὶ ἀπέθανεν.

36. Ἐγένετο δὲ καὶ βίαιος ἄνεμος μηνὶ Δεκεμβρίῳ. καὶ καταπεσόντες οἱ λεγόμενοι Δῆμοι συνέτριψαν τὰ κάτωθεν αὐτῶν βάθρα καὶ τὰ λεγόμενα στηθέα.

37. Τῆς πόλεως δὲ Ἐδέσσης πολιορκουμένης παρὰ τῶν Ῥωμαϊκῶν δυνάμεων, στενοχωρηθέντες οἱ Ἐδεσσηνοὶ τοῖς ἐκ τῆς πολιορκίας δεινοῖς διεπρεσβεύσαντο πρὸς βασιλέα, αἰτούμενοι ἀπαναστῆναι τῆς προσεδρείας

52/53 a. circiter 928 **56** a. 943 **59** a. 943/944

cap. 33: Theoph. Cont. 429, 17—430, 21; Zon. III, 478, 4—479, 4 cap. 34: Theoph. Cont. 430, 22—431, 10 cap. 35: Theoph. Cont. 431, 11—431, 19 cap. 36: Theoph. Cont. 431, 20—432, 1 cap. 37: Theoph. Cont. 432, 4—432, 24; Zon. III, 479, 5—479, 10

ACEVBMN DF **47** παρεσπόνδησε κακῶς A παρεσπόνδασεν E ἐποίησε E **48** χρέη M **49** ιθ' EV **50** γραμματεῖα κατακαύσας: γράμματα καύσας B **52** γενέσθαι B ψυχικὸν EB ἐπετείως: ἐτησίως A **52/53** ἐν — μονῇ (μονῇ ante νεουργ. M) VBMN: ἐν τῇ νεουργ. παρ' αὐτοῦ (αὐτῷ E) μονῇ ACE **53** καὶ ante μέχρι add. B **55** α' CE Τουρκῶν M **58** β' C Δευτέρᾳ δὲ ἰνδικτιῶνος M **62** τῷ ante Ῥωμ. add. ACE **64** αὐτῶν βάθρα: αὐταβάθρα B **65** στηθέα ACEVF: στιθέα MN: σταθαῖρα B: στηθαῖα Theoph. Cont. 432, 1 cod. V **66** δὲ post Τῆς B Ἐδέσσης EM: Ἐδέσης ACVBF Theoph. Cont. 432, 4: Αἰδέσης N **67** Ἐδεσσηνοὶ CEVMN: Ἐδεσηνοὶ AF: Ἐδεσινοὶ B **68** τὸν ante βασιλέα add. E ἀπαναστῆναι ACEVN: ἀπαναστῆσαι M: ἀποστῆναι B

τὸν λαόν, καὶ ὑπισχνοῦντο ἀντίλυτρον δοῦναι τὸ τοῦ Χριστοῦ ἅγιον ἐκμαγεῖον. λυθείσης οὖν τῆς πολιορκίας ἐδόθη τὸ θεῖον ἐκτύπωμα καὶ εἰς τὴν βασιλίδα ἤχθη, ὑποδεξαμένου τοῦτο τοῦ βασιλέως μετὰ λαμπρᾶς καὶ πρεπούσης δορυφορίας διὰ τοῦ παρακοιμωμένου Θεοφάνους. |

38. Κατὰ ταύτας τὰς ἡμέρας ἐξ Ἀρμενίας ἐφοίτησε τέρας ἐν τῇ βασιλευούσῃ, παῖδες ἄρρενες συμφυεῖς ἐκ μιᾶς προελθόντες γαστρός. ἐξηλάθησαν δὲ τῆς πόλεως ὡς πονηρὸς οἰωνός. ἐπὶ δὲ Κωνσταντίνου πάλιν εἰσῆλθον. ἐπεὶ δὲ συνέβη τὸν ἕνα τελευτῆσαι, ἐπειράθησαν οἱ ἐμπειρότεροι τῶν ἰατρῶν τὸ νεκρωθὲν ἀποτεμεῖν μέρος. οὗ τμηθέντος τὸ ζῶν ἐπιβεβιωκὸς μικρὸν ἐτελεύτησεν.

39. Ὁ δὲ βασιλεὺς Ῥωμανὸς καὶ πάντας μὲν ἐτίμα τοὺς μοναχούς, διαφερόντως δὲ τὸν μοναχὸν Σέργιον τὸν ἀνεψιὸν Φωτίου τοῦ πατριάρχου, ἀρεταῖς ὄντα κατάκομον καὶ πᾶσι κοσμούμενον τοῖς καλοῖς, ὃς διὰ παντὸς παρῄνει τῷ βασιλεῖ τῶν παίδων ἐπιμελεῖσθαι καὶ μὴ ἀπαιδεύτους τούτους ἐᾶν, μή πως καὶ αὐτὸς πάθῃ τὸ τοῦ Ἠλεί. τῇ δὲ αὐτῇ ἰνδικτιῶνι κατήγαγον τὸν βασιλέα Ῥωμανὸν τοῦ παλατίου καὶ εἰς τὴν Πρώτην ἀγαγόντες νῆσον ἀπέκειραν μοναχόν. τίνες δὲ οἱ τοῦτον κατασπάσαντες τῆς ἀρχῆς, καὶ τίνα τρόπον, ἐν τοῖς ἐπαγομένοις λελέξεται.

71 die 15. mens. Aug. a. 944 **84** die 16. mens. Dec. a. 944

cap. 38: Theoph. Cont. 433, 1—433, 11; Zon. III, 479, 10—479, 14; Glyc. 560, 11—560, 17 cap. 39: Theoph. Cont. 433, 12—434, 18

ACEVBMN F **69** ὑπισχνοῦνται AE **71** τὴν βασιλίδα: τὸν βασιλέα A τοῦτο: τούτου B **72** Θεοφάνους AEVBN: Θεοφάνη M: Θεοφανίου C post Θεοφ. add. ACE: ὅτε καὶ φωνή τις ἐν τῷ ἀέρι ἠκούετο λέγουσα· 'ἀπόλαβε, Κωνσταντινούπολις, δόξαν καὶ χαράν, καὶ σύ, Κωνσταντῖνε Πορφυρογέννητε τὴν βασιλείαν σου' (τὴν βασ. σοῦ: ἐν τῇ βασιλείᾳ σῇ A) cf. Synaxarium ecclesiae Constantinopolitanae ed. H. Delehaye 1902, p. 900 **73** Ἀρμενίας VBMN: Ἀρμενίων ACE τέρας om. B **75** πονηρὸς: κακὸς A **76** τὸν ἕνα: τὸ ἓν B **76/77** οἱ — ἰατρῶν: οἱ τῶν ἰατρῶν ἐμπειρότατοι B **77** τὸ νεκρωθὲν: τὸν νεκρὸν E **78** ζῶν: ζῷον VM **81** κατάκομον ACEVBF: κεκοσμημένον MN διὰ: δὴ V **82** τῷ βασιλεῖ ACE Theoph. Cont. 434, 14: τὸν βασιλέα VBMNF ἐπιμεληθῆναι E **83** καὶ: ὁ B πάθῃ ACVBN: πάθοι E: πάθῃς M Ἠλῆ V αὐτῇ om. B **84** βασιλέα om. ACE **85** ἀπέκειρον B δὲ: τε V **86** ἐπαγομένοις VBMN: ἑπομένοις AC: ἐσομένοις E λέξεται EMN

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΑΛΙΝ ΑΥΤΟΚΡΑΤΩΡ

1. Κωνσταντίνου τοῦ βασιλέως ἐν κομιδῇ νέᾳ τῇ ἡλικίᾳ ἀπορφανισθέντος, καὶ τῶν πραγμάτων ὑπό τε τῆς μητρὸς αὐτοῦ Ζωῆς καὶ τῶν ἐπιτρόπων, οὓς ἔμπροσθεν ἠριθμησάμεθα διοικουμένων, ὁ παρακοιμώμενος Κωνσταντῖνος μεγάλα παρὰ τῇ βασιλίδι δυνάμενος, ἐπ' ἀδελφῇ τε γαμβρὸν ἔχων τὸν μάγιστρον Λέοντα τὸν Φωκᾶν, δομέστικον ὄντα τῶν σχολῶν τῆς ἀνατολῆς, καὶ παρὰ τοῦτο τὰς ἡνίας ἁπάσας τῆς βασιλείας, ὅπῃ καὶ βούλοιτο, περιφέρων, νύκτωρ καὶ μεθ' ἡμέραν ἐμελέτα εἰς τὸν ἑαυτοῦ γαμβρὸν | τὴν βασιλείαν μετενεγκεῖν, τὸν Κωνσταντῖνον ἐκποδὼν ποιησάμενος. ὅπερ συννενοηκὼς ὁ τοῦ Πορφυρογεννήτου παιδαγωγὸς Θεόδωρος, ὡς ἄνωθεν εἴρηται, σπουδὴν ἔθετο τὸν πρεσβύτην Ῥωμανὸν δρουγγάριον τηνικαῦτα τῶν πλωΐμων τυγχάνοντα οἰκειώσασθαι καὶ τοῖς ἀνακτόροις εἰσαγαγεῖν, ὡς τάχα φύλακα καὶ πρόμαχον τοῦ βασιλέως ἐσόμενον. οὑτοσὶ δ' ἀναχθεὶς καὶ ταῖς κατὰ μικρὸν ἀνόδοις τῆς πάσης δυναστείας γενόμενος ἐγκρατὴς οὐκ ἐνέμεινε τοῖς δοθεῖσιν, ἀλλὰ τοὺς δεδομένους ἀθετήσας ὅρκους (ἦν γὰρ φρικωδεστάταις ὁρκωμοσίαις ἑαυτὸν καταδεσμήσας, μὴ ἄν ποτε βασιλείας ἔφεσιν ἐσχηκέναι) ἑαυτόν τε ἀνηγόρευσε βασιλέα, ἑκουσίως τοῦ Πορφυρογεννήτου ἀέκοντί γε θυμῷ (τοῦτο δὴ τὸ Ὁμηρικόν) περιθέντος αὐτῷ τὸ διάδημα, καὶ οὐ μόνον ἑαυτόν, ἀλλ' ἤδη μετὰ μικρὸν καὶ Χριστοφόρον τὸν υἱόν. διαλιπὼν δ' ὀλίγον, καὶ Στέφανον καὶ Κωνσταντῖνον ἀνηγόρευσε τοὺς υἱεῖς. βασιλεὺς δὲ ἀναρρηθεὶς οὐκ ἠγάπησε τῇ ἀναρρήσει, οὐδὲ τὴν δευτέραν χώραν ἔχειν ἠσμένισεν, ἀλλ' ἐκ μέσου τὸν παιδαγωγὸν θέμενος καὶ τοὺς λοιποὺς τοὺς ὅσοι ἐδόκουν προσίστασθαι, πρῶτός τε αὐτοκράτωρ ἀνευφημεῖτο καὶ τὴν πᾶσαν τῶν πραγμάτων

4/5 die 25. mens. Mart. a. 919 9 die 17. mens. Dec. a. 920 11 die 20. mens. Maii a. 921 12 die 25. mens. Dec. a. 924

cap. 1: Zon. III, 480, 1—480, 17; Glyc. 560, 18—561, 4 10 Hom. Δ 43

ACEVBMN F 87 Κωνσταντῖνος — αὐτοκράτωρ ACEV: Βασιλεία Κωνσταντίνου τοῦ Πορφυρογεννήτου in m. B: Κωνσταντῖνος in m. MN 88 νέᾳ: νέῳ C 89 ἀλλὰ post Ζωῆς add. A 91 μεγάλα: μέγα B ἦν post δυνάμενος add. B 92 ἔχων: ἔσχον B 93 ἀπάσης B 1 ὅπερ: ὃ B 3 τυγχάνοντα: ὑπάρχοντα VN 4 καὶ pr.: κἀν B 5 οὑτοσὶ: οὗτος B 6 δυναστείας: δυνάμεως A 7 δεδομένους: διδομένους B φρικωδεστάτοις AC 8—10 ποτε — Πορφυρογεννήτου: γένηται B 8 βασιλείας: βασιλείαν M 9 ἐσχηκέναι: σχεῖν A 13 υἱεῖς VMN: υἱούς ACEB 13—15 ἀναρρήσει — παιδαγωγὸν: ἀναρρήσει προτιμᾶν τὸν Κωνσταντῖνον, ἀλλ' οὐδὲ χώραν τὴν δευτέραν ἔχειν τοῦτον ἠσμένισεν, ἐκ μέσου δὲ τὸν παιδαγωγὸν B 15 τοὺς ὅσοι ἐδόκουν: τοὺς δοκοῦντας B προΐστασθαι E 16 καὶ post τε add. B

διεκόσμει διοίκησιν. μετ' αὐτὸν δὲ ἀνηγορεύοντο οἱ υἱεῖς, καὶ τελευταῖος πάντων ὁ Κωνσταντῖνος. οὗτος τοίνυν ὁ Κωνσταντῖνος σχῆμα μόνον καὶ ὄνομα τῆς βασιλείας ἔχων, τῶν δὲ ἡδέων ταύτης ἐστερημένος, διὰ παντὸς ἐγλίχετο καὶ ἐπηύχετο τὴν πατρῴαν ἐπανασώσασθαι ἀρχήν, τοὺς ἐπεισάκτους ἐκποδὼν θέμενος, τοῦτο δὲ οὐκ ἄλλως ᾤετο ἀγαγεῖν εἰς ἔργον, εἰ μὴ τοὺς υἱοὺς ἐκπολεμώ|σει τῷ πατρί. ὁ μὲν οὖν Χριστοφόρος ἔφθασε τὸν βίον ἀπολιπεῖν, περιῆσαν δ' ἔτι Στέφανος καὶ Κωνσταντῖνος. τούτων ἐγνώκει ἀποπειραθῆναι, μή πως δυνηθῇ ἐκπληρῶσαι τὸ σπουδαζόμενον. καὶ τοῦ μὲν Κωνσταντίνου (ἦν γὰρ στερεωτέρας οὗτος φρενός) ἀποπειραθῆναι οὐκ ἐτόλμησε, τρέψαι δὲ τὴν πᾶσαν μηχανὴν καὶ ἀπόπειραν ἔκρινε πρὸς τὸν Στέφανον, κουφότερόν τε ὄντα τὸν λογισμὸν καὶ ῥᾳδίως μεταφερόμενον, πρὸς ὅ τι καὶ βούλοιτο. λαμβάνει πρὸς τοῦτο συλλήπτορα καὶ συνεργὸν εὐφυῆ τινα ἄνδρα καὶ δόλους πλέξαι καὶ μηχανορραφῆσαι δεινόν. Βασίλειος οὗτος ἐτύγχανεν, ὁ Πετεινὸς τὴν προσηγορίαν, ἐν τῷ τάγματι τῆς ἑταιρείας κατειλεγμένος, καὶ συνήθης καὶ φίλος ἐξέτι νέων ὑπάρχων τῷ Κωνσταντίνῳ. τοῦτον κοινωνὸν προσειλήφει τοῦ σκέμματος, καὶ δι' αὐτοῦ φίλον θέσθαι κατηπείχθη τὸν Στέφανον, λόγοις αἱμυλίοις ὑποκλαπέντα καὶ ἀπάταις καὶ μηχαναῖς παρενηνεγμένον τοῦ λογισμοῦ. πάντα γὰρ τρόπον σπουδάσας ὁ Πετεινὸς τῷ Στεφάνῳ φιλιωθῆναι, ἐπειδὴ πεφιλίωτο, προσῄει τε συνεχῶς καὶ λόγους προσῆγε καὶ συμβουλὰς ὑποκνιζούσας αὐτὸν καὶ κατὰ μικρὸν ἀπαγούσας τοῦ λογισμοῦ, 'ἵνα τί', λέγων, 'ὦ βασιλεῦ, νέος ὢν ἰσχύϊ τε ῥωμαλέος, καὶ ψυχῆς γενναιότητι ὑπερφέρων, καὶ φρονήσει πεπυκνωμένος, τὰ πράγματα παρορᾷς ἀπὸ λεπτοῦ καὶ παλαιοῦ καὶ διερρωγότος μίτου,' τὸν αὐτοῦ πατέρα ὑπαινιττόμενος, ἐξαρτώμενα 'καὶ οὐ διανίστασαι, καὶ τοῦτον μὲν ὡς ἐμπόδιον ταῖς σαῖς γενναιοτάταις ὁρμαῖς ἐκποδὼν ποιεῖς, αὐτὸς δὲ τῶν πραγμάτων ἀντιλαμβάνῃ, δυνάμενος οὐχ ὅπως τὴν Ῥωμαίων | βασιλείαν μόνην, ἀλλὰ

23 mense Aug. a. 931

41 ἀπὸ λεπτοῦ ... μίτου: cf. Sud. μ 1135; Mant. prov. 1, 55

ACEVBMN F 17 διεκόσμει ante 16 τὴν πᾶσαν B οἱ om. M υἱοί A 18 πάντων om. B 19 τῆς βασιλείας: βασιλέως A 20 ἐπεύχετο B αὐτῷ post πατρῴαν add. B ἐπανασώσασθαι VMN: ἐπανασωθῆναι B: ἀνακτήσασθαι A: ἐπανακτήσασθαι CE καὶ post ἀρχὴν add. B 21 θέμενος ACEV: γενέσθαι B: ποιησάμενος MNF ἀγαγεῖν post 22 ἔργον A 22 υἱοὺς AVMN: υἱεῖς CEB 24 ἀποπειρᾶσθαι B δυνηθείη B 27 κουφότερόν ACEMN: κομψότερόν VB 28 τι EVM: τις ACBN 29 πρὸς om. E συνεργὸν καὶ συλλήπτορα B 30 δόλους: λόγους M 32 τοῦ Κωνσταντίνου B 34 κατηπαίχθαι E 35 ἀπάταις: πάνταις M λογισμοῦ VBMN: νοῦ ACE γὰρ om. E 37 προσῄει: προσῆν A 38 ἀπαγούσας — λογισμοῦ: ὑποκνιζούσας τῷ λογισμῷ B τοῦ λογισμοῦ: τῶν λογισμῶν V 39 γενναιοτατ' E 41 τοῦ ante λεπτοῦ add. B καὶ alt. om. M διερρωγότος ACVMN: διερρωγότας E: διερρωγὸς B μίτου: μήτε C ἠρτημένα post μίτου add. B αὐτοῦ: ἑαυτοῦ M 42 σαῖς om. B γενναιοτάταις om. M 43 ἀντιλαμβάνεις M 44 ὅπως: ὅπερ C μόνον B

καὶ πολλὰς ὁμοῦ κυβερνᾶν; ἄγε δή, πείσθητί μοι τὰ λυσιτελῆ συμβουλεύοντι, καὶ διαναστὰς ἀντισχέσθαι θέλησον τῶν πραγμάτων, καὶ τὰ μὲν Ῥωμαίων ἀναθηλῆσαι παρασκεύασον, τὰ δὲ τῶν ἐχθρῶν ταπείνωσον, καὶ δεῖξον ἔργοις αὐτοῖς, ὡς οὐ διὰ κενῆς, οὐδὲ μάτην ἡ ἐπανθοῦσά σοι ὥρα καὶ τὰ λοιπὰ τῆς ψυχῆς ἐκ θεοῦ σοι δεδώρηνται προτερήματα. ἕξεις δὲ εἰς τοῦτο συναγωνιστὴν καὶ συλλήπτορα καὶ τὸν σὸν γαμβρὸν τὸν Πορφυρογέννητον, λίαν θεοκλυτοῦντα καὶ ἱμειρόμενον τῆς τοῦ σοῦ πατρὸς ἐλευθερωθῆναι βαρύτητος καὶ παρὰ σοῦ κατόψεσθαι τὴν βασιλείαν κυβερνωμένην.' τούτοις ὑποσυρεὶς τοῖς λόγοις ὁ Στέφανος κατεσχέθη τῇ τῆς αὐτοκρατορίας ἐπιθυμίᾳ καὶ ἄσχετον ὄρεξιν ἀνεδέξατο τοῦ καταγαγεῖν τὸν ἑαυτοῦ πατέρα τῆς βασιλείας. μέλλων δὲ ἐγχειρεῖν τοῖς δοχθεῖσι καὶ λόγους αἰνιττομένους τὸ σπουδαζόμενον ὑποσπείρει τῷ ἀδελφῷ. ἐπεὶ δὲ οὗτος καὶ πρὸς τὴν πρώτην ἀκοὴν ἄτεγκτος ἦν, καὶ παρῄνει μᾶλλον, μὴ θαρρεῖν τῷ γαμβρῷ, ἀλλὰ τῆς πατρῴας ἐξέχεσθαι ἐνουθέτει πίστεως καὶ φιλίας, τοῦτον μὲν παρῆκεν ὡς ἐμπόδιον μᾶλλον, ἀλλ' οὐ συνεργὸν ἐσόμενον, αὐτὸς δ' ᾠήθη, ὡς ἀνυστόν, ἐγχειρῆσαι τοῖς δεδογμένοις. προσεταιρισάμενος οὖν σὺν τῷ ῥηθέντι Βασιλείῳ καὶ τὸν μοναχὸν Μαριανὸν τὸν υἱὸν Λέοντος τοῦ Ἀργυροῦ, ὑπὸ τοῦ βασιλέως Ῥωμανοῦ λίαν καὶ τιμώμενον καὶ πιστευόμενον, καί τινας ἄλλους σὺν αὐτοῖς, εὐκαιρήσας κατασπᾷ τῆς ἀρχῆς τὸν αὐτοῦ πατέρα, μηνὶ Δεκεμβρίῳ ἑξκαιδεκάτῃ, ἰνδικτιῶνος τρίτης, ἔτους ͵ϛυνγʹ, εἰκοστὸν ἕκτον ἀνύοντα ἐν τῇ βασιλείᾳ ἐνιαυτόν, καὶ τῇ νήσῳ Πρώτῃ περιορίζει, | ἀποκείρας καὶ ἄκοντα τοῦτον μοναχόν.

2. Κατενεχθέντος οὖν τοῦ Ῥωμανοῦ εὐθέως ὁ Στέφανος γενναιότερον ἥπτετο τῶν πραγμάτων, κοινοπραγοῦντα ἔχων τόν τε γαμβρὸν καὶ τὸν ἀδελφόν. ἐπεὶ δὲ μὴ ἐν πᾶσιν ὁμοίως ἠρέσκοντο, ἀλλ' ἔσθ' ὅπῃ καὶ διεφώνουν, ἀρχὴ προσκρουμάτων ἐκ ταύτης τῆς αἰτίας ἐφύετο, καὶ ὑπώπτευον ἀλλήλους καὶ ὑφωρῶντο, τὸν μὲν Πορφυρογέννητον ὁ

cap. 2: Zon. III, 480, 17—482, 5

ACEVBMN FH 45 καὶ dittogr. N τά: τῷ A 46 ἀντισχέσθαι — πραγμάτων: τῶν πραγμ. ἀνθέξεσθαι θέλ. A 47 τῶν ante Ῥωμ. add. ACE παρασκεύασον ACEMN: ποίησον B: θέλησον παρασκευάσας V 50 εἰς τοῦτο om. E 53 κυβερνουμένην V λόγοις: λογισμοῖς B 54 τε ante τῇ add. VB ὄρεξιν ἀνεδέξατο: ἐδέξατο ὄρεξιν B 55 καταγεῖν B ἑαυτοῦ om. A δὲ VMN: δ' ACE δ' ἐγχειρεῖν: διεγχειρεῖν B 56 δοχθεῖσι: δοθεῖσι B ὑποσπείρων C 57 ἄτεκτος B 58 ἔχεσθαι B 59 ἐνουθέτει om. B 60 ὁ ante αὐτὸς add. CE ᾠήθη: ἀνήθη B ὡς ante αὐτὸς A ὡς ἀνυστόν om. B ἀνυστὸν ACE: ἀνοιστὸν VMNF: om. B ἐγχειρεῖ A 61 δεδομένοις E σὺν om. V 62 ὑπό: ὑπὲρ E 64 κατέσπασε B 65 ιϛʹ ACEBMN γʹ ACEBM εἰκοστὸν ϛʹ CE 66 ἐνιαυτὸν post ἀνύοντα B ἐν ante τῇ add. B νήσῳ: νήνῳ N 67 καὶ ante ἀποκείρας add. E 68 γενναιοτέρως V 71 ἀρχὴν B εὐθὺς post ἀρχὴ add. AE προσκρουμάτων ACVF: προσκρουσμάτων EBMN

Στέφανος, ἐκεῖνον δὲ αὖθις ὁ Πορφυρογέννητος, καὶ κατ᾿ ἀλλήλων ἀκόλαστα ἀλλόκοτα. καὶ σπουδὴν μὲν ὁ Στέφανος καὶ ἀγῶνα οὐ τὸν τυχόντα κατεβάλλετο εἰς τὸ καταγαγεῖν τὸν ἀδελφὸν καὶ τὸν γαμβρὸν καὶ μόναρχος ὑπολειφθῆναι τοῖς πράγμασιν. ἀλλ᾿ ἐπεὶ κατὰ τὸν ποιητὴν εἰσὶ καὶ ἄλλα πυρὸς θερμότερα, ἔλαθε παθὼν μᾶλλον ἢ δράσας, τοῦ Κωνσταντίνου, ἐπείπερ ᾔσθετο ἐπιβουλευόμενος, ἀναβολὴν μὴ δεδωκότος τῇ ἐγχειρήσει, πολλὰ καὶ τῆς γυναικὸς αὐτοῦ Ἑλένης ἐρεθισάσης αὐτὸν πρὸς τὸ καταγαγεῖν τῆς βασιλείας τοὺς ἀδελφούς. ἐκφήνας οὖν τὸ μυστήριον τῷ εἰρημένῳ Βασιλείῳ τῷ Πετεινῷ, καὶ δι᾿ αὐτοῦ προσκτησάμενος τὸν Μαριανόν, ἔτι δὲ Νικηφόρον καὶ Λέοντα τοὺς υἱοὺς Βάρδα τοῦ Φωκᾶ, Νικόλαόν τε καὶ Λέοντα τοὺς Τορνικίους, καὶ ἄλλους οὐκ ὀλίγους, μηδὲν ὑφορωμένους τὸν Στέφανον καὶ τὸν Κωνσταντῖνον, κατ᾿ αὐτὸν τὸν καιρὸν τοῦ ἀρίστου συναριστοῦντας αὐτῷ, ἀναρπάστους τίθησι καὶ καταβιβάζει τῶν βασιλείων, τῇ εἰκάδι ἑβδόμῃ τοῦ Ἰαννουαρίου μηνός, τῆς αὐτῆς τρίτης ἰνδικτιῶνος, καὶ πλοιαρίοις ἐνθέμενος ὑπερορίζει τὸν μὲν ἐν τῇ Πανόρμῳ νήσῳ, τὸν Κωνσταντῖ|νον δὲ ἐν τῇ Τερεβίνθῳ. καὶ διὰ Βασιλείου τοῦ Καισαρείας καὶ Ἀναστασίου τοῦ Ἡρακλείας καὶ ἄμφω κληρικοὺς ἀποκείρει, μεταστήσας οὐκ εἰς μακρὰν τὸν μὲν Στέφανον ἐν Προικοννήσῳ, εἶτα ἐν Ῥόδῳ καὶ τελευταῖον ἐν Μιτυλήνῃ, τὸν δὲ Κωνσταντῖνον ἐν Σαμοθρᾴκῃ. ἀλλ᾿ ὁ μὲν Στέφανος μεγαλοψύχως τὰς ἐπενεχθείσας φέρων αὐτῷ τύχας διετέλεσεν ἐπὶ ἔτη ἐννεακαίδεκα βιοτεύων ἐν τῇ Λέσβῳ. ὁ Κωνσταντῖνος δὲ ὀλιγώρως διατεθεὶς καὶ θερμότερον τοῦ δέοντος κατεξανιστάμενος καὶ πολλάκις ἐπιχειρήσας φυγεῖν, μετὰ δεύτερον χρόνον τοῦ τῆς βασιλείας ἐκπεσεῖν τὸν φυλάττοντα τοῦτον δολοφονήσας ὑπὸ τῶν περιλοίπων καὶ αὐτὸς ἀποσφάττεται.

86 die 27. mens. Ian. a. 945

---

76 Aristoph., Equ. 382

ACEVBMN FH 73 δὲ ACEMN: δ᾿ VB ὁ Πορφ.: οὗτος A 73/74 καὶ — ἀλλόκοτα VB (ἀκόλαστα: ἐσκέπτοντο B) MNF: καὶ κατ᾿ ἀλλ. ἕκαστος ἐμελέτα Cedrenus 324, 7/8: om. ACE 75 κατεβάλετο A τὸν — γαμβρὸν ACEMN: τὸν γαμβρὸν καὶ ἀδελφὸν VB 76/77 ἐπεὶ — θερμότερα: πεὶ καὶ ἄλλα πυρὸς εἰσὶ θερμότερα κατὰ τὸν ποιητήν A 78 δεδωκότα C 79 ἐρεθισάσης: ἐρεθιζούσης B 80 πρὸς VBMN: εἰς ACE τὸν ἀδελφόν A 81 προσκτησάμενος post 82 Μαριανὸν A 82/83 τοὺς — Λέοντα om. B 82 υἱεῖς CE 83 Τορνικίας E 85 συναριστοῦντες A αὐτῷ: αὐτῶν M 86 εἰκάδι ἑβδόμῃ V: κζ′ AF: εἰκοστῇ ἑβδόμῃ EB: εἰκοστῇ ζ′ C: εἰκάδι πρώτῃ MN 87 τρίτης om. ACE πλοιαρίοις VMN: πλοίοις ACE: πλοιαρίῳ B θέμενος B ὑπερορίζει post 88 νήσῳ A 88 ἐν τῇ Πανόρμῳ νήσῳ: Στέφανον ἐν Προικονήσῳ B Τερεβίνθῳ: Ῥεβίνθῳ E 91 Προικονήσῳ ACVBMN καὶ μεγαλοφυῶς post μεγαλοψ. add. H 92/93 μεγαλοψύχως — τύχας: τὰς ἐπενεχθ. αὐτῷ συμφοράς, ἢ μᾶλλον τύχας μεγαλοψύχως φέρων B 93 ἐπενεχθείσας VBMN: ἐνεχθείσας ACE φέρων post 92 μεγαλοψύχως AE 94 ὁ δὲ Κωνστ. ὀλιγώρως B 95 θερμοτέρως B 1 φυγεῖν: φυγήν B 2 τοῦτον om. VB περιλοίπων VBMN: ἐπιλοίπων ACE καὶ αὐτὸς ἀποσφάττεται: σφάττεται καὶ αὐτός A

μηνὶ δὲ Ἰουλίῳ τῆς ἕκτης ἰνδικτιῶνος καὶ Ῥωμανὸς ὁ τούτων πατὴρ ἀπέτισε τὸ χρεών, καὶ ἐν τῷ Μυρελαίῳ θάπτεται.

3. Ὁ δὲ Πορφυρογέννητος τὰ ὕποπτα περιελὼν ἐκ μέσου, καὶ μόνος τὴν αὐτοκράτορα περιζωσάμενος ἀρχήν, κατὰ τὸ θεῖον πάσχα τῆς αὐτῆς ἰνδικτιῶνος καὶ τῷ υἱῷ Ῥωμανῷ περιτίθησι διάδημα, τελέσαντος δὴ τὰς εὐχὰς Θεοφυλάκτου τοῦ πατριάρχου. δοκῶν δέ τις γενναῖος ἀναφανῆναι καὶ τῶν τῇ βασιλείᾳ διαφερόντων ἐπιμελέστερον ἀντιλήψεσθαι, εἰ μόνος κατάρξοι, μαλακώτερος ὤφθη τῆς ὑπολήψεως, μηδὲν ἄξιον τῆς εἰς αὐτὸν προσδοκίας ἐπιδειξάμενος. οἴνου τε γὰρ ἥττητο, καὶ τῶν ἐπιπόνων τὰ ῥᾷστα προέκρινε, δυσπαραίτητός τε ἦν ἐν τοῖς πταίσμασι καὶ ἀσυμπαθὴς κολαστής, ἀδιάφορός τε περὶ τὰς προβολὰς τῶν ἀρχηγῶν, οὐκ | ἀριστίνδην ταύτας ἰθύνεσθαι καὶ κατ' ἐπιλογὴν ἐθέλων, ὅπερ ἔργον ἐστὶ μεγαλοπρεποῦς ἐξουσίας, ἀλλὰ τῷ παρατυχόντι ἀρχὴν ἐμπιστεύων, στρατηγίαν τυχὸν ἢ πολιταρχίαν, ἀδοκιμάστως, ὡς ἐκ τούτου συμβῆναι πάντα τινὰ χυδαῖον καὶ διαβεβλημένον εἰς τὰς μεγίστας τῶν πολιτικῶν ἀρχῶν προχειρίζεσθαι, πολλὰ πρὸς τοῦτο συνεργούσης καὶ Ἑλένης τῆς αὐτοῦ γαμετῆς καὶ Βασιλείου τοῦ παρακοιμωμένου, ὠνίους τὰς ἀρχὰς ποιεῖν παρασκευαζόντων. οὐ παντάπασι δὲ ἄμοιρος ἦν καὶ πράξεων ἀγαθῶν ὁ Κωνσταντῖνος. ἢ γὰρ ῥηθῆναι μέλλουσα ἀξιάγαστος οὖσα καὶ θαυμαστὴ ἐπισκιάσαι καὶ ἀμαυρῶσαι ἴσχυσε πολλὰ τῶν αὐτοῦ ἐλαττωμάτων. τὰς γὰρ ἐπιστήμας, ἀριθμητικήν, μουσικήν, ἀστρονομίαν, γεωμετρίαν, στερεομετρίαν, καὶ τὴν ἐν πάσαις ἔποχον φιλοσοφίαν, ἐκ μακροῦ χρόνου ἀμελείᾳ καὶ ἀμαθίᾳ τῶν κρατούντων ἀπολωλυίας οἰκείᾳ σπουδῇ ἀνεκτήσατο, τοὺς

7 non post ver a. 948

---

cap. 3: Zon. III, 482, 6—483, 15; Glyc. 561, 5—561, 17

ACEVBMN F 3 δὲ om. E τῆς ἕκτης ἰνδικτιῶνος: ἰνδικτιῶνος ϛ' A ἕκτης: ϛ ACEBMN τούτων: τούτου B 4 τὸ χρεών: τῶν χρεῶν E θάπτεται: ἐτάφη B 5 ἐκ μέσου περιελὼν A 6 αὐτοκράτορα: τῆς αὐτοκρατορίας B 7 τὸ ante διάδημα add. ACEM 8 δὴ MN: δὲ V: om. ACEB τοῦ πατριάρχου Θεοφυλάκτου A 9 συμφερόντων B ἐπιμελέστερον: γενναιότερον A 10 κατάρξει B μαλακώτερος ACVMN: μαλθακώτερος B: μαλακώτερον E 11 εἰς αὐτὸν om. A 12 ἐπιπόνων: ἐπιπονωτέρων M δυσπαραίνετος C 13 προβολὰς ABMN: προσβολὰς CEV(?) 14 ἀρχηγῶν: ἀρχόντων C οὐκ: οὐ κατ' M ἀριστίνδην: ἀρίστοις ἀνδράσι B 14/15 ἀριστίνδην — ἐθέλων: ἀρίστως καὶ κατ' ἐπιλ. ἐθέλων ταύτας ἰθύνεσθαι A 14 καὶ om. B 15 παρατυχόντι ACEVBF: περιτυχόντι MN 16 πιστεύων B στρατηγίαν: στραταρχίαν A 20 ὠνίου M 21 ἦν ἄμοιρος B ἄμοιρος ἦν post ἀγαθῶν E 24 ἤγουν post ἐπιστήμας add. B 25/26 ἀμελείᾳ καὶ ἀμαθίᾳ VBMN: ἀμαθίᾳ καὶ ἀμελείᾳ ACE Glyc. 561, 16 26 ἀνεκτήσατο VBMN: ἀνεσώσατο (ante οἰκείᾳ A) ACE

ἐφ' ἑκάστῃ τούτων ἀρίστους τε καὶ δοκίμους ἀναζητήσας καὶ εὑρὼν καὶ διδασκάλους ἐπιστήσας καὶ τοὺς σπουδαίους ἀποδεχόμενός τε καὶ συγκροτῶν. διὸ καὶ τὴν ἀλογίαν ἀπελάσας οὐκ ἐν μακρῷ τῷ χρόνῳ ἐπὶ τὸ λογικώτερον μετερρύθμισε τὸ πολίτευμα. ἐπεμελήθη δὲ καὶ τῶν βαναύσων καὶ χειρωνάκτων τεχνῶν, καὶ εἰς ἐπίδοσιν μεγάλην καὶ ταύτας ἀνήνεγκεν. ἦν δὲ καὶ τὰ πρὸς θεὸν εὐσεβὴς καὶ φιλότιμος, μηδέποτε ἐν ταῖς τυπικαῖς τῶν θείων ναῶν προσελεύσεσι κενὸς καὶ ἄκαρπος ὀφθεὶς τῷ θεῷ, ἀλλ' ἀναθήμασι δωρούμενος μεγαλοπρεπέσι καὶ φιλοχρίστῳ βασιλεῖ πρέπουσιν. ἠμεί|ψατο δὲ καὶ τοὺς συνεργήσαντας αὐτῷ πρὸς τὴν τῶν αὐταδέλφων καθαίρεσιν ταῖσδε ταῖς εὐεργεσίαις, Βάρδαν μὲν τὸν Φωκᾶν μάγιστρον τιμήσας καὶ δομέστικον τῶν σχολῶν τῆς ἀνατολῆς, Νικηφόρον τε καὶ Λέοντα τοὺς τούτου υἱεῖς, τὸν μὲν τῶν Ἀνατολικῶν στρατηγόν, τὸν Νικηφόρον, τὸν δὲ τῆς Καππαδοκίας, τὸν Λέοντα, προχειρισάμενος, καὶ Κωνσταντῖνον θάτερον τῶν υἱῶν τῆς Σελευκείας, Βασίλειον δὲ τὸν Πετεινὸν ἐξάρχοντα τῆς μεγάλης ἑταιρείας, Μαριανὸν τὸν Ἀργυρὸν κόμητα τοῦ στάβλου καὶ τὸν Κουρτίκιον Μανουὴλ τῆς βίγλας δρουγγάριον. ἐξευνούχισε δὲ καὶ Ῥωμανὸν τὸν τοῦ Στεφάνου υἱόν, τὸν μετέπειτα σεβαστοφόρον γενόμενον, ἔτι δὲ καὶ Βασίλειον τὸν ἐκ δούλης ἀποτεχθέντα Ῥωμανῷ τῷ γέροντι. Μιχαὴλ δὲ τὸν υἱὸν Χριστοφόρου τοῦ βασιλέως ἀπέκειρε κληρικόν.

4. Ἀδαμαντίνοις δ', ὡς ᾤετο, δεσμοῖς τὴν βασιλείαν ἀσφαλισάμενος καὶ πᾶσαν ὑποψίαν ἀποσεισάμενος, καὶ δόξας ἐν τῷ ἀσφαλεῖ καθεστάναι, μικροῦ δεῖν ἐκινδύνευσε δυσὶ μεγίσταις ἐπιβουλαῖς περιπεσών. Θεοφάνης τε γὰρ ὁ παρακοιμώμενος ἐβουλήθη τὸν πρεσβύτην Ῥωμανὸν ἐκ τῆς νήσου Πρώτης εἰς τὸ παλάτιον ἀγαγεῖν, καὶ ἄλλους οὐκ ὀλίγους

51 Romanus I. die 15. mens. Iun. a. 948 mortuus est

---

cap. 4: Zon. III, 483, 15—484, 6

ACEVBMN DFH **27** τε καὶ δοκίμους om. ACE τε post ἀναζητήσας add. ACE **29** συγκρατῶν M ἀπελαύνων E τῷ VBMNDH: om. ACE **30** μετερρυθμίσατο A **31** ταύτας: ταύτης M **32** ἤνεγκεν B **34** καὶ om. E **34/35** βασιλεῖ φιλοχρίστῳ M **35** πρέπουσιν βασιλεῖ B **35—37** τοὺς — μάγιστρον VBMN: τοὺς εἰς τὴν τῶν αὐταδ. (αὐτῷ add. CE) καθαίρ. συνεργ. μάγιστρον μὲν Βάρδαν τὸν Φωκᾶν ACE **36** αὐταδέλφων ACEVMN: ἀδελφῶν B: γυναικαδελφῶν FH **38** τε VNF: δὲ ACEBM υἱούς A **39/40** προχειρισάμενος τὸν Λέοντα B **40** τῶν υἱῶν AEVMN: τὸν υἱὸν C: τὸν τοῦ Βάρδα υἱὸν B Λευκείας V **41** ἐξάρχοντα ACEMN: ἔξαρχον VB καὶ ante Μαριανὸν add. B δὲ post Μαριανὸν add. ACE **42** καὶ τόν: τὸν δὲ B Κουρτίκιον AEBMN: Κουρτίκην CV Theoph. Cont. 438, 16 **43** καὶ om. B τοῦ om. M **44** σεβαστοφόρος γενόμενος N **45** τῷ ante Ῥωμανῷ add. V **47** ᾤετο: ἐδόκει B **48** καὶ πᾶσαν ὑποψίαν ἀποσεισάμενος om. VB **49** περιπεσὼν ἐπιβουλαῖς CE **50** ἠβουλήθη ACE πρεσβύτην: πρεσβύτερον C

ἔχων συνίστορας. καί τινες δὲ ἕτεροι, ἤτοι Λέων ὁ Κλάδων, Γρηγόριος ὁ Μακεδὼν καὶ Θεοδόσιος ὁ πρῶτος τῶν τοῦ Στεφάνου ἱπποκόμων καὶ Ἰωάννης ὁ ῥαίκτωρ, τὸν Στέφανον ἐβουλεύσαντο ἐκ Μιτυλήνης ἀγαγεῖν καὶ τῇ βασιλείᾳ ἐγκαθιδρῦσαι. ἀλλ' ὑπό τινων συνωμοτῶν μηνυθέντων τῶν βουλευμάτων, ὁ μὲν Θεοφάνης ἐξωρίσθη σὺν τοῖς αὐ|τοῦ συνεργοῖς, οἱ δὲ τοῦ Στεφάνου ἀντιποιούμενοι τυφθέντες καὶ δημευθέντες καὶ τὰς ῥῖνας τμηθέντες ἐξωρίσθησαν.

5. Οὐ διέλιπον δὲ καὶ οἱ Τοῦρκοι εἰσβολὰς εἰς τὴν Ῥωμαίων ποιούμενοι καὶ ταύτην δῃοῦντες, μέχρις οὗ Βουλοσουδὴς ὁ τούτων ἀρχηγὸς τὴν τῶν Χριστιανῶν πίστιν ἀσπάζεσθαι ὑποκριθεὶς κατειλήφει τὴν Κωνσταντίνου. καὶ βαπτισθεὶς ὑπὸ τοῦ βασιλέως ἀναδέχεται Κωνσταντίνου, τῇ τῶν πατρικίων ἀξίᾳ τιμηθεὶς καὶ πλείστων χρημάτων ὑπάρξας κύριος, εἶτ' αὖθις οἴκαδε ὑποστρέψας. μετ' οὐ πολὺ δὲ καὶ Γυλᾶς, ἄρχων ὢν καὶ αὐτὸς τῶν Τούρκων, εἴσεισιν εἰς τὴν βασιλίδα καὶ βαπτίζεται, τῶν ἴσων ἀξιωθεὶς καὶ αὐτὸς εὐεργεσιῶν καὶ τιμῶν. ἀνελάβετο δὲ μεθ' ἑαυτοῦ καί τινα μοναχὸν Ἱερόθεον τοὔνομα, δόξαν εὐλαβείας ἔχοντα, ἐπίσκοπον Τουρκίας παρὰ τοῦ Θεοφυλάκτου χειροτονηθέντα, ὃς ἐκεῖσε γενόμενος πολλοὺς ἀπὸ τῆς βαρβαρικῆς πλάνης εἰς τὸν χριστιανισμὸν ἐπανήγαγεν, ἀλλ' ὁ μὲν Γυλᾶς ἐνέμεινε τῇ πίστει, μητ' αὐτὸς ἔφοδόν ποτε κατὰ Ῥωμαίων πεποιηκώς, μήτε τοὺς ἁλισκομένους Χριστιανοὺς ἀτημελήτους ἐῶν, ἀλλ' ἐξωνούμενος καὶ ἐπιμελείας ἀξιῶν καὶ ἐλευθερῶν. Βουλοσουδὴς δὲ τὰς πρὸς θεὸν συνθήκας ἠθετηκὼς πολλάκις σὺν παντὶ τῷ ἔθνει κατὰ Ῥωμαίων ἐξήλασε. τὸ αὐτὸ δὲ τοῦτο καὶ κατὰ Φράγγων ποιῆσαι διανοηθεὶς καὶ ἁλοὺς ἀνεσκολοπίσθη ὑπὸ Ὤτου τοῦ βασιλέως αὐτῶν.|

68 Theophylactus a. 956 mortuus est 75 non multum post diem 11. mens. Aug. a. 955; de morte Bultzu cf. Annales Sangall. mense Maii a. 955 et Jahrbücher d. dt. Geschichte: Otto d. Große von R. Köpke u. E. Dümmler, 1876, p. 261 seq.

cap. 5: Zon. III, 484, 7–484, 19

ACEVBMN F 54/55 καὶ Ἰωάννης ὁ ῥαίκτωρ om. ACE 55 ὑπό: ἀπό E 57 καὶ δημευθέντες om. E 59 διέλιπον ACEMN: διέλειπον VB (?) καὶ om. M Ῥωμαίων: Ῥωμανίαν B 60 ταύτην: ταῦτα C Βουλοσουδὴς ECV: Βολοσδῆς A: Βουλοσουδῆς B: Βολοσοδῆς M: Βουλοσοδῆς N: Βολοσουδὴς Zon. III, 484, 9 61 ἀσπάσασθαι B 62 Κωνσταντίνου: πόλιν A 64 Γυλᾶς ACVN: Βλᾶς E: Γυλάς BM 65 ἄρχων — αὐτὸς ACEVB: ἄρχων καὶ αὐτὸς ὢν MN 66 καὶ αὐτὸς om. ACEVB 68 ἔχοντος E ἐπίσκοπον — χειροτονηθέντα om. ACE 69 εἰς: πρὸς B 70 ἐπανήγαγεν: μετήγαγεν B Γυλᾶς ACVBN: Βλᾶς E: Γυλάς M ἐνέμεινε ACEMN: ἐπέμεινε V: ἐπέμενε B 71 ποτε EF: ποτὲ post Ῥωμαίων AN: om. CVBM Χριστιανοὺς om. B 72 καὶ pr. om. B 73 Βουλοσουδὴς CEVN: Βολοσδὴς A: Βολοσυδὴς B: Βολοσοδὴς M 75 Φραγγῶν E

6. Καὶ ἡ τοῦ ποτε κατὰ Ῥωμαίων ἐκπλεύσαντος ἄρχοντος τῶν Ῥῶς γαμετή, Ἔλγα τοὔνομα, τοῦ ἀνδρὸς αὐτῆς ἀποθανόντος παρεγένετο ἐν Κωνσταντινουπόλει. καὶ βαπτισθεῖσα καὶ προαίρεσιν εἰλικρινοῦς ἐπιδεικνυμένη πίστεως, ἀξίως τιμηθεῖσα τῆς προαιρέσεως ἐπ' οἴκου ἀνέδραμε.

7. Τῆς δὲ τῷ Ῥωμανῷ νυμφευθείσης κόρης τῆς Οὔγωνος παιδὸς ἀποθανούσης, ὡς εἴπομεν, παρθένου, νυμφεύεται αὐτῷ ὁ βασιλεὺς καὶ πατὴρ ἑτέραν γυναῖκα, οὔ τινα τῶν ἀπιφανῶν, ἀλλ' ἐκ χυδαίων φυεῖσαν καὶ τὴν τέχνην καπήλων, Ἀναστασὼ καλουμένην, Θεοφανὼ δ' ὑπ' ἐκείνου μετονομασθεῖσαν.

8. Τοῦ ἀμηρᾶ δὲ τῆς Ταρσοῦ ἐκστρατείαν κατὰ Ῥωμαίων ποιησαμένου, ἐν τῇ κώμῃ δὲ τῇ Ἡρακλέος λαὸν πεπομφότος εἰς προνομήν, πρεσβύτερός τις Θέμελ ὀνομαζόμενος τὴν ἀναίμακτον ἐπιτελῶν λειτουργίαν, ὡς ἔγνω τὴν τῶν Σαρακηνῶν ἔφοδον, λιπὼν τὴν ἱερουργίαν, καὶ ὡς εἶχε στολῆς ἐξελθών, λαβόμενός τε ταῖς χερσὶ τοῦ σημαντῆρος τῆς ἐκκλησίας, ἐν τούτῳ τοὺς ἐπιόντας ἠμύνετο, καὶ πολλοὺς μὲν ἐτραυμάτισεν, ἀπέκτεινε δὲ καὶ ἱκανούς, τοὺς δὲ λοιποὺς εἰς φυγὴν ἐτρέψατο. ἀποκλεισθεὶς δὲ παρὰ τοῦ ἐπισκόπου τῆς ἱερουργίας, ἐπεὶ μὴ ἔπειθε συγχωρηθῆναι, τοῖς Ἀγαρηνοῖς προσερρύη καὶ τὸν χριστιανισμὸν ἐξωμόσατο, καὶ σὺν αὐτοῖς ἐξιὼν οὐ μόνον Καππαδοκίαν καὶ τὰ ἐγγίζοντα ταύτῃ ἐδῄου θέματα, ἀλλὰ δὴ καὶ μέχρι τῆς μικρᾶς λεγομένης Ἀσίας | ἔφθασεν. ὅσα δὲ δεινὰ διεπράξατο, οὐδὲ γράφειν ἡμῖν θεμιτόν.

9. Ἤδη δέ, ὡς εἴπομεν, προχειρισθεὶς δομέστικος τῶν σχολῶν

78 autumno a. 957 83 fortasse a. 956

cap. 6: Zon. III, 484, 19—485, 3 cap. 7: Zon. III, 485, 3—485, 10; Glyc. 561, 17—561, 21 cap. 8: Glyc. 561, 22—562, 13

ACEVBMN FH 77 ἡ om. B ἄρχιτος V 78 Ῥῶς BN: Ῥὼς ACEM: Ῥῶν V 79 εἰλικρινῶς B 80 ἐπιδειξαμένη H 82 τῷ Ῥωμανῷ: τῶν Ῥωμανῶν C Οὔγωνος ACEV: Οὔγονος F: Σύγγονος MN; Οὔγγονος B 85 δ': δὲ CE 85/86 δ' — μετονομασθεῖσαν: ὑπ' ἐκείνου δὲ ὀνομασθεῖσαν A 86 ἐκείνων B μετονομασθεῖσαν VBMN: ὀνομασθεῖσαν ACE 88 Ἡρακλέους M(?) Glyc. 562, 1 εἰς: πρός B 89/90 ἀναίμακτον — λειτουργίαν: ἀναίμακτον καὶ ἱερὰν θυσίαν ἐπιτελῶν A 90 ὡς — ἱερουργίαν ACEVBF: om. MN 91 καὶ om. ACE 91/92 λαβόμενος (λαμβανόμενος B) — ἐκκλησίας VBMN: λαβόμενός τε τοῦ σημαντῆρος ταῖς χερσίν (ταῖν χεροῖν A) ACE 92 τούτῳ ACEVB: ταύτῃ MN: αὐτῇ F 93 καὶ om. EB ἐτρέψατο εἰς φυγήν H 94 ἀποκλεισθεὶς AVBMN: ἀποκνισθεὶς C: ἀποκισθεὶς E τοῦ ἐπισκόπου: τῶν ἐπισκόπων C ἱερουργίας: λειτουργίας E 1 ἐγγίζοντα VBMN: πλησιάζοντα ACE 3 θέματα ἐδῄου M 3 θεμιτόν: δυνατόν B 4 τῶν σχολῶν: τῆς ἀνατολῆς B τῆς ἀνατολῆς post σχολῶν add. V

Βάρδας ὁ Φωκᾶς οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἀπειργάσατο. ὁπότε μὲν γὰρ ὑφ' ἑτέρους ἐτάττετο, στρατηγὸς θαυμαστὸς ἀνεφαίνετο, ὁπηνίκα δὲ ἡ ἐξουσία τῶν στρατευμάτων ἁπάντων τῆς ἑαυτοῦ γνώμης ἐξήρτητο, ὀλίγα, ἢ οὐδὲν ὤνησε τὴν Ῥωμαίων ἀρχήν. νοσήσας γὰρ τὴν πλεονεξίαν ἐξέστη τῶν ἑαυτοῦ λογισμῶν. ὅθεν καί ποτε τοῖς τοῦ Χαμβδᾶν ἀπροσδοκήτως περιπεσών, πάντων, ὥς φασι, καταλελοιπότων αὐτόν, μικροῦ δεῖν αἰχμάλωτος ἐγεγόνει, εἰ μὴ συνασπίσαντες οἱ θεράποντες τῆς αἰχμαλωσίας αὐτὸν ἐλυτρώσαντο. ἐτρώθη δὲ κατὰ τὸ μέτωπον γενναίῳ καὶ βαθεῖ τῷ τραύματι, ὡς καὶ μέχρι τελευτῆς ἁδρὰν τὴν οὐλὴν περιφέρειν. Νικηφόρος δὲ καὶ Λέων οἱ τούτου υἱοί, ἐφύπερθεν παντὸς ὄντες αἰσχροῦ λήμματος καὶ τοὺς ὑπηκόους ὡς γνησίους υἱοὺς περιέποντες, μεγάλα τὴν τῶν Ῥωμαίων ἀρχὴν ὠφέλησαν. καὶ τὰ μὲν τοῦ Νικηφόρου προτερήματα, ἵνα μὴ τὸ τῆς ἱστορίας συνεχὲς διακόπτηται, ἐν τοῖς περὶ ἐκείνου λελέξεται. ὁ δὲ Λέων Ἀπολασαεὶρ, ἐπίσημον ἄνδρα καὶ τοῦ Χαμβδᾶν συγγενῆ, σὺν ἀπείρῳ πλήθει κατὰ Ῥωμαίων ἐξελθόντα τρεψάμενος καὶ κατασχὼν ἐν Κωνσταντινουπόλει ἀπέστειλε, τοῦ ἄλλου πλήθους τὸ μὲν ἐν τῇ τοῦ πολέμου προσβολῇ κατακτείνας, τὸ δὲ ζωγρήσας. ὃν ἀχθέντα πρὸς τὴν βασιλίδα ὁ βασιλεὺς Κωνσταντῖνος θρίαμβον ποιήσας καὶ | κατὰ τοῦ τραχήλου πατήσας τιμαῖς τε καὶ δωρεαῖς ἐφιλοφρονήσατο. Κωνσταντῖνον δὲ τὸν λοιπὸν υἱὸν τοῦ Φωκᾶ ζωγρίαν λαβὼν ὁ Χαμβδᾶν καὶ εἰς τὸ Χάλεπ ἀγαγών, καὶ πολλὰ σπουδάσας εἰς τὴν μυσαρὰν αὐτοῦ θρησκείαν τοῦτον μεταγαγεῖν, ὡς οὐκ ἔπεισε, φαρμάκοις αὐτὸν διέφθειρε. τῇ ἀκοῇ δὲ ταύτῃ περιαλγὴς γενόμενος ὁ Βάρδας πάντας, οὓς κατεῖχεν αἰχμαλώτους συγγενεῖς τοῦ Χαμβδᾶν ξίφει κατέκοψε. καὶ παρὰ τοῦτο ὁ τὸ ἀλλάγιον πεμφθεὶς ποιήσασθαι Παῦλος μάγιστρος ὁ Μονομάχος ἄπρακτος ὑπέστρεψεν. ἀσχέτῳ δὲ περιωδυνίᾳ διὰ τοὺς συγγενεῖς ληφθεὶς ὁ Χαμβδᾶν ἐκστρατεύει κατὰ

12 a. 953 **30** mense Iun. a. 954

ACEVBMN DFH **5** ἀπειργάσατο: διεπράξατο A ὁπότε VBMN: ὅτε ACE **6** ἐτάττετο VBMN: ἐτάσσετο ACE ἀνεφαίνετο: ἀνετάσσετο C **7** ἑαυτοῦ: αὐτοῦ B **9** τοῖς τοῦ: τῷ B Χαμβδᾶν CEV: Χαμβδὰν ABF: Χαβδᾶν MNH: Χαβδὰν D **12** τῆς — ἐλυτρώσαντο: αὐτὸν τῆς αἰχμ. ἐρρύσαντο A κατὰ: καὶ B **13** γενναίῳ — τραύματι: γενναίῳ τραύματι καὶ βαθεῖ B τῷ om. ACEB **14** ἐπιφέρειν B υἱοί ACEB: υἱεῖς VMNF **15** ὄντες παντὸς H **16** μεγάλως CE τῶν om. ACE **17** διασκόπτηται C **18** λέξεται E Ἀπολασαὴρ B **19** καὶ — συγγενῆ: καὶ συγγενῆ τοῦ Χαμβδὰν A Χαμβδᾶν EV: Χαμβᾶν C: Χαβδᾶν BMN **20** ἐξελθόντα VBMN: ἐξιόντα ACE **21** ἄλλου om. A κτείνας H **23** τε om. A **24** Φωκᾶ: Βάρδα B **25** Χαμβδᾶν A: Χαμβδὰν C: Χαμδὰν V: Χαβδᾶν EMN: Χαμδὰν B Χάλεπ AEVB: Χάλεπε CMNH ἀπαγαγὼν A **26** μεταγαγεῖν: ἀγαγεῖν C **27/28** ὁ Β. γενόμενος B **28** Χαμβδᾶν: Χαμβδὰν ACV: Χαβδᾶν EMN: Χαμδὰν B **29** ποιήσεσθαι A **30** Μονομάχος: μοναχὸς BMH **31** ληφθεὶς: περιληφθεὶς, post περιωδ. B Χαμβδᾶν: Χαμβδὰν ACVN: Χαβδᾶν EM: Χαμδὰν B

Ῥωμαίων, ἄγων μετ' αὐτοῦ καὶ τὸν παρὰ βασιλέως πεμφθέντα ὡς αὐτὸν πρεσβευτὴν περὶ εἰρήνης, Νικήταν πατρίκιον τὸν Χαλκούτζην, καὶ πολλοὺς κἀγαθοὺς ἄνδρας τῶν ἀνδρειοτάτων καὶ γενναίων Ῥωμαίων ἐζώγρησε. τοῦ δὲ Νικήτα λάθρᾳ τῷ Φωκᾷ μηνύοντος πάντα τὰ βουλευόμενα τῷ Χαμβδᾶν καὶ τὰς ὁδούς, ὅθεν μέλλει ποιήσασθαι τὴν ὑποστροφήν, λόχους ὁ Φωκᾶς ἐγκαθίζει περί τινα τόπον εἴσοδον ἔχοντα στενὴν καὶ κρημνώδη, ἐν ᾧ γενόμενος ὁ Χαμβδᾶν, ἐπεὶ κατὰ μέσην ἐγένετο τὴν στενοχωρίαν, κυκλοῦται παρὰ τῶν λόχων. ἐξαναστάντες γὰρ τῆς ἐνέδρας οἱ ἐπὶ τούτῳ τεταγμένοι πέτρας τε ὑπερμεγέθεις κατ' αὐτῶν ἐκύλιον καὶ βέλη εἰς αὐτοὺς ἔπεμπον παντοδαπά. καὶ ὁ μὲν Χαλκούτζης προευτρεπισάμενος καὶ δώροις ὑποποιησάμενός τινας τῶν Σαρακηνῶν τῆς φυγῆς ὑπηρέτας, ἔλαθεν ἀποδρὰς μετὰ | πάντων αὐτοῦ τῶν οἰκείων, τῶν Ἀγαρηνῶν δὲ πέπτωκε πλῆθος ἀμύθητον. ὁ δὲ Χαμβδᾶν οὓς εἶχε δεσμίους ἀποσφάξας, σὺν ὀλίγοις ἀκλεῶς καὶ ἀτάκτως τὸν κίνδυνον ἴσχυσε διαφυγεῖν.

10. Ἔτει δὲ δωδεκάτῳ τῆς Κωνσταντίνου βασιλείας, τοῦ δὲ κόσμου ἑξακισχιλιοστῷ τετρακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ, μηνὶ Φεβρουαρίῳ εἰκάδι ἑβδόμῃ, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, κατέλυσε τὸν βίον Θεοφύλακτος ὁ πατριάρχης, ἀρχιερατεύσας ἐπ' ἔτη εἴκοσι καὶ τρία, ἡμέρας εἰκοσιπέντε, ἑξκαίδεκα μὲν ἐτῶν ὤν, ὅτε τοὺς τῆς ἐκκλησίας ἀκανονίστως παρείληφεν οἴακας, ὑπὸ παιδαγωγοὺς δέ, φεῦ μοι, ὁ ἀρχιερεὺς μέχρι τινὸς διετέλεσε. καὶ εἴθε γε διὰ παντὸς τοῦτο ἦν. ἐδόκει γὰρ εἶναι σεμνὸς καὶ μέτριος. τῆς ἐντελεστέρας δὲ ἡλικίας ἀρξάμενος ἤδη, καὶ καθ' ἑαυτὸν βιοῦν ἐαθεὶς οὐδὲν τῶν αἰσχίστων καὶ παντελῶς ἀπηγορευμένων πράττειν ἐνέλιπεν, ὠνίους προτιθεὶς τοὺς τῆς ἐκκλησίας βαθμοὺς

48 a. 956

---

cap. 10: Zon. III, 485, 11—486, 14; Glyc. 562, 14—563, 11; Balsamon, PG 137, c. 728

ACEVBMN FH **32** μεθ' ἑαυτοῦ B τοῦ ante βασιλέως add. CB **34** οὓς ante πολλοὺς add. B κἀγαθοὺς: ἀγαθοὺς M **35/36** τὰ — Χαμβδᾶν: τὰ τῷ Χαμδὰν βουλευόμενα A βουλευόμενα: βεβουλευμένα E **36** Χαμβδᾶν: Χαμβδὰν ACVN: Χαβδᾶν EM: Χαμδὰν B μέλλει: ἔμελλε B ποιήσεσθαι A **37** λόγχους B περὶ EVB: παρά ACMNH **38** Χαμβδᾶν: Χαμβδάν ACVN: Χαβδᾶν EM: Χαμδάν B **39** λόγχων B γὰρ VBMN: δὲ ACE **40** παμμεγέθεις B **41** ἐπέμποντο B **42** ὡς ἔχειν αὐτοὺς post Σαρ. add. B **43** αὐτοῦ τῶν: τῶν αὐτῷ B **44** πέπτωκεν ἀμύθητον πλῆθος B Χαμβδᾶν C: Χαμβδὰν AVN: Χαβδᾶν EM: Χαμδὰν B **45** ἀτάκτως: ἀδόξως B **46** φυγεῖν B **47** δωδεκάτῳ VMN: ιβ' AE: β' C: τῷ δεκάτῳ B **48** ,ϛυξδ' ACEBMN **49** εἰκάδι ἑβδόμῃ: κζ' B ἑβδόμῃ: ζ' AC ἰνδ. τεσσ. om. B ιδ' ACEMN **50** ἐπ': ἐπὶ B **51** κε' ACEB **52** μοι om. EB **53** διετέλεσε. καὶ: διετέλεσεν. ὡς B **53** εἶναι — 267, 69 τῆς Σικελίας m. rec. in A **54** δὲ: τε E ἀρξάμενος: ἀψάμενος CE **55** οὐδὲν: οὐδὲ A παντελῶς: παντὶ B **56** πράττειν CEVBNF: πράττων AM ἐνέλιπεν VBMN: ἐνελίπησεν A: ἐπέλιπεν CE

καὶ τὰς προβολὰς τῶν ἀρχιερέων, καὶ ἄλλα πράττων, ὅσα τοῖς ἀληθινοῖς ἀρχιερεῦσιν ἀπεοικότα ἐτύγχανεν, ἱππομανῶν καὶ κυνηγεσίοις ἐνασχολούμενος, καὶ λοιπὰς ἀπρεπεῖς διαπραττόμενος πράξεις, ἃς κατὰ μέρος διεξιέναι πρὸς τῷ ἀπρεπεῖ καὶ ἀθέμιτον. μιᾶς δὲ δίκαιον ἐπιμνησθῆναι εἰς ἔνδειξιν τῆς ἀπαιδεύτου γνώμης αὐτοῦ. ἔρως αὐτὸν κατεῖχεν ἄσχετος τῆς τῶν ἵππων κτήσεως, καὶ λέγεται ὑπὲρ δισχιλίους πορίσασθαι, ὧν τῆς κομιδῆς διὰ παντὸς ἐφρόντιζεν, οὐ χόρτον αὐτοῖς παρατιθεὶς καὶ κριθάς, κώνων δὲ καρποὺς καὶ θάσια καὶ πιστάκια, ἔτι τε φοινίκων καὶ ἰσχάδων καὶ σταφίδων τὰ λιπαρώτερα, | εὐωδεστάτῳ οἴνῳ μιγνύς, καὶ κρόκον καὶ κιννάμωμον καὶ βάλσαμον καὶ ἕτερα ἀρώματα τοῖς ῥηθεῖσι συμφύρων, ἑκάστῳ τῶν ἵππων παρετίθει βρῶσιν. φασὶ δ', ὅτι λειτουργοῦντί ποτε αὐτῷ κατὰ τὴν μεγάλην τοῦ θείου δείπνου πέμπτην ἡμέραν, καὶ τὰς εὐχὰς ἤδη τῶν μυστηρίων ἀναγινώσκοντι, ὁ τὴν ἐπιμέλειαν τῶν ἵππων ἐπιτετραμμένος διάκονος ἐπιστὰς εὐαγγέλιον τούτῳ κεκόμικεν, ὡς ἄρα τετοκυῖα εἴη ἡ ἐπισημοτάτη φορβάς, προσθεὶς καὶ τὸ ὄνομα. ὁ δ' ὑπὸ περιχαρείας τὸ τῆς θείας λειτουργίας ὑπόλοιπον ὡς ἔτυχεν ἐκπληρώσας δρομαῖος ἀφικνεῖται πρὸς τὸ Κοσμίδιον, καὶ τὸν τεχθέντα πῶλον ἑωρακὼς καὶ τοῦ ἀλόγου θεάματος ἐμφορηθεὶς ὑπέστρεψεν εἰς τὴν μεγάλην ἐκκλησίαν, τὴν τῶν ἁγίων παθῶν τοῦ σωτῆρος ἡμῶν καὶ θεοῦ ἐκτελέσων ὑμνῳδίαν. ἔργον ἐκείνου καὶ τὸ νῦν κρατοῦν ἔθος, ἐν ταῖς λαμπραῖς καὶ δημοτελέσιν ἑορταῖς ὑβρίζεσθαι τὸν θεὸν καὶ τὰς τῶν ἁγίων μνήμας διὰ λυγισμάτων ἀπρεπῶν καὶ γελώτων καὶ παραφόρων κραυγῶν τελουμένων τῶν ἑωθινῶν ὕμνων, οὓς ἔδει μετὰ κατανύξεως καὶ συντριμμοῦ καρδίας ὑπὲρ τῆς ἑαυτῶν ἡμᾶς σωτηρίας προσφέρειν θεῷ. πλῆθος γὰρ συστησάμενος ἐπιρρήτων ἀνδρῶν καὶ ἔξαρχον αὐτοῖς ἐπιστήσας Εὐθύμιόν τινα Κασνὴν λεγόμενον, ὃν αὐτὸς δομέστικον τῆς ἐκκλησίας προὐβάλλετο, τὰς Σατανικὰς ὀρχήσεις καὶ

ACEVBMN FH 57 προσβολὰς C πράττων: ποιῶν B 58 ἀπέοικεν B ἐτύγχανεν VMN: ἐτύγχανον AE: om. B 59 ἀσχολούμενος B ἅς: ἃ B 60 πρός: σὺν A 61 αὐτὸν om. A κατέσχεν B 62 τῆς τῶν om. B 63 χύρτον B παρατιθεὶς ACEVBN: παραθεὶς M: τιθεὶς E 64 κριθήν B καρποὺς δὲ κώνων B τε CEVMN: δὲ A: om. B καὶ ante φοιν. add. MN 65 σταφ. καὶ ἰσχ. A ἀσταφίδων V 66 ἕτερα: ἄλλα B 67 συμφέρων E βρῶσιν: βρώμασιν M 68 κατὰ τὴν μεγάλην ἐκκλησίαν καὶ ante κατὰ add. B δείπνου om. C 69 ἀναγινώσκοντος A 69/70 ὁ — ἵππων: ὁ τῶν ἵππων τὴν ἐπιμέλειαν B 70 εὐαγγέλιον ACEMN: εὐαγγέλια VB Zon. III, 486, 6 τούτῳ: τοῦτο A 72 δ' AVMN: δὲ CEB 73 ὡς — ἐκπληρώσας ACEMN: ὡς ἔτυχε, πληρώσας V: ὡς ἐτύγχανεν σπουδῇ πληρώσας B ἐκπληρώσας: ἐκτελέσας C ἀφικνεῖτο B πρός: εἰς E 74 θέματος A 75 καὶ ζωοποιῶν post ἁγίων add. B 76 σωτῆρος — θεοῦ ACEVBF: θεοῦ καὶ σωτῆρος ἡμῶν MN 77/78 τὸν θεόν: τὸ θεῖον B 78 λογισμάτων A 79 ἑωθινῶν: θείων A 80 συντετριμμένης B σωτηρίας ἡμῶν B ἡμᾶς: ἡμῶν BM 81 τῷ ante θεῷ add. A συστησάμενος post ἀνδρῶν B 82 Κασνῆν AC 83 καὶ ante δομέστικον add. M προὐβάλλετο ACEVB: προὐβάλετο MN: προὐβάλλεται F

τὰς ἀσήμους κραυγὰς καὶ τὰ ἐκ τριόδων καὶ χαμαιτυπείων ἠρανισμένα ᾄσματα τελεῖσθαι ἐδίδαξεν. οὕτως δὲ βιοτεύων καταστρέφει τὸν βίον ἐν τῷ ἀτάκτως ἱππάζεσθαι, ἔν τινι τείχει τῶν | παραθαλαττίων θραυσθεὶς καὶ αἷμα ἀναγαγὼν διὰ τοῦ στόματος, ἐπὶ δύο δ' ἔτη νοσηλευόμενος καὶ ὑδέρῳ περιπεσὼν ἐτελεύτησε.

11. Καὶ χειροτονεῖται κατὰ τὴν τρίτην τοῦ Ἀπριλλίου μηνός, τῆς αὐτῆς ἰνδικτιῶνος, ἀντ' αὐτοῦ πατριάρχης Πολύευκτος μοναχός, τῆς Κωνσταντίνου καὶ θρέμμα τυγχάνων καὶ παίδευμα, ὑπὸ τῶν γονέων μὲν εὐνουχισθείς, ἐπὶ πολὺν δὲ χρόνον τῇ μοναδικῇ πολιτείᾳ ἐνδιαπρέψας. ὃν ὁ βασιλεὺς διὰ τὸ τῆς σοφίας ὑπερβάλλον καὶ τὴν τοῦ ἤθους ἁπλότητα καὶ ἀκτημοσύνην χειροτονεῖ πατριάρχην, οὐ τοῦ Ἡρακλείας, ὡς ἔθος, ἀλλὰ Βασιλείου τοῦ Καισαρείας τὴν χειροθεσίαν πεπληρωκότος. Νικηφόρος γὰρ ὁ τῆς Ἡρακλείας πρόεδρος τῷ βασιλεῖ κατά τι προσκεκρουκὼς οὐ συνεχωρήθη τὴν χειροθεσίαν ποιήσασθαι. ὅθεν καὶ ψόγος οὐχ ὁ τυχὼν προσετρίβη οὐ τῷ προτρέψαντι μόνον καὶ τῷ χειροθετήσαντι, ἀλλὰ καὶ αὐτῷ τῷ χειροτονηθέντι, ὡς καταδεξαμένῳ τὴν ἀκανόνιστον χειροθεσίαν. χειροτονηθεὶς δ' ὅμως καὶ παρρησιασάμενος τὴν ἀλήθειαν πολλὴν καταδρομὴν ἐποιεῖτο τῆς πλεονεξίας τῶν συγγενῶν τοῦ πρεσβύτου Ῥωμανοῦ, κἂν τῷ μεγάλῳ σαββάτῳ τὸν βασιλέα εἰς τὴν μεγάλην ἐκκλησίαν ἐλθόντα ἐνῆγε πρὸς τὴν τῶν πραχθέντων ἐκδίκησιν. ὅπερ οὐχ ἡδέως οὗτος ἐδέξατο. ἀλλὰ καὶ Βασίλειος, ὁ μετὰ ταῦτα παρακοιμώμενος, ὁ ἀπὸ δούλης τεχθεὶς τῷ πρεσβύτῃ Ῥωμανῷ, Ἑλένην τὴν αὐτοῦ ἀδελφὴν καὶ δέσποιναν ὑποποιησάμενος, οὕτω παρεσκεύασε καὶ διέθηκε τὸν Κωνσταντῖνον, μὴ μεταγινώσκειν μόνον ἐπὶ τῇ τοῦ | πατριάρχου προβολῇ, ἀλλὰ καὶ ζητεῖν ἀφορμήν, πῶς ἂν αὐτὸν καταγάγοι τοῦ θρόνου, πολλὰ καὶ Θεοδώρου τοῦ Κυζίκου κατ' αὐτοῦ διερεθίζοντος τοῦτον.

89 a. 956

cap. 11: Zon. III, 486, 14—487, 8; Glyc. 563, 11—563, 20

ACEVBMN H **84** κραυγὰς: φωνὰς B τὰ: τὴν B ἠρανισμένα om. CE **85** ἐδίδαξεν: ἔδειξεν A δὲ ACEMN: οὖν VB οὕτως — βίον om. A **86** τείχῳ M παραθαλαττίων VBMN Glyc. 563, 7: παραθαλασσίων ACE Zon. III, 486, 12 **87** ἀγαγὼν M διὰ ACEVB: ἐκ MN δ' AVBMN: δὲ E: om. C **90** ἰνδικτιῶνος om. C **91** Κωνσταντίνου: Κωνσταντινουπόλεως AH γέννημα add. ante καὶ θρέμμα A **93/94** σοφίας — καὶ: τοῦ ἤθους σεμνὸν καὶ τὸ τῆς σοφίας ὑπερβάλλον καὶ τὴν A **95** ἀλλὰ — Καισαρείας: ἀλλὰ τοῦ Καισαρείας Βασιλείου CE πεπληρωκότος: πεποιηκότος B **1** Νικηφόρος γάρ: Νικήτας γάρ φησιν B γὰρ om. C **4** χειροθετήσαντι: χειροτονήσαντι CEB **5** χειροθεσίαν: χειροτονίαν ταύτην A δ' AVBMN: δὲ CE **6** πλεονεξίας post **7** Ῥωμανοῦ B **8** ἀνελθόντα B **10** ὁ alt. om. B πρεσβυτέρῳ A **12** καὶ διέθηκε om. CE ὡς post Κωνστ. add. B **13** προβολῇ: βουλῇ A καὶ om. N ἀφορμάς B **15** αὐτοῦ: αὐτὸν A

12. Ὥσπερ δὲ τοῦ χρόνου φιλοτιμησαμένου κατὰ ταὐτὸν ὁμογνώμονας ἐπιδείξασθαι πατριάρχας, καὶ τὴν τῶν ἑσπερίων Ῥωμαίων ἐκκλησίαν ἰθύνειν ἔλαχεν Ἰωάννης ὁ τοῦ Ἀλβερίχου υἱός, πρὸς πᾶσαν ἀσέλγειαν καὶ κακίαν ὑπάρχων ἐπιρρεπής. ὃν Ὦτος ὁ τῶν Φράγγων βασιλεὺς ἀπελάσας ἕτερον ἀντεισήγαγε τῇ ἐκκλησίᾳ ποιμένα.

13. Ὁ δὲ Πολύευκτος τῷ πρώτῳ τῆς ἱερατείας αὐτοῦ χρόνῳ τοῖς ἱεροῖς ἐνέταξε διπτύχοις Εὐθυμίου τοῦ πατριάρχου τὸ ὄνομα τοῦ τὸν βασιλέα Λέοντα δεξαμένου εἰς κοινωνίαν, ὁπηνίκα τὴν τετάρτην ἠγάγετο γυναῖκα. πρὸς τοῦτό τινες τῶν ἀρχιερέων πρὸς ὀλίγον ἀντέστησαν τῷ Πολυεύκτῳ μὴ κοινωνεῖν, ἀλλὰ κατ' ὀλίγον τῷ τοῦ κρατοῦντος ἀκολουθήσαντες θελήματι γέλωτα παρέσχον τοῖς διακρινομένοις.

14. Ἤχθη δὲ κατὰ τὸν αὐτὸν καιρὸν καὶ ἡ τιμία χεὶρ τοῦ προδρόμου εἰς τὴν βασιλίδα ἐξ Ἀντιοχείας, ἀποκλαπεῖσα παρά τινος διακόνου Ἰὼβ τοὔνομα· ἣν καταλαβοῦσαν τὴν Χαλκηδόνα ὁ βασιλεὺς τὴν βασιλικὴν ἐκπέμψας τριήρη, καὶ τῆς συγκλήτου ὅσον ἐπίσημον ἐξελθόντος καὶ τοῦ πατριάρχου Πολυεύκτου σὺν παντὶ τῷ κλήρῳ μετὰ κηρῶν καὶ λαμπάδων καὶ θυμιαμάτων, εἰς τὰ βασίλεια ἤγαγεν. |

15. Ὁ δὲ τῶν σχολῶν δομέστικος Βάρδας κατὰ τῶν ἑῴων Ἀγαρηνῶν ἐκστρατεύσας τὰ ἐν ποσὶν ἅπαντα κατεστρέψατο, ἑλὼν καὶ φρούρια ἱκανά, ἐκπολιορκήσας δὲ καὶ τὴν περιβόητον Ἄδαταν. ὁ δὲ βασιλεὺς βουλόμενος καὶ τοὺς ἐν τῇ Κρήτῃ Σαρακηνοὺς συνεχῶς ἐκστρατεύοντας καὶ τὰ παράλια τῆς Ῥωμαϊκῆς γῆς δῃοῦντας καὶ κατατρέχοντας ἐκφοβῆσαι καὶ τῆς ἀσχέτου ἀνακόψαι ὁρμῆς, στρατὸν ὅτι πλεῖστον συλλέξας καὶ στόλον εὐτρεπίσας οὐκ ἀγεννῆ ἐκπέμπει κατὰ τῆς νήσου, στρατηγὸν ἐπιστήσας τοῖς πᾶσι Κωνσταντῖνον πατρίκιον τὸν Γογγύλιον, θηλυδρίαν ἄνθρωπον καὶ σκιατραφῆ καὶ ἀπειροπόλεμον καὶ ἕνα

18 Ioannes XII. papa a. 963 depositus est **35** mens. Iun. a. 954 oppidum Ḥadath a Nicephoro Phoca captum est **37** a. 949

---

cap. 14: Zon. III, 487, 8—487, 10 cap. 15: Zon. III, 487, 11—488, 7

ACEVBMN FH **17** πατριάρχην C τῶν om. B **18** Ἰωάννης om. B Ἀλβερίχου ACEVNF: Ἀλβερίχα B: Ἀλβερίχι M **19** ἐπιρρετὴς B Ὦτος CEV: Ὦττος A: Ὧτος BMNF Φραγγῶν M **23** διαδεξαμένου M **23/24** ὁπηνίκα — γυναῖκα: ὁπηνίκα τὴν γυν. τὴν τετ. ἠγάγετο B **25** τῷ alt. om. A **25** ἀκολουθήσαντες: ὑποκύψαντες, post **26** θελήματι B **34** ἐκστρατεύσας ACEMN: στρατεύσας VB κατετρέψατο E **35** δὲ om. AVB Ἄδαταν VBMN: Ἄδαναν C: Ἄδηναν (m. rec. corr. in Ἄδαναν) E: Ἄδαπαν A **36** τῇ om. E **37** τὴν παραλίαν B γῆς om. CE **39** συλλέξας: ἐκκόψας A **40** ἐπιστήσας dittogr. E **41** θηλυανδρίαν B σκιατραφῆ: σκιὰν τραφῆναι A ἕνα om. CE

τῶν ἐν τῷ παλατίῳ θαλαμηπόλων. ὃς εἰς τὴν νῆσον περαιωθεὶς καὶ μηδὲν ἄξιον διαπραξάμενος στρατηγοῦ, μήτε στρατοπεδείαν πηξάμενος ἀσφαλῆ μήτε σκοποὺς ἐπιστήσας καὶ κατοπτῆρας καὶ δι᾿ αὐτῶν τὰς βαρβαρικὰς φυλαξάμενος ἐφόδους, κινδύνῳ μεγίστῳ περιπίπτει. οἱ γὰρ νησιῶται τὴν ἀπειρίαν καὶ τὴν ἀμέλειαν κατανενοηκότες τοῦ στρατηγοῦ, καιρὸν ἐπιζητήσαντες ἐπιτήδειον ἐξαίφνης ἐπιτίθενται τῷ στρατεύματι, καὶ τρέπονται μὲν τοῦτο ῥᾳδίως, ὡς πολλοὺς τῶν Ῥωμαίων αἰχμαλωσίᾳ καὶ σιδήρῳ διαμερισθῆναι, κατέσχον δὲ καὶ τὸ στρατόπεδον αὐτό, τῶν Ῥωμαίων αἰσχίστως ἀποφυγόντων. μικροῦ δ᾿ ἂν ἑάλω καὶ ὁ Γογγύλιος, εἰ μὴ συνασπίσαντες οἱ θεράποντες ἐξερρύσαντο αὐτὸν τῆς αἰχμαλωσίας καὶ εἰς τὴν ναυαρχίδα ἐμβιβάσαντες διεσώσαντο.

16. Ῥωμανὸς δὲ ὁ τοῦ βασιλέως Κωνσταντίνου υἱὸς τελεωτέρας | ἤδη ἀψάμενος ἡλικίας, καὶ μὴ φέρων ὁρᾶν τὰ πράγματα ὑπὸ τοῦ πατρὸς αὐτοῦ διοικούμενα, φαρμάκῳ τοῦτον ἐκποδὼν ποιήσασθαι ἐβουλεύσατο, εἰδήσει καὶ τῆς αὐτοῦ γαμετῆς τῆς καπηλίδος. μέλλοντος γὰρ τοῦ Κωνσταντίνου καθαρτήριον πόμα λαβεῖν, λαθόντες οὗτοι δηλητήριον τούτῳ ἐκέρασαν, καὶ Νικήταν τὸν ἐπὶ τῆς τραπέζης παρέπεισαν ἐγχέαι τοῦτο τῷ βασιλεῖ. μέλλων δ᾿ ἐκεῖνος αὐτὸ λαβεῖν κείμενον ἔμπροσθεν τῶν σεπτῶν εἰκόνων, εἴτε τύχῃ τινί, εἴτε καὶ ἑκουσίως ὀλισθήσας τὸ πλέον ἐξέχεε. τὸ δὲ λοιπὸν ποθὲν ὑπὸ τοῦ Κωνσταντίνου ἀργὸν ἐφάνη καὶ ἄπρακτον, διὰ τὴν ὀλιγότητα τὴν οἰκείαν ἀποβαλὸν ἐνέργειαν. πλὴν καὶ οὕτως ὁ Κωνσταντῖνος μόλις περιγενέσθαι ἴσχυσεν, ἐπισκήψαντος δὴ τοῦ δηλητηρίου ἐν τῇ πλευρᾷ αὐτοῦ καὶ κακῶς διαθεμένου αὐτόν.

17. Πεντεκαιδεκάτῳ δὲ χρόνῳ τῆς αὐτοῦ βασιλείας, κατὰ τὸν Σεπτέμβριον μῆνα τῆς τρίτης ἰνδικτιῶνος, ἐν ἔτει κοσμικῷ ἑξακισχιλιοστῷ

cap. 16: Zon. III, 488, 8—488, 13; Glyc. 564, 21—565, 7 cap. 17: Zon. III, 488, 18—489, 13

ACEVBMN H **42** εἰς om. A **43** μηδὲν — πηξάμενος om. A διαπραξάμενος: ἀπεργασάμενος CE **44** μὴ ante ἀσφαλῆ add. A **45** φυλαξάμενος: ἀσφαλισάμενος CE ἐφόδ. φυλαξ. B κινδύνῳ — περιπίπτει ACEMN: κινδ. περιπ. μεγ. VB **46** ἀπειρίαν ACEB: ἀπειρίᾳ Zon. III, 487, 14: ἀπορίαν VMNH **47** ἐπιζητήσαντες ACEMN: dittogr. V: τηρήσαντες B **48** μὲν om. M τοῦτο VBMN: τοῦτον AB: om. E **49** αὐτό: αὐτοί CE **50** δ᾿ ἂν: δεῖν B ὁ om. B Γκύλιος A **51** τῆς αἰχμ. αὐτὸν B **53** βασιλέως om. VB **55** αὐτοῦ om. B **56** τῆς alt. om. E **59** ἐγχέαι om. E τοῦτο: τούτῳ E μέλλων — αὐτό: μέλλοντος δὲ τούτου B δ᾿: δὲ A κείμενον om. A **60** καὶ om. B ἑκουσίας M **61** ποθὲν — Κωνσταντίνου: ὑπὸ Κωνσταντίνου ποθὲν B **63** καὶ οὕτως: οὗτος A οὕτως: οὕτω C **64** ἐνσκήψαντος B δὴ om. CEVB **65** αὐτόν: αὐτοῦ A **66** ιε᾿ A δὲ om. B **67** αὐτῆς ante τρίτης add. VB γ᾿ AC **67/68** ,ϛυξη᾿ ACE

τετρακοσιοστῷ ἑξηκοστῷ ὀγδόῳ, ἔξεισι Κωνσταντῖνος ὁ βασιλεὺς ἐν τῷ τοῦ Ὀλύμπου ὄρει, τῷ μὲν δοκεῖν ταῖς τῶν ἐκεῖσε πατέρων εὐχαῖς θωρακισθῆναι καὶ μετ' αὐτῶν κατὰ Σαρακηνῶν ἐν Συρίᾳ στρατεῦσαι, ἀληθεῖ δὲ λόγῳ ἑνωθῆναι Θεοδώρῳ τῷ τῆς Κυζίκου προεδρεύοντι, ἐκεῖσε τότε τὰς διατριβὰς ποιουμένῳ, καὶ μετ' αὐτοῦ περὶ τῆς καθαιρέσεως τοῦ Πολυεύκτου βουλεύσασθαι. ἐκεῖσε γοῦν γενόμενος, εἴτε σωματικῇ πλημμελείᾳ, εἴτε πάλιν ὑπὸ τοῦ παιδὸς φαρμαχθείς, ὀδυνώμενος ἀνεχώρησε, κλινοπετής τε κατὰ τὸ τέλος τοῦ Ὀκτωβρίου τὴν βασιλίδα κατέλαβε, καὶ τῇ ἐννάτῃ τοῦ Νοεμβρίου μηνὸς τελευτᾷ ἄπρακτα τὰ βεβουλευμένα λιπών, ζήσας ἅπαντα τὸν τῆς ζωῆς αὐτοῦ | χρόνον ἔτη πεντηκοντατέσσαρα καὶ μῆνας δύο, συμβασιλεύσας μὲν τῷ πατρὶ καὶ Ἀλεξάνδρῳ τῷ θείῳ καὶ τῇ αὐτοῦ μητρὶ ἔτη τρισκαίδεκα, αὖθις δὲ τῷ Ῥωμανῷ τυραννήσαντι ἔτη εἰκοσιέξ, καὶ μετὰ τὴν ἐκείνου τῆς βασιλείας ἔκπτωσιν μονοκρατορήσας ἔτη πεντεκαίδεκα. θάπτεται δὲ θανὼν σὺν τῷ οἰκείῳ πατρί, μέχρι τελευταίας ἀναπνοῆς ἐγκοτῶν τῷ Πολυεύκτῳ καὶ τὴν αὐτοῦ καθαίρεσιν φανταζόμενος.

18. Πρὸ δέ τινων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς, ἐπί τινα χρόνον συχνόν, ἑσπέρας καταλαμβανούσης λίθοι ἄνωθεν ἐκπεμπόμενοι καὶ ἐντὸς τῶν αὐτοῦ διαιτημάτων σὺν πολλῷ ῥοίζῳ πίπτοντες ἐξαισίους ἀπετέλουν κτύπους. δόξας δ' ἀπὸ τῶν τῆς Μαγναύρας ὑπερῴων τούτους φέρεσθαι φύλακας ἐπὶ πολλαῖς νυξὶν ἀφώρισεν, εἴ πού τινα λάβοι τῶν τοῦτο τολμώντων. ἀλλ' ἔλαθε μάτην πονῶν. ἦν γὰρ τὸ γινόμενον οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐξ ὑπερτέρας τελούμενον δυνάμεως.

cap. 18: Zon. III, 489, 14—490, 2; Glyc. 564, 7—564, 13

ACEVBMN H 68 ἔξεισι — βασιλεὺς: ἔξεισιν ὁ βασ. Κωνστ. CE 69 ταῖς ... εὐχαῖς: τὰς ... εὐχὰς A θείων ante πατέρων add. B 70 καὶ μετ' αὐτῶν: ὡς μέλλων B στρατεῦσαι ACMNH: ἐκστρατεῦσαι EVB 71 τῆς om. CE Zon. III, 489, 2 προεδρεύοντι: προέδρῳ B 73 Πολυεύκτου: πατριάρχου CE γοῦν: οὖν B 75 Ὀκτωμβρίου EB 76 θ' A τὰ om. A 77 λιπών: καταλιπών CE νδ' ACE 78 β' A 79 αὐτοῦ: οἰκείᾳ B ιγ' ACE 80 κϛ' ACE 81 μονοκρατορήσας VMN: μονοκρατήσας AB: om. CE πεντεκαίδεκα VMN: δεκαπέντε B: ιε' ACE post ιε' add. C et i. m. E: οὐ δεκαπέντε ἔτη, ἀλλὰ ιδ', μῆνας ι', ἡμέρας κδ'. ἐκράτησε γὰρ κατὰ τὴν ιϛ' τοῦ Δεκεμβρίου μηνός, τῆς γ' ἰνδικτιῶνος τοῦ ,ϛυνγ' ἔτους, ἐτελεύτησε δὲ κατὰ τὴν θ' τοῦ Νοεμβρίου μηνός, τῆς γ' ἰνδικτιῶνος τοῦ ,ϛυξη' ἔτους δὲ om. E 82 αὐτοῦ: ἐκείνου CE 84 ἡμερῶν post τελευτῆς B συχνόν: οὐχὶ B 85 καταλαβούσης B 86 διαιτημάτων: διαιτῶν B ἐξαισίως B 87 κτύπους: ἐκτύπους B δ': δὲ CE 88 φύλακες A λάβοι CEVMN: λάβῃ A: λάβοιεν B

ΡΩΜΑΝΟΣ Ο ΝΕΟΣ

1. Μεταστάντος δὲ τοῦ Κωνσταντίνου καὶ πρὸς τὴν ἐκεῖθεν διαβάντος κατάστασιν, Ῥωμανὸς ὁ τούτου υἱὸς ἐγκρατὴς γίνεται τῆς ἀρχῆς. καὶ ἄρχοντας προβαλλόμενος εὐνοϊκοὺς αὐτῷ καὶ θυμήρεις, καὶ τὴν βασιλείαν, ὡς ἐνῆν, κρατυνάμενος, κατὰ τὴν ἑορτὴν τοῦ πάσχα τῆς αὐτῆς τρίτης ἰνδικτιῶνος στέφει καὶ Βασίλειον τὸν υἱὸν αὐτοῦ διὰ τῶν χειρῶν Πολυεύκτου τοῦ πατριάρχου ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ.

2. Τῷ δ' ἐπιόντι ἔτει τίκτεται πάλιν αὐτῷ | ἕτερος υἱὸς ἐν τοῖς τῶν Πηγῶν παλατίοις, ὃν ἐπὶ τῷ πατρὶ Κωνσταντῖνον ὠνόμασε.

3. Νέος δ' ὢν καὶ εὐπαθείαις ἑαυτὸν ἐπιδεδωκὼς τὰς τῶν ὅλων φροντίδας Ἰωσὴφ ἐνεχείρισε τῷ πραιποσίτῳ καὶ παρακοιμωμένῳ, ᾧ Βρίγγας ἡ ἐπωνυμία. αὐτὸς δὲ οὐδὲν ἄλλο διὰ φροντίδος εἶχεν, ἢ τὸ μεθ' ἡταιρηκότων καὶ βεβήλων ἀνδραρίων καὶ μαχλάδων καὶ μίμων καὶ γελοτοποιῶν τὰς ἐκδεδιῃτημένας μεταδίωκειν τῶν πράξεων. τοίνυν καὶ κληρικόν τινα Ἰωάννην, ἐκτομίαν ὄντα, διά τινας ἀσέμνους πράξεις ὑπὸ Κωνσταντίνου τοῦ βασιλέως ἀπειληθέντα καὶ μοναχικὸν ἀμφιασάμενον σχῆμα, καὶ μέχρι τῆς ἐκείνου κρυπτόμενον τελευτῆς, ὡς ἤδη ἐπελάβετο τῆς ἀρχῆς, τοῦ τῶν μοναχῶν ἀποδύσας σχήματος καὶ τὸ τῶν κληρικῶν μεταμφιάσας τοῖς ἑαυτοῦ θαλαμηπόλοις κατέταξε. ζήλου δὲ πλησθεὶς ὁ Πολύευκτος πολὺς ἦν ἐγκείμενος καὶ τὸν βασιλέα παρενοχλῶν, τῆς ἑαυτοῦ

93 die 10. mens. Nov. a. 959 **1** die 22. mens. Apr. a. 960

---

cap. 1: Zon. III, 490, 2—490, 12; Glyc. 564, 14/15 cap. 2: Zon. III, 490, 13/14 cap. 3: Zon. III, 490, 14—490, 18; Glyc. 564, 15—565, 5

ACEVBMN H **91** Ῥωμανὸς ὁ νέος CE: Ῥωμανὸς ὁ τούτου υἱὸς V: Βασιλεία Ῥωμανοῦ υἱοῦ Κωνσταντίνου ἔτη ιγ', μῆνας δ', ἡμέρας ε' A: Βασιλεία Ῥωμανοῦ τοῦ νέου i. m. B: om. in textu MN **92** ἐκεῖθεν AVBMN: ἐκεῖσε CE Leo Diac. 6, 2 Hase **93** γίνεται: ἐγεγόνει CE: ἐπείληπτο Zon. III, 490, 6 **95** βασιλείαν: βασιλίδα C κρατυνόμενος VH **1** γ' ACE καὶ om. C Βασίλειον: Βασίλειον βασιλέα, post αὐτοῦ, A τῶν om. CEB χειρὸς CE **2** τοῦ om. E **5** δ' om. A εὐπαθείᾳ AM δεδωκὼς M **6** ἐνεχείρισε ACEMN: ἐγχειρίζει B: ἐγχειρίσας V πραιποσίτῳ καὶ om. A **7** Βρύγγας B ἡ ἐπωνυμία: ἐπώνυμον CE δὲ om. B **8** ἀνδραρίων: ἀνθρώπων (post ἡταιρ. E) CE μαχλάδων: μαινάδων E **9** μεταδιῶκαι A **10** ἀσέμνους ACEMN: ἀθέσμους VB **11** ἀπελαθέντα B **14** θείου ante πλησθεὶς add. B **15** ἦν ἐγκείμενος: συνεγκείμενος A καὶ om. V τὸν βασιλέα VBMN: τῷ βασιλεῖ A: om. CE

θεραπείας τοῦτον ἀπώσασθαι, ὡς ἐξομοσάμενον τὸ τῶν μοναζόντων ἐπάγγελμα. ἐκείνου δὲ παραιτουμένου, καὶ μὴ ταῖς ἀληθείαις φάσκοντος ἐνδεδύσθαι τοῦτον τὸ σχῆμα ἢ εὐχὴν παρά τινος τῶν ἱερέων λαβεῖν, ἀλλὰ μόνον ὑποκρίνασθαι τὸν μονάδα βίον διὰ τὸν τοῦ βασιλέως φόβον, ἐξαπατηθεὶς ὁ Πολύευκτος ἀφῆκε τοῦτον, πολλὰ καὶ τοῦ Ἰωσὴφ σπουδάσαντος. καὶ διῆγε μέχρι τῆς τελευτῆς Ῥωμανοῦ κοσμικῶς ζῶν καὶ νεωτερικῶς· ἐκείνου δὲ τελευτήσαντος, τὸ μὲν σχῆμα τῶν μοναστῶν ἀμφιέννυται αὖθις, τὴν δέ γε γνώμην αὐτοῦ οὐκ ἠλλοίωσε. |

4. Τούτῳ τῷ ἔτει Νικηφόρον μάγιστρον τὸν Φωκᾶν, δομέστικον ἤδη προβεβλημένον τῶν σχολῶν τῆς ἀνατολῆς παρὰ Κωνσταντίνου τοῦ βασιλέως, καὶ πολλὰ τρόπαια στήσαντα κατὰ τῶν ἑῴων Σαρακηνῶν, καὶ τόν τε τῆς Ταρσοῦ ἀμηρᾶν Καραμώνην καὶ Χαμβδᾶν τὸν τοῦ Χάλεπ καὶ τὸν Τριπόλεως Ἰζὴθ ὁλοσχερῶς ταπεινώσαντα, πέμπει κατὰ τῶν ἐν Κρήτῃ Σαρακηνῶν, πλῆθος ἐπιλέκτων στρατιωτῶν ἐπιδοὺς αὐτῷ καὶ στόλον κατηρτισμένον καλῶς. ἐν τῇ νήσῳ δ' οὗτος περαιωθείς, καὶ κατὰ τὴν πρώτην ἀπόβασιν παροῦσι καὶ κωλύουσι συμπλακεὶς τοῖς Ἀγαρηνοῖς καὶ τούτους τρεψάμενος, αὐτός τε ἀσφαλῶς ἀπέβη καὶ τὸν στρατὸν ἀπεβίβασεν ἀκινδύνως. χάρακά τε οὖν ἐπήξατο καρτερόν, τάφρῳ βαθείᾳ καὶ σταυρώμασι καὶ πασσάλοις τοῦτον κατοχυρώσας, καὶ τὸν στόλον ἐν ὅρμοις γαληνοτάτοις ὁρμίσας καὶ πάντα καταστησάμενος κατὰ τὸ ἀσφαλὲς ἐνεργῶς ἥπτετο τῆς πολιορκίας τῶν ἐν τῇ νήσῳ πόλεων, καὶ δι' ὅλων ἑπτὰ μηνῶν πάσαις μηχαναῖς πολιορκητικῶν ὀργάνων χρησάμενος καὶ τὰ τείχη καταστρέφων τάς τε πόλεις καὶ τὰ φρούρια ἐχειρώσατο. τῇ ἑβδόμῃ δὲ τοῦ Μαρτίου μηνός, τῆς τετάρτης ἰνδικτιῶνος, καὶ τὴν πασῶν ὀχυρωτέραν πόλιν, ἣν ἐγχωρίως Χάνδακα ἐκάλουν, πεπορθηκώς, καὶ τὸν ἀμηρεύοντα τῆς νήσου Κουρούπην ὄνομα λαβὼν

28/29 aestate a. 960 **40/41** a. 961

cap. 4: Zon. III, 490, 19—492, 2; Glyc. 565, 6—565, 21

ACEVBMN FH **16** μοναζόντων: μοναχῶν M **18** ἐνδύσασθαι A τοῦτον om. E τὸ om. A τῶν ἱερέων: ἱερέως B **19** ὑποκρίνεσθαι C μονάδα: μονήρη A **22** μοναστῶν AVMN: μοναχῶν CEB **23** γε om. AEMH **26** τοῦ om. M συστήσαντα A **27** Καραμώνην CEVMN: Καραμόνην BH: Καραμόνον A Χαμβδᾶν VN: Χαμβδὰν AC: Χαβδᾶν EM: Χαλδὰν B **28** Χάλεπε CEM Τριπόλεως: Τριπολίτην C Ἰζίθ B **29** τῇ ante Κρήτῃ add. AMNF αὐτῷ VB: αὐτὸν A: αὐτοῖς CEMNH **30** οὗτος: οὕτω E **31/32** συμπλακεὶς — Ἀγαρηνοῖς ACEMN: τοῖς Σαρακηνοῖς συμπλακεὶς VB **33** στρατὸν: στρατηγὸν N κρατερὸν CE **36** κατὰ om. A ἐναργῶς V **37** πολιορκητικῶν CBMN: πολιορκητικαῖς V: πολιορκῆται E: πολιορκιτῶν A **37/38** ὀργάνων χρησάμενος CEVB: χρησ. ὀργ. AMNF **38** τὰ — καταστρέφων: καταστρέφων τὰ τείχη B **39** ζ' ACE τετάρτης VBMN: δ' CE: ιδ' A **40** ὀχυρωτάτην M

ΡΩΜΑΝΟΣ Ο ΝΕΟΣ

1. Μεταστάντος δὲ τοῦ Κωνσταντίνου καὶ πρὸς τὴν ἐκεῖθεν διαβάντος κατάστασιν, Ῥωμανὸς ὁ τούτου υἱὸς ἐγκρατὴς γίνεται τῆς ἀρχῆς. καὶ ἄρχοντας προβαλλόμενος εὐνοϊκοὺς αὐτῷ καὶ θυμήρεις, καὶ τὴν βασιλείαν, ὡς ἐνῆν, κρατυνάμενος, κατὰ τὴν ἑορτὴν τοῦ πάσχα τῆς αὐτῆς τρίτης ἰνδικτιῶνος στέφει καὶ Βασίλειον τὸν υἱὸν αὐτοῦ διὰ τῶν χειρῶν Πολυεύκτου τοῦ πατριάρχου ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ.

2. Τῷ δ' ἐπιόντι ἔτει τίκτεται πάλιν αὐτῷ | ἕτερος υἱὸς ἐν τοῖς τῶν Πηγῶν παλατίοις, ὃν ἐπὶ τῷ πατρὶ Κωνσταντῖνον ὠνόμασε.

3. Νέος δ' ὢν καὶ εὐπαθείαις ἑαυτὸν ἐπιδεδωκὼς τὰς τῶν ὅλων φροντίδας Ἰωσὴφ ἐνεχείρισε τῷ πραιποσίτῳ καὶ παρακοιμωμένῳ, ᾧ Βρίγγας ἡ ἐπωνυμία. αὐτὸς δὲ οὐδὲν ἄλλο διὰ φροντίδος εἶχεν, ἢ τὸ μεθ' ἡταιρηκότων καὶ βεβήλων ἀνδραρίων καὶ μαχλάδων καὶ μίμων καὶ γελωτοποιῶν τὰς ἐκδεδιῃτημένας μεταδίωκειν τῶν πράξεων. τοίνυν καὶ κληρικόν τινα Ἰωάννην, ἐκτομίαν ὄντα, διά τινας ἀσέμνους πράξεις ὑπὸ Κωνσταντίνου τοῦ βασιλέως ἀπειληθέντα καὶ μοναχικὸν ἀμφιασάμενον σχῆμα, καὶ μέχρι τῆς ἐκείνου κρυπτόμενον τελευτῆς, ὡς ἤδη ἐπελάβετο τῆς ἀρχῆς, τοῦ τῶν μοναχῶν ἀποδύσας σχήματος καὶ τὸ τῶν κληρικῶν μεταμφιάσας τοῖς ἑαυτοῦ θαλαμηπόλοις κατέταξε. ζήλου δὲ πλησθεὶς ὁ Πολύευκτος πολὺς ἦν ἐγκείμενος καὶ τὸν βασιλέα παρενοχλῶν, τῆς ἑαυτοῦ

93 die 10. mens. Nov. a. 959 1 die 22. mens. Apr. a. 960

cap. 1: Zon. III, 490, 2—490, 12; Glyc. 564, 14/15 cap. 2: Zon. III, 490, 13/14 cap. 3: Zon. III, 490, 14—490, 18; Glyc. 564, 15—565, 5

ACEVBMN H 91 Ῥωμανὸς ὁ νέος CE: Ῥωμανὸς ὁ τούτου υἱός V: Βασιλεία Ῥωμανοῦ υἱοῦ Κωνσταντίνου ἔτη ιγ', μῆνας δ', ἡμέρας ε' A: Βασιλεία Ῥωμανοῦ τοῦ νέου i. m. B: om. in textu MN 92 ἐκεῖθεν AVBMN: ἐκεῖσε CE Leo Diac. 6, 2 Hase 93 γίνεται: ἐγεγόνει CE: ἐπείληπτο Zon. III, 490, 6 95 βασιλείαν: βασιλίδα C κρατυνόμενος VH 1 γ' ACE καὶ om. C Βασίλειον: Βασίλειον βασιλέα, post αὐτοῦ, A τῶν om. CEB χειρὸς CE 2 τοῦ om. E 5 δ' om. A εὐπαθείᾳ AM δεδωκὼς M 6 ἐνεχείρισε ACEMN: ἐγχειρίζει B: ἐγχειρίσας V πραιποσίτῳ καὶ om. A 7 Βρύγγας B ἡ ἐπωνυμία: ἐπώνυμον CE δὲ om. B 8 ἀνδραρίων: ἀνθρώπων (post ἡταιρ. E) CE μαχλάδων: μαινάδων E 9 μεταδιῶκαι A 10 ἀσέμνους ACEMN: ἀθέσμους VB 11 ἀπελαθέντα B 14 θείου ante πλησθεὶς add. B 15 ἦν ἐγκείμενος: συνεγκείμενος A καὶ om. V τὸν βασιλέα VBMN: τῷ βασιλεῖ A: om. CE

θεραπείας τοῦτον ἀπώσασθαι, ὡς ἐξομοσάμενον τὸ τῶν μοναζόντων ἐπάγγελμα. ἐκείνου δὲ παραιτουμένου, καὶ μὴ ταῖς ἀληθείαις φάσκοντος ἐνδεδύσθαι τοῦτον τὸ σχῆμα ἢ εὐχὴν παρά τινος τῶν ἱερέων λαβεῖν, ἀλλὰ μόνον ὑποκρίνασθαι τὸν μονάδα βίον διὰ τὸν τοῦ βασιλέως φόβον, ἐξαπατηθεὶς ὁ Πολύευκτος ἀφῆκε τοῦτον, πολλὰ καὶ τοῦ Ἰωσὴφ σπουδάσαντος. καὶ διῆγε μέχρι τῆς τελευτῆς Ῥωμανοῦ κοσμικῶς ζῶν καὶ νεωτερικῶς· ἐκείνου δὲ τελευτήσαντος, τὸ μὲν σχῆμα τῶν μοναστῶν ἀμφιέννυται αὖθις, τὴν δέ γε γνώμην αὐτοῦ οὐκ ἠλλοίωσε. |

4. Τούτῳ τῷ ἔτει Νικηφόρον μάγιστρον τὸν Φωκᾶν, δομέστικον ἤδη προβεβλημένον τῶν σχολῶν τῆς ἀνατολῆς παρὰ Κωνσταντίνου τοῦ βασιλέως, καὶ πολλὰ τρόπαια στήσαντα κατὰ τῶν ἑῴων Σαρακηνῶν, καὶ τόν τε τῆς Ταρσοῦ ἀμηρᾶν Καραμώνην καὶ Χαμβδᾶν τὸν τοῦ Χάλεπ καὶ τὸν Τριπόλεως Ἰζὴθ ὁλοσχερῶς ταπεινώσαντα, πέμπει κατὰ τῶν ἐν Κρήτῃ Σαρακηνῶν, πλῆθος ἐπιλέκτων στρατιωτῶν ἐπιδοὺς αὐτῷ καὶ στόλον κατηρτισμένον καλῶς. ἐν τῇ νήσῳ δ' οὗτος περαιωθείς, καὶ κατὰ τὴν πρώτην ἀπόβασιν παροῦσι καὶ κωλύουσι συμπλακεὶς τοῖς Ἀγαρηνοῖς καὶ τούτους τρεψάμενος, αὐτός τε ἀσφαλῶς ἀπέβη καὶ τὸν στρατὸν ἀπεβίβασεν ἀκινδύνως. χάρακά τε οὖν ἐπήξατο καρτερόν, τάφρῳ βαθείᾳ καὶ σταυρώμασι καὶ πασσάλοις τοῦτον κατοχυρώσας, καὶ τὸν στόλον ἐν ὅρμοις γαληνοτάτοις ὁρμίσας καὶ πάντα καταστησάμενος κατὰ τὸ ἀσφαλὲς ἐνεργῶς ἥπτετο τῆς πολιορκίας τῶν ἐν τῇ νήσῳ πόλεων, καὶ δι' ὅλων ἑπτὰ μηνῶν πάσαις μηχαναῖς πολιορκητικῶν ὀργάνων χρησάμενος καὶ τὰ τείχη καταστρέφων τάς τε πόλεις καὶ τὰ φρούρια ἐχειρώσατο. τῇ ἑβδόμῃ δὲ τοῦ Μαρτίου μηνός, τῆς τετάρτης ἰνδικτιῶνος, καὶ τὴν πασῶν ὀχυρωτέραν πόλιν, ἣν ἐγχωρίως Χάνδακα ἐκάλουν, πεπορθηκώς, καὶ τὸν ἀμηρεύοντα τῆς νήσου Κουρούπην ὄνομα λαβὼν

28/29 aestate a. 960 **40/41** a. 961

cap. 4: Zon. III, 490, 19—492, 2; Glyc. 565, 6—565, 21

ACEVBMN FH **16** μοναζόντων: μοναχῶν M **18** ἐνδύσασθαι A τοῦτον om. E τὸ om. A τῶν ἱερέων: ἱερέως B **19** ὑποκρίνεσθαι C μονάδα: μονήρη A **22** μοναστῶν AVMN: μοναχῶν CEB **23** γε om. AEMH **26** τοῦ om. M συστήσαντα A **27** Καραμώνην CEVMN: Καραμόνην BH: Καραμόνον A Χαμβδᾶν VN: Χαμβδὰν AC: Χαβδᾶν EM: Χαλδὰν B **28** Χάλεπε CEM Τριπόλεως: Τριπολίτην C Ἰζίθ B **29** τῇ ante Κρήτῃ add. AMNF αὐτῷ VB: αὐτὸν A: αὐτοῖς CEMNH **30** οὗτος: οὕτω E **31/32** συμπλακεὶς — Ἀγαρηνοῖς ACEMN: τοῖς Σαρακηνοῖς συμπλακεὶς VB **33** στρατὸν: στρατηγόν N κρατερὸν CE **36** κατὰ om. A ἐναργῶς V **37** πολιορκητικῶν CBMN: πολιορκητικαῖς V: πολιορκῆται E: πολιορκιτῶν A **37/38** ὀργάνων χρησάμενος CEVB: χρησ. ὀργ. AMNF **38** τὰ — καταστρέφων: καταστρέφων τὰ τείχη B **39** ζ' ACE τετάρτης VBMN: δ' CE: ιδ' A **40** ὀχυρωτάτην M

αἰχμάλωτον καὶ Ἀνεμᾶν τὸν μετ' αὐτὸν ἐν τῇ νήσῳ πρωτεύοντα, καὶ τὴν νῆσον ὅλην δουλωσάμενος, ἔμελλε μὲν ἐπὶ πλείονα προσμεῖναι χρόνον καὶ τὰ κατ' αὐτὴν κατα|στήσεσθαι, φήμης δὲ κρατούσης, ὡς ὁ μέλλων κατασχεῖν αὐτὴν Ῥωμαῖος ἀνὴρ ἐξ ἀνάγκης βασιλεύσει Ῥωμαίων, ἅμα τῷ γνωσθῆναι τὴν τῆς νήσου κατάσχεσιν ταῖς τοῦ Ἰωσὴφ ὑποθήκαις ἀποστείλας ὁ Ῥωμανὸς προσεκαλέσατο τὸν Νικηφόρον ἐκεῖθεν. ἔτι δὲ τοῦ Νικηφόρου τῇ Κρήτῃ ἐνδιατρίβοντος, ἵνα μὴ τὴν ἑῴαν κατατρέχοιεν οἱ τῆς ἀνατολῆς Ἄραβες, καὶ μᾶλλον Χαμβδᾶν ὁ τοῦ Χάλεπ ἀμηρᾶς, πολεμικὸς ὢν καὶ τῶν ἄλλων δραστηριώτερος, Λέοντα τὸν Φωκᾶν τὸν τοῦ Νικηφόρου ἀδελφὸν μάγιστρον τιμήσας ὁ Ῥωμανὸς τὴν τοῦ δομεστίκου διακονίαν διέπειν ἀπέστειλεν. οὗτος δὲ διαπεράσας καὶ τῷ Χαμβδᾶν συναντήσας ἔν τινι χωρίῳ Ἀδρασσῷ λεγομένῳ τρέπεται τοῦτον κατὰ κράτος καὶ ἀφανισμῷ παραδίδωσι, τῶν μὲν ἐν τῇ προσβολῇ πεσόντων οὐδ' ἀριθμῷ καθυποβληθῆναι δυναμένων, τῶν δὲ ἁλόντων καὶ ἐν τῇ πόλει πεμφθέντων τοσοῦτον ἦν τὸ πλῆθος, ὡς πληρῶσαι δούλων καὶ τὰς ἀστικὰς οἰκίας καὶ τοὺς ἀγρούς. μόνος δὲ ὁ τούτων ἀρχηγὸς Χαμβδᾶν σὺν ὀλίγοις λίαν τὸν κίνδυνον διαδρὰς εἰς τὰ οἰκεῖα ἤθη ἀνεκομίσθη. εἰσελθόντα δὲ τὸν Λέοντα μάλα φιλοφρόνως ὁ βασιλεὺς ὑπεδέξατο ἐπινικίοις τε θριάμβοις τετίμηκε καὶ γερῶν τῶν κατ' ἀξίαν ἠξίωσε τιμήσας καὶ προβιβάσας καὶ πάντας τοὺς σὺν αὐτῷ ἀριστεύσαντας.

5. Τῷ δὲ δευτέρῳ ἔτει τῆς βασιλείας Ῥωμανοῦ πολλοὶ τῶν πολιτευομένων ἑάλωσαν ἐπιβεβουλευκότες αὐτῷ. εἶχον δὲ | πρωτουργὸν καὶ πρωταίτιον Βασίλειον μάγιστρον τὸν λεγόμενον Πετεινὸν καί τινας ἄλλους τῶν ἐπισήμων, τὸν πατρίκιον Πασχάλιον καὶ τὸν πατρίκιον Βάρδαν τὸν τοῦ Λιβός, καὶ Νικόλαον τὸν Χαλκούτζην. οἵτινες ἐβουλεύσαντο κατὰ τὴν ἡμέραν τῶν ἱππικῶν ἀγώνων κατιόντα διαχειρίσασθαι τὸν βασιλέα, καὶ τὸν Βασίλειον ἐπὶ τοῦ βασιλικοῦ καθίσαντες θρόνου

53 a. 962

cap. 5: Zon. III, 492, 2—492, 5

ACEVBMN FH **42** Ἀνεμὰν BN αὐτόν: αὐτοὺς B **43** προσμεῖναι CEMN: ἐμμεῖναι VB: μεῖναι A **44** καταστήσασθαι ABM **45** αὐτὴν: αὐτὸς E βασιλεύει A **47** ἀποστείλας: πεισθεὶς CE δὲ ACEVBF: om. MN **48** τῇ Κρήτῃ: ἐκεῖσε CE ἐνδιατρίβοντος τῇ Κρήτῃ M ἑῴαν: ἕω A κατατρέχοντες B **49** ὁ ante Χαμβδὰν add. A Χαμβδᾶν C: Χαμβδὰν AVN: Χαμδὰν B: Χαβδᾶν EM **51** Ῥωμανὸς: βασιλεὺς B **52** Χαμβδᾶν C: Χαμβδὰν AV: Χαμδὰν B: Χαβδᾶν EM **53** Ἀδρασσῷ AV: Ἀδαρασσῷ CE: Ἀδρασῷ BMNH **55** οὐδ': σὐδὲ B καὶ om. CE **57** Χαμβδᾶν N: Χαμβδὰν ACV: Χαμδὰν B: Χαβδᾶν EM **58** λίαν om. A **59** εἰσελθόντα — Λέοντα: εἰσελθόντος δὲ τοῦ Λέοντος E **60** ἠξίωσε: ἐτίμησε E **61** σὺν: ἐν B **62** δὲ om. A **63** καὶ ante πρωτουργὸν add. C πρωτουργὸν καὶ om. B **64** λεγόμενον om. A **65** ἄλλους om. B καὶ om. A **66** τοῦ ante Χαλκούτζην add. A Χαλκούτζιν B **68** θρόνον B

ἀναγορεῦσαι βασιλέα. ἀλλὰ τῆς ἐπιβουλῆς μηνυθείσης τῷ βασιλεῖ παρά τινος τῶν συνωμοτῶν, Ἰωαννικίου τοὔνομα, τῷ γένει Σαρακηνοῦ, πρὶν ἢ τὴν κυρίαν ἐνστῆναι, κρατηθέντες παρὰ τοῦ Ἰωσὴφ καὶ ἐλεγχθέντες καὶ ἀπηνῶς αἰκισθέντες ἄνευ μόνου τοῦ Βασιλείου, καὶ κατ' αὐτὴν τὴν τοῦ ἀγῶνος ἡμέραν θριαμβευθέντες, ἐξορίᾳ παρεπέμφθησαν καὶ ἀπεκάρησαν μοναχοί. χρόνον δέ τινα βραχὺν ἐν αὐτῇ ταλαιπωρηθέντες ἀνεκλήθησαν φιλανθρώπως αὐτοῖς χρησαμένου τοῦ Ῥωμανοῦ. μόνος δὲ Βασίλειος ὁ Πετεινὸς ἔκφρων γενόμενος ἐτελεύτησεν ἐν Προικοννήσῳ, τῆς δίκης αὐτὸν μετελθούσης, ἀνθ' ὧν δολίως εἰς Στέφανον ἐνεδείξατο τὸν βασιλέα, προδεδωκὼς τοῦτον τῷ Κωνσταντίνῳ.

6. Τὰ δὲ περὶ τὸν Πετεινὸν καὶ τοὺς ἄλλους ἰδὼν ὁ μάγιστρος Ῥωμανὸς ὁ Σαρωνίτης, ἐπὶ θυγατρὶ γαμβρὸς ὢν Ῥωμανοῦ τοῦ γέροντος, καὶ μὴ τὰ ὅμοια καὶ αὐτὸς πάθοι φοβηθείς, φθονούμενος διὰ τὴν ἑαυτοῦ περιφάνειαν καὶ ὑποπτευόμενος, τὴν ἑαυτοῦ οὐσίαν τοῖς τέκνοις, ὡς ἐβούλετο, διαμερίσας καὶ τὴν ὑπόλοιπον πένησι διανείμας, τὸ τῶν μοναχῶν περιβάλλεται ἔνδυμα. καὶ ἐν τῇ τῶν | Ἐλεγμῶν μονῇ γενόμενος, καὶ χρόνον συχνὸν ἐν αὐτῇ παραμείνας, ὑπὸ τῶν μετὰ ταῦτα βασιλέων ἐτιμήθη διαφερόντως.

7. Κατὰ τούτους τοὺς χρόνους ἀνήρ τις ἀνεφάνη Φιλώραιος καλούμενος, ὑπασπιστὴς ὢν Ῥωμανοῦ μαγίστρου τοῦ Μωσηλέ, τοῦ ἐγγόνου Ῥωμανοῦ τοῦ γέροντος. οὗτος ἄνωθεν ἵππου ὠκυτάτου ἐπὶ τῆς ἐφεστρίδος ἱστάμενος ὄρθιος, καὶ ξίφος ταῖς χερσὶ βαστάζων, τοῦ ἵππου τρέχοντος, ὅσον ἐδύνατο, κυκλῶν ἐπῄει τὸν εὔριπον τῆς ἱπποδρομίας, στρέφων ἄνω καὶ κάτω τὸ ξίφος καὶ μηδ' ὅλως ὑπολισθαίνων τῆς στάσεως.

8. Ἐπέδωκε δ' ἐν ταῖς ἡμέραις ταύταις καὶ πάλαι τὴν Ῥωμαίων ἐπιόν τε καὶ λυμαινόμενον καὶ διαφθεῖρον τοὺς βόας τὸ λοιμικὸν πάθος,

cap. 7: Glyc. 566, 1—566, 6 cap. 8: Glyc. 566, 6—566, 16

ACEVBMN FH 69 τῷ βασιλεῖ om. B 70 Σαρακηνῷ C 71 ἐνστῆναι AEMN: ἐκστῆναι C: ἐπιστῆναι VB παρὰ — ἐλεγχθέντες dittogr. A 72 Βασιλείου corr. in βασιλέως E 72/73 τοῦ alt. — ἡμέραν: ἡμέραν τοῦ ἀγῶνος AC 74 αὐτῇ: αὐτῷ B 75 Ῥωμανοῦ: βασιλέως A 77 βασιλέα: Βασίλειον C 80 ἐπεὶ post Σαρωνίτης add. E δὴ ante γαμβρὸς add. V, δὲ add. B τοῦ Ῥωμανοῦ γέροντος C 81 πάθη A ἑαυτοῦ AVMN: αὐτοῦ CEBH 82 ἑαυτοῦ: αὐτοῦ BM 82/83 ὡς ἐβούλετο, τοῖς τέκνοις B 83 διαμερίσας: διανείμας CE τὴν ὑπόλοιπον AMN: τὸν ὑπόλοιπον CEV: τὰ ὑπόλοιπα B διανείμας: διαδούς CE 85 αὐτῇ: αὐτῷ A 87 ἐφάνη M 88 Μωσηλέ ACEVB Glyc. 566, 3: Μουσουλέ M: Μουσελέ NFH ἐγγόνου VBMN Glyc. 566, 3: ἐκγόνου ACE 90 ὀρθριος NH 91 ἠδύνατο CBH τὸν: τὴν A τὸν — ἱπποδρομίας: τῆς ἱπποδρομίας τὸν εὔριπον B 94 καὶ ante τὸ add. B

ὃ κράβρα κατονομάζεται. φασὶ δὲ τὴν ἀρχὴν τοῦτο λαβεῖν ἐπὶ τῶν ἡμερῶν τοῦ γέροντος Ῥωμανοῦ. ἔγγιστα γὰρ τῆς τοῦ Βόνου κινστέρνης ἀναψυχὴν ἑαυτῷ τῆς θερινῆς θέρμης παλάτια τοῦ Ῥωμανοῦ ἀνεγείροντος, καὶ τῶν θεμελίων καταβαλλομένων, βοός φασιν εὑρεθῆναι μαρμαρίνου κεφαλήν, ἣν οἱ εὑρόντες συντρίψαντες εἰς τὴν τοῦ τιτάνου κάμινον βάλλουσιν. ἐξ ἐκείνου δ' ἄχρι τῶν τῇδε χρόνων οὐκ ἐπαύσαντο πανταχοῦ τῆς γῆς, ὁπόσην ἡ τῶν Ῥωμαίων περιέχει δυναστεία, τὰ τῶν βοῶν διαφθείρεσθαι γένη.

9. Ὁ δὲ Ῥωμανὸς παρορμώμενος ὑπὸ τῆς αὐτοῦ γυναικὸς κατενεγκεῖν ἐπειράθη τῶν βασιλείων Ἑλένην τε τὴν μητέρα καὶ τὰς ἀδελφάς, καὶ ἐν τοῖς παλατίοις τῶν Ἀντιόχου περιορίσαι. γνοῦσα | δὲ τοῦτο ἡ Ἑλένη καὶ πρὸς θρήνους τραπεῖσα καὶ ἀρὰς ἐδυσώπησε τὸν υἱόν, διευλαβηθέντα τὰς ἐξ αὐτῆς κατάρας. ἀλλ' αὕτη μὲν εἰάθη μένειν κατὰ χώραν, τὰς δ' ἀδελφὰς καταγαγὼν διὰ Ἰωάννου καθηγεμόνος τῶν Στουδίου ἀπέκειρε μοναχάς. αἱ δὲ ἅμα τῇ ὑποχωρήσει τούτου τὴν μοναχικὴν ἀποδυσάμεναι ἐσθῆτα ἐκρεωφάγουν. ἡ δὲ Ἑλένη τῇ τῶν θυγατέρων καταγωγῇ περιαλγήσασα, καὶ μικρὸν ἐπιζήσασα χρόνον, τῇ εἰκοστῇ τοῦ Σεπτεμβρίου μηνὸς τῆς πέμπτης ἰνδικτιῶνος ἀπεβίω, καὶ βασιλικῶς ἐκκομισθεῖσα ἐτάφη ἐν τῇ λάρνακι τοῦ πατρός.

10. Νικηφόρος δὲ ὁ Φωκᾶς, ὡς ἔμπροσθεν εἴρηται, προσταχθεὶς ἐκ Κρήτης ἐπανελθεῖν, οὐ συνεχωρήθη εἰσελθεῖν εἰς τὴν βασιλεύουσαν, ἀλλ' ἐν τῇ ἀνατολῇ ἐκελεύσθη παραγενέσθαι μετὰ παντὸς τοῦ στρατοῦ. ἀναλαμβάνων γὰρ ἑαυτὸν ἐκ τῆς προτέρας ἥττης ὁ Χαμβδᾶν ἀναφέρειν ἤρξατο πάλιν, καὶ στρατὸν ἀξιόμαχον ἠθροικὼς προσδόκιμος ἦν ἐπιθήσεσθαι τοῖς Ῥωμαίων πράγμασιν. ἀλλ' ἐν Συρίᾳ γενόμενος ὁ Φωκᾶς,

12/13 a. circiter 960/961 20 a. 961—962

cap. 10: Zon. III, 492, 6—492, 14; Glyc. 566, 17—567, 2

ACEVBMN FH 95 κράβρα CEV: κράβα ABMNF Glyc. 566, 7 τοῦτο: τούτου BE 1 τοῦ alt. om. A Βώνου CE 1/2 κινστέρνης — ἑαυτῷ: κινστέρναν εἰς ἀναψυχὴν ἑαυτοῦ B 2 ἀνεγείροντος ACEVB: ἀνεγείραντος MNF 3 φασιν om. E μαρμαρίνου ACEMN: i. m. ante εὑρεθῆναι V: om. B 4 συντρίψαντες CEVMN: συντριψάμενοι A: om. B 5 βάλλουσιν ACEMN: ἐμβάλλουσιν VB ἐκείνου: ἐκείνων B δ': δὲ CEBM ὡς post χρόνων add. A ἐπαύσαντο VBMN: ἐπαύσατο ACE Glyc. 566, 14 πανταχοῦ om. B 6 ἡ CEVMN: καὶ B: om. A 10 τῶν: τοῦ B 12 τὰς pr. ACVMN: τῆς E: om. B ἀλλ' αὕτη: καὶ αὐτὴ B δ': δὲ M 13 Ῥωμανὸς post καταγαγὼν add. A καθηγουμένου B Στουδίων AH 14 τούτου: τοῦ αὐτὰς ἀποκείραντος B μοναδικὴν AB 15 τῇ om. A 16 τῇ om. VB κ' ACE 17 ε' ACEMN 18 τῇ: τῷ E 19 ἐκ AVBMN: ἀπὸ CE Glyc. 566, 18 20 εἰσελθεῖν om. B 22 προτέρας ACEMN: πρώτης VB Χαμβδᾶν C: Χαμβδὰν AVN: Χαβδᾶν EM: Χαμδᾶν B 23 ἀξιόμαχον: ἀξιόλογον B ἠθροικώς: εἰληφὼς CE προσδοκήσιμος B 24 ἐπιθέσθαι B ἄρχουσί τε καὶ post Ῥωμαίων add. B

καὶ σταδαίᾳ μάχῃ τοῦτον τρεψάμενος καὶ κατὰ κράτος ἡττήσας καὶ εἰς τὰ ἐνδότερα τῆς Συρίας ἀπελάσας, τὴν πόλιν Βέρροιαν ἐξεπόρθησε δίχα τῆς ἀκροπόλεως, καὶ πολὺν πλοῦτον καὶ λείαν καὶ αἰχμαλώτους ἔλαβεν, ἐλευθερώσας καὶ τοὺς ἐκεῖσε δεσμίους κατεχομένους Χριστιανοὺς καὶ ἐπ' οἴκου ἐκπέμψας.

11. Πεντεκαιδεκάτῃ δὲ Μαρτίου μηνός, τῆς ἕκτης ἰνδικτιῶνος, ἐν ἔτει ἑξακισχιλιοστῷ τετρακοσιοστῷ ἑβδομηκοστῷ πρώτῳ | ἐτελεύτησε Ῥωμανὸς ὁ βασιλεύς, ἐτῶν ὑπάρχων εἰκοσιτεσσάρων, βασιλεύσας ἔτη τρισκαίδεκα, μῆνας τέσσαρας, καὶ ἡμέρας πέντε, ὡς μέν τινες, προκαταναλώσας τὸ ἑαυτοῦ σαρκίον ταῖς αἰσχίσταις καὶ φιληδόνοις πράξεσιν, ὡς δ' ἕτερος ἔχει λόγος, φαρμάκοις ἀναιρεθείς.

30/31 die 15. mens. Mart. a. 963

cap. 11: Zon. III, 493, 15—494, 2; Glyc. 567, 3

ACEVBMN FH 25 καὶ ante κατὰ om. A 26 μέρη post ἐνδότερα add. B 27 καὶ λείαν om. CE καὶ alt. om. A 28 κατεχομένους AMN: δεσμίους CE: om. VB 30 ιε' ACE τοῦ ante Μαρτίου add. A τῆς ἕκτης ἰνδ. om. A ϛ' B 31 ,ϛυοα' ACEB 31/32 ἐτελεύτησεν ὁ βασ. Ῥωμ. B 32 κδ' ACE 33 τρισκαίδεκα EVMN: ιγ' AC: τρία B δ' B καὶ om. B ε' AB λέγουσιν post τινες add. B προσκαταναλώσας B 33/34 τὸ ἑαυτοῦ σαρκ. προκαταναλ. A 34 αἰσχίσταις AV: αἰσχίστοις CEVMNF 35 λόγος ἔχει B

ΒΑΣΙΛΕΙΟΣ ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΝΟΣ

1. Διαδέχονται δὲ τὴν αὐτοῦ βασιλείαν Βασίλειος καὶ Κωνσταντῖνος οἱ παῖδες αὐτοῦ σὺν Θεοφανὼ τῇ μητρί, τεχθείσης αὐτῷ καὶ θυγατρὸς πρὸ δύο ἡμερῶν τῆς αὐτοῦ τελευτῆς, ἣν Ἄνναν ὠνόμασαν.

2. Ἦν δὲ ὁ Ῥωμανὸς μέγας τὴν ἡλικίαν, εἰ καὶ ἐλάττων ἦν τοῦ πατρός, τὸ ἦθος ἥμερον ἔχων καὶ πρᾶον καὶ τὸ φρόνημα μέτριον. καίπερ δὲ νέος ὤν, ἀγχίνους ἦν καὶ ὀξὺς καὶ τὰ πολιτικὰ κυβερνᾶν ἱκανώτατος, εἴπερ ἄρα συνεχωρεῖτο παρὰ τῶν θεραπόντων. ἀλλὰ τοῦτον οἱ οἰκειότατοι ταῖς τῆς νεότητος ἐκδεδωκότες ὁρμαῖς, ἵν' ἐκεῖνοι τὰ κοινὰ μετιόντες πλοῦτον ἄφατον ἀποθησαυρίσωσιν, ἀνενέργητον καὶ ἀνεπιτήδειον ἀπεφήναντο.

3. Ἀπριλλίῳ δὲ μηνί, τῆς αὐτῆς ἕκτης ἰνδικτιῶνος, εἴσεισιν ὁ Φωκᾶς Νικηφόρος κελεύσει τῆς δεσποίνης, τοῦ Ἰωσὴφ καθάπαξ καὶ πάλιν κωλύοντος, ἐν Κωνσταντινουπόλει. καὶ ἀπὸ τῶν ἐκ τῆς Κρήτης λαφύρων καὶ τῆς Βερροίας ἐθριάμβευσεν ἐν τῷ ἱπποδρομίῳ, κομίσας καὶ μέρος τι τοῦ ἱματίου τοῦ βαπτιστοῦ Ἰωάννου, ὅπερ εὗρεν ἐν τῇ Βερροίᾳ ἐναποκείμενον. τοῦτον δὲ ἐδεδίει καὶ δι' ὑποψίας εἶχεν ὁ Βρίγγας. ἀλλ' ὑπούλως οὗτος ὑποκρινάμενος ἐξαπατῆσαι τοῦτον ἴσχυσε τρόπῳ τοιῷδε. ἕνα | τινὰ τῶν ὑπασπιστῶν εἰληφὼς ὁ Φωκᾶς περὶ ὥραν ἀρίστου εἰς τὸν

47 a. 963

---

cap. 1: Glyc. 567, 4—567, 6   cap. 3: Zon. III, 494, 3—495, 2; Glyc. 567, 6—567, 15

ACEVBMN FH   36 Βασίλειος — Κωνσταντῖνος E: Βασιλεία Βασιλείου καὶ Κωνσταντίνου τῶν υἱῶν Ῥωμανοῦ σὺν τῇ μητρὶ αὐτῶν A: Ἀρχὴ τῆς βασιλείας Βασιλείου καὶ Κωνσταντίνου τῶν υἱῶν βασιλέως Ῥωμανοῦ M: Βασιλεία Βασιλείου καὶ Κωνσταντίνου τοῦ ἄνωθεν Ῥωμανοῦ υἱέων i. m. N: om. CVB   38/39 σὺν — Ἄνναν: σὺν τῇ μητρὶ αὐτῶν Θεοφανῶ, ἣν Ἄννα B   38 Θεοφανῶ AEVB   38/39 τεχθείσης — τελευτῆς om. V   38 θυγατρὶ A   39 αὐτοῦ ACEVBF: om. MN   40 τῇ ἡλικίᾳ AB   ἦν alt. om. B   41 ἥμερον ἔχων: ἔχων ἥμερον CE   42 κυβερνῶν M   43 παρὰ om. M   44 ἐκδεδώκασιν C   45/46 καὶ — ἀπεφήναντο: ἀπέφηναν καὶ ἀνεπιτήδειον B   47 ἕκτης VMN: ϛ' AE: om. CB   εἴσεισιν ὁ: εἴσεισι B   48 Νικηφόρος om. M   κελεύσει — δεσποίνης: τῇ τῆς δεσπ. κελεύσει A   καθάπαξ καὶ πάλιν: καθάπερ καὶ πάλαι A   49 ἐν Κωνσταντινουπόλει post 48 Νικηφόρος B   ἀπὸ — Κρήτης: ἐν τῇ Κρήτῃ C   τῶν ἐκ om. E   50 ἱπποδρόμῳ CEB   καὶ μέρος τι: τι καὶ μέρος B   51 τιμίου προδρόμου καὶ ante βαπτιστοῦ add. B   ἀποκείμενον CE   52 Βρίγας B   ἔχειν post ὑπούλως add. CE   53 ὑποκρινάμενος οὗτος CE   54 ὁ Φωκᾶς εἰληφὼς B   ὁ Φωκᾶς om. CE

οἶκον ἄπεισι τοῦ Ἰωσήφ, καὶ κόψας τὴν θύραν, ὅστις εἴη μηνύειν ἐκέλευε τῷ θυρωρῷ. μηνύσαντος δέ, κελευσθεὶς ἐπείσεισι, καὶ κατ' ἰδίαν παραλαβὼν τὸν Ἰωσὴφ δείκνυσιν αὐτῷ τρίχινον ἔνδυμα, ὅπερ ἔνδοθεν τῶν ἱματίων ἠμφίεστο, καὶ μεθ' ὅρκων ἐπληροφόρησεν, ὡς τὴν τῶν μοναχῶν ἀσπαζόμενος πολιτείαν πάλαι ἂν περιεβάλετο τὸ σχῆμα καὶ τῶν βιωτικῶν ὑπεξήγαγεν ἑαυτὸν φροντίδων, εἰ μὴ ἐπέσχεν αὐτὸν ἡ τῶν βασιλέων προσπάθεια Κωνσταντίνου καὶ Ῥωμανοῦ, καὶ μέλλει ὅσον οὔπω τὸν οἰκεῖον ἐκπληρῶσαι σκοπόν. καὶ μὴ μάτην ὑποπτεύεσθαι καθικέτευσε. τοῦτο θεασάμενος ὁ Ἰωσὴφ πίπτει εὐθέως πρὸς τοὺς πόδας αὐτοῦ, μετάνοιαν ἐκζητῶν, καὶ ὡς οὐ πιστεύσει τινὶ πληροφορῶν λέγοντί ποτε κατ' αὐτοῦ.

4. Ὑφωρᾶτο δὲ ὁ Βρίγγας καὶ Στέφανον τὸν βασιλέα, μέχρι τότε τοῖς ζῶσι συναριθμούμενον καὶ ἐξόριστον ἐν Μηθύμνῃ τυγχάνοντα, καὶ διὰ παντὸς ἐφρόντιζεν ὑπὸ ἀκριβεστέραν αὐτὸν εἶναι φυλακήν. ἀλλ' ἐκεῖνος κατὰ τὴν ἑορτὴν τοῦ μεγάλου σαββάτου τῶν θείων μετεσχηκὼς μυστηρίων εὐθὺς τέθνηκεν αἰφνιδίως, μηδεμιᾶς προηγησαμένης αἰτίας, ἀλλὰ τῆς Θεοφανοῦς, εἰ καὶ πόρρωθεν κατῴκιστο, κατεργασαμένης αὐτόν.

5. Πέτρος δὲ ὁ τῶν Βουλγάρων βασιλεὺς τῆς γυναικὸς αὐτοῦ θανούσης τὴν εἰρήνην τάχα ἀνανεούμενος, σπονδὰς πρὸς τοὺς βασιλεῖς ἔθετο, ὁμήρους δοὺς καὶ τοὺς οἰκείους δύο υἱοὺς | Βορίσην καὶ Ῥωμανόν. καὶ μετὰ μικρὸν ἀπεβίω. οἱ δὲ υἱοὶ αὐτοῦ ἐν Βουλγαρίᾳ ἐπέμφθησαν μετὰ ταῦτα, ἐφ' ᾧ τῆς πατρῴας ἀντισχέσθαι βασιλείας, καὶ τοὺς κομητοπώλους ἀπείρξωσι τῆς πρόσω φορᾶς. Δαβὶδ γὰρ καὶ Μωσῆς καὶ Ἀαρὼν καὶ

73 Maria-Irica a. 968/969 mortua est secundum Petrov, Obrazuvane 74 a. 969 secundum Petrov 75 a. 969 76 Petrus a. 969 mortuus est; Boris et Romanus a. 970 in Bulgariam reversi sunt

cap. 4: Zon. III, 495, 2—495, 6 cap. 5: Zon. III, 495, 7—495, 13

ACEVBMN FH 55 ἐκέλευε VBMN: ἐκέλευσε ACEH 57 αὐτῷ: αὐτὸν A ἔνδοθεν: ἔνδον B 57/58 τῶν ἱματίων om. VB 58 ἠμφίετο B αὐτόν post ἐπληροφόρ. add. B 59 πάλιν CE περιεβάλετο CMN: περιεβάλλετο AEVBH τὸ om. A 61 μέλλει CEVMN: μέλλειν B: κελεύει A 63 τοῦτο: τοῦτον B εὐθὺς B πρὸς ACEMN: εἰς VB 64 μετάνοιαν ἐκζητῶν: συγγνώμην αἰτῶν B ποτε om. B 66 Ὑφεωρᾶτο ACE Βρίγας B 66/67 τοῖς ζῶσι μέχρι τότε A 70 εὐθὺς τέθνηκεν αἰφνιδίως VBMN: αἰφνιδίως εὐθὺς τέθνηκεν AC 71 εἰ om. B 73 βασιλεὺς VMN: ἀρχηγὸς ACE: κρατῶν B: ἀρχηγετῶν Zon. III, 495, 7 τῆς — θανούσης: ἀποθανούσης τῆς αὐτοῦ γυναικός post 74 ἀνανεούμενος A 74 ἔθετο: θέμενος CE 75 Βυρίσην C 76 αὐτοῦ υἱοὶ B 76/77 μετὰ ταῦτα: μετ' αὐτοῦ E 77 ἀντεχέσθαι A ἀντισχέσθαι βασιλείας: ἀντέχεσθαι ἀρχῆς B 78 ἀπείρξωσι EV: ἀπείρξουσι AMNH: ἀπείρξω C: ἀπεῖρξαι B γάρ: τε E

Σαμουήλ, ἑνὸς ὄντες παῖδες τῶν μέγα δυνηθέντων ἐν Βουλγαρίᾳ κομήτων, πρὸς ἀποστασίαν ἀπεῖδον καὶ τὰ Βουλγάρων ἀνέσειον. καὶ ταῦτα μὲν συνηνέχθη ὧδε.

6. Ὁ δὲ Βρίγγας, ὃν εἴπομεν τρόπον, ἀπατηθεὶς ὑπὸ τοῦ Νικηφόρου, καὶ τοῦτον ἐάσας οἴκαδε ἀπελθεῖν, μετεμέλετο, καὶ ἐν δεινῷ ἐποιεῖτο, ὅτιπερ ἐντὸς ἀρκύων ἔχων τὸ θήραμα ἔλαθε τοῦτο φρενοβλαβῶς προηκάμενος. ἐμερίμνα γοῦν πῶς καὶ ποίᾳ μηχανῇ τῆς ἀπὸ τούτων ἀπολυθείη φροντίδος. ἔδοξεν οὖν αὐτῷ λυσιτελέστατον εἶναι πρὸς Ἰωάννην μάγιστρον γράψαι τὸν Τζιμισκήν, ἄνδρα θυμοειδῆ καὶ δραστήριον ὄντα, καὶ μετὰ τὸν Φωκᾶν ἐν τοῖς Ῥωμαίων ἐπισημότατον στρατηγοῖς, στρατηγὸν τηνικαῦτα τῶν Ἀνατολικῶν ὑπάρχοντα, ἔτι δὲ καὶ πρὸς τὸν μάγιστρον Ῥωμανὸν τὸν Κουρκούαν, φανερώτατον καὶ ἐπίσημον καὶ αὐτὸν στρατηλάτην ὄντα τῆς ἀνατολῆς, γράμματα πέμψαι, καὶ φιλοτιμιῶν ὑποσχέσεσι καὶ δωρεῶν καὶ τιμῶν διεγεῖραι τούτους πρὸς καθαίρεσιν τοῦ Φωκᾶ. ἐγένοντο τὰ γράμματα, καὶ ὁ νοῦς τῶν γεγραμμένων ὑπῆρχεν οὗτος. εἰ διαναστάντες καθαιρήσουσι τὸν Φωκᾶν καὶ μοναχὸν ἀποκείρουσιν, ἢ τρόπον ἄλλον ἐκ μέσου ποιήσουσι, τὴν μὲν τοῦ δομεστίκου τῶν σχολῶν τῆς ἀνατολῆς μεγίστην ἀρχὴν | λήψεται ὁ Ἰωάννης, τὴν δὲ τοῦ δομεστίκου τῆς δύσεως ὁ Ῥωμανός. κομισθέντων οὖν τῶν γραμμάτων τοῖς δηλωθεῖσιν ἀνδράσιν, ἐπείπερ σχετικῶς ἐκεῖνοι εἶχον πρὸς τὸν Φωκᾶν, ὑπαναγινώσκουσί τε αὐτῷ εὐθέως τὰ γράμματα, καὶ διαναστῆναι πρὸς ἀλκὴν καὶ γενναῖόν τι καὶ νεανικὸν ἐννοήσασθαι παρεκάλουν. ὀκνοῦντα δὲ καὶ ἀναδυόμενον καὶ αὐτοχείρως ἠπείλουν διαχειρίσασθαι. διὸ καὶ πρὸς τὸν τοῦ θανάτου ἀποδειλιάσας κίνδυνον τὴν πρόκλησιν ὑπεδέξατο. καὶ δευτέρᾳ τοῦ Ἰουλίου μηνός, τῆς αὐτῆς ἕκτης ἰνδικτιῶνος, ὑπὸ τῶν ἐν τῇ ἕῳ στρατευμάτων ἁπάντων παρακεκινημένων ὑπὸ τοῦ Τζιμισκῆ Ῥωμαίων ἀναγορεύεται βασιλεύς.

80 a. 970 secundum Petrov 8 a. 963

cap. 6: Zon. III, 495, 14—497, 1; Glyc. 567, 15—568, 5

ACEVBMN FH **79** δυναμένων CE Βουλγάροις B **80** τῶν ante Βουλγάρων add. B **2** ὃν: ὡς B τοῦ om. CE **84** ἐντὸς: ἐν τοῖς A ἔλαθεν τοῦτον B **85** πῶς — μηχανῇ: καὶ ποίᾳ μηχανῇ καὶ πῶς A τούτων: τούτου B **86** ἔδοξεν οὖν: καὶ ἔδοξεν A **87** Τζιμισκήν EVMN: Τζιμισχήν A: Τζιμισχῆν CH Glyc. 567, 18: Τζιμισκῆν B θυμοειδῆ: θηριοειδῆ B **88** τὸν om. CE Ῥωμαίοις A **89** τὸν om. B **90** Κουρκοῦαν M φανερὸν A **90/91** καὶ pr. — αὐτόν: καὶ αὐτὸν ἐπίσημον B **92** ὑποσχέσει E **93** ἐγένετο C γεγραμμένων: γραμμάτων B: πεπραγμένων A **94** καὶ post διαναστάντες add. A τὸν Φ. καθαιρήσουσιν B **95** ποιήσωσι E **95/1** τοῦ — μεγίστην: τῆς ἀνατολῆς τοῦ δομεστίκου τῶν σχολῶν μεγίστην A **2** δομεστικίου V **3** εἶχον ἐκεῖνοι B **5** τὸν Φωκᾶν post ἀλκὴν add. A **6** αὐτοχείρους A **7** πρόσκλησιν B **8** δευτέρᾳ AVMN: β′ CE: δευτέραν B ἕκτης V: ϛ ACEMN: om. B **9** ἕῳ CV: ἑῴᾳ ABFH: ἑῴῳ EMN κεκινημένων A **10** Τζιμισχῆ A

7. Καὶ εἷς μὲν λόγος φέρεται οὕτως, ἕτερος δέ, ὁ καὶ δοκῶν ἀληθέστερος, ὡς πολὺν ὤδινε χρόνον τὴν τῆς βασιλείας ἐπιθυμίαν, καὶ οὐ τοσοῦτον αὐτὸν ὁ ταύτης ἔρως ἐξέφλεγεν, ὅσον ὁ τῆς βασιλίδος Θεοφανοῦς, ἐντυχόντα τε αὐτῇ, ὅτε τῇ βασιλευούσῃ διῆγε, καὶ πολλάκις πρὸς αὐτὴν ἐκπέμψαντα τὸν οἰκειότατον ὑπηρέτην αὐτοῦ Μιχαήλ. τοῦτο γὰρ καταφωράσας ὁ Βρίγγας ὑπόπτως διέκειτο πρὸς αὐτόν. τῆς τοίνυν ἀναρρήσεως αὐτοῦ φημισθείσης ἐν Κωνσταντινουπόλει, καὶ τῶν πραγμάτων ἐν ταραχῇ καθεστώτων, ὁ τὴν φροντίδα τῶν ὅλων ἀνεζωσμένος Ἰωσὴφ ἠγωνία καὶ διηπορεῖτο, ὅ τι καὶ δράσειεν, ὅτι μηδὲ τοῖς πολίταις εὔνους ἦν διὰ τὸ δυσέντευκτον. κατελθόντος οὖν ἐν Χρυσοπόλει μετὰ παντὸς | τοῦ στρατοῦ Νικηφόρου τοῦ Φωκᾶ μετ' εὐφημιῶν, ἐβουλεύσατο ὁ Βρίγγας βασιλέα τινὰ προβαλέσθαι, διὰ τούτου οἰόμενος τὸν τόνον ἐκλῦσαι τῆς ὁρμῆς τοῦ στρατοῦ. τέως δὲ τῆς ἀναρρήσεως, ὡς εἴπομεν, γενομένης τοῦ Φωκᾶ, Βάρδας μὲν ὁ τούτου πατήρ (ἔτυχε γὰρ ἐνδημῶν τῇ βασιλίδι) ἱκέτης εἰσέρχεται πρὸς τὴν μεγάλην ἐκκλησίαν, Λέων δὲ ὁ ἐκείνου ἀδελφός, καίπερ φυλαττόμενος ἀκριβῶς, λαθὼν ἀπέδρα καὶ τῷ οἰκείῳ ἡνώθη ὁμαίμονι. οὗ γενομένου παρείθη τὴν ψυχὴν καὶ ἐν πάσῃ ἀμηχανίᾳ κατέστη ὁ Βρίγγας. ἦν γὰρ καὶ ἀνεπιτήδειος ἐν καιροῖς δυσκόλοις ὄχλον κολακεῦσαι καὶ καταδημαγωγῆσαι πλῆθος. δέον γὰρ προσηνέσι λόγοις καὶ θωπευτικοῖς τὴν τοῦ πλήθους καταμαλάξαι ὁρμήν, ὁ δὲ μᾶλλον καὶ ἐξετράχυνε καὶ ἠγρίωσε. πάντων γὰρ ἐν τῇ μεγάλῃ συντρεχόντων ἐκκλησίᾳ, αὐτὸς τὸ πλῆθος ἐκδειματῶν λόγους ἐπαφῆκεν ὑπερηφάνους τε καὶ τραχεῖς, 'ἐγώ', φήσας, 'καταπαύσω ὑμῶν τὴν ἰταμότητα καὶ ἀναισχυντίαν. ποιήσω γὰρ τὸν τοῦ νομίσματος ὠνουμένους σῖτον ἀποφέρεσθαι ἐν τῷ κόλπῳ.' οὔπω παρῆλθεν ὁλόκληρος

cap. 7: Zon. III, 497, 4–498, 15; Glyc. 568, 5–568, 11

ACEVBMN FH **11** οὗτος CE **13** αὐτὸν ACEVBF: αὐτῷ MN ἐξέφλεγεν CEVMN: ἐξέφλεξεν A: κατέφλεγεν B ὁ alt.: ἡ V **14** τε: δὲ B πολλάκις: πολλὰ E **15** ὑπηρέτην om. CE αὐτοῦ: αὐτῷ CE τοῦτο: τοῦτον E **16** ὕποπτος E post αὐτόν i. m. tit. Βασιλεία Νικηφόρου τοῦ Φωκᾶ B **17** αὐτοῦ: τοῦ Φωκᾶ B φημισθείσης: μηνυθείσης B **18** ἀναζωσάμενος B **19** σφοδρῶς post διηπορεῖτο add. CE **20** οὖν: δὲ A **21** στρατοῦ: στρατεύματος B Νικηφόρου om. B **21–24** μετ' — Φωκᾶ om. CE **21** εὐφημίας B **22/23** τὸν — στρατοῦ: τὴν ὁρμὴν τοῦ στρατοῦ ἐκλῦσαι B **23** τῆς ὁρμῆς om. A **24** τούτου om. E ἔτυχε γάρ: ἔτυχεν B **25** ἐν ante τῇ add. B εἰσέρχεται post ἐκκλ. B **26** ἐκείνου: τοῦ Νικηφόρου B **27** ἡνώθη ὁμαίμονι AVBMN: ἀδελφῷ ἡνώθη CE: ἡνωθῆναι τῷ ἀδελφῷ Zon. III, 497, 8 **28** ὁ Βρίγγας post **27** ψυχὴν M **28** ἀμηχανίᾳ κατέστη ACENF: κατέστη ἀμηχανίᾳ VBM καὶ φόβῳ post ἀμηχ. add. CE **28/29** καιρῷ δυσκόλῳ B **29** πλῆθος καταδημαγ. B **30** λόγοις καί: φωναῖς καὶ λόγοις CE καταμαλάξαι ACEMN: μαλάξαι VB καὶ φοράν post ὁρμὴν add. CE **31** καὶ pr. om. AH ἐξετράχυνε CEVMN: ἐτράχυνεν B: ἐξετράνωσε A **32** προστρεχόντων A ἀφῆκεν CE **33** ὑμῶν καταπαύσω B **34** καὶ ἀναισχυντίαν om. CEB **34/35** ποιήσω — κόλπῳ: ἀποφέρειν γὰρ ὑμᾶς ἐν τῷ κόλπῳ ποιήσω τὸν τοῦ νομίσματος σῖτον CE ὠνουμένους AVB: ὠνούμενον MN **35/36** ὁλόκληρος ἡμέρα AVBMN: ἡμέρα ὁλόκληρος E: ἡμέραν C

ἡμέρα, ἀφ' οὗ τοῦτο εἴρηκε (κυριακὴ γὰρ ἦν, ἐννάτην ἄγοντος τοῦ Αὐγούστου μηνός), καὶ τῇ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας Βασίλειος ὁ Κωνσταντίνου τοῦ βασιλέως παρακοιμώμενος, δυσμενὴς καὶ ἔχθιστος ὢν τῷ Ἰωσήφ, τοῖς ἑαυτοῦ φίλοις καὶ συγγενέσι τοὺς οἰκείους μίξας θεράπον|τας κατὰ πολλὰ μέρη τῆς πόλεως πέπομφεν εἰς τοὺς οἴκους τῶν ἀντιπραττόντων αὐτῷ. καὶ ἀπὸ πρώτης ὥρας τῆς δευτέρας ἡμέρας μέχρις ἕκτης κατέστρεψαν καὶ ἐξηδάφισαν οἰκίας πλείστας τῶν πολιτῶν, ὧν ἐπισημοτέρα ἦν ἡ τοῦ Ἰωσήφ. οὐ γὰρ μόνον τῶν ἀντιβαίνειν δοκούντων ἐμφανῶν καὶ πολιτικῶν ἀνδρῶν, ἀλλὰ καὶ πολλῶν ἄλλων εὐτελεστέρων, ὧν οὐκ ἀριθμητὸν τὸ πλῆθος, οἰκίαι κατεσκάφησαν. ᾧ γάρ ποτε διαφορὰ μετά τινος ἦν, πλῆθος ἀτάκτων μεθ' ἑαυτοῦ ἐπαγόμενος, μηδενὸς κωλύοντος, τοῦτον ἠφάνιζε. πολλοὶ δ' ἐν τῇ τοιαύτῃ ἀταξίᾳ καὶ ἄνθρωποι ἐφονεύθησαν. ταῦτα δὲ ποιοῦντες ἔν τε ταῖς πλατείαις τῆς πόλεως λεωφόροις ἔν τε ταῖς ἀγοραῖς ἔν τε τοῖς στενωποῖς Νικηφόρον ἀνευφήμουν καλλίνικον. τοῦτο τὸ ἔργον ἐξάγει μὲν τῆς μεγάλης ἐκκλησίας Βάρδαν τὸν πατέρα τοῦ Φωκᾶ, φυγάδα οἰκτρὸν καὶ ὅσον οὐδέπω τὸν κίνδυνον ἐκδεχόμενον, Ἰωσήφ τε τὸν παρακοιμώμενον, τὸν πρὸ τοῦ μεγάλα φυσῶντα καὶ ἐπαιρόμενον, εἰς αὐτὴν ἀντεισάγει ἱκέτην ἐλεεινὸν καὶ τὴν ἑαυτοῦ σωτηρίαν ἀμφίβολον ἔχοντα. οἱ δὲ περὶ τὸν παρακοιμώμενον Βασίλειον τριήρεις καταρτίσαντες καὶ τὸν βασιλικὸν εἰληφότες δρόμωνα μετὰ παντὸς τοῦ στόλου περαιοῦνται ἐν Χρυσοπόλει, καὶ τὸν Νικηφόρον ἐκεῖθεν ἀναλαβόμενοι ἄγουσιν εἰς τὸ Ἕβδομον, αὐτόθεν τε αὐτοί τε καὶ πᾶς ὁ δῆμος τῆς πόλεως μετ' εὐφημιῶν καὶ κρότων καὶ σαλπίγγων καὶ κυμβάλων δημοσίας γενομένης προόδου | διὰ τῆς Χρυσῆς πόρτης

36/37 a. 963 **57** die 14. mens. Aug. a. 963

ACEVBMN FH **36** εἴρηται CE ἄγοντος CEB: ἄγουσα AVMNH **37** καί: ἐν B αὐτῆς ἡμέρας: ἡμέρας ταύτης CE **37/38** Κωνσταντίνου — παρακοιμώμενος ACEVB: τοῦ βασιλέως Κωνσταντίνου παρακοιμώμενος MN **38** τοῦ om. A καὶ ἔχθιστος om. CE **39** συμμίξας A **40** πέπομφε ante μέρη CE οἴκους: οἰκείους A **41** β' CE ἡμέρας om. M ς' C **42** ἐξεδάφησαν BMN ἐπισημοτάτη E **43** μόνων CEV **44** ἐμφανῶν — ἀνδρῶν: πολιτικῶν ἀνδρῶν καὶ ἐμφανῶν CE **45** ἦν post ἀριθμητὸν add. A κατεσκάφησαν ACEMNH: κατεστράφησαν VB κατεσκάφησαν οἰκίαι CE **47** δὲ E ἀταξίᾳ AVMN: στάσει CEB **48** καὶ — ἐφονεύθησαν: ἐφονεύθησαν καὶ (καὶ om. E) ἄνθρωποι CE **49** καὶ post πόλεως add. B λεωφόροις om. A **50** καλλίν. ἀνευφ. CE βασιλέα post καλλίν. add. B μεγάλης om. CEB **51** Φωκᾶ: Νικηφόρον B φυγάδα: Βάρδαν A ὄντα post φυγάδα add. B οὐδέπω: οὔπω B τὸν alt. ACEVBF: om. MN **52** Ἰωσήφ τε AVMN: Ἰωσὴφ δὲ B: τὸν δὲ Ἰωσὴφ CE τὸν παρακοιμώμενον om. CE τὸν alt.: τὸ V **52/53** τὸν alt. — ἐπαιρόμενον om. A **53** μεγάλα: μέγα B φυσῶντα μεγάλα CE αὐτήν: αὐτὸν B **54** καὶ — ἔχοντα: καὶ ἀμφίβ. ἔχ. τὴν ἑαυτοῦ σωτ. CE **55/56** Βασίλειον — μετὰ: Βασ. εἰληφ. τὸν βασ. δρόμ. καὶ τριήρ. καταρτ. μετὰ CE **55** καταρτίσαντες: κατασκευάσαντες A **56** στόλου: στρατοῦ CE **56/57** καὶ — ἄγουσιν: καὶ ἀναλαβ. ἐκεῖθεν τὸν Νικ. ἄγουσιν CE **58** τε om. ACEBH εὐφημίας E καὶ σαλπίγγων: σαλπίγγων τε καὶ B

εἰσάγουσιν εἰς τὴν βασιλίδα. γενόμενοι δὲ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Πολύευκτον παρεσκεύασαν τὸν πατριάρχην καὶ τῷ βασιλικῷ αὐτὸν ταινιῶσαι διαδήματι. στέφει οὖν τοῦτον ὁ Πολύευκτος ἐν τῷ ἄμβωνι τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἡμέρα δὲ ἦν κυριακή, ἑξκαιδεκάτην τοῦ Αὐγούστου μηνὸς ἄγοντος, τῆς ἕκτης ἰνδικτιῶνος.

63 die 16. mens Aug. a. 963

ACEVBMN F **60** εἰσάγουσιν: εἰσφέρουσιν CE post βασιλίδα i. m. tit. Βασιλεία Νικηφόρου τοῦ Φωκᾶ E δὲ: οὖν A ἐκκλησίᾳ om. C **61** παρεσκεύασαν: παρεκάλουν E τὸν πατριάρχην καὶ om. CE καὶ om. B ταινιῶσαι αὐτὸν B **62** διαδήματι: στέφει, post **61** βασιλικῷ, CE post διαδήματι tit. Βασιλεία Νικηφόρου τοῦ Φωκᾶ, ἔτη ἓξ καὶ μῆνας δ' A **62/63** στέφει — ἐκκλησίας: ὁ γοῦν Πολ. τοῦτον ἐν τῷ ἄμβ. τῆς μεγ. ἐκκλ. στέφει CE **62** τοῦ θεοῦ ACEVBF: om. MN **63** ις' ACE τοῦ om. M **64** ς' ACEB

⟨ΝΙΚΗΦΟΡΟΣ Ο ΦΩΚΑΣ⟩

1. Ἀποστείλας δὲ τὸν μοναχὸν καὶ σύγκελλον Ἀντώνιον τὸν Στουδίτην τὴν Θεοφανὼ τῶν βασιλείων καταβιβάζει καὶ εἰς τὰ παλάτια τοῦ Πετρίου ἐκπέμπει. μετ' ὀλίγον δὲ ἐξόριστον τίθησιν ἐν Παφλαγονίᾳ καὶ τὸν παρακοιμώμενον Ἰωσὴφ καὶ αὖθις μετ' οὐ πολὺν χρόνον μεταβιβάζει ἔν τινι μοναστηρίῳ λεγομένῳ τοῦ Ἀσηκρῆτις, ἐν τοῖς Πυθίοις. ὃς ἐπὶ δύο ὅλους ἐκεῖσε ἐνδιατρίψας ἐνιαυτοὺς ἀπεβίω. χειροτονεῖ δὲ καὶ Βάρδαν τὸν ἑαυτοῦ πατέρα καίσαρα.

2. Τῇ δὲ εἰκάδι τοῦ Σεπτεμβρίου μηνὸς τὸ προσωπεῖον καὶ τὴν σκηνὴν ἀποθέμενος ἄγεται νόμιμον γαμετὴν τὴν Θεοφανώ. τότε δὲ καὶ κρεῶν ἀπεγεύσατο, πρότερον ἀπεχόμενος κρεωδαισίας, ἐξ ὅτου Βάρδας ὁ ἐκ τῆς προτέρας αὐτοῦ γυναικὸς ἀποτεχθεὶς αὐτῷ υἱός, ἱππαζόμενος ἐν τῷ πεδίῳ καὶ τῷ οἰκείῳ προσπαίζων ἀνεψιῷ τῷ Πλεύσῃ, μετὰ δόρατος βληθεὶς ἀκουσίως τέθνηκε. τοῦτο δὲ εἴτε ἐγκρατευόμενος ἐποίει, εἴτε καὶ λαθεῖν τοὺς κρατοῦντας ὑποκρινόμενος, μόνος ἂν εἰδείη μετὰ θεὸν ἐκεῖνος. τοῦ γά|μου δὲ τελεσθέντος ἐν τῇ κατὰ τὸ παλάτιον Νέᾳ ἐκκλησίᾳ, ἐπείπερ ἔμελλεν εἴσοδος ἐν τῷ θυσιαστηρίῳ γενέσθαι, τῆς χειρὸς κατέχων αὐτὸν ὁ Πολύευκτος καὶ ταῖς ἱεραῖς ἐγγίσας κιγκλίσιν, εἴσεισι μὲν ἐκεῖνος εἰς τὰ ἄδυτα, ἐκεῖνον δ' ἐξώθησεν ὄπισθεν, ἐπειπὼν μὴ πρότερον συγχωρη-

73 a. 963

---

cap. 1: Zon. III, 498, 16–499, 3; Glyc. 568, 11–568, 13 cap. 2: Zon. III, 499, 3–500, 15; Glyc. 568, 13–569, 16

ACEVBMN FH **65** Ὁ Φ. V: om. ACEBMN **66** Στουδίτην: Στουδίου M **67** τὴν — βασιλείων AVBF: τῶν βασ. τὴν Θ. CEMN καταβιβάζει ante τὴν CE **67/68** καὶ — ἐκπέμπει om. CE **67** τὰ παλάτια VBMNF: τὸ παλάτιον AH **68** δ' E **68/69** τίθησιν — Ἰωσήφ: τίθησι καὶ τὸν παρακ. Ἰ. ἐν Παφλ. CE **68** καὶ om. B **69** πολὺν: πολύ A **70** Ἀσηκρῆτες C ἐν τοῖς om. A ὃς: ᾧ B **70/71** ὃς — ἐνιαυτούς: ὃς ἐκεῖσε ἐνδ. ἐφ' ὅλους δύο ἐν. CE **71** ἐκεῖσε om. B Βάρδα B **73** εἰκάδι VMN: εἰκοστῇ B: κ' ACE **74** ἄγεται — Θεοφανώ: ἄγ. τὴν Θ. νόμ. γαμ. CE τὴν om. B **75** κρεωδαισίας om. CE ἐξ: ἀφ' CE **76** γυναικὸς VBMN: γαμετῆς ACE Glyc. 568, 17 **77** καὶ τῷ οἰκείῳ om. CE τῷ alt. om. CE Πλεύσῃ AVMN Zon. III, 499, 6 Glyc. 568, 18: Πλεύσει B: Πλεύστῃ C: Πλέστῃ E **78** βληθεὶς: πληγεὶς CE ἀκουσίως: ἐφονεύθη καὶ CE ἐποιεῖτο E **78/79** ἐποίει — ὑποκρινόμενος om. A **78** καὶ om. E **78/79** καὶ λαθεῖν: διὰ τὸ λαθεῖν B **79** μόνος — ἐκεῖνος: θεὸς ἂν εἰδείη CE **80** δὲ om. B τελεσθέντος — ἐκκλησίᾳ: τελ. ἐν τῇ Νέᾳ ἐκκλησίᾳ τῇ ἀμφὶ τὸ παλ. CE **81** ἤμελλεν A εἴσοδος — γενέσθαι: ἐν τῷ θυσ. εἴσ. γεν. B αὐτὸν om. A **82** ἐκεῖνος AVBMN Glyc. 569, 2: αὐτὸς C: om. E **82/83** τὸ ἄδυτον C **83** ἐκεῖνον: τὸν δὲ Φωκᾶν CE Glyc. 569, 2 ὄπισθεν om. VB εἰπὼν B συγχωρηθῆναι CE

θήσεσθαι αὐτὸν εἰς τὸ θυσιαστήριον εἰσελθεῖν, πρὶν ἂν δέξηται ἐπιτίμια δευτερογαμούντων. ἐλύπησε δὲ ἐν τούτῳ τὸν Νικηφόρον, καὶ οὐ διέλιπεν ἐγκοτῶν αὐτῷ μέχρι τῆς τελευτῆς. διεδέδοτο δὲ καὶ λόγος ἁπανταχοῦ, ὃς οὐ μικρῶς διετάραξε τὴν ἐκκλησίαν, ὅτιπερ ὁ Νικηφόρος ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀνάδοχος ἐγένετο τῶν τῆς Θεοφανοῦς ἑνὸς παίδων. ταύτην δὲ τὴν φήμην ὡς εὔλογον ἀφορμὴν δεξάμενος ὁ Πολύευκτος, ἢ χωρισθῆναι αὐτὸν τῆς γυναικὸς ἀπεμάχετο κατὰ τὸν κανόνα, ἢ τῆς ἐκκλησίας ἀναχωρεῖν. ὃ δὴ καὶ πεποίηκε, τῆς Θεοφανοῦς ἐξεχόμενος. συγκαλεσάμενος δὲ τοὺς ἐνδημοῦντας ἐπισκόπους ἐν τῇ πόλει καὶ τοὺς τῆς συγκλήτου λογάδας, σκέψιν περὶ τούτου προέθετο. πάντες δὲ οὗτοι τοῦ Κοπρωνύμου εἶναι τὸν νόμον ἔλεγον, καὶ δέον αὐτὸν μὴ φυλάττεσθαι ἔκρινον. τοῦτ' ἄρα καὶ λίβελλον ἀφέσεως ὑπογράψαντες τούτῳ ἐπιδεδώκασιν. ἔτι δ' ἀναβαλλόμενον τὸν Πολύευκτον κοινωνῆσαι τῷ βασιλεῖ ὁ καῖσαρ ἐπληροφόρησεν, ὡς οὐκ ἀνάδοχος γέγονεν. ἀλλὰ καὶ Στυλιανὸς ὁ πρωτοπαπᾶς τοῦ μεγάλου παλατίου, ἐξ οὗ πρώτου ἐλέγετο ἡ τοιαύτη φήμη διαδραμεῖν, ἐνώπιον ἐλθὼν τῆς συνόδου καὶ τῆς συγκλήτου | ἐξωμόσατο μήτ' ἰδεῖν, μήτε πρός τινας ἀνειπεῖν, ὡς ἄρα Βάρδας ἢ Νικηφόρος ἀνάδοχος γένοιτο. ὁ δὲ Πολύευκτος καίπερ φανερῶς ἐπιορκοῦντα εἰδὼς τὸν Στυλιανόν, τὸ τῆς συντεκνίας συγκεχώρηκεν ἔγκλημα, καὶ ὁ πάλαι ἐνιστάμενος δευτερογαμίας ἐπιτίμια ἐπιθεῖναι καὶ τὸ μέγα τοῦτο παρῆκεν ἁμάρτημα.

3. Νικηφόρος δὲ τῷ πρώτῳ τῆς αὐτοῦ βασιλείας ἔτει ἐκπέμπει κατὰ τῶν ἐν Σικελίᾳ Σαρακηνῶν τὸν πατρίκιον Μανουὴλ καὶ νόθον υἱὸν τοῦ πατραδέλφου αὐτοῦ Λέοντος, τοῦ χρηματίσαντος δομεστίκου τῶν σχολῶν καὶ ἐπὶ Ῥωμανοῦ τοῦ γέροντος τυφλωθέντος, στρατὸν αὐτῷ δοὺς

cap. 3: Zon. III, 500, 16—501, 3

ACEVBMN FH   84 αὐτὸν: αὐτῷ B   ἐπιτίμιον B   85 ἐλύπησε — Νικηφόρον: ἐλύπησε (ἐλύπει E) δὲ τὸν Νικ. ἐν τούτῳ CE   δ' BM ἐν: οὖν B διέλιπεν: διέλαθεν E   86 διεδίδετο B   διεδέδοτο — λόγος: καὶ λόγος δὲ ἐφοίτα CE   87/88 ἀπὸ — βαπτίσματος om. CE   88/89 ταύτην — ἀφορμὴν: ταύτης δὲ τῆς φήμης ὡς εὐλόγου ἀφορμῆς AB   89 δεξάμενος CEV: δραξάμενος ABMNF   90 ἀπὸ ante τῆς add. B   ἀπεμάχετο τῆς γυν. A   τῆς ἐκκλησίας dittogr. post κανόνα add. M   92 ἐπισκόπους om. M   ἐν om. V   ἐν τῇ πόλει om. B   94 μὴ φυλάττεσθαι: ἐπιφυλάττεσθαι B   ἔκρινον ACEMN: ἔκριναν VB   95 τοῦτ' VMN: ταῦτ' CEB Glyc. 569, 17: τῷ τοι A   1 ἀναβαλλομένου τοῦ Πολυεύκτου A   2/3 ὁ — παλατίου: ὁ τοῦ μεγ. παλ. πρωτοπ. B   3 πρώτη C   4 διαδραμῶν B   ἐνώπιον — συνόδου dittogr. A   τῆς συγκλήτου καὶ τῆς συνόδου M   5 τινας ACEVBF: τινα MN   Βάρδας ἢ: ὁ Βάρδας A   6 ὁ ante Νικηφ. add. B   γένοιτο: ἐγένετο B   ἐνορκοῦντα A   8 ἐνιστάμενος: ἐπιστάμενος C   δευτερογαμίας: δευτέρῳ γάμῳ A   ἐπιτίμιον A   10 Νικηφόρος δέ: Ὁ Νικηφ. B   αὐτοῦ βασιλείας CEVBNF: βασιλείας αὐτοῦ AM   11 ἐν Σικελίᾳ: Σικελίας B   12 Λέοντος post 11 υἱὸν B

καὶ στόλον ἀξιόμαχον. ἀδοξίαν γὰρ ἐδόκει προστρίβεσθαι ἑαυτῷ, εἰ τούτου κρατοῦντος ἡ Ῥωμαίων βασιλεία δασμοφορεῖ τοῖς Σαρακηνοῖς.

4. Ἀλλ' ἀναγκαῖον εἰπεῖν ἐπιδραμόντας, τίς ἡ πρὸς τοὺς Σαρακηνοὺς δασμοφορία, καὶ ὅθεν εἴληφε τὴν ἀρχήν. τῆς πόλεως γὰρ τῶν Συρακουσῶν ὑπὸ τῶν ἐν Ἀφρικῇ Σαρακηνῶν ἁλούσης ἐπὶ τῶν χρόνων Βασιλείου τοῦ Μακεδόνος, καὶ τὴν ὅλην συνέβη νῆσον ὑπ' αὐτῶν κατασχεθῆναι καὶ τὰς αὐτῆς πόλεις κατασκαφῆναι, τῆς Πανόρμου μόνης περιποιηθείσης, ἐξ ἧς ὡς ἔκ τινος ὁρμητηρίου ὁρμώμενοι οἱ Ἀγαρηνοὶ τὴν ἀντιπέραθεν γῆν ἐπεκτήσαντο. ἐκεῖθέν τε διαπορθμευόμενοι τὰς νήσους ἐδῄουν ἄχρι Πελοποννήσου, καὶ ὅσον οὔπω προσδόκιμοι παραστήσεσθαι ἦσαν. ἀμηχανῶν οὖν ὁ βασιλεὺς Βασίλειος, καὶ ἄξιον ὑπηρέτην ἀναζητῶν τῆς τοιαύτης ὑπηρεσίας, τὸν πατρίκιον ἔκρινε | Νικηφόρον καὶ δομέστικον τῶν σχολῶν, ἐπωνυμίαν τοῦ Φωκᾶ φέροντα, ἀπό τινος τῶν προγόνων αὐτοῦ ἀριστεύσαντος. πάππος ὁ Νικηφόρος ἦν τοῦ βασιλέως Νικηφόρου, ἀνὴρ γενναῖος καὶ συνετός, τὰ πρὸς θεὸν εὐσεβὴς καὶ πρὸς ἀνθρώπους δίκαιος. οὗτος μετά τινος στρατοῦ εἰς Ἰταλίαν περαιωθεὶς ἐντὸς ὀλίγου τῆς Ἰταλίας ἀπήλασε τοὺς Σαρακηνοὺς καὶ ἐν Σικελίᾳ ἡσυχάζειν ἠνάγκασε. τούτου τοῦ ἀνδρὸς καὶ ναὸν λέγεται δομήσασθαι τοὺς Ἰταλοὺς εἰς μνήμην ἄληστον τῆς αὐτοῦ ἀρετῆς, οὐ διὰ τὴν ἐλευθερίαν μόνην, ἀλλὰ καὶ δι' ἕτερον ἔργον ἀξιαφήγητον. οἱ γὰρ Ῥωμαῖοι ἐν τῷ μέλλειν οἴκαδε ὑποστρέφειν μετὰ τοῦ σφῶν στρατηγοῦ πολλοὺς τῶν Ἰταλῶν κατασχόντες ἔσπευδον δούλους εἰς τὴν περαίαν διαβιβάζειν. οὗ γνωσθέντος μηδὲν ὅλως εἰπὼν ὁ Νικηφόρος, μηδ' ὑπόνοιάν τινα δεδωκὼς πρὸ τοῦ ἐν Βρεντησίῳ γενέσθαι (ἐκεῖθεν γὰρ

18/19 a. 878 **25** a. 885 seqq.

ACEVBMN FH **14** ἀδοξία E ἑαυτῷ: αὐτῷ B **15** τούτου: τοῦ A **18** Συρακουσῶν: Σικελῶν B **19** νῆσον συνέβη M ὑπ' αὐτῶν ACEVBF: om. MN **20** αὐτῆς om. M **22** γῆν om. VB ἐπεκτήσαντο AEVBN: ἐκτήσαντο C: ὑπεκτήσαντο M τε: δὲ A διαπορθμευόμενον B **23** ἦν post Πελοπ. add. B προσδόκιμον A παραστήσασθαι A **24** οὖν: δὲ A **25** ἀναζητῶν post τοιαύτης VB ἔκρινεν dittogr. ante Νικηφ. add. A Νικηφ. ἔκρινε CE Νικηφ. om. B **26** καὶ: τὸν CE ἐπωνυμίαν — φέροντα: ἐπων, φέρ. (φέροντος E) τοῦ Φωκᾶ CE **27** ἀριστεύματος B πάππος dittogr. A ἦν: ἐτύγχανεν, post **28** Νικηφ. B **28** τε post θεόν add. AMNH **29** καὶ: τὰ B τὰ ante πρὸς add. CE οὗτος: οὗτινος C τινος om. B Ἰταλίαν: Σικελίαν A **30** ὀλίγου: ὀλίγοις B τῆς — Σαρακηνούς: τοὺς Σαρ. τῆς Ἰτ. ἀπήλ. CE Ἰταλίας: Σικελίας A **31** ἠνάγκαζε A **32** τῆς — ἀρετῆς: τῆς ἀρετῆς ἐκείνου CE **33** μόνον BM διὰ B ἀξιαφήγητον CEVMN: ἀξιοφήγητον A: ἀξιουφήγητον B **35** πολλοὺς — κατασχόντες: πολλοὺς κατασχ. τῶν Ἰτ. CE περαίαν: πατρῴαν A **36** διαβιβάσαι A οὗ — Νικηφόρος: ὁ γοῦν Νικηφ. τοῦτο γνοὺς μηδὲν ὅλως εἰπὼν CE αὐτῷ post γνωσθ. add. B ὅλως: ἄλλως B **36** μηδ' ACEVBF: μηδὲ MN **37** Βρεντησίῳ VBMN: Βροντησίῳ A: Βρεντεσίῳ CE ἐκεῖθεν: ἐκεῖσε CE ἐκεῖθεν γάρ: καὶ γὰρ ἐκεῖθεν B

ἔμελλον πρὸς τὴν Ἰλλυρίδα διαπερᾶν), ὡς ἐκεῖσε ἐγένοντο, αὐτὸς δι' ἑαυτοῦ ἕκαστον τῶν στρατιωτῶν ἐμβιβάζων τοῖς πλοίοις περᾶν παρεσκεύασε καὶ οὕτως τοὺς ἐγχωρίους εἴασε τὴν ἑαυτῶν χώραν ἀδεῶς κατοικεῖν. διετέλεσεν οὖν εἰρηνεύουσα ἡ Ἰταλία μέχρι τῶν χρόνων τοῦ Πορφυρογεννήτου Κωνσταντίνου καὶ τῆς αὐτοῦ μητρός. ἐπ' ἐκείνων δὲ πάλιν κινηθέντες οἱ Σαρακηνοὶ μηδενὸς κωλύοντος τὴν Ἰταλίαν κατέτρεχον. συνιδόντες οὖν οἱ κρατοῦντες, ὡς οὐχ οἷοί τέ εἰσι πρός τε τοὺς ἑῴους Σαρακηνοὺς καὶ πρὸς τοὺς ἑσπερίους ἀντέχειν, ἤδη καὶ τῶν Βουλγάρων τὰς | σπονδὰς λελυκότων, σπείσασθαι ἐγνώκεισαν μετὰ τῶν ἐν Σικελίᾳ Σαρακηνῶν. ἐγένοντο οὖν σύμφωνα δι' Εὐσταθίου στρατηγοῦ Καλαβρίας, ἑνὸς ὄντος τῶν βασιλικῶν θαλαμηπόλων, ἐφ' ᾧ δασμὸν ἐτήσιον δίδοσθαι τοῖς Σαρακηνοῖς χρυσίου χιλιάδας δύο ἐπὶ εἴκοσι.

5. Γενομένων δὲ τῶν σπονδῶν Ἰωάννην πατρίκιον τὸν ἐπίκλην Μουζάλωνα στρατηγὸν τῆς Καλαβρίας προὐβάλλοντο, ὃς φορτικῶς κατάρχων τῶν ἐγχωρίων ὑπ' αὐτῶν ἀπεσφάγη, προσχωρησάντων τῷ ῥηγὶ Λογγιβαρδίας Δανδούλφῳ, Ῥωμανοῦ τοῦ γέροντος ἄρτι τὰ σκῆπτρα κατέχοντος Ῥωμαίων. ὑφ' οὗ συμφέρον ἐνομίσθη στρατιώτας πεμφθῆναι μετὰ νεῶν, τὸ ἀπορραγὲν τῆς ὁλότητος μέρος ἐπανασώσασθαι. προεπέμφθη δὲ Κοσμᾶς πατρίκιος ὁ Θεσσαλονικεύς, γνώριμος ὢν τῷ Δανδούλφῳ. καὶ περαιωθεὶς οὗτος εἰς Ἰταλίαν καὶ τῷ Δανδούλφῳ συμμίξας παρῄνει ἀποσχέσθαι τῆς χώρας Ῥωμαίων καὶ τῷ βασιλεῖ συμφιλιωθῆναι καὶ ἀντὶ πολεμίου φίλον αὐτὸν ποιῆσαι καὶ σύμμαχον. ἀπαναινομένου δὲ τούτου τὸ πρῶτον, ὁ Κοσμᾶς ἀνὴρ φρόνιμος ὢν καὶ συνετός· 'ἐμοὶ μέν', εἶπε πρὸς τὸν Δανδοῦλφον, 'χρέος ἦν τὰ σωτήρια

47 a. 917   **57** a. 921?

ACEVBMN FH **39** ἕκαστον — στρατιωτῶν: τῶν στρατιωτῶν (στρατῶν C) ἕκαστον CE περνᾶν B παρεσκεύασε ACB: παρεσκεύαζε EVMNF **40** ἑαυτῶν: οἰκείαν B **41** τῶν χρόνων om. A **43** κινηθέντων E **44** συνιδόντες ACEVBM: συνειδότες B: συνειδόντες N **45** καὶ pr. om. A **46** λελυκότων CEBMN: λελυκότες A: καταλελοικότων V μετὰ dittogr. A **47** ἐγένετο B συμφωνία B διὰ A Εὐσταθείαν C τοῦ ante στρατηγοῦ add. ACEH **48** τοῦ ante Καλαβρίας add. N **49** χρυσοῦ B χρυσίου — εἴκοσι: εἴκοσι καὶ δύο χιλιάδας (χιλ. dittogr. C) χρυσίου CE δύο om. B κβ' A **50** τὸν: τὸ B ἐπίκλην om. A **51** Μουζάλωνα ACEVBF: Μουζάλονα MN τῆς om. CE προὐβάλλοντο AVB: προὐβάλοντο EMN: προὐβάλονται C: προὐβάλλετο B: προβάλλονται F **53** ῥηγὶ: δουκὶ CE Δανδούλφῳ AMN: Λανδούλφῳ CE: Πανδούλφῳ VB δὲ post Ῥωμανοῦ add. M **54** Ῥωμαίων κατέχοντος B **55** ἐκπεμφθῆναι μετὰ νηῶν CE τῆς om. A **56** προσεπέμφθη AE δὲ om. AB ὁ om. A **57** Δανδούλφῳ CVMN: Δαλδούλφῳ A: Λανδούλφῳ E: Πανδούλφῳ B ἐν Ἰταλίᾳ CE Δανδούλφῳ CVMN: Δαλδούλφῳ A: Λανδούλφῳ E: Πανδούλφῳ B **58** τῆς χώρας ἀπέχεσθαι B **60** τούτου ACEVBF: τοῦτο MN ὢν om. B **61** εἶπε ACEMN: ἔφη VB Δανδοῦλφον AVMN: Δαλδοῦλφον C: Λανδοῦλφον E: Πανδοῦλφον B

συμβουλεῦσαι τῷ φίλῳ. εἰ δὲ αὐτὸς πεισθῆναί μοι οὐ θέλεις τὰ λυσιτελῆ συμβουλεύοντι, τότε γνώσῃ τῆς ἀληθείας διαμαρτήσας κατὰ πολύ, ὅταν σεαυτόν τε καὶ τὸ ἔθνος ἅπαν μεγίστοις ὑποβαλὼν κινδύνοις ἀπαγορεύσῃς, μὴ δυνάμενος πρὸς οὕτω μεγάλην καὶ ἰσχυρὰν ἀντιτάττεσθαι δυναστείαν.' συνεὶς οὖν ὁ Δανδοῦλφος τὰ | δέοντα συμβουλεύειν τὸν πατρίκιον, ἐδέξατο τὴν παραίνεσιν καὶ ἐσπείσατο, νουθετήσας καὶ τοὺς ἄρχοντας τῶν ἀποστάντων θεμάτων τῇ προτέρᾳ προσδραμεῖν ἀρχῇ καὶ τὸν σφῶν ἐπιγνῶναι βασιλέα, ὧν πεισθέντων εἰρήνη βαθεῖα πάλιν κατεῖχε τὰ ἐν Ἰταλίᾳ καὶ Λογγιβαρδίᾳ πράγματα.

6. Ὁ δὲ τῶν Βουλγάρων ἀρχηγὸς Συμεὼν πολλὰ κατὰ Ῥωμαίων στήσας τρόπαια καὶ φρονηματισθεὶς ἐπὶ τούτοις καὶ τὴν Ῥωμαίων ὠνειροπόλει βασιλείαν. τοίνυν πρὸς Φατλοῦν τὸν δυνάστην τῶν Ἄφρων ἐκπέμψας προετρέπετο στόλον κατὰ τῆς βασιλίδος ἀναγαγεῖν, ὑπισχνεῖτο δὲ καὶ αὐτὸς διὰ Θρᾴκης ἐλθεῖν βαρὺν στρατὸν ἐπαγόμενος, καὶ γενομένων ὑφ' ἓν τῶν στρατευμάτων διά τε γῆς καὶ θαλάσσης ἐκπολιορκῆσαι τὴν βασιλεύουσαν, καὶ τὸν ταύτης πλοῦτον ἐπ' ἴσης διανείμασθαι, καὶ αὐτὸν μὲν ἐπ' οἴκου ὑπονοστῆσαι, τοῦτον δὲ τῇ Κωνσταντινουπόλει καταλιπεῖν. ἔλαθον οὖν οἱ Βούλγαροι πρὸς τὴν Ἀφρικὴν ἀποπλεύσαντες, καὶ δόξαντος τοῦ Συμεὼν ὠφέλιμα παραινεῖν εἰλήφασί τινας Σαρακηνοὺς ἐλλογίμους, ὥστε ἐμπεδῶσαι τὰ δεδογμένα. ἐν τῷ ὑποστρέφειν δὲ περιπίπτουσι τοῖς Καλαβροῖς καὶ πρὸς τὸ Βυζάντιον ἀναπέμπονται μετὰ τῶν Σαρακηνῶν. οὓς ἰδὼν ὁ βασιλεὺς (Ῥωμανὸς δὲ ἦν ὁ γέρων) καὶ τὴν κοινοπραγίαν μαθὼν ἀκριβῶς, καὶ ὡς, εἰ τοῦτο γένηται, κατανοήσας οὐ μικραῖς φροντίσιν ὑποπεσεῖται, δεῖν ᾠήθη μεγαλοφροσύνῃ καὶ εὐεργεσίᾳ τοὺς Σαρακηνοὺς ἀναχαιτίσαι τῆς παρούσης ὁρμῆς. τοὺς μὲν οὖν | Βουλγάρους ἔθετο ἐν φυλακῇ, δώροις δὲ τοὺς Σαρακηνοὺς ἁδροῖς φιλοτιμησάμενος, ἔτι δὲ καὶ ξένια τῷ αὐτῶν ἐκπέμψας δεσπότῃ πολύτιμα, ἀπαθεῖς κακῶν ἐξαπέστειλε, φράζειν εἰπὼν τῷ κυρίῳ αὐτῶν, ὡς οὕτως ἀμείβειν οἴδασιν οἱ βασιλεῖς Ῥωμαίων τοὺς ἑαυτῶν πολεμίους. ἀπελογίσατο δὲ καὶ περὶ τῆς ἐτησίου δασμοφορίας,

79/80 a. circiter 923

ACEVBMN H **62** δ' AVB πεισθῆναί — θέλεις AVMN: οὐ πεισθῆναί μοι θέλεις CE: οὐ θέλεις πεισθῆναί μοι B **64** ὅταν: ὅτε E τε om. BMH τοῖς ante μεγίστοις add. VB **65** ἀντιτάττεσθαι AVMN: ἀντιτάσσεσθαι CE: ἀντιπαρατάσασθαι B **66** Δανδοῦλφος ACVMN: Λανδοῦλφος E: Πανδοῦλφος B αὐτῷ post συμβουλ. add. B **69** τὸν: τῶν ABM **73** Φατλοῦν ACBMN: Φατλοῦμ E: Φατλὸν V τῶν: τὸν E **74** ἀγαγεῖν A **75** πολὺν καὶ post ἐλθεῖν add. A **76** θαλάττης VB **76/77** ἐκπολιορκῆσαι — βασιλεύουσαν: καὶ πολιορκῆσε τὴν βασιλίδα B **77** διανείμασθαι ἐπ' ἴσης A **78** δὲ: δ' ἐν B **81** ἐλλογ. Σαρακ. M δεδογμένα: δεδομένα E **82** ἀποστρέφειν E **83** ἀποπέμπονται CE **84** ὡς — τοῦτο: εἰς τοῦτο A **85** φροντίσι περιπεσεῖται M **88** τῷ: τῶν A αὐτῶν: αὐτῷ M **88** ἐκπέμψας: πέμψας, post ξένια, B **90** ἀμείβειν: ἀμήνειν B **91** ἑαυτῶν: αὐτῶν A τοῦ ἐτησίου δασμοφορίου A

ὡς οὐκ ἀναβολῇ τούτου καὶ ὑπερθέσει ὑστέρησεν, ἀλλὰ διὰ τὴν ἐπικρατοῦσαν τηνικαῦτα κατὰ τὸν τόπον ταραχήν. ἐπαναδραμόντων οὖν πρὸς τὸν οἰκεῖον δυνάστην τῶν Σαρακηνῶν, καὶ ἅ τε πάθοιεν πρὸς τοῦ βασιλέως διηγησαμένων καὶ τὰς εἰς αὐτοὺς φιλοφροσύνας ἐξυμνησάντων, ἀποδεδωκότων δὲ καὶ ἅπερ ἐπήγοντο πρὸς ἐκεῖνον δῶρα, ἡσθεὶς ὁ Φατλοὺμ ἐπὶ πᾶσιν, οἷς ἤκουσε, τῶν τε ὀφειλομένων αὐτῷ φόρων τὰ ἡμίση Ῥωμαίοις ἐχαρίσατο καὶ ἀπὸ τῶν εἴκοσι καὶ δύο χιλιάδων τὰς ἕνδεκα ἐκκέκοφεν. ἐδίδοντο οὖν ἐξ ἐκείνου μέχρι τῆς τοῦ Νικηφόρου ἀναρρήσεως τοῖς Σαρακηνοῖς ταῦτα. ἀλλὰ σωφρονούντων μὲν ἀρχόντων καὶ δικαίων τῆς χώρας τυγχανούσης, αὐτοί τε οἱ ἀρχόμενοι ἄλυπον ἦγον ζωήν, καὶ ὁ δασμὸς ἀπεδίδοτο τοῖς Σαρακηνοῖς ἀπραγμόνως· ὁπηνίκα δ' ἡ ἀρχὴ ἀδίκοις καὶ πλεονέκταις ἐνεπιστεύετο, καὶ τὸ ὑπήκοον ἐκακοῦτο καὶ αἱ πρὸς τοὺς Σαρακηνοὺς σπονδαὶ διεσείοντο. καὶ γὰρ δὴ παρὰ τοῦ Πορφυρογεννήτου ὁ Κρινίτης Χάλδος τῆς Καλαβρίας γενόμενος στρατηγὸς τοὺς ἐν Ἀφρικῇ καὶ Σικελίᾳ Σαρακηνοὺς μέλλοντας ἄρδην ὑπὸ τοῦ λιμοῦ καὶ τοῦ πολέμου τῶν ἐν Κυρήνῃ Σαρακηνῶν ἀπολωλέναι, δι' οἰκείαν | πλεονεξίαν ἀνεκτήσατο καὶ τοὺς ὑπὸ χεῖρα οὐ μετρίως ἐκάκωσε. πάσας γὰρ τὰς πρὸς τὸ ζῆν ἀφορμὰς εὐώνως ἀπὸ τῶν ἐγχωρίων ὠνούμενος, πολλοῦ τοῖς Σαρακηνοῖς ἐπίπρασκεν, ἀπραγμόνως παρέχουσι τὰς τιμὰς τῷ εὐπόρως ἔχειν χρυσίου διὰ τὴν ἐκ τοῦ λιμοῦ καὶ τῶν πολεμίων στενοχωρίαν. πλὴν ὁ μὲν Κρινίτης ὑπὸ τοῦ Κωνσταντίνου παραλυθεὶς τῆς ἀρχῆς τά τε χρήματα ἀφῃρέθη μετ' αἰσχύνης καὶ καταγηράσας ἀπέθανε. κατὰ δὲ τὸν τοῦ πολέμου καιρὸν φυγάδας Καρχηδονίους αὐτομολήσαντας οἱ Ῥωμαῖοι ἐδέξαντο, οὓς οὐδαμῶς ἀπῄτουν οἱ Καρχηδόνιοι. μᾶλλον μὲν οὖν καὶ τὸν ἐτήσιον δασμὸν συνεχώρουν, μή πως δεδοικότες κωλύσωσιν οἱ Ῥωμαῖοι σκανδαλισθέντες τὴν τῶν ἐπιτηδείων ὠνὴν καὶ κινδυνεύσωσιν οὗτοι διαφθαρῆναι λιμῷ. ὕστερον δὲ τοῦ πολέμου διαλυθέντος τούς τε αὐτομόλους ἐζήτουν

2/3 a. circiter 924

ACEVBMN FH 92 τούτου: τοῦτο A 93 τὸν om. AB ταραχήν: ἀρχήν A 94 δυνάστην AVBNF: δεσπότην CEM 1 καὶ om. B ἅπερ: ἃ C ἐπήγοντο EVBMN: ἀπήγον A: ἐπείγοντο C 2 Φατλοὺμ ACVBF: Φατλοῦμ E: Φατλοῦν MN φόρων AVMN: δώρων CE: λαφύρων B 3 ἥμισυ A 6 ταῖς χώραις τυγχανόντων AFH 7 ἦγον dittogr. A βίον καὶ ante ζωήν add. A 8 δὲ CEFH 9 αἱ om. E 10 γὰρ δὴ om. B Κρινίτης CEVBN: Κρηνίτης A: Κρηνήτης M Χάλδος CEVMN: Χάρδος B: Χαλδίας A 12 ὑπὸ: ἀπὸ A 13 ἐκτήσαντο A 14 ἀπὸ: ὑπὸ E 15 πολλοῦ: πολλοῖς B 17 καὶ om. B πολέμων A Κρινίτης CEVBNF: Κρηνίτης A: Κρινήτης MH 19 καὶ om. B κατὰ δέ: καὶ κατὰ A 20 αὐτομολήσας A 20/21 οὓς — Καρχηδόνιοι om. V, sed suppl. i. m. post 22 συνεχώρουν 21 οὖν om. B 22 μή πως om. A δεδοικότες, μήπως B κωλύσωσιν — σκανδαλισθέντες om. A κωλύσωσιν CEB: κωλύσουσιν VMN: κωλύω⟨σιν⟩ H σκανδαλισθέντες om. B 23 καὶ om. C κινδυνεύσωσιν ACEF: κινδυνεύσουσιν VBMN φθαρῆναι B

καὶ τὴν δασμοφορίαν. μηδενὸς δὲ προσέχοντος αὐτοῖς διέλυσαν τὴν εἰρήνην, καὶ περαιούμενοι καθ' ἑκάστην τὴν Καλαβρίαν ἐδῄουν.

7. Κωνσταντῖνος τοίνυν ὁ βασιλεὺς μὴ θελήσας, ὥσπερ ὁ πενθερὸς αὐτοῦ, μειλιχίως ὑπελθεῖν τοὺς Σαρακηνοὺς καὶ τὴν εἰρήνην ἀνανεώσασθαι, ἀλλὰ πολέμῳ μᾶλλον κρῖναι τὰ πράγματα διανοηθείς, δύναμιν ἀξιόμαχον συναγείρας καὶ ἄρχοντα ἐπιστήσας αὐτῇ τὸν πατρίκιον Μαλακηνὸν εἰς Καλαβρίαν ἀπέστειλεν, ἑνωθῆναι κελεύσας τῷ στρατηγῷ τῆς χώρας (Πασχάλιος δ' οὗτος ἦν, ὁ πρὸ μικροῦ μνημονευθείς) καὶ κοινῇ μετ' αὐτοῦ ἀναδέξασθαι τὸν παρὰ τῶν Καρχηδονίων καὶ Σικελῶν ἐπισειόμενον πόλεμον. ἐπέ|στησε δὲ καὶ τῷ πεμφθέντι στόλῳ τὸν Μακροϊωάννην. οἵτινες κατὰ χώραν γενόμενοι μυρία ἔδρων εἰς τοὺς αὐτόχθονας κακά, πλεονεκτοῦντες καὶ ἄλλα ποιοῦντες, ἃ καὶ αὐτοὶ ἂν ὤκνησαν οἱ πολέμιοι. ταῦτα πυθόμενος ὁ τῶν Σαρακηνῶν ἀμηρᾶς Ἀβουλχαρέ (ἤδη γὰρ ὁ Φατλοὺμ ἐτεθνήκει) καὶ τοὺς ἑαυτοῦ παραθαρρύνας καὶ μὴ φοβηθῆναι παραινέσας στρατὸν τοιαῦτα εἰς τοὺς οἰκείους ἐνδεικνύμενον τὰ κακά, πόλεμον ὑπαντιάσας συνίστησι κραταιόν καὶ νίκην ἤρατο ἀρίστην τε καὶ καλλίστην. μικροῦ γὰρ ἑάλωσαν καὶ οἱ στρατηγοὶ ζωγρίαι.

8. Μετὰ δὲ τοῦτο Κωνσταντῖνος ὁ βασιλεὺς Ἰωάννην ἀσηκρῆτις, τὸν τὴν ἐπωνυμίαν Πιλάτον, περὶ εἰρήνης ἐκπέμπει διαλεξόμενον τοῖς Σαρακηνοῖς. εἰωθότες δ' οὗτοι μὴ ταῖς νίκαις ἐπαίρεσθαι, ἀλλὰ τὴν εἰρήνην καὶ κρατοῦντες ἀσπάζεσθαι, προθύμως ὑπήκουσαν καὶ ἐπί τινα χρόνον εἰρήνην ἔθεντο. τούτου δὲ διερρυηκότος πάλιν διαπερῶντες ἐλεηλάτουν τοὺς Καλαβρούς. καὶ πάλιν ὁ Κωνσταντῖνος δύναμιν κατ' αὐτῶν καὶ ναυτικὴν ἐκπέμπει καὶ πεζικήν. ἦρχον δὲ τῆς μὲν ναυτικῆς δυνάμεως ὁ τὴν ἐπωνυμίαν Κραμβέας καὶ ὁ Μωρολέων, ἐστρατήγει δὲ

44 aestate fere a. 952

ACEVBMN FH **25** διέλυσαν: διετέλεσαν C **27** τοίνυν ὁ βασιλεὺς: ὁ βασ. τοίνυν VB ὥσπερ: ὡς B **29** εἶναι post μᾶλλον add. A **30** συνεγείρας AB αὐτῇ: αὐτοῖς AFH πατρίκιον τὸν B **31** Μαλακηνὸν ABMN: Μαλακεινὸν CE: Μαλακινὸν VFH **32** μνημονευθείς: μνησθείς A **33** παρὰ: περὶ C **34** ἐπέστησε: ἔστησε V δὲ om. CE στόλον A **37** πειθόμενος A ἀρχηγὸς ante ἀμηρᾶς add. A **38** Ἀβουλχαρέ AEVBM: Ἀβουλγαρέ C: Βουλγαρέ M Φατλοὺμ CEVBF: Φατλοῦν MN: Ἀφατλοὺμ A: Ἀφατλοῦν H τεθνήκει M **39** τὸν ante στρατὸν add. M στρατὸν: στρατιώτας V **39/40** στρατὸν — κακά om. B **40** ἐπιδεικνύμενον CE τὰ CEVF: om. AMN ὑπαντιάσας om. B **41** νίκην — καλλίστην: νίκη ἥράν τε καὶ κρατίστην A τε om. B γάρ: δ' ἂν F ἂν post γὰρ add. H **42** ζωγρίᾳ AB **43** τοῦτο: τουτ' E **43** ἀσηκρῆτις V: ἀσηκρήτην CB: ἀσηκρῆτιν AMN: ἀσικρήτης H: ἀσικρητ' F **44** τὸν om. B **46** καὶ pr. om. AB **47** καὶ ante πάλιν add. B **49** ναυτικὸν B πεζικόν B ἤρχοντο M ἦρχον — μὲν: ἦρχον μὲν τῆς A **50** Κραμβέας ACEVBF: Καρβέας MN Μυρολέων B

τῶν πεζῶν ὁ πατρίκιος Μαριανὸς ὁ Ἀργυρός. γενόμενοι δ' ἐν Ἱδροῦντι καὶ τὰς ναῦς νεωλκήσαντες ηὐτρεπίζοντο πρὸς τὸν εἰς Σικελίαν ἀπόπλουν. οἱ δὲ Σαρακηνοὶ τῇ φήμῃ διαταραχθέντες (ἐπίσταται γὰρ αὕτη τὰ μικρὰ μεγεθύνειν καὶ τὰ πράγματα πρὸς τὸ φοβερώτερον ἐξαγγέλλειν) καὶ μή τι πάθωσι δείσαντες διὰ τὸ αἰφνιδίως | αὐτοῖς ἀπαρασκεύοις γειτονῆσαι τοὺς πολεμίους, Πανικῷ δείματι συσχεθέντες καὶ τὸ ἑαυτῶν καταλιπόντες στρατόπεδον ἔφυγον ἐκ τοῦ Ῥηγίου καὶ πρὸς τὴν Σικελίαν ἐπεραιώθησαν. ἐν δὲ τῷ πρὸς Πάνορμον ἀποπλεῖν βαρυτάτῳ χειμῶνι περιπεσόντες, καὶ τῶν σκαφῶν ὑπὸ τοῦ κλύδωνος συντριβέντων, μᾶλλον δὲ ὑπὸ Χριστοῦ τοῦ θεοῦ τοῦ παρ' αὐτῶν βλασφημουμένου, διολώλασιν ἅπαντες. σπένδονται τοίνυν τοῖς Ῥωμαίοις, καὶ διετηρήθη τὰ τῆς εἰρήνης μέχρι τῆς ἀναρρήσεως τοῦ Φωκᾶ.

9. Ἄρτι δ' οὗτος ἀναγορευθεὶς βασιλεύς, πέρα δεινῶν ἡγησάμενος δασμοφορῆσαι Σαρακηνοῖς, τὸν Μανουήλ, ὡς εἴπομεν, ἀποστέλλει μετὰ δυνάμεως κατ' αὐτῶν. οὗτος δὲ νέαν ἄγων τὴν ἡλικίαν καὶ στρατιώταις κατατετάχθαι, οὐ μήν γε καὶ στρατηγεῖν ἄξιος ὤν, ὑπάρχων δὲ καὶ πολλοῖς πάθεσιν ἄλλοις κατάσχετος καὶ μηδὲ τῶν τὰ κρείττω συμβουλευόντων ἐπιστρεφόμενος, ἔν τισι τόποις τραχέσι τε καὶ δυσβάτοις τῆς Σικελίας μετὰ παντὸς ἀποκλεισθεὶς τοῦ στρατοῦ παραδίδοται πανωλεθρίᾳ. ἑάλω δὲ ζωγρίας καὶ Νικήτας πατρίκιος καὶ τοῦ στόλου δρουγγάριος ὁ εὐνοῦχος καὶ εἰς Ἀφρικὴν δέσμιος πέμπεται. καὶ ὁ μὲν Μανουὴλ τοιαύτης ἔτυχε τῆς καταστροφῆς, παραίτιος ἀπωλείας γενόμενος καὶ παντὶ τῷ στρατῷ.

10. Ὁ δὲ βασιλεὺς ἐν τούτῳ τῷ χρόνῳ ἐκπέμπει κατὰ Κιλικίας Ἰωάννην μάγιστρον καὶ δομέστικον τῶν σχολῶν τῆς ἀνατολῆς ἤδη προβεβλημένον, τὸν Τζιμισκήν. γενόμενος δ' οὗτος πρὸς πόλιν Ἄδαναν

62/63 a. 956 **69** mense Oct. a. 964 **74** circa finem a. 963

---

56 Πανικῷ δείματι: cf. Flavius Iosephus, Bell. Iud. 5, 2, 5 cap. 9: Zon. III, 501, 3—501, 8 cap. 10: Zon. III, 501, 9—501, 14

ACEVBMN FH **51** Μαριανός: Ῥωμανὸς A γενόμενος E δὲ BM **52** ἐν Σικελίᾳ AMH **53** ἐπίσταται ACEVBF: ἐπίστατο MN **55** μή τι: μήτε B **56** πολέμους C Πανικῷ: πανοικὶ B ἑαυτῶν ACVBN: ἑαυτὸν M: ἐξ αὐτῶν E **57** τὴν om. CEM **58** διεπεραιώθησαν A **59** ὑπό: ἀπὸ BM **59/60** περιπεσόντες — συντριβέντων dittogr. post **60** θεοῦ add. A **60** τοῦ alt. om. B βλασφημουμένων A **61** σπένδοντες C **62** ἀναρύσεως B **65** δυνάμεων CE **66** κατετάχθαι C στρατηγεῖν: στρατηγοῖς AC **67** πολλοῖς ἄλλοις πάθεσι A μηδέ: μηδὲν A **68** τισι: τε E **70** ζωγρίας om. VB καὶ alt.: ὁ B **70/71** καὶ alt. — πέμπεται om. A **75/76** Ἰωάννην — Τζιμισκήν: Ἰωάννην μάγ. τὸν Τζιμ. τῶν σχολῶν τῆς ἀνατ. ἤδη προβεβλημένον δομέστικον B δομέστικον post Τζιμισκῆν V **76** Τζιμισκήν EBMN: Τζιμισκῆν CV: Τζιμισχῆν AFH

καὶ πλῆθος καταλαβὼν ἐπιλέκτων Ἀγαρηνῶν συνειλεγμέ|νων ἐκ πάσης τῆς Κιλικίας, συμπλέκεται τούτῳ καὶ τρέπεται κατὰ κράτος. οἱ μὲν οὖν ἄλλοι τῶν Ἀγαρηνῶν νόμῳ πολέμου κατεκόπησαν· μέρος δὲ τοῦ στρατοῦ ὡσεὶ πεντακισχίλιοι τὸν ἀριθμὸν ὄντες φεύγουσιν εἴς τινα λόφον δύσβατον καὶ ἀπόκρημνον, πεζοί, τοὺς ἵππους ἀποβάντες, καὶ τῇ τοῦ τόπου θαρρήσαντες εὐκαιρίᾳ εὐρώστως τοὺς ἐπιόντας ἠμύνοντο. οὓς καὶ περιστοιχίσας ὁ Ἰωάννης, ὅτι μὴ μεθ' ἵππων οἷός τε ἦν αὐτοῖς συμβαλεῖν, πεζεῦσαι προστάξας τοὺς στρατιώτας ἄνεισι μετ' αὐτῶν πεζὸς καὶ αὐτός. καὶ καταγωνισάμενος πάντας ἀπέσφαξε, νῶτα μηδενὸς δεδωκότος, ὡς ῥεῦσαι διὰ τοῦ πρανοῦς εἰς τὸ πεδίον τὸ αἷμα ποταμηδόν, καὶ ἀπὸ τούτου τοῦ συμπτώματος κληθῆναι τὸν βουνὸν βουνὸν αἵματος. τοῦτο τὸ ἔργον ἐπὶ πλέον ἐξῆρε τὸ ὄνομα τοῦ Ἰωάννου καὶ τοῖς Σαρακηνοῖς τελείας καταστροφῆς γέγονεν αἴτιον.

11. Ὁ δὲ Νικηφόρος κατὰ τὸ δεύτερον ἔτος τῆς αὐτοῦ βασιλείας, ἐν μηνὶ Ἰουλίῳ, ἰνδικτιῶνος ἑβδόμης, ἔξεισι κατὰ Κιλικίας σὺν βαρεῖ στρατῷ Ῥωμαίων καὶ συμμάχων Ἰβήρων καὶ Ἀρμενίων, ἔχων Θεοφανὼ τὴν γαμετὴν σὺν τοῖς τέκνοις αὐτῆς. ἐκείνην μὲν οὖν ἔξωθεν τῆς Κιλικίας ἔν τινι φρουρίῳ καταλιμπάνει, Δριζίῳ προσαγορευομένῳ, αὐτὸς δ' εἰσελθὼν εἰς Κιλικίαν Ἀνάβαρζαν καὶ Ῥωσσὸν καὶ Ἄδαναν τὰς πόλεις καὶ ἕτερα οὐκ ὀλίγα φρούρια κατεστρέψατο. ἐπὶ δὲ Ταρσὸν καὶ τὴν Μόψου ἑστίαν ἀπελθεῖν οὐκ ἐθάρρησε, χειμῶνος ἤδη καταλαβόντος. καὶ στρατὸν τὸν ἀποχρῶντα καταλιπὼν ἐκεῖσε ἔξεισιν ἐν Καππαδοκίᾳ παραχειμάσων.

12. Ἦρος δὲ ἀρχομένου πάλιν εἰσῆλθεν ἐν Κιλικίᾳ, καὶ διχῇ διελὼν τὰ | στρατεύματα τὴν μὲν Ταρσὸν πολιορκεῖν ἀφῆκε Λέοντα τὸν ἀδελ-

90 a. 964 **5** a. 965

cap. **11**: Zon. III, 501, 15—502, 6 cap. **12**: Zon. III, 502, 6—502, 14

ACEVBMN FH **77** ἐπίλεκτον V συνειλεγμένων ACEBN: συνειλεγμένον V: om. M **78** Κιλικίας: ἡλικίας CE τρέπεται: νικᾷ B **79** οὖν om. M δὲ om. E **80** ,ε C: ,ς' E ὄντες τὸν ἀριθμὸν M **81** πεζοί om. VB **82** οὕτως ante εὐρώστως add. V ἠμύνοντο ACVMN: ἠμύναντο E: ἠμύνηντο B **83** ὁ Ἰωάννης om. B μὴ ACEMN: μεδὲ (!) B: om. V τε: τις B ἦν om. CE **84** ἐμβαλεῖν M **85** ἀπέσφαξε VBMN: κατέσφαξε ACE **86** διὰ τοῦ πρανοῦς: διτρανοὺς B τοῦ om. V **87** βουνὸν unum om. B **88** πλέον: πλεῖον B ἐξῆρε τὸ Ἰωάννου ὄνομα VB τοῦ om. E **90** β' E **91** ζ' ACEB **92** τῷ ante στρατῷ add. VBH (sed non F) καὶ ante Θεοφανὼ add. B **93** αὐτῆς: αὐτοῖς C οὖν om. B **95** Ἀνάζαρβαν C Ῥωσσὸν VMN: Ῥωσὸν ACEH Zon. III, 502, 1: Ῥασὸν B Ἄδαναν ACVMN: Ἄδανον B: Ἄδηναν E **1** ἕτερα — φρούρια: ἕτερα φρούρ. οὐκ ὀλ. M **2** Μοψουεστίαν ACB καταλαβόντος ἤδη χειμῶνος ACE **3** καὶ στρατὸν: στρατὸν δὲ B ἐκεῖσε: ἐκεῖθεν B

φόν, αὐτὸς δὲ τὸ λοιπὸν ἀράμενος τῆς στρατιᾶς τῇ Μόψου ἑστίᾳ προσέσχεν. ἐνεργῷ δὲ χρησάμενος τῇ πολιορκίᾳ, ἔχων δὲ καὶ τὸν λιμὸν ἐπαρήγοντα, παραλαμβάνει τὸ ἓν μέρος τῆς πόλεως. τέμνεται γὰρ ἡ πόλις αὕτη μέσον τῷ Σάρῳ ποταμῷ, ὡς δοκεῖν δύο πόλεις εἶναι. τοῦ ἑνὸς οὖν, ὡς εἴρηται, μέρους ἁλόντος ἐπὶ τὸ ἕτερον οἱ Σαρακηνοὶ καταφεύγουσι, τὸ ἑαλωκὸς πανταχόθεν ὑφάψαντες. σφοδρότερον δὲ χρησαμένου τοῦ βασιλέως τῇ πολιορκίᾳ, ἑάλω καὶ τὸ ἕτερον μέρος, μηδενὸς ἐκεῖθεν διαφυγόντος. ὁ δὲ τὴν Ταρσὸν παρακαθήμενος Λέων ὁ τοῦ βασιλέως ἀδελφός, ἐπὶ χορτολογίαν καὶ συλλογὴν τῶν ἐπιτηδείων μέρος ἀποστείλας τῆς στρατιᾶς ἔξαρχον ἐχούσης τὸν Μοναστηριώτην ἠτύχησεν. ἀφυλάκτως γὰρ διασκεδασθέντας τοὺς προνομεύοντας νυκτὸς οἱ Ταρσεῖς ἐξελθόντες, ὡς μηδενὶ συναίσθησιν τῆς ἐξόδου παρεσχηκέναι, ἐπιτίθενται διεσπαρμένοις αὐτοῖς καὶ οὐκ ὀλίγους διέφθειραν, ἐν οἷς ἦν καὶ ὁ Μοναστηριώτης αὐτός. τὴν δὲ τῆς Μόψου ἑστίας ἅλωσιν οἱ Ταρσεῖς ἐγνωκότες, πιεζόμενοι δὲ καὶ τῇ πολιορκίᾳ καὶ τῷ λιμῷ, διεπρεσβεύσαντο πρὸς τὸν Λέοντα, ἐπικαλούμενοι τὸν βασιλέα καὶ λιπαροῦντες ἀπαθεῖς κακῶν ἀφεθῆναι καὶ τὴν ἑαυτῶν παραδεδωκέναι πόλιν. ὁ δὲ ῥητόν τι φορτίον ἕκαστον ἀφεὶς ἀποφέρεσθαι, τὸν ἄλλον ἅπαντα πλοῦτον κατέσχε τῆς πόλεως.

13. Μετὰ δὲ τρεῖς ἡμέρας τοῦ τὴν πόλιν ἁλῶναι | στόλος μέγιστος ἐξ Αἰγύπτου βοηθήσων τῇ Ταρσῷ παρεγένετο, πλήρης ὑπάρχων σίτου καὶ τῶν ἄλλων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. οὐ συνεχωρήθη δὲ προσσχεῖν τῇ γῇ, οὐδ' ἀποβῆναι παρὰ τῶν ὑπὸ τοῦ βασιλέως ταχθέντων τὴν παραλίαν τηρεῖν στρατιωτῶν. καὶ μὴ ἔχοντες, ὅ τι

cap. 13: Zon. 502, 14—502, 18

ACEVBMN F **7** αὐτοῦ post ἀδελφὸν add. A ἀράμενος om. B στρατίας CE Μόψου ἑστίᾳ EVMN: Μοψουεστίᾳ AC: Μουψουεστίᾳ B **10** ὡς — εἶναι VBMN: ὡς δύο δοκεῖν εἶναι πόλεις ACE δοκεῖ B **11** μέρους AEVMN: μέρος C: om. B **12/13** σφοδρότερον (σφοδροτέρᾳ VB) — πολιορκίᾳ VBMN: τῇ δὲ πολιορκίᾳ σφοδρότερον χρησαμένου τοῦ βασιλέως ACE **12** τε post σφοδροτέρᾳ add. B **13/14** ἐκεῖθεν μηδενὸς ACE **14/15** ὁ alt. — ἀδελφός om. M **15** συλλογὴν: ἀλλογὴν E **15/16** μέρος — στρατιᾶς: μέρος τῆς στρατιᾶς ἐκπέμψας A **16** ἀποστείλας VBMN: ἐκπέμψας ACE ἐχούσης VBMN: ἔχει C: ἔχον A: ἔχων E Μαναστηριώτην B ἠτύχησεν: ἡ τύχη C **17** διασκεδασθέντες C διασκεδασθέντας — προνομεύοντας: διασκεδασθήσει τοῖς προνομεύουσι B οἱ om. B **18/19** παρεσχηκέναι — αὐτοῖς: παρεσχ. κατέλαβον διεσπαρμένους αὐτούς A **20** ἦν post Μοναστηριώτης CE αὐτός om. CE τὴν: τῆς EB Μόψου ἑστίας AVMN: Μοψουεστίας C: Μόμψου ἑστίας E: Μαψουεστιᾶς B **21** δὲ καί: τε B καὶ pr. om. VB πολιορκίᾳ VBMN: στρατοπεδείᾳ ACE διεπρεσβεύσαντο ACEVBF: διεπρεσβεύσατο MNH **23** ἀφεθῆναι ACEMN: φυλαχθῆναι V: διαφυλαχθῆναι B παραδεδωκέναι: παραδόσειν B **24** ῥητόν τι: τὸ πρὸς ἰσχὺν A τι om. E **27** βοηθήσων om. ACE παρεγίνετο C

χρήσονται τοῖς παροῦσιν ὑπέστρεψαν, ναυαγίοις μεγάλοις περιπεσόντες ἀπό τε ἀνέμων ἀταξίας καὶ τῆς ἐπιθέσεως τῶν τοῦ βασιλέως πολεμικῶν πλοίων.

14. Δηώσας δὲ καὶ τεφρώσας καὶ τὰς λοιπὰς πόλεις τῆς Κιλικίας τῷ Ὀκτωβρίῳ μηνί, τῆς ἐννάτης ἰνδικτιῶνος, ὑπέστρεψεν εἰς Κωνσταντινούπολιν, ἔχων μεθ' ἑαυτοῦ καὶ τὰς τῆς Ταρσοῦ πύλας καὶ τὰς τῆς Μόψου ἑστίας, ἃς καὶ χρυσῷ καταστίξας ἔξωθεν ἀνάθημα τῇ βασιλίδι διεκόμισε, τὰς μὲν κατὰ τὴν ἀκρόπολιν στήσας, τὰς δὲ κατὰ τὸ τῆς Χρυσῆς πόρτης τεῖχος. διεκόμισε δὲ καὶ τῷ θεῷ δῶρον καὶ δεκάτην τῆς ἑαυτοῦ στρατιᾶς τοὺς αἰχμαλωτευθέντας τιμίους σταυρούς, ὁπηνίκα δομέστικος τῶν σχολῶν ὢν ὁ Στυπειώτης καὶ τὴν Ταρσὸν παρακαθήμενος παντελεῖ πανωλεθρίᾳ τῇ οἰκείᾳ ἀβουλίᾳ καθυπέβαλε τὰ στρατεύματα· οὓς δὴ καὶ τῷ πανσέπτῳ τεμένει τῆς τοῦ θεοῦ λόγου σοφίας ἀνέθετο.

15. Τῷ δὲ αὐτῷ δευτέρῳ τῆς αὐτοῦ βασιλείας χρόνῳ ὁ Νικηφόρος καὶ πᾶσαν τὴν νῆσον Κύπρον τῇ τῶν Ῥωμαίων προσήγαγεν ἐπικρατείᾳ, τοὺς Ἀγαρηνοὺς ἀπελάσας ἐκεῖθεν διὰ Νικήτα πατρικίου καὶ στρατηγοῦ τοῦ Χαλκούτζη. | τῷ δὲ τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἔαρος ἐπιστάντος, πάλιν εἰσβολὴν ἐποιήσατο κατὰ Συρίας ὁ βασιλεύς. καὶ γενόμενος κατὰ τὴν Ἀντιόχειαν, ταύτῃ μὲν οὐ προσέβαλεν, ἐλπίσας μηδὲ τὴν ἀκοὴν αὐτοῦ ὑποστήσεσθαι τοὺς Ἀντιοχεῖς ἐκπεπληγμένους τὰ εἰς τὰς πόλεις τῆς Κιλικίας συμβεβηκότα. ἀλλὰ παρελθὼν αὐτὴν εἰς τὰ ἐνδότερα μέρη τῆς Συρίας ἐχώρησε, καὶ πόλεις πολλὰς καὶ χώρας καταστρεψάμενος πρὸς τῷ Λιβάνῳ κειμένας καὶ τῇ παραλίᾳ τῷ Δεκεμ-

31/32 mense Aug. a. 965 **35** a. 966 **45** a. 965 **50** a. 966

cap. 14: Zon. III, 502, 18—503, 9 cap. 15: Zon. III, 503, 9—504, 2; Glyc. 569, 17—569, 22

ACEVBMN **34** καὶ τὰς λοιπὰς πόλεις: τὰς πόλεις B **35** Ὀκτωμβρίῳ CE θ' ACE **37** Μόψου ἑστίας VMN: Μοψουεστίας ACEB **38** διεκόμισε VMN: κεκόμικε ACE: ἐκόμισε B **38** στήσας om. B **40** ἑαυτοῦ στρατιᾶς: αὐτοῦ στρατείας B αἰχμαλωτισθέντας ACEB τιμίας E **41** ὢν post δομέστικος ACE **42/43** παντελεῖ — στρατεύματα: παντελεῖ παρέδωκε πανωλ. τὰ στρατεύματα τῇ οἰκ. ἀβουλίᾳ A **42** καθυπέβαλε MN: καθυπέβαλλε V: ὑπέβαλε CE: παρέδωκε AB **43** λόγου om. B **43/44** λόγου σοφίας VMN: μεγάλης ἐκκλησίας ACE **45** αὐτῷ om. M β' E χρόνῳ VBMN: ἔτει (post δευτέρῳ A) ACE **45/46** Νικηφόρος — νῆσον: Νικηφόρος τὴν πᾶσαν νῆσον B **46** ἐπήγαγεν E ἐπικρατείᾳ προσήγαγε A **47/48** καὶ στρατηγοῦ om. VB **50** μεγάλην ante Ἀντ. add. A προσέβαλλεν B **51** μηδέ: μὴ B **54** Λιβαίῳ B

βρίῳ μηνὶ ὑπέστρεψεν. εὐσθενῶς δὲ τῶν Ἀντιοχέων προσδεχομένων τὸν πόλεμον διὰ τὸ πλεῖστον λαὸν ἐκ τῆς περιοικίδος εἰσελθεῖν εἰς τὴν πόλιν ἐπὶ βοηθείᾳ, ἐπιλελοιπότων δὲ καὶ τῶν ἀναγκαίων τῷ Ῥωμαϊκῷ στρατῷ, γενέσθαι δὲ καὶ τέλμα ἀδιεξίτητον ἐκ τοῦ πολὺν ὄμβρον οὐρανόθεν καταρραγῆναι, ὑπεχώρησεν ἄπρακτος καὶ τὴν βασιλίδα κατέλαβε, φέρων μεθ' ἑαυτοῦ καὶ τὸν ἔχοντα ἀχειρότευκτον ἐκτύπωμα τῆς μορφῆς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν κέραμον, ὃν εὗρεν ἐν Ἱεραπόλει, ταύτην πεπορθηκώς, καὶ τῶν τριχῶν τοῦ βαπτιστοῦ Ἰωάννου βόστρυχον ἕνα πεπιλημένον αἵματι.

16. Τοιοῦτος δ' ὢν ὁ Νικηφόρος καὶ τοιαύταις χρησάμενος στρατηγίαις καὶ ἐπὶ τοσοῦτον τὰ Ῥωμαίων αὐξήσας πράγματα (κατέσχε γὰρ πλέον τῶν ἑκατὸν πόλεις καὶ φρούρια Κιλικίας τε καὶ Συρίας καὶ Φοινίκης Λιβανισίας, ὧν μέγιστα καὶ ἐπισημότερα ἡ Ἀνάζαρβος καὶ ἡ Ἄδανα, ἡ Μόψου ἑστία, ἡ Ταρσός, τὸ Παγράς, τὸ Συννέφιον, ἡ Λαοδίκεια, τὸ Χάλεπ, ἔθετο δὲ καὶ | ὑποφόρους τήν τε ἐν Φοινίκῃ Τρίπολιν καὶ τὴν Δαμασκόν) ὅμως μισητὸς ἐγένετο παρὰ παντὸς ἀνθρώπου, καὶ πάντες ἐδίψων τὴν τούτου θεάσασθαι καταστροφήν. τὰς δὲ αἰτίας ἀπαριθμήσει ὁ λόγος ἐν καιρῷ τῷ προσήκοντι.

17. Ὑποστρέφων δ' ὁ Νικηφόρος ἐξ Ἀντιοχείας πρὸς τὴν βασιλίδα, ἐν τῷ διέρχεσθαι τὸν Ταῦρον, ὃ Μαῦρον ὄρος ἐπιχωρίως λέγεται, φρούριον κατὰ τὸ μέσον τοῦ ὄρους δομησάμενος ἔν τινι λόφῳ ἐρυμνοτάτῳ, Μιχαὴλ τὸν Βούρτζην πατρίκιον τιμήσας ἐν τῷ φρουρίῳ κατέλιπε, στρατηγὸν ὀνομάσας τοῦτον τοῦ Μαύρου ὄρους, ἐπισκήψας

73 a. 968

cap. 16: Zon. III, 504, 3—504, 6; Glyc. 569, 22—570, 9 cap. 17: Zon. III, 508, 13—510, 14; Glyc. 571, 8—571, 21

ACEVBMN FH 55 δὲ om. V 56 τὸν ante λαὸν add. E 57 δὲ om. B 58 γενέσθαι δὲ: καὶ διὰ τὸ γενέσθαι B γενέσθαι — ἀδιεξίτητον: γενομένου καὶ τέλματος ἀδιεξιτήτου A 60/61 μεθ' — Ἱεραπόλει: μεθ' ἑαυτοῦ καὶ τὸ θεῖον ἐκτύπωμα τῆς ἁγίας μορφῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐν κεραμίῳ, ὃ εὗρεν ἐν τῇ Ἱεραπόλει B 61 Ἱεραπόλει ACVBMNF Glyc. 569, 21: Ἱεράπολιν Zon. III, 503, 18: Ἱερᾷ πόλει EH 62 Ἰωάννου τοῦ βαπτιστοῦ ACE βότρυχον V 64 δὲ ACE 65 πράγματα: στρατεύματα E 65/66 ἐπὶ — φρούρια om. B 66 πλέον: πλείονας A ἑκατὸν om. E πόλεις VMN: πόλεων ACE 67 Λιβανισίας ACEVBF: καὶ Βανισίας MN μέγιστα καὶ ἐπισημότερα AVMN Glyc. 570, 3: μέγιστος καὶ ἐπισημότατος CE: μέγιστον καὶ ἐπισημοτερόν B Ἀνάζαρβος ACVH: Ἀνάβαρζος MN: Ἀνάβαρζα EB Glyc. 570, 4 ἡ Ἄδανα — Ταρσός: ἡ Ἄδ., ἡ Ταρσός, ἡ Μόψου ἑστία A 67/68 καὶ ἡ Ἄδανα: ἡ Ἔδανα B 68 Μόψου ἑστία AEVMN: Μοψουεστία C: Μούψου ἑστία B Συνέφιον EB Λαοδίκεια ACEVF: Λαοδίκια BMN 69 τ' E 70 δὲ ante ὅμως add. A παρὰ παντὸς ἀνθρώπου: πᾶσι B 71 ἐδίψουν B καταστροφὴν θεάσαθαι B δ' B 73 πρός: εἰς B 74 λέγεται om. E 76 Βοῦρτζιν B 77 τοῦτον VBMN: αὐτὸν Zon. III, 508, 17: om. ACE

προσμένειν ἀγρύπνως καὶ τοὺς Ἀντιοχεῖς πάσῃ μηχανῇ κωλύειν ἐξιέναι καὶ τὰ πρὸς ζωὴν εἰσκομίζεσθαι ἐπιτήδεια. κατέλιπε δὲ καὶ Πέτρον ἕνα τῶν ἑαυτοῦ εὐνούχων, δοῦλον ὑπάρχοντα, δραστήριον ἄνθρωπον, ὃν δὴ καὶ στρατοπεδάρχην πεποίηκεν ἐν Κιλικίᾳ, εἰς παραχειμασίαν τὸν στρατὸν διασκορπίσαι κελεύσας καὶ τὴν αὐτοῦ μένειν εἰς τοὐπιὸν ἔτος ἔλευσιν. ἐλέγετο δ', ὅτι δυνάμενος ἐξ ἐφόδου ἑλεῖν τὴν Ἀντιόχειαν ὁ βασιλεὺς οὐκ ἠθέλησεν, ἀλλ' ἐξεπίτηδες παρεῖλκε καὶ παρεβίβαζε τὴν ταύτης κατάσχεσιν, δεδιὼς τὸν φημιζόμενον λόγον. καὶ γὰρ δὴ καὶ ἐν τοῖς ἁπάντων ἐφέρετο στόμασιν, ὡς ἅμα τῇ ἁλώσει τῆς πόλεως Ἀντιοχείας καὶ ὁ βασιλεὺς τεθνήξεται. ἀμέλει καὶ τῷ τοιούτῳ λόγῳ δειλαινόμενος οὔτ' αὐτὸς προσεπέλασε τῇ Ἀντιοχείᾳ, καὶ τῷ Πέτρῳ δὲ καὶ τῷ Βούρτζῃ παρήγγειλε μηδεμίαν προσβολὴν ποιήσασθαι κατ' αὐτῆς. ἀλλ' ἐκεῖνος μὲν ταῦτα καταστησάμενος, ὡς εἴπομεν, εἴσεισιν εἰς τὴν βασιλεύουσαν. ὁ Βούρτζης δὲ τῇ | Ἀντιοχείᾳ γειτονῶν καὶ κλέος ἑαυτῷ ἄσβεστον περιποιήσασθαι ἱμειρόμενος, μικρὰ φροντίσας τῶν τοῦ βασιλέως ὑποθηκῶν, νύκτωρ καὶ μεθ' ἡμέραν ἐσκέπτετο, εἴ πως δυνηθείη κατασχεῖν τὴν πόλιν. ἀπῄει οὖν συνεχῶς καὶ λόγους μετὰ τῶν Ἀντιοχέων ἐκίνει συμβατικούς. ἀλαζονευομένων δ' ἐκείνων καὶ τὰς συμβάσεις διωθουμένων, ἔλαθεν ἐκεῖνος φιλιωθῆναί τινι τῶν Σαρακηνῶν (Αὔλαξ οὗτος ἦν), ὃν ὑποκλέψας δώροις καὶ ὑποσχέσεσιν ἴσχυσε λαβεῖν τὸ μέτρον ἑνὸς τῶν πρὸς δύσιν τῆς Ἀντιοχείας πύργων Κάλλα τοὔνομα. καὶ μετὰ τούτου τεκτηνάμενος κλίμακας πρὸς τὸ ἄκρον ἐξικνουμένας τοῦ πύργου, νύκτα τε ἀφεγγῆ ἐπιτηρήσας καὶ ἔπομβρον, ἔλαθε τὰς κλίμακας προσερείσας τῷ τείχει. καὶ ἀναβὰς μετὰ τριακοσίων τῶν ὑπ' αὐτὸν τοὺς μὲν φύλακας ἀποσφάττει τοῦ πύργου, ἔτι δὲ καὶ τοῦ γειτονοῦντος αὐτῷ. καὶ μετὰ τῶν τριακοσίων τοὺς δύο τούτους πύργους κατεσχηκὼς ἄγγελον εὐθέως ἐκπέμπει πρὸς τὸν στρατοπεδάρχην, μηνύων ἐπιταχῦναι καὶ ἐλθεῖν μετὰ παντὸς τοῦ στρατοῦ, ὡς τῆς πόλεως ἤδη κατασχεθείσης. ὁ δὲ Πέτρος τὰς ἀγγελίας δεξάμενος ὤκνει καὶ ἀνεδύετο, τὴν ἐκ τοῦ βασιλέως δεδοικὼς ἀγανάκτησιν, μή τι καὶ κακὸν ἀπολαύσῃ, ὡς παραβάτης τῶν αὐτοῦ προσταγμάτων. ἐγκειμένου δὲ

ACEVBMN F 78 μὴ ante ἐξιέναι add. M 79 κομίζεσθαι M 80 δοῦλον om. ACE 81/82 τὸν στρατὸν εἰς παραχειμασίαν B 82 τὸ ἐπιὸν A 83 ἔλευσιν ἔτος M λέγεται B δυνάμενος: δυνάμεως M ἑλεῖν ἐξ ἐφόδου VB 84 ὁ βασιλεὺς post 83 ἐφόδου A 85 δὴ ACEVBF: om. MN 86 πάντων M 87 τῷ τοιούτῳ λόγῳ: τὸ τοιοῦτον M 89 Βούρτζι B ποιήσεσθαι A 90 ταῦτα: ταύτην E ὡς εἴπομεν om. M 91 γειτονῶν: κοινωνῶν A 92 ἄσβεστον om. B περιποιήσεσθαι A 95 συμβατικούς ACEMN: τάχα μυστικούς VB λαζονευομένων V δὲ B 1 φιλιωθῆναί VMN: φιλιωθείς ACEB 2 Ἄβλαξ M ὑποκλέψαι V 3 τό om. B Κάλα B 4 μετὰ τούτου om. B τούτου: τοῦτο A τεκτηνόμενος B 5 ἐπιτηρήσας ante ἀφεγγῆ ACE τε post ἀφεγγῆ add. ACE 6 προσερεῖσαι V τείχει ACEMN: πύργῳ VB 6/7 μετὰ — αὐτὸν om. E 8 τῶν om. B 12 καὶ om. MNF 13 ἀπολαύσῃ: πάθοι A

τοῦ Βούρτζη καὶ ἄλλον ἐπ' ἄλλῳ πέμποντος ἄγγελον καὶ τὴν ἔλευσιν ἐπιταχύνοντος καὶ πληροφοροῦντος, ὡς ἐπὶ πλέον ἀντέχειν οὐ δύναται πρὸς τὴν πολιορκίαν (καὶ γὰρ δὴ μαθόντες οἱ Ἀντιοχεῖς τὴν τῶν πύργων κατάσχεσιν συνέρρεον πανταχόθεν καὶ ἐκπολιορκεῖν τοὺς πύργους ἠπείγοντο, βέλη ἀφιέντες παν|τοδαπὰ καὶ μηχανὰς ποικίλας καὶ πῦρ ὑφῆπτον, καὶ ἄλλα ἐποίουν, ὁπόσα ποιεῖν ἔδει τοὺς κινδυνεύοντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολωλέναι, ἀποβαλεῖν δὲ καὶ πόλιν πασῶν ὑπερκειμένην τῶν ἀνὰ τὴν ἕω πόλεων) πτοηθεὶς ὁ στρατοπεδάρχης, μὴ τοσούτων ἀπολωλότων καὶ τηλικούτων ἀνδρῶν διὰ τὴν ἐκείνου ἀπείθειαν καὶ πόλεως τηλικαύτης ἡ πολιτεία Ῥωμαίων ὑποστῇ ζημίαν, ἄκων καὶ μὴ βουλόμενος καταταχήσας παρεγένετο σὺν παντὶ τῷ στρατῷ, εὑρὼν τοὺς περὶ τὸν Βούρτζην λίαν ἀπειρηκότας. ἐπὶ τρισὶ γὰρ νυχθημέροις ἦσαν πολιορκούμενοι. οὗ τὴν ἔφοδον ἐγνωκότες οἱ Ἀντιοχεῖς παρελύθησαν τὰς ψυχὰς καὶ τῆς συντονίας ἐνέδωκαν. ἀδείας δὲ λαβόμενος ὁ Βούρτζης κάτεισι πρὸς τὴν πύλην, καὶ σπάθῃ τὸν μοχλὸν τῆς κλειδὸς διατεμὼν ἀνοίγνυσι τὰς πύλας, καὶ τὸν Πέτρον εἰσάγει σὺν παντὶ τῷ στρατεύματι. καὶ οὕτω | παρελήφθη ἡ μεγάλη καὶ περιφανὴς Ἀντιόχεια. ὅπερ πυθόμενος ὁ Νικηφόρος, εὐφρανθῆναι δέον ἐπὶ ἁλώσει τηλικαύτης πόλεως καὶ τὰ κατ' αὐτὸν ἐπιτρέψαι θεῷ, ὁ δὲ τοὐναντίον ἤλγησε τὴν ψυχὴν τὸν στρατοπεδάρχην τε ἐν αἰτίαις εἶχε, καὶ τὸν Βούρτζην οὐ μόνον οὐκ ἀπεδέξατο τῆς προθυμίας καὶ τῆς ἀνδρείας καὶ γέρα παρέσχεν ἐπάξια τῆς αὐτοῦ ἀνδραγαθίας, ἀλλὰ καὶ ὕβρεσι πλύνας παρέλυσε τῆς ἀρχῆς καὶ οἴκοι μένειν ἐπέταξεν.

18. Αὕτη ἡ αἰτία καὶ τὰ λοιπὰ τὰ ῥηθήσεσθαι μέλλοντα μισητὸν τοῖς πᾶσι καὶ βδελυκτὸν τὸν Νικηφόρον εἰργάσαντο. πρῶτον μὲν γάρ, ὅτε τὴν ἀρχὴν τὰ κατ' αὐτὸν ἐκινήθη, μυρίαις πλημμελείαις χρωμένων

30/31 circa finem a. 969

---

cap. 18: Zon. III, 504, 6—508, 12; 512, 13—512, 17; Glyc. 571, 21—572, 13

ACEVBMN FH **14** ἄλλῳ: ἄλλον H **15** δύνανται CE **16** πρὸς τὴν πολιορκίαν ACEVN: om. B: τῇ πολιορκίᾳ M **17** ἐκπολιορκεῖν: πολιορκῆσαι B **18** ἀφιέντες ACEVMN: ἀφέντες BF: ἀφθέντες H ἐπάγοντες post ποικίλας add. B **19** δ' ante ὑφῆπτον add. B ὁπόσα: ὅσα M **20** ἀποβάλλειν M **21** τὴν om. B **23** τηλικαύτης—ζημίαν (ὑποστῇ MN: ὑποστῆναι V: ὑποστα(ί)ῃ B) VBMN: τηλικαύτης ὑποστῇ ζημίαν ἡ πολ. Ῥωμ. ACE **25** Βούρτζιν B **27** ἐκδέδωκαν E **28** πύλην ACEMN: πόλιν VB **29** ἀνοίγνυσι E **30** οὕτω AEMNFH: οὕτως CVB περιελήφθη M **32** αὐτὸν: αὐτῶν M θεῷ ἐπιτρέψαι A **33/34** τὸν — εἶχε: τῷ στρατοπεδάρχῃ τε ἐναντίως εἶχε B **34** ἀποδέξατο B **34/35** προθυμίας — ἀνδρείας: ἀνδρίας καὶ τῆς προθ. A **35** ἀνδρίας ACE παρέσχεν — ἀνδραγαθίας ACEMN: παρέσχε τῆς ἀνδραγαθίας ἐπάξια (ἄξια B) VB ἐπάξια: ἄξια EB **36** προσέταξεν M **37** τὰ alt. dittogr. N **38** τοῖς om. B εἰργάσατο B

τῶν σὺν αὐτῷ στρατιωτῶν ἐπιστροφὴν οὐκ | ἐτίθει, λέγων· ‘οὐδὲν θαυμαστόν, εἰ ἐν τοσούτῳ πλήθει λαοῦ ἀτακτοῦσί τινες.’ καὶ αὖθις εἰσελθὼν ἐν τῇ πόλει πολλῶν καὶ διαφανῶν καὶ ἰδιωτῶν διαρπαγέντων οὐδεμίαν ἐκδίκησιν ἐποιήσατο, ἀλλὰ παρεβλέπετο τὰς ἀτοπίας, ἐνευωχούμενος ταῖς ἀσελγείαις, αἷς οἱ ἀτακτοῦντες προσκείμενοι κακῶς τοὺς πολίτας διετίθουν, καὶ ταῦτα συνεργήσαντας αὐτῷ πρὸς τὴν τῆς βασιλείας ἀνάληψιν οὐ μικρῶς. εἶτα καὶ πρὸς ταξείδιον συνεχῶς ἐξιὼν δεινῶς ἐκάκου τὸ ὑπὸ χεῖρα οὐ μόνον προσθήκαις συντελειῶν καὶ ἄλλαις συνεισφοραῖς παντοίων εἰδῶν, ἀλλὰ καὶ λεηλασίαις ἀνυποστάτοις, πρὸς τοῖς εἰρημένοις ἐκκόψας καὶ μέρος τι τῶν παρεχομένων τῇ συγκλήτῳ βουλῇ φιλοτιμημάτων διὰ τό, ὡς ἔλεγε, σπανίζειν χρημάτων ἐν τοῖς πολέμοις, πρὸς δὲ καὶ τὰς παρέχεσθαι τυπωθείσας δόσεις πρὸς εὐαγεῖς οἴκους καὶ ἐκκλησίας παρά τινων εὐσεβῶν βασιλέων τέλεον ἐκκόψας, καὶ νόμον ἐκθέμενος, μὴ τὰς ἐκκλησίας ἀκινήτοις πλατύνεσθαι, κακῶς φάσκων ὑπὸ τῶν ἐπισκόπων δαπανᾶσθαι τὰ πτωχικὰ χρήματα καὶ τοὺς στρατευομένους ὀλιγοῦσθαι, καὶ τὸ δὴ πάντων χαλεπώτερον, καὶ νόμον ἐκθέμενος, ἐν ᾧ καί τινες ἐπίσκοποι τῶν εὐριπίστων καὶ κολάκων ὑπέγραψαν, διοριζόμενον, μὴ ἄνευ τῆς αὐτοῦ γνώμης καὶ προτροπῆς ἐπίσκοπον ἢ ψηφίζεσθαι, ἢ προχειρίζεσθαι. ἐπισκόπου τε τεθνηκότος βασιλικὸν ἐκπέμπων ἄνθρωπον ἐσταθμημένην ποιεῖν τὴν ἔξοδον προσέταττε, καὶ τὰ περιττὰ ἀνελαμβάνετο. καὶ ἄλλα|τινὰ διατάγματα ἐτίθει πᾶσαν ἰδέαν ἀνάγκης ὑπερεκπίπτοντα, ἃ κατὰ μέρος διεξιέναι μεγαληγόρου δεῖται καὶ φρενὸς καὶ γλώττης. ἐσπούδασε δὲ καὶ νόμον θεῖναι τοὺς ἐν πολέμοις ἀποθνήσκοντας στρατιώτας μαρτυρικῶν ἀξιοῦσθαι γερῶν, ἐν μόνῳ τῷ πολέμῳ τιθέμενος καὶ οὐκ ἐν ἄλλῳ τινὶ τὴν τῆς ψυχῆς σωτηρίαν. κατήπειγε δὲ καὶ τὸν πατριάρχην καὶ τοὺς ἐπισκόπους συνθέσθαι τῷ δόγματι. ἀλλά τινες τούτων γενναίως ἀντιστάντες ἀπεῖρξαν αὐτὸν τοῦ σκοποῦ, προθέντες εἰς μέσον τὸν τοῦ μεγάλου

53 a. 964 **56/57** a. circiter 964

ACEVBMN H **41** λαοῦ om. ACE ἀτακτοῦσί: ἀγανακτοῦσί M **42** ἐν τῇ πόλει VBMN: εἰς τὴν πόλιν ACE ἁρπαγέντων H **44/45** ἀσελγείαις — ταῦτα ACEMN: γινομέναις ἀσελγείαις εἰς τοὺς πολίτας, καὶ ταῦτα V: εἰς τὴν πολιτείαν γενομένοις ἀσελγείαις, καὶ ταῦτα B **45** ἐτίθουν C **46** τῆς om. B βασιλείας: συνεργείας M πρὸς ταξείδιον post **47** ἐξιὼν B **47** συντελειῶν προσθήκαις B **48** ἄλλαις om. A **48/49** ἀλλὰ — ἐκκόψας: ἀλλὰ καὶ πρὸς τοῖς εἰρημένοις καὶ λεηλασίαις ἀνυποστάτοις ἐκκόψας B **49** τι om. B **50** ὡς ἔλεγε post **51** πολέμοις A **51** τὰς om. B **52/53** παρά — ἐκκλησίας om. M **53** ἐκκόψας ACEN: ἀποκόψας V: ἀποκρύψας B μὴ om. B ἀκινήτοις AVBMN: ἀκινήτως C: ἀκινητ´ E **56** νόμον ACEMN: τόμον VB **56/57** τινες — ὑπέγραψαν: τινες τῶν εὐριπίστων ἐπισκόπων ὑπέγραψαν B **59** ἐσταθμισμένην E **61** ἀνάγκης: κακίας B **62** μεγαληγόρος V ἐσπούδαζε E **63** πολέμῳ B θνήσκοντας A **64** τὴν om. B

Βασιλείου κανόνα, ἐπὶ τριετίαν ἀκοινωνήτους εἶναι λέγοντα τοὺς πολέμιον ἔν τινι πολέμῳ ἀνῃρηκότας. ἠλάττωσε δὲ καὶ τὸ νόμισμα, τὸ λεγόμενον τεταρτηρὸν ἐπινοήσας. διπλοῦ δὲ τοῦ νομίσματος ἔκτοτε γεγονότος, ἡ μὲν εἴσπραξις τῶν δημοσίων φόρων τὸ βαρύτερον ἀπήτει, ἐν δὲ ταῖς ἐξόδοις τὸ μικρὸν ἐσκορπίζετο. νόμου δὲ καὶ ἔθους ὄντων πάντα χαρακτῆρα βασιλέως, εἰ μὴ τῷ σταθμῷ ἐλαττοῖτο, δύναμιν ἔχειν ἰσότιμον, ὁ δὲ τὸν ἑαυτοῦ προκεκρίσθαι ἐνομοθέτησεν, ὑποβιβάσας τοὺς τῶν ἄλλων. ἐξ ἧς αἰτίας οὐ μικρῶς ἔθλιψε τὸ ὑπήκοον ἐν τοῖς λεγομένοις ἀλλαγίοις. καὶ τὸ δὴ χείριστον, ἐκ τῆς τοιαύτης αἰτίας τοῦ πολιτεύματος πιεζομένου οὐδεμίαν εὐθηνίαν ἐδέξαντο τὰ ὠνούμενα. πλέον δὲ τῶν ἄλλων ἠνίασε τοὺς ἀνθρώπους, καίπερ λίαν ὄντων χαλεπωτάτων, ἡ τοῦ τείχους κτίσις τῶν παλατίων. πολλὰ γὰρ ἔργα κύκλῳ ὄντα τοῦ παλατίου, εἰς κάλλος καὶ μέγεθος ἐξειρ|γασμένα, καταστρεψάμενος ἀκρόπολιν καὶ τυραννεῖον κατὰ τῶν ἀθλίων πολιτῶν ἀπειργάσατο, ἀποθήκας καὶ σιτοβολῶνας ἔνδοθεν καὶ ἰπνοὺς καὶ κλιβάνους ἐργασάμενος καὶ πληρώσας εἰδῶν. προεθέσπιστο γὰρ αὐτῷ ἔνδοθεν τοῦ παλατίου ἀποθανεῖν, ἠγνόει δ', ὡς ἔοικεν, ὡς, εἰ μὴ κύριος φυλάξει πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. τοῦ τείχους γὰρ τελειωθέντος, τότε συνέβη καὶ αὐτὸν κατ' αὐτὴν τὴν ἡμέραν ἀποθανεῖν, ὁπηνίκα τὰς κλεῖς ὁ τὴν ἐπιμέλειαν ἐπιτετραμμένος φέρων αὐτῷ ἐνεχείρισε.

19. Προσεγένετο τοῖς εἰρημένοις καὶ ἕτερον, ὅπερ ἐπὶ πλέον ἐξῆρε τὸ κατ' αὐτοῦ μῖσος. συμβολῆς γενομένης κατ' αὐτὴν τὴν ἑορτὴν τοῦ ἁγίου πάσχα μέσον πλωΐμων καὶ Ἀρμενίων πολὺς ἀνθρώπων ἐγένετο φθόρος, μικροῦ δ' ἂν ἀπεβίω καὶ ὁ μάγιστρος Σισίνιος καὶ ἔπαρχος. διεδέδοτο δὲ φήμη ἐκ τούτου, ὡς χαλεπαίνων ὁ Νικηφόρος τοῖς πολί-

69 a. circiter 964

---

68 Bas. Caes., can. 13, ed. Rhallis-Potlis: Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων. 4 (1854) 131–134   84/85 Ps. 126, 1   cap. 19: Zon. III, 510, 15–511, 5. 511, 15–512, 17

ACEVBMN FH   68 λέγοντας B   69 τινι om. B   71 ἀπήτουν E   72 ἐσκόρπιζε C   ἔθος MN   ὄντων VBMN: ὄντος ACE   πάντα VBMN: παντὸς ACE   73 βασιλέως: βασιλικὸν ἐν νομίσματι B   ἐλαττοῖτο: ἐλαττοῖ τό C   75 ἐν om. VB   76/77 πιεζομένου τοῦ πολιτεύματος B   77 ἐδέξαντο VBMN: ἐδέξατο ACEH   78 λίαν om. ACE   79 ἔργα om. B   83 προθέσπιστο E   85 ὁ φυλάσσων ἠγρύπνησε A   post φυλάσσων add. FH: ὅτε γὰρ τὸ τεῖχος τοῦ παλατίου κατεσκευάζετο, μιᾷ τῶν νυκτῶν ἀνὰ τὴν θάλασσαν ὑποπλέων τις ἐξεβόησεν· 'ὦ βασιλεῦ, ὑψοῖς τὰ τείχη. κἂν μέχρι πόλου φθάσῃς, ἔνδον τὸ κακόν, εὐάλωτος ἡ πόλις.' πολλὰ δὲ ἀναζητηθεὶς ὁ τοῦτον (l τούτου H) εἰπὼν οὐχ εὑρέθη; de choliiambis cf. S. Lampros, Νέος Ἑλληνομνήμων 1 (1904) 101–103 et D. Michaelides, Ἑλληνικά 23 (1970) 335   85 τότε om. VB   86 κατ': κατὰ τὴν V   87 αὐτῶν post ἐπιμέλειαν add. ACE   τετραμμένος B   88 καὶ om. A   ἕτερον ACEVBF: τοῦτο MN   89 συμβουλῆς B   91 Σισίνιος ACEVB: Σισίννιος MNF   92 δὲ VBMN: γὰρ ACE

ταις, ὡς αἰτίοις τάχα τῆς ἀταξίας, ἐν ἡμέρᾳ ἱπποδρομίας μέλλει σαγηνεύσας τὸν δῆμον τιμωρήσασθαι. καὶ δὴ μετὰ μικρὸν ἱπποδρομίας τελουμένης βουλόμενος ὁ Νικηφόρος ἐνδείξασθαι τοῖς πολίταις καὶ τὴν τοῦ πολέμου συμβολὴν ὁποία, τάχα δ' ἴσως καὶ ἐκφοβῆσαι, ξίφη γυμνὰ λαβόντας | τινὰς προσέταξεν ὡς ἐν προσχήματι πολεμίων παῖξαι, εἰς ἑστίασιν τάχα τῶν θεατῶν. τούτου δὲ γενομένου τὸν νοῦν τῶν βλεπομένων ἀγνοήσαντες οἱ θεωροὶ καὶ τὴν κρατοῦσαν φήμην τέλος ἤδη λαμβάνειν ὑποτοπάσαντες δρομαίως ἐπὶ τὰς ἐξόδους ἐχώρουν κρημνώδεις οὔσας καὶ σφαλεράς, καὶ ὑπ' ἀλλήλων συμπατούμενοι ἀπέθνησκον. καὶ κἂν ἀπώλοντο πάντες ὑπ' ἀλλήλων καταπατούμενοι, εἰ μὴ ὁ βασιλεὺς ὡράθη ἐπὶ τοῦ θώκου καθήμενος ἀδεής τε καὶ ἄτρεπτος. ὃν ἰδόντες ὁ δῆμος μὴ παρακινηθέντα, καὶ κατανοήσαντες, ὡς ἄκοντος αὐτοῦ γέγονε τὸ γενόμενον, ἔστησαν τῆς φυγῆς.

20. Πρόοδον δὲ δημοσίαν ποιήσαντα τὸν Νικηφόρον ἐν τῇ Πηγῇ κατὰ τὴν ἑορτὴν τῆς ἀναλήψεως Χριστοῦ καὶ ὑποστρέφοντα οἱ συγγενεῖς τῶν ἐν τῷ ἱπποδρομίῳ ἀπολωλότων δεξάμενοι ἐν τῇ τῶν ἀρτοπρατείων ἀγορᾷ ὕβρεις ἠφίεσαν ἀπρεπεῖς κατ' αὐτοῦ, ἀλάστορα καὶ παλαμναῖον ἀποκαλοῦντες καὶ ὁμοφύλοις αἵμασι μιαρόν, καὶ κόνιν καὶ λίθους ἔπεμπον εἰς αὐτὸν ἄχρι τῆς ἀγορᾶς τοῦ μεγάλου Κωνσταντίνου. καὶ κἂν ἀπεπάγη τῷ δέει, εἰ μή τινες ἐντιμότεροι τῶν πολιτῶν προλαβόντες τοὺς μὲν ἀτακτοῦντας ἀνέστειλαν, αὐτὸν δὲ εὐφημοῦντες ἄχρι τοῦ παλατίου προέπεμψαν. διὰ ταῦτα πάντα ἀπηχθῆσθαι παρὰ τῶν πολιτῶν ἐπιστάμενος καὶ ἐπίθεσιν ὑφορώμενος τὴν ἀκρόπολιν ἐδομήσατο. ἀλλ' οὐκ ἠδυνήθη διαφυγεῖν τὸ χρεών, ἀλλ' ὅτε καλῶς | ἔχειν αὐτῷ τὰ πάντα ᾠήθη, ἀπέρρηξε τὴν ζωήν. καὶ ὅπως, ἐν τῷ πρέποντι καιρῷ ῥηθήσεται. τετάρτῳ δὲ τῆς αὐτοῦ βασιλείας ἔτει, μηνὶ Ἰουνίῳ, τῆς δεκάτης ἰνδικτιῶνος, τὰς ἐν τῇ Θρᾴκῃ πόλεις ἐξῄει ἐπισκεψό-

cap. 20: Zon. III, 511, 5—511, 15; 512, 18—515, 18; Glyc. 570, 12—571, 7; Glyc. 572, 13/14

ACEVBMN FH 93 σαγηνεύσας VBMN: σαγηνεῦσαι ACE 94 καὶ ante τιμωρ. add. ACE 95 τ' ante ἐνδείξ. add. M τὴν om. B 1 ἐστί post ὁποία add. ACE γυμνὰ om. ACE 2 προσέταξεν om. ACE 3 ἑστίασιν: ἡδονὴν B τάχα ACEVBF: om. MN θεατῶν: πολιτῶν B βλεπομένων VMN: θεωμένων B: γινομένων ACE 6 ἀπέθνησκον: ἐφθείροντο M 6/7 ἀπέθνησκον — καταπατούμενοι: ἀπώλοντο ἂν B 10 γινόμενον E ἔστη V 12 τοῦ ante Χριστοῦ add. B τοῦ θεοῦ ἡμῶν post Χριστοῦ add. ACE 13 ἱπποδρόμῳ B ἀρτοπρατείων: ἀρτοπωλίων B 16 εἰς αὐτὸν: κατ' αὐτοῦ A 18 ἀτάκτους B 19 ἀπηχθῆσθαι: μεμισῆσθαι A 21 ἠδυνήθην C ἀλλ' ὅτε: ὅτε δὲ B 22 αὐτῷ — ᾠήθη: αὐτῷ ᾠήθη τὰ πράγματα B 23 ῥηθήσεται: ὁ λόγος ἤδη δηλώσων ἔρχεται B βασιλείας αὐτοῦ ACE 24 τῆς — ἰνδικτιῶνος: ἰνδ. δεκ. B ἰ CE ἐξῄει VBMN: ἐπῄει ACE ἐπισκεψόμενος ACVMN: σκεψόμενος E: ἐπισκεψάμενος B

μενος, καὶ γενόμενος ἄχρι τῆς λεγομένης μεγάλης τάφρου ἔγραψε Πέτρῳ τῷ Βουλγαρίας ἄρχοντι, μὴ ἐᾶν τοὺς Τούρκους διαπερᾶν τὸν Ἴστρον καὶ τὰ Ῥωμαίων λυμαίνεσθαι. τούτου δὲ μὴ προσέχοντος, ἀλλὰ παντοίαις ἀφορμαῖς παρακρούοντος, τὸν τοῦ ἐκ Χερσῶνος πρωτεύοντος υἱὸν ὁ Νικηφόρος τὸν Καλοκυρὸν πατρικιότητι τιμήσας πρὸς τὸν ἄρχοντα Ῥωσίας ἐκπέμπει Σφενδοσθλάβον, δωρεῶν ὑποσχέσεσι καὶ φιλοτιμιῶν οὐκ ὀλίγων ἀναπείθων ἐκστρατεῦσαι κατὰ Βουλγάρων. πεισθέντες οὖν οἱ Ῥῶς καὶ ἐπελθόντες τῇ Βουλγαρίᾳ κατὰ τὸν Αὔγουστον μῆνα, τῆς ἑνδεκάτης ἰνδικτιῶνος, πέμπτῳ τῆς βασιλείας ἔτει αὐτοῦ Νικηφόρου, πολλὰς πόλεις καὶ χώρας ἠδάφισαν τῶν Βουλγάρων, καὶ λείαν ὅτι πλείστην περιβαλλόμενοι ὑπέστρεψαν εἰς τὰ ἴδια. καὶ τῷ ἕκτῳ δὲ πάλιν τῆς βασιλείας αὐτοῦ χρόνῳ ἐπεστράτευσαν κατὰ Βουλγαρίας καὶ τὰ ὅμοια τῶν προτέρων, ἢ καὶ χείρονα διεπράξαντο. δευτέρᾳ δὲ Σεπτεμβρίου μηνός, ὥρᾳ τῆς νυκτὸς δωδεκάτῃ, ἰνδικτιῶνος ἑνδεκάτης, γέγονε βρασμὸς καὶ κλόνος γῆς ἐξαίσιος, καὶ ἔπαθε κακῶς Ὀνωριὰς καὶ Παφλαγονία. ἐγένοντο δὲ καὶ ἄνεμοι κατὰ τὸν Μάϊον μῆνα τῆς αὐτῆς ἰνδικτιῶνος σκληροὶ καὶ καυματώδεις, οἵτινες τοὺς καρποὺς | διέφθειραν αὐταῖς ἀμπέλοις καὶ δένδρεσιν, ὡς ἐντεῦθεν κατὰ τὴν δωδεκάτην ἰνδικτιῶνα σφοδρότατον ἐπενεχθῆναι λιμόν. καὶ δέον τὸν βασιλέα τῆς τῶν ὑπηκόων φροντίσαι σωτηρίας, ὁ δὲ τὸν βασιλικὸν σῖτον γλίσχρως πωλῶν καὶ καταπραγματευόμενος τὴν συμφορὰν τῶν ὑπὸ χεῖρα, ηὔχει ὥς τι μέγα κατωρθωκώς, ὅτι μοδίου τῷ νομίσματι πιπρασκομένου αὐτὸς δύο πωλεῖσθαι τοῦτον ἐπέταξε, μὴ τὸν Μακεδόνα μιμησάμενος βασιλέα Βασίλειον. οὗτος γὰρ κατὰ τὴν καινὴν κυριακὴν ἀπερχόμενος ἐν τῷ τῶν μεγάλων ἀποστόλων ναῷ καὶ θεασάμενος πολίτας τινὰς ἱεροπρεπεῖς μὲν καὶ σεμνούς, ἄλλως δὲ σκυθρωποὺς καὶ κατηφιῶντας, ἐγγὺς ἑαυτοῦ

30/31 inter mens. Iun. et Aug. a. 967 **33** a. 967 **36** a. 969 **42/43** a. 969

ACEVBMN FH **25** τάφρου ACEVBMN: σούδας FH **26** τοὺς om. ACE **28** ἀποκρούοντος M τὸν — Χερσῶνος: τὸν ἐκ τοῦ τὸν τοῦ ἐκ Χερσῶνος C: τὸν τοῦ ἐκ τοῦτον τοῦ ἐκ Χερσῶνος E ἐκ Χερσῶνος: ἐν Χερσῶνι B πρωτεύοντα C **29** ὁ — τιμήσας: τὸν Καλοκ. ὁ Νικηφ. τιμ. πατρ. B **30** Ῥωσσίας M **31** ἀναπείθων VBMN: ἀναπείσας ACE Βουλγαρίας B **32** Ῥῶς VBMN: Ῥὼς ACE ἀπελθόντες E **33** ια' ACEMN ε' CE ἔτει AEVBMNH: ἔτος CF αὐτοῦ ἔτει E αὐτοῦ CEMN: τοῦ VBF: om. AH **34** Νικηφόρου om. A (sed non FH) **34** ἠδάφισαν VBMN: ἠφάνισαν A: ἠφάνισε CE **36** ς' CE πάλιν — χρόνῳ ACEMN: πάλιν ἔτει τῆς βασιλείας αὐτοῦ VB ἐπεστράτευσε E **37** τὰ om. B ἢ om. B χείρονα VBMN: χείρω ACE διεπράξατο B β' CE **38** ιβ' ACE ια' ACEM **39** τῆς ante γῆς add. B ἔπαθον A **41** τε ante καὶ add. ACE βίαιοι καὶ post καὶ add. A **42** δένδρεσι(ν) VBMN: δένδροις ACE ιβ' ACE **44** πωλῶν γλισχρῶς A **47** προσέταξε B καὶ post μὴ add. E μιμησάμενος post **48** Βασίλειον B βασιλέα om. VB **49** νεῷ VN **50** μὲν om. ACE ἄλλως: ἄλλους CEFH ἑαυτῷ V

παραστησάμενος, διὰ τί μὴ καὶ αὐτοὶ λαμπροφοροῦντες ἐν τῇ ἑορτῇ πάρεισιν ἀνηρώτα, ἀλλ' ὡς ἂν ἐν μεγάλῃ συμφορᾷ τῆς πόλεως οὔσης στυγνάζουσι. πρὸς ὃν ἀπεκρίνατό τις τῶν πολιτῶν· 'σοί, ὦ δέσποτα, καὶ τοῖς ἑστῶσιν ἔγγιστά σου πρέπει τὸ λαμπροφορεῖν καὶ χαίρειν. οἷς δὲ τοῦ θανάτου πρόσεστι προσδοκία, τὰ τοιαῦτα ἀπεοίκασιν. ἢ ἀγνοεῖς, ὅτι δύο μέδιμνοι σίτου τῷ νομίσματι πιπράσκονται διὰ τὴν τῶν ἀνέμων τραχύτητα;' πρὸς ταῦτα βύθιον ἀνοιμώξας ὁ βασιλεὺς συμπαθείας ἀπέσταξε δάκρυον, καὶ τούτους μὲν παρεμυθήσατο δαψιλῶς, ἐπανελθὼν δ' εἰς τὰ βασίλεια τοὺς τὰς πολιτικὰς καὶ βασιλικὰς συναγαγὼν μετερχομένους φροντίδας μυρίαις ὕβρεσι καὶ ἀραῖς καθυπέβαλεν, ὅτι μὴ αὐτῷ περὶ τῆς σιτοδείας ἐμήνυσαν, καὶ εὐθὺς τὸν βασι|λικὸν καὶ δημόσιον σῖτον προθέμενος δώδεκα τοῦ νομίσματος δίδοσθαι παρεκελεύσατο. οὗ τὴν προαίρεσιν ἀποδεξάμενος ὁ θεὸς εὐθηνίαν πολλὴν τοῖς ἀνθρώποις παρέσχετο. ἀλλὰ ταῦτα μὲν εἰς ἔπαινον ἐκείνου ἐρρέθη. ὁ δὲ Νικηφόρος ἔχαιρε μᾶλλον, ἢ ἐβοήθει θλιβομένους ὁρῶν τοὺς ὑπηκόους. καὶ οὐχ οὗτος μόνος, ἀλλὰ καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ, ταῖς καπηλείαις προσκείμενος τῶν εἰδῶν, πολλῶν καὶ ποικίλων δεινῶν τὴν οἰκουμένην ἐνέπλησεν. ὧν τὴν αἰσχροκέρδειαν εὐτραπέλως οἱ πολῖται διεκωμῳδουν. ἐξελθόντος γάρ ποτε τοῦ βασιλέως ἐν τῷ πεδίῳ, ὥστε γυμνάσαι τὸν στρατόν, ἐπεί τις ἦλθε πολιὸς τὴν τρίχα καὶ ἐπειρᾶτο συναριθμηθῆναι τοῖς στρατιώταις, φησὶ πρὸς αὐτόν· 'σὺ δέ, ὦ ἄνθρωπε, γέρων ὤν, πῶς τοῖς ἐμοῖς στρατιώταις ἐπείγῃ συναριθμηθῆναι;' ὁ δ' εὐστόχως ὑπολαβών· 'πολὺ δυνατώτερός εἰμι νῦν', ἔφη, 'ἢ ὅτε ἤκμαζον.' αὐτοῦ δέ· 'καὶ πῶς;' ἐρομένου, 'ὅτι περ,' ἔφη, 'τὸν τοῦ νομίσματος σῖτον πρότερον δυσὶν ἡμιόνοις ἐπιφορτίζων ἐπὶ τῆς σῆς βασιλείας δύο νομισμάτων σῖτον ἀβαρῶς ἐπὶ τῶν ὤμων φέρω.' συνεὶς οὖν τὴν εἰρωνείαν ἀνεχώρησε, μηδὲν ταραχθείς.

21. Οἱ δὲ Σαρακηνοὶ μετὰ τὸ ἁλῶναι τὰς ἐν Συρίᾳ καὶ Κιλικίᾳ πόλεις τὸν ἀρχιερέα τῶν Ἱεροσολύμων Ἰωάννην ζῶντα κατέκαυσαν ὡς ταῖς

cap. 21: Glyc. 572, 13/14

ACEVBO (var. lect. a **72** πολλῷ) MN FH **52** οὔσης om. M **53** σοί: σύ E **54/55** οἷς — θανάτου: αὐτοῖς δέ, οἷς θανάτου V **55** τοῦ θανάτου — προσδοκία: θάνατος προσδόκιμος A ἀπεοίκασιν: πεποιήκασιν E **57** ἀνοιμώξας ACEMN: οἰμώξας VB **59** τὸ βασίλειον B πολιτικὰς καὶ om. B βασιλικὰς καὶ πολιτικὰς V συναγαγὼν post **60** φροντίδας AB **60** καθυπέβαλλεν V **61** σιτοδείας: σιτοδοσίας B καὶ δημόσιον: δημοσίᾳ B **62** προσθέμενος M παρεκελεύσατο CEVM: προσέταξεν A: παρεσκευάσατο B **65** καὶ om. B **66** μόνον B **67** τῶν — οἰκουμένην VBMN: τῶν δεινῶν, πολλῶν καὶ ποικίλων εἰδῶν τὴν οἰκουμ. CE: πολλῶν δεινῶν καὶ ποικίλων εἰδῶν τὴν οἰκουμ. A **68** εὐτραπέλως ACEB: εὐτραπελῶς VMNFH **72** πολύ: πολλῷ O **73** ὅτε: ὅτι C αὐτοῦ ACEMN: τοῦ VBO **74** τὸν om. B **74—76** πρότερον — φέρω: πρότερον ἀπὸ γῆς ἐν χερσὶν ἆραι οὐκ ἠδυνάμην, νῦν δὲ καὶ τεττάρων νομισμάτων σῖτον εὐκόλως φέρων πορεύομαι A **77** Κιλικίας B **78** Ἰωάννην om. B

ὑποθήκαις αὐτοῦ τάχα μέλλοντος τοῦ Νικηφόρου ἀφίξεσθαι πρὸς αὐτούς, ἐνέπρησαν δὲ καὶ τὸν περικαλλῆ ναὸν τοῦ κυριακοῦ τάφου. τὸ δ' αὐτὸ τοῦτο πεποιήκασι καὶ οἱ Ἀντιοχεῖς, | Χριστοφόρον τὸν αὐτῶν ἀνελόντες ἀρχιερέα. προσερρύησαν δὲ τῷ βασιλεῖ Γρηγόριος καὶ Παγκράτιος οἱ αὐτάδελφοι, τῆς ἑαυτῶν παραχωρήσαντες αὐτῷ χώρας τοῦ Ταρών. οὓς πατρικίους τιμήσας καὶ κτήσεσιν ἐφιλοφρονήσατο πολυπροσόδοις. ἐγένετο δὲ καὶ ἡλίου ἔκλειψις τῇ εἰκάδι δευτέρᾳ τοῦ Δεκεμβρίου μηνός, περὶ τρίτην ὥραν, ὡς καὶ ἄστρα φανῆναι.

22. Ἡ δὲ βασιλὶς Θεοφανὼ ἀποστρεφομένη τὴν συνουσίαν τοῦ Νικηφόρου, τινὰ τῶν τοῦ Τζιμισκῆ μεταπεμψαμένη εἰσκαλεῖται τοῦτον ἐν τῷ ἰδίῳ οἴκῳ σχολάζοντα. ἔφθη γὰρ ὁ βασιλεὺς διά τινα ὑποψίαν τῆς τοῦ δομεστίκου παραλύσας τοῦτον ἀρχῆς καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἀπρόϊτον εἶναι κελεύσας. ὃν ἐκεῖθεν ὁ πεμφθεὶς ἀναλαβόμενος (διεπράξατο γὰρ ἡ μοιχαλὶς καὶ γράμματα τοῦτον δέξασθαι τὴν κάθοδον ἐπιτρέποντα) ἀφίκετο εἰς Χαλκηδόνα. καὶ τοῦ βασιλέως ὑπομνησθέντος, εἰ δεῖ τοῦτον εἰσελθεῖν ἐν τῇ βασιλίδι, κἀκείνου προσμένειν μικρὸν ἐπιτρέψαντος, ἐκείνη νυκτὸς ἑνδεκάτῃ τοῦ Δεκεμβρίου μηνός, ἰνδικτιῶνος τρισκαιδεκάτης, ἔτους ἑξακισχιλιοστοῦ τετρακοσιοστοῦ ἑβδομηκοστοῦ ὀγδόου, ἀποστείλασα ἄγει τοῦτον πρὸς τὸν κάτωθεν τῶν παλατίων χειροποίητον λιμένα, καὶ κοφίνῳ ἀνιμήσατο μετὰ πάντων τῶν περὶ αὐτόν. ἦσαν δὲ ὁ πατρίκιος Μιχαὴλ ὁ Βούρτζης, Λέων ταξιάρχης ὁ Ἀβαλάντης καὶ τῶν τοῦ Τζιμισκῆ πιστικωτάτων ὁ Ἀτζυποθεόδωρος καὶ ἕτεροι δύο. οἵτινες ἀνελθόντες καὶ ξιφή|ρεις εἰς τὸν τοῦ βασιλέως εἰσελθόντες κοιτῶνα, ἐπεὶ μὴ εὗρον αὐτὸν ἐν τῇ συνήθει κλίνῃ, φωραθῆναι ὑπονοήσαντες μικροῦ δεῖν

94 die 11. mens. Dec. a. 969

---

cap. 22: Zon. III, 516, 1–519, 4; Glyc. 572, 14–573, 15

ACEVBOMN FH 79 τάχα om. BO 79/80 τάχα — τάφου: μέλλοντος τάχα ναὸν ἐγεῖραι τοῦ κυριακοῦ τάφου A 80 ἐνέπρησαν ACEMN: ἐνεπύρισαν VO: ἐνεπύρησαν B 81 πεποιήκασι om. ACE Χριστοφόρον post 82 ἀρχιερέα VBO αὐτῶν: οἰκεῖον B 82 Γρηγορίῳ καὶ Παγκρατ' C Παγκράτης B 83 αὐτάδελφοι: ἀδελφοὶ O αὐτῷ om. VBO 84 κτήσεσιν ACEMN: κτήμασιν VB 85 δὲ om. E εἰκάδι β' CE 87 Θεοφανῶ B 89 σχολάζοντι E ἔφθη: ἔφθασε B 89/90 ὑποψίαν — ἀρχῆς VBOMN: ὑποψ. παραλ. τοῦτον τῆς τοῦ δομ. ἀρχῆς CE: ὑποψ. παραλ. τοῦτον τῆς ἀρχῆς τοῦ δομ. A 90 καὶ om. O οἶκον C 93 Καλχηδόνα EV 94 μικρὸν προσμένειν VBO 95 ιγ' ACEMN 1 ἔτει A ,ςυοη' ACEBMN 2 πρὸς VBMN: εἰς ACE τοῦ παλατίου B 3 νυκτὸς post λιμένα add. MNH (sed non Glyc. 573, 3) 4 ὁ pr. om. M καὶ ante Λέων add. ACE ταξιάρχος AE Ἀβαλάντης EBOH Zon. III, 517, 3: Ἀβαλάντῃ Glyc. 573, 5: Βαλάντης ACVMNF 5 Τζιμισχῆ A Ἀτζιποθέριος B 6 εἰς om. B εἰσελθόντες: ἀνελθόντες C

ἑαυτοὺς κατεκρήμνισαν, εἰ μή που ἀνδράριόν τι τῶν ἐκ τῆς γυναικωνίτιδος εὑρηκότες ὑπ' αὐτοῦ ὁδηγοῦνται. καὶ καταλαμβάνουσιν αὐτὸν ἐπ' ἐδάφους κείμενον καὶ στρωμνὴν ἔχοντα πῖλον κοκκοβαφῆ καὶ ἄρκτου δέρμα, ὅπερ λαβὼν ἦν παρὰ Μιχαὴλ μοναχοῦ τοῦ Μαλεΐνου, τοῦ θείου αὐτοῦ. τοῦτον ἄρτι πρὸς ὕπνον τραπέντα καὶ μηδαμῶς ἐπαισθόμενον τῆς ἀφίξεως τῶν μελλόντων αὐτὸν ἀναιρεῖν, ὁ Τζιμισκὴς τῷ ποδὶ νύξας ἐξύπνισεν. ἐξυπνισθέντα δὲ καὶ τῆς δεξιᾶς χειρὸς τὸν ἀγκῶνα τῇ γῇ προσερείσαντα καὶ τὴν κεφαλὴν ἀνακουφίσαντα, ἐπιφέρει γυμνῷ τῷ ξίφει κατὰ τῆς κορυφῆς ἀσκεποῦς οὔσης (ἐπεπτώκει γὰρ ἐγειρομένου τὸ τῆς κεφαλῆς αὐτοῦ κάλυμμα) Λέων ὁ Ἀβαλάντης γενναίαν πληγήν, καὶ διελαύνει μέσον τὸ κρανίον. εἶτα τῆς στρωμνῆς αὐτὸν ἀναστήσαντες ἄγουσι πρὸς τὸν Τζιμισκὴν ἐπὶ τῆς βασιλικῆς καθίσαντα κλίνης, καὶ πολλὰ ἐμπαροινήσαντες καὶ κατονειδίσαντες καὶ δυσφημήσαντες εἰς αὐτὸν μηδὲν ἄλλο λέγοντα, ἀλλ' ἢ 'κύριε ἐλέησον 'καὶ 'θεοτόκε βοήθει,' τελευταῖον ἐπείπερ κατεφωράθησαν παρὰ τῶν προκοίτων τοῦ παλατίου καὶ συνίστατο ἐπ' αὐτοὺς πλῆθος ἀμυνομένων, ἀποσφάττουσι τοῦτον, καὶ τὴν κεφαλὴν ἀποτεμόντες διά τινος θυρίδος τοῖς εἰς βοήθειαν συντρέχουσιν ὑποδεικνύουσι. καὶ οἱ μὲν οὕτω κατεστορέσθησαν, τοῖς δὲ περὶ τὸν Τζιμισκὴν καιρὸς ἐδόθη ἀδεῶς καὶ μετὰ ἀδείας πάντα ποιεῖν. |

23. Λέγεται δ', ὅτι πρὸ δέκα ἡμερῶν τοῦ θανάτου ἔγγραφον εὗρεν ὁ βασιλεὺς ἐρριμμένον ἐν τῷ κοιτῶνι αὐτοῦ καὶ μηνῦον ἀσφαλίσασθαι αὐτόν, ὡς ἐπιβουλευόμενον ὑπὸ τοῦ Τζιμισκῆ. καί τινα δὲ κληρικόν φασι

cap. 23: l. 52—54 = Leo Diac. 91, 8—13. l. 55—62 = Leo Diac. 48, 10—20 Hase; l. 64—90 = Th. Preger, Inscriptiones Graecae metricae, Lipsiae 1891, p. 23/24 = Mercati, Bessarione, a. 25 (= vol. 37) (1921) 160—162

ACEVBO (lect. var. usque 27 εὗρεν) MN FH 8 ἀνδράριόν — γυναικωνίτιδος ACE: ἀνδράριόν τι (τι om. M) ἐκ τῶν τῆς γυν. BMNFH: ἀνδράριόν τι ἐκ τῆς γυν. V 9 ὡδηγήθησαν B αὐτὸν post 10 ἐδάφους E 10 ἔχοντι E ἄρκτου AVBMNF: ἄρκου CEH 11 ὅπερ VBMN: ὃ ACE 13 Τζιμισκὴς MN: Τζιμισκῆς CEVB: Τζιμισχῆς A 14/15 ἐξυπνισθέντι ..., προσερείσαντι ..., ἀνακουφίσαντι O 15 ἐπιφέρει: πλήττει A καιρίαν post ἐπιφέρει add. B 16 κατὰ — οὔσης ACEVB (κορυφῆς: κεφαλῆς B): τῆς κεφαλῆς ἀσκεποῦς οὔσης MNH 17 Ἀβαλάντης EBO Glyc. 573, 8: Βαλάντης ACVMN γενναίαν CEMN: γενναίᾳ A: καιρίαν VO Zon. III, 518, 7: om. B πληγήν CEVOMN: πληγῇ A: om. B ἐπιφέρει post πληγὴν add. M 18 ἀναστήσαντες AVOBMN: ἀναστήσας E: ἀναστῇ C 19 πρὸς: ἐπὶ O Τζιμισκὴν EBN: Τζιμισκῆν CVM: Τζιμισχῆν A καθίσαντες CE 20 παροινήσαντες VBO 21 ἄλλο: ἄλλον B ἀλλ' om. O καὶ om. A 22 τὸ ante τελευταῖον add. B παλατίου: βασιλέως M 23 συνίσταται AC 24 ἀποτεμὼν B αὐτοῦ post ἀποτ. add. VBO 25 ὑποδεικνύουσι E (i. m. man. rec.) VBOMN: om. ACE κατεστορεύθησαν C 26 Τζιμισκὴν BMN: Τζιμισχῆν A: Τζιμισκῆν CEV 27 Λέγουσι B δὲ B καὶ ante πρὸ add. O αὐτοῦ post θανάτου add. C 27/28 ὁ βασιλεὺς om. VBO 28 καὶ om. A μηνύοντα M 29 αὐτόν: ἑαυτόν M Τζιμισχῆ A φασι VBN: φασιν M: om. ACE

κατὰ τὴν ἑσπέραν τῆς ἀναιρέσεως δεδωκέναι αὐτῷ γράμμα περιέχον πρὸς ἔπος ταῦτα· 'ὦ βασιλεῦ, ἀσφάλισαι σεαυτόν. κίνδυνος γάρ σοι κατὰ ταύτην τὴν νύκτα οὐ μικρὸς ἀρτύεται.' τὸ δὲ γραμμάτιον ἄλλοι μὲν λέγουσιν, ὡς ὑπολαβὼν ὁ βασιλεὺς δεητήριον εἶναι οὐκ ἀνέγνω τοῦτο, ἄλλοι δ', ὅτι ἀνέγνω μέν, ἀλλ' ἠμέλησε τῆς ἑαυτοῦ φυλακῆς, τοῦ χρεὼν ἐμποδίσαντος, ἀποθανόντος δὲ τούτου εὑρέθη ἔχον τὰ γεγραμμένα. ἄλλοι δ', ὅτι ἀναγνοὺς ἐπέτρεψε τὴν ζήτησιν καὶ φυλακὴν τῷ πρωτοβεστιαρίῳ, ἔγραψε δὲ καὶ τῷ ἀδελφῷ Λέοντι ἐπ' οἴκου διάγοντι λαὸν ἔνοπλον εἰληφέναι καὶ φοιτῆσαι τὴν ταχίστην πρὸς τὸ παλάτιον. τοῦτο δὲ διακομισθὲν ἐκεῖνος δεξάμενος, καὶ μηδ' ἀνελίξας (ἔτυχε γὰρ κυβεύων μετά τινων καὶ δαιμονίως τῇ παιδιᾷ χρώμενος) ἔθετο ἐν τῇ ἑαυτοῦ κλίνῃ ὑπὸ τὴν τύλην. ἄρτι δὲ τοῦ παιγνίου διαλυθέντος τὸ γραμμάτιον ἐπελθὼν καὶ τὸν ἐγκείμενον νοῦν συνεὶς τῶν γραφέντων, δύναμιν ὡς ὁ καιρὸς ἀπῄτει συνηθροικὼς ἀπῄει πρὸς τὰ βασίλεια. γενόμενος δὲ κατὰ τὴν ἐν τῷ ἱπποδρομίῳ σφενδόνην ἤκουσέ τινων διαλεγομένων πρὸς ἀλλήλους, ὡς ἄρα εἴη Νικηφόρος ἀνῃρημένος ὁ βασιλεύς, ἤκουσε δὲ καὶ τῶν ἐν ταῖς πλατείαις καὶ τοῖς στενωποῖς ἀνευφημούντων τὸν Ἰωάννην. τῷ ἀνελπίστῳ δὲ κατα|πλαγεὶς καὶ μηδὲν ἐννοήσας γενναῖον, ᾗ τάχους εἶχε σὺν τῷ υἱῷ Νικηφόρῳ τῇ μεγάλῃ προσέρχεται ἐκκλησίᾳ. καὶ τὰ μὲν λεγόμενα ταῦτα. εἰ δὲ ἀληθῶς, ἢ ψευδῶς, οὐκ ἔχω λέγειν. θνήσκει δ' ὅμως ὁ Νικηφόρος ἔνδον τοῦ παλατίου κατεργασθείς.

πεντήκοντα καὶ ἑπτὰ ἐτῶν ὢν τηνικαῦτα. τῇ δὲ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας προστάξει τοῦ Ἰωάννου πρὸς ἑσπέραν βαθεῖαν τῇ ὁσίᾳ παρεπέμφθη· θήκῃ γὰρ ξυλίνῃ, ὡς ἔτυχεν, αὐτὸν περιστείλαντες εἰς τὸν θεῖον τῶν ἀποστόλων σηκὸν μέσον νυκτῶν αὐτὸν ἐξεκόμισαν καὶ κατὰ τὸ ἡρῷον, ἔνθα τὸ τοῦ θείου καὶ ἀοιδίμου Κωνσταντίνου σῶμα κατάκειται, ἐν μιᾷ τῶν βασιλικῶν σορῶν ἐκήδευσαν. τὴν δὲ ἰδέαν τοιόσδε τις ἦν. ὄψις αὐτῷ πρὸς τὸ μέλαν πλέον ἢ τὸ λευκὸν ἀποκλίνουσα, κόμη βαθεῖα καὶ κυανή, ὀφθαλμοὶ μέλανες ἐπὶ συννοίας πεφροντικότες, δασείαις ταῖς ὀφρύσιν ὑποκαθήμενοι. ῥὶς μέση ἔχουσα λεπτότητός τε καὶ παχύτητος, ἠρέμα συμπεραινομένη γρυπότητι. ὑπήνη

ACEVBMN **30** αὐτοῦ add. ante ἀναιρ. M, post ἀναιρ. B γράμμα CEVMN: γραμμάτιον A: γράμματα B περιέχον AEVMN: περιέπον C: περιέχοντα B **31** πρὸς: ὡς C **32** μικρῶς C ἀνύεται CE γραμματεῖον B **35** τούτου: τοῦτο B ἔχων B τὰ: ταῦτα, post εὑρέθη, A γεγραμμένα: γράμματα E **36** ἐπέστρεψε M τὴν ante φυλακὴν add. ACE **38/39** τοῦτο — ἐκεῖνος: τοῦ δὲ διακομ. ἐκεῖνο C **40** τινων — παιδιᾷ: τινος καὶ δαιμονίῳ καὶ τῇ παιδείᾳ B ἑαυτοῦ ACEMN: αὐτοῦ VB **43** ἀπῄτει: ἐδίδου AE **43/44** δὲ — σφενδόνην: δὲ ἐν τῷ κατὰ τὴν τὸ ἱπποδρόμῳ σφενδόνην B **44** ἱπποδρομίῳ VMN: ἱπποδρόμῳ ACEB **45** Νικηφόρος om. B **46** τοῖς στενωποῖς VBMN: ταῖς ὁδοῖς AC: ταῖς εἰσόδοις E **51—63** interpol. ACE (i. m., scriptura paene illegibili, usque 62 ἀνδρῶν E) B (usque 62 ἐκράτει) **51** καὶ om. B **51—55** ἐτῶν — κατάκειται: ἐτῶν ὢν καὶ ἐτάφη κατὰ τὸ ἡρῷον, ἔνθα τὸ τοῦ μεγάλου Κωνσταντίνου κατέκειτο σῶμα B **51** δὲ om. A **53** ἐς A νυκτὸς A **55** ἐκήδευσαν om. B τὴν — ἦν: ἡ δὲ ἰδέα αὐτοῦ τοιάδε B **56** κόμη ACEB: κόμη δὲ Leo Diac. 48, 12 κυανῆ Leo Diac. 48, 12 **57** δασεῖαι B **58** μέση AC: μέσον (?) E: μέσος B Leo Diac. 48, 13 cod. Paris. Gr. 1712: μέσως Leo Diac. 48, 13 cod. Scor. Y-I-4 τε non habet B Leo Diac. 48, 14 συμπεραινομένην A γρυπότητα A

σύμμετρος, ἀραιὰν παρὰ τὰς γνάθους προβαλλομένη τὴν πολιάν. ἀγκυλαῖος τὴν ἡλικίαν καὶ στιβαρός, εὐρύτατος τὸ στέρνον καὶ ὤμους ὡς μάλιστα, τὴν μέντοι ἀνδρίαν καὶ ῥώμην κατὰ τὸν θρυλλούμενον Ἡρακλῆν. φρονήσει δὲ καὶ σωφροσύνῃ πάντων κατευμεγέθει τῶν κατ' ἐκείνην τὴν γενεὰν γεγενημένων ἀνδρῶν. ἐν δὲ τῇ σορῷ αὐτοῦ ὁ Μελιτηνῆς μητροπολίτης Ἰωάννης ταῦτα ἐπέγραψε·

Τὸν ἀνδράσι πρὶν καὶ τομώτερον ξίφους
πάρεργον οὗτος καὶ γυναικὸς καὶ ξίφους.
ὃς τῷ κράτει πρὶν γῆς ὅλης εἶχε κράτος,
ὥσπερ μικρὸς γῆς μικρὸν ᾤκησε μέρος.
τὸν πρὶν σεβαστόν, ὡς δοκῶ, καὶ θηρίοις,
ἀνεῖλεν ἡ σύγκοιτος ἐν δοκοῦν μέλος.
ὁ μηδὲ νυξὶ μικρὸν ὑπνώττειν θέλων
ἐν τῷ τάφῳ νῦν μακρὸν ὑπνώττει χρόνον,
θέαμα πικρόν. ἀλλ' ἀνάστα νῦν, ἄναξ,
καὶ τάττε πεζούς, ἱππότας, τοξοκράτας,
τὸ σὸν στράτευμα, τὰς φάλαγγας, τοὺς λόχους.
ὁρμᾷ καθ' ἡμῶν Ῥωσικὴ πανοπλία,
Σκυθῶν ἔθνη σφύζουσιν εἰς φονουργίας,
λεηλατοῦσι πᾶν ἔθνος τὴν σὴν πόλιν,
οὓς ἐπτόει πρὶν καὶ γεγραμμένος τύπος
πρὸ τῶν πυλῶν σὸς ἐν πόλει Βυζαντίου.
ναί, μὴ παρόψει ταῦτα. ῥῖψον τὸν λίθον
τόν σε κρατοῦντα, καὶ λίθοις τὰ θηρία
τὰ τῶν ἐθνῶν δίωκε. δὸς δὲ καὶ πέτρας
στηριγμὸν ἡμῖν ἀρραγεστάτην βάσιν.
εἰ δ' οὐ προκύψαι τοῦ τάφου μικρὸν θέλεις,
κἂν ῥῆξον ἐκ γῆς ἔθνεσιν φωνὴν μόνην.
ἴσως σκορπίσῃ ταύτῃ καὶ τρέψῃ μόνῃ.

ACEBM 59 ἀρεὰν (Ε προβαλλομένην Leo Diac. 48, 15 cod. Paris. Gr. 1712 ἀγκυλεὸς Leo Diac. 48, 16 **60** μέντοι: μὲν B ἀνδρείαν Leo Diac. 48, 17 **61** ῥώμην: γνώμην B τὸ θρυαλλούμενον Leo Diac. 48, 18 cod. Paris. Gr. 1712 Ἡράκλῆν CE Leo Diac. 48, 18 cod. Scor. Y-I-4: Ἡρακλῆ A: Ἡρακλή B Leo Diac. 48, 18 cod. Paris. 1712 **62** κατευμεγέθει: ἐκράτει B ἐκείνου Leo Diac. 48, 20 **64 (—90 M)** interpol. ACM Ottob. gr. 309 Ottob. gr. 361 Regin gr. 166 Regin. gr. 86; variae lectiones ultimorum quatuor codd. apud Mercati inveniuntur. tit. **62/63** ἐν — ἐνέγραψε ACE Regin. gr. 86: Ἐπιτύμβια εἰς τὸν βασιλέα Νικηφόρον M Ottob. gr. 361: Ταῦτα τὰ γράμματα εὑρίσκονται ἐν τῇ σορῷ τοῦ ἀοιδίμου βασιλέως κυροῦ Νικηφόρου τοῦ Φωκᾶ ἐν τῇ μονῇ τῆς παναγίας μου τῆς καλουμένης περιβλέπτου, τανῦν δὲ περικρατοῦν αὐτὴν οἱ Ἀρμένιοι, καὶ καλεῖται παρ' αὐτῶν Σούλουννα μοναστῆρι. Ἰωάννου μητροπολίτου Ottob. gr. 309: Οὗτοι οἱ ἰαμβικοὶ στίχοι εὑρέθησαν ἐν τῇ λάρνακι τοῦ Νικηφόρου βασιλέως τοῦ Φωκᾶ, ὃς ἐτάφη ἐν τῇ περιβλέπτῳ μονῇ τῆς παναγίας, ἣ καλεῖται τανῦν Σούλουννα μοναστῆρι, ὃ τὸ τῶν Ἀρμενίων γένος οἴμοι οἰκοῦσι κατὰ θεοῦ παραχώρησιν Regin. gr. 166 **64** Τὸν: Ὅς M Τὸν ἀνδράσι: Ὁ ταῖς μάχαις A τομώτερος AM **65** οὗτος: ὤφθη A **67** ὥσπερ: ὥς τις A μικρὸν γῆς M ᾤκησε: οἰκεῖ νῦν A **68** σεβαστόν — θηρίοις: δὲ φρικτὸν βαρβαρικοῖς θηρίοις A **73** τάττε: τύπτε C τοξοκράτας: λογχηφόρους A **75** ὀργᾷ M (?) **76** φονουργίαν AM (?) **77** λεηλατοῦσι — πόλιν: ἐχθροὶ λεηλατοῦσι σὴν μάκαρ πόλιν A **78** πρὶν: νῦν M **79** Βυζαντίων M **83** ἀρραγεστέραν M **85** ῥῆξον: ῥίψον M ἔθνησιν: εἰς ἔθνη A μόνου M **86** ἴσως — μόνῃ: φωνὴ γὰρ εἰς φόβητρον αὐτοῖς ἀρκέσει A σκορπίσῃ corr. in σκορπίσει C τρέψει C

εἰ δ' οὐδὲ τοῦτο, τῷ τάφῳ τῷ σῷ δέχου
σύμπαντας ἡμᾶς· ὁ νεκρὸς γὰρ ἀρκέσεις
σῴζειν τὰ πλήθη τῶν ὅλων χριστωνύμων,
ὦ πλὴν γυναικὸς τὰ δ' ἄλλα Νικηφόρος.

ἀλλὰ ταῦτα μὲν οὕτω συντέθειται. |

ACM 88 ὁ: καὶ AM ἀρκέσῃ C **90 τὰ δ' ἄλλα C: τἄλλα δ' αὖ M:** τἄλλα γοῦν A Νικηφόρος: γοῦν Νικηφόρε A

ΙΩΑΝΝΗΣ Ο ΤΖΙΜΙΣΚΗΣ

1. Ἰωάννης δὲ ὁ Τζιμισκὴς τῆς Ῥωμαίων ἀρχῆς ἀποθανόντος τοῦ Νικηφόρου ἀνεδέξατο τὰς φροντίδας, συμβασιλεύοντας ἔχων αὐτῷ Βασίλειον καὶ Κωνσταντῖνον τοὺς υἱεῖς Ῥωμανοῦ, ὧν ὁ μὲν Βασίλειος ἕβδομον εἷλκε τῆς ἡλικίας ἔτος, ἅτερος δ' ὁ Κωνσταντῖνος πέμπτον. εὐθὺς οὖν Βασίλειον τὸν παρακοιμώμενον, ὃν Νικηφόρος ὁ βασιλεὺς οὐ μικρὰ συμβαλλόμενον αὐτῷ πρὸς τὴν τῆς βασιλείας κατάσχεσιν πρόεδρον τετίμηκε, μή πω πρότερον ὄντος τοῦ ἀξιώματος, πρώτου δ' αὐτοῦ τοῦτο ἐφευρηκότος, νυκτὸς μεταπεμψάμενος κοινωνὸν τῆς ἀρχῆς προσελάβετο, ἅτε ἐν πολλοῖς χρόνοις τά τε πολιτικὰ μετελθόντα ἐπὶ τοῦ οἰκείου πατρὸς Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου τοῦ γαμβροῦ αὐτοῦ, καὶ πλειστάκις κατὰ τῶν Ἀγαρηνῶν ἐκστρατεύσαντα, καὶ δυσχερείαις πραγμάτων εἰδότα εὐφυῶς προσαρμόζεσθαι. ὃς εὐθὺς τὴν ἐπιτροπὴν εἰληφὼς τῶν πραγμάτων πάντας τοὺς εὔνοιαν τῷ Νικηφόρῳ φυλάττοντας ἐκ μέσου πεποίηκε, Λέοντα μὲν τὸν κουροπαλάτην ἐν Λέσβῳ περιορίσας καὶ Νικηφόρον βέστην τὸν τούτου υἱὸν ἐν τῇ Ἴμβρῳ, Βάρδαν δὲ τὸν νεώτερον δοῦκα τότε Χαλδίας καὶ Κολωνείας τυγχάνοντα τὴν ἀρχὴν ἀφελόμενος ἐν Ἀμασείᾳ παρέπεμψε γράμμασι. καὶ τοὺς ἄλλους δέ, ὅσοι πολιτικὰς ἢ στρατιωτικὰς μετῄεσαν ἀρχὰς τῶν ἀρχῶν παραλύσας, οἰκείους ἐπέστησε καὶ τῷ νέῳ βασιλεῖ φυλάττοντας

19 a. circiter 964

cap. 1: Zon. III, 519, 11—520, 13; Glyc. 573, 16—573, 21

ACEVBMN DH **92** Ἰωάννης ὁ Τζιμισκῆς CEV: Ἰωάννης ὁ Τζιμισχῆς A: Ἰωάννης N: Βασιλεία Ἰωάννου τοῦ Τζιμισκῆ B: Ἀρχὴ τῆς βασιλείας Ἰωάννου Τζιμισκή M **93** δ' M Τζιμισκῆς CEVB: Τζιμισχῆς A: Τζιμισκὴς MN **93/94** τῆς — φροντίδας VBMN: τὰς τῆς Ῥωμαίων ἀρχῆς φροντίδας ἀποθανόντος τοῦ Νικηφόρου ἀνεδέξατο ACE **94** συμβασιλεύοντα E αὐτῷ om. AC **95** υἱεῖς CEVMN: υἱοῖς D: υἱοὺς ABH Glyc. 573, 17 **1** ἅτερος δ' ὁ: ὁ δὲ B ε' C **2** ὁ ante Νικηφ. add. CE ὁ βασιλεὺς om. ACE **3** τῆς om. B ἔσχε post κατάσχεσιν add. B **4** αὐτοῦ ACEBM: αὐτὸ VNDH τοῦτο ACVBM: τοῦτ' E: τούτου NDH **6** μετελθόντα AEVMN: μετελθόντος C: ἐπελθόντα B τε ante τοῦ add. B τοῦ οἰκείου: τῇ οἰκίᾳ A **8** πλειστάκις ACEMN: πολλάκις VB ἐκστρατεύσαντος C **9** δυσχερείας CE εἰδότα πραγμάτων B εἰδότα om. ACE προσαρμόζεσθαι VBMN: προσαρμοζόμενον ACE **11** καὶ ante Λέοντα add. B **13** Ἴμπρῳ A Βάρδα C δὲ om. M Χάλδας B **14** Ἀμασείᾳ V: Ἀμασίᾳ BMND: Κολωνείᾳ ACE **15** πολιτικὰς — μετῄεσαν: πολιτικὰς μετῄεσαν ἢ στρατιωτικὰς ACE στρατιωτικὰς ACEMN: στρατηγικὰς VB **15** τῶν: τῷ C

εὔνοιαν, τοῖς τε παρὰ τοῦ Νικηφόρου φυγαδευθεῖσι κάθοδον ἐπιτρέπει, καὶ πρό γε τῶν ἄλλων τοῖς ἀρχιερεῦσι, τῷ μὴ θέλειν ὑπο|γράψαι τῷ τόμῳ, ὃν εἰς κατατομὴν καὶ ὕβριν τῆς ἐκκλησίας ἐξεῦρεν ἐκεῖνος ἐξορισθεῖσιν, ὡς ἤδη φθάσας ὁ λόγος ἱστόρησεν.

2. Οὕτω δὲ τῶν πραγμάτων οἰκονομηθέντων, κατὰ τὴν αὐτὴν νύκτα πάσης ὑποψίας ἀπολυθεὶς ἄπεισι μετ' ὀλίγων ὁ βασιλεὺς εἰς τὴν μεγάλην ἐκκλησίαν, χερσὶ τοῦ πατριάρχου λαβεῖν βουλόμενος τὸ διάδημα. ὃν ἐλθόντα εἰσελθεῖν οὐκ εἴασεν ὁ Πολύευκτος, μὴ ἄξιον εἶναι φήσας ἐπιβῆναι θείου ναοῦ νεαρῷ καὶ ἀτμίζοντι ἔτι τῷ συγγενικῷ αἵματι σταζομένας τὰς χεῖρας ἔχοντα, ἀλλὰ σπεῦσαι ἔργα μετανοίας ἐνδείξασθαι, καὶ οὕτως ἐφίεσθαι πατεῖν ἔδαφος οἴκου κυρίου. τοῦ δὲ Ἰωάννου ἠπίως δεξαμένου τὴν ἐπιτίμησιν καὶ πάντα πρᾶξαι μετ' εὐπειθείας ἐπαγγειλαμένου, ἀπολογησαμένου δ', ὅτι καὶ αὐτόχειρ οὐκ αὐτὸς ἐγένετο τοῦ Νικηφόρου, ἀλλ' ὁ Βαλάντης καὶ ὁ Ἀτζυποθεόδωρος ἐπιτροπῇ τῆς δεσποίνης, ταύτην μὲν ὁ πατριάρχης προσέταττε τῶν ἀνακτόρων κατενεχθῆναι καὶ ἔν τινι νήσῳ περιορισθῆναι, ἐξοστρακισθῆναι δὲ καὶ τοὺς τοῦ Νικηφόρου αὐτόχειρας, διαρραγῆναι δὲ καὶ τὸν τόμον, ὃν ἐπὶ συγχύσει τῶν ἐκκλησιαστικῶν ὁ Νικηφόρος πραγμάτων ἐξέθετο. εὐθέως οὖν ὁ Ἰωάννης ἐκείνους τε ἐξῶσε τῆς πόλεως καὶ τὴν Θεοφανὼ ἐν Προικοννήσῳ ἐξώρισεν. ἥτις ἐκεῖθεν ὕστερον λάθρᾳ φυγοῦσα καὶ τῇ μεγάλῃ προσφυγοῦσα ἐκκλησίᾳ, διὰ τοῦ παρακοιμωμένου Βασιλείου ἐκβληθεῖσα ἐν τῷ θέματι τῶν Ἀρμενιακῶν ἐξωρίσθη εἰς τὴν παρὰ τοῦ βασιλέως νεουργηθεῖσαν μονὴν τὴν | Δαμίδειαν, ἐνυβρίσασα πρότερον εἰς τὸν βασιλέα πολλὰ καὶ ἐς τὸν Βασίλειον, Σκύθην καὶ βάρβαρον ἀποκαλέσασα καὶ κατὰ κόρρης αὐτῷ κονδύλους ἐπιτρίψασα. ἐξωρίσθη δὲ σὺν αὐτῇ καὶ ἡ ταύτης μήτηρ

cap. 2: Zon. III, 520, 14—521, 8; Glyc. 573, 21—574, 8; 27 cf. Gen. 44, 8

ACEVBMN DH **17** τε ACEVB: τότε MNDH **18** τοῖς ἀρχιερεῦσι: ἀρχιερεῦσι φυγαδευθεῖσι B τῷ pr.: τοῖς διὰ τὸ A **18/19** τῷ τόμῳ om. A **19** ἐξεῦρεν ἐκεῖνος ACEMN: ἐκεῖνος ἐξεῦρεν VB ἐξορισθεῖσιν om. B **20** ἤδη om. ACE φθάσας (φράσας B) ὁ λόγος VBMN: ὁ λόγος φθάσας ACE ἱστόρησεν: ἐδήλωσεν B **21** Οὕτω: Οὔπω B **22** ὀλίγον BE **24** ἐπιβῆναι: ἐπιμεῖναι B **25** ἔτι post νεαρῷ B **26** ἔχοντι E σπεῦσαι: σπουδάσαι A φησὶ post ἔργα add. B **29** ἀπολογισαμένου MN ὅτι — Νικηφόρου: ὅτι οὐκ αὐτὸς τοῦ Νικηφόρου αὐτόχειρ ἐγένετο A **30** ἀλλ' ὁ: ἀλλὰ M Βαλάντης AEMN: Βαλάντζης C: Ἀβαλάντης B: Ἀβαλάντην Glyc. 573, 3 et Zon. III, 520, 18 ἐπιτροπῆς B **31** ταύτην: ταύτῃ M **32** καὶ dittogr. V τοῦ: τὸν E γεγονότας post Νικηφόρου add. A **33** συγχύσει: ἀναχύσει A **34** πραγμάτων post ἐκκλησιαστικῶν ADH, post ἐξέθετο MN **35** Θεοφανῶ AB Προικονήσῳ AVBMND **36** ὕστερον om. ACE **37** Βασιλείου ἐκβληθεῖσα VBMN: ἐκβληθεῖσα Βασιλείου ACE **39** τὴν om. A Δαμίδειαν ACEVBD: Δαμήδειαν MN **40** εἰς EBMDH ἀποκαλέσασα VBMN: ἀποκαλοῦσα ACE

ἐν Μαντινείῳ. ἐνεχθεὶς δὲ ὁ τόμος ἐρράγη καὶ τῇ ἐκκλησίᾳ ἐχαρίσθη ἡ προτέρα ἐλευθερία.

3. Τούτων οὖν πραχθέντων, ὑποσχομένου δὲ τοῦ Ἰωάννου καὶ εἰς ἐξίλασμα τῆς ἁμαρτάδος πένησι διανεῖμαι, ἣν ἰδιωτεύων εἶχε περιουσίαν, ὁ Πολύευκτος ἐπιτρέπει τὴν εἴσοδον, καὶ κατὰ τὴν ἑορτὴν τῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως εἰσελθόντα τοῦτον τῷ τῆς βασιλείας ἀναδεῖ διαδήματι. πολὺν δὲ σάλον καὶ ταραχὴν ἐχούσης τῆς βασιλείας ἔν τε τῇ ἕῳ καὶ τῇ ἑσπέρᾳ (αἵ τε γὰρ ληφθεῖσαι κατὰ Κιλικίαν καὶ Φοινίκην καὶ Κοίλην Συρίαν πόλεις τῶν Ἀγαρηνῶν, μὴ σχόντος τοῦ Νικηφόρου καιρὸν τὰ κατ' αὐτὰς διαθέσθαι καλῶς καὶ ἀσφαλίσασθαι, πρὸς ἀποστασίαν ἀπέβλεπον, καὶ ἡ τῶν Ῥῶς κίνησις οὐ καλῶς πρότερον ἐπὶ Βουλγάρους μελετηθεῖσα μέγιστον ἐπέσειε τοῖς πράγμασι κίνδυνον, καὶ λιμὸς ἐπὶ πέντε ὅλους ἐνιαυτοὺς τὴν Ῥωμαίων ἐπινεμόμενος σφόδρα τὰς πόλεις ἐπίεζε) διεσκοπεῖτο καὶ ἐμερίμνα, πῶς ἂν τὰ τοιαῦτα θεραπευθείη κακὰ καὶ τὸ ἐξ αὐτῶν ἀποσκευασθείη ἐλπιζόμενον δέος. τέως δὲ τῆς πρὸς τῷ Ὀρόντῃ Ἀντιοχείας χηρευούσης ἀρχιερέως, Θεόδωρόν τινα προχειρίζεται μοναχὸν πᾶσι | κομῶντα τοῖς ἀγαθοῖς καὶ αὐτῷ προθεσπίσαντα τὴν ἀνάρρησιν, καὶ παρεγγυησάμενον μὴ ἐπισπεῦσαι, ὡς τοῦ θεοῦ μέλλοντος αὐτὸν εἰς τὸ τῆς βασιλείας ὕψος ἀναβιβάσαι, ἢ μὴν γινώσκειν, ὡς, εἰ ὀλιγώρως διατεθεὶς ἐπιταχύνει τὴν τῆς βασιλείας κατάσχεσιν, τῆς ἑαυτοῦ ψυχῆς ἐπίβουλος ἔσεται. ἀξιώσαντα δὲ καὶ τοὺς Μανιχαίους, τὴν ἕω πᾶσαν ἐπινεμομένους καὶ λυμαινομένους τῇ μεταδόσει τῆς μυσαρᾶς αὐτῶν θρησκείας, πρὸς τὴν ἑσπέραν ἀποικίσαι καὶ εἴς τινα ἐσχατιὰν ἐγκατοικίσαι πανέρημον, ὃ καὶ πεποίηκεν ὕστερον, ἀπαναστήσας τούτους καὶ τῇ Φιλιππουπόλει ἐγκατοικίσας. ἐπὶ τριάκοντα δὲ καὶ πέντε μόνας ἡμέρας μετὰ τὴν ἀναγόρευσιν καὶ ὁ Πολύευκτος ἐπιβιοὺς κατέλυσε τὴν

42 inter diem 11. et 12. mens. Dec. a. 969. iste νόμος vel τόμος a. circiter 964 promulgatus erat **46/47** a. 969 **67** a. 970

---

cap. 3: Zon. III, 521, 7—522, 7; Glyc. 574, 8/9

ACEVBMN DH **42** Μαρτινίῳ B καὶ ante ὁ add. VB **45** εἶχε περιουσίαν VBMN: εἶχεν οὐσίαν ACE **46** τοῦ ante Χριστοῦ add. C **47** τοῦ — γεννήσεως ACEMD: τοῦ υἱοῦ τοῦ θεοῦ γεννήσεως VB: αὐτοῦ θεοῦ ἡμῶν γεννήσεως N ἀναδεῖ: ἐνδὺς B **48** πολλὴν B **49** ἑσπερίῳ V τὴν ante Κιλικίαν add. MND **49/50** καὶ Κοίλην Συρίαν ACEVBD: om. MN **51** αὐτὰς ACEVB: αὐτὸν MN: αὐτῶν D **52** Ῥῶς VBMND: Ῥώς ACE Βουλγαρίᾳ B **55/56** κακὰ — δέος om. B **56** ἀποσκευασθείη VBND: ἀποσκευασθῇ M: ἀποσκεδασθείη ACE τῷ om. ACE **57** Ὀρόντην E **58** μοναχὸν om. B **60** μὴν: μὴ C **61** ἐπιταχύνει ACBMN: ἐπιταχύνῃ V: ἐπιτυγχάνῃ E **62** ἑαυτοῦ: δὲ αὐτοῦ E ἀξιώσαντος E **63** ἕω ACEVMND: ἑῴαν BH καὶ λυμαινομένους om. VB **65** ἀπαναστήσας VBMN: μεταναστήσας ACE **66** τῇ Φιλιππουπόλει: εἰς Φιλιππούπολιν A ἐγκατοικήσας EB **67** καὶ om. B

ζωήν. καὶ προχειρίζεται ἀντ' αὐτοῦ πατριάρχης Βασίλειος μοναχὸς ὁ Σκαμανδρηνός, ἐπ' ἀρετῆς τελειότητι μαρτυρούμενος. καὶ τὰ μὲν πολιτικὰ ἐφέρετο τῇδε.

4. Τῇ ἁλώσει δὲ τῆς Ἀντιοχείας καὶ τῶν λοιπῶν πόλεων, ἃς ἄνωθεν ἀπηριθμησάμεθα, περιαλγεῖς γεγονότες οἱ ἁπανταχοῦ γῆς ὄντες Σαρακηνοὶ καὶ τὰ λοιπὰ ἔθνη τὰ τὴν ὁμοίαν αὐτοῖς σέβοντα θρησκείαν, Αἰγύπτιοι, Πέρσαι, Ἄραβες, Ἐλαμῖται, καὶ οἱ τὴν Εὐδαίμονα λεγομένην οἰκοῦντες καὶ τὸ Σαβά, συμφωνήσαντες καὶ ὁμαιχμίαν θέμενοι, δύναμιν πανταχόθεν ἠθροικότες μεγάλην καὶ ἡγεμονεύειν αὐτῆς τάξαντες Καρχηδονίους, Ζώχαρ ἔχοντες ἄρχοντα, πρακτικὸν ἄνδρα καὶ τὰ ἐς πολέμους δεινόν, ὡς ἂν ἀκριβεῖς καὶ ἐπιστήμονας τῶν τε κατὰ γῆν καὶ θάλατταν ἔργων, ἐξ|ῆλθον κατὰ Ῥωμαίων, ὑφ' ἓν τὰς πάσας συναγαγόντες δυνάμεις, ἐς ἑκατὸν μαχίμων ἀνδρῶν χιλιάδας ἀριθμουμένας, καὶ τὴν κατὰ Δάφνην Ἀντιόχειαν καταλαβόντες ἐπολιόρκουν ἐπιμελῶς. γενναίως δὲ τῶν ἔνδον καὶ εὐψύχως τὴν πολιορκίαν ὑφισταμένων ἐπὶ μακρὸν ἐπετείνετο ἡ προσεδρεία. ἀγγελθείσης δὲ τῆς τῶν ἐθνῶν συνόδου τῷ βασιλεῖ γράμματα ταχέως ἐπέμποντο πρὸς τὸν στρατηγὸν Μεσοποταμίας, τὰς ἐκεῖσε κελεύοντα δυνάμεις ἀθροῖσαι καὶ βοηθῆσαι τοῖς πολιορκουμένοις. ἔπεμψε δὲ ἄρχοντα τοῦ ὅλου στρατοῦ μετὰ καὶ δυνάμεων ἄλλων τὸν πατρίκιον Νικόλαον, ἕνα ὄντα τῶν ᾠκειωμένων αὐτῷ εὐνούχων, ὃς ταῖς λοιπαῖς προσμίξας δυνάμεσι καὶ συμπλακεὶς τοῖς βαρβάροις μυριοπλασίοις οὖσιν ἐτρέψατο λαμπρῶς καὶ ἐσκέδασεν ἑνὶ πολέμῳ καὶ τὰς ὑπὸ Ῥωμαίους οὔσας πόλεις ἐν τῷ ἀσφαλεῖ κατεστήσατο.

5. Τῷ ἔθνει δὲ τῶν Ῥῶς, ὃν εἴπομεν τρόπον τὴν Βουλγαρίαν χειρωσαμένῳ, δορυαλώτους δὲ κατασχόντι καὶ τοὺς δύο υἱοὺς τοῦ Πέτρου

82 a. 970/971

cap. 4: Zon. III, 522, 7—522, 17 cap. 5: Zon. III, 522, 17—524, 8

ACEVBMN DH 69 τελειότητι: τελειότατος E 71 ἃς: ὡς B 72 ἀπαριθμησάμεθα E ἁπανταχοῦ ACEMN: ἁπανταχῇ V: πανταχῇ B 73 αὐτοῖς: αὐτῶν M 75 Σαβά AEBMN: Σαβᾶ C: Σαββᾶ V ὁμαιχμίας E 76 αὐτῆς ACEMN: αὐτοῖς VB Καρχηδόνας B 77 ἔχοντας A ἐς πολέμους ACVMND: εἰς πολέμους B: ἐν πολέμους E: ἐν πολέμοις H 77/78 ὡς — ἐπιστήμονας: ὡς ἀκριβῆ καὶ ἐπιστήμονα B 78 θάλατταν AVBMND: θάλασσαν CEH 79 συναγαγόντες ACEMN: συναγαγόντας V: καταγαγόντες B ἐς ACEVND: εἰς BMH 80 μαχίμους B ἀριθμουμένας ACEVBD: ἀριθμουμένους MN 82/83 ἐπετείνετο ἡ προσεδρεία ACEMN: ἡ προσεδρ. παρετείνετο VB 83 προσεδρεία ACEVBMN: πολιορκία DH συνόδου: ἐφόδου M 84 ἐκπέμπονται A 85 ταχὺ post βοηθῆσαι add. ACENDH 86 καὶ post δὲ add. DH 86/87 μετὰ — Νικόλαον: καὶ μετὰ δυνάμεων ἄλλων Νικόλαον πατρίκιον E τὸν πατρίκιον Νικόλαον VBMN: Νικόλαον πατρίκιον ACE 87 ᾠκειωμένων ACVMN: οἰκειωμένων E: οἰκειουμένων B 90 τῷ ἀσφαλεῖ: ἀσφαλείᾳ E 91 Ῥῶς VBMN: Ῥὼς ACE ὃν ACEVBD: ὃν ὡς MN

Βορίσην καὶ Ῥωμανόν, οὐκέτι ἦν βουλητὸν ἡ ἐπ᾿ οἴκου ὑποστροφή, ἀλλὰ τὴν τοῦ τόπου θαυμάσαντες εὐφυΐαν, μακρὰ χαίρειν εἰπόντες ταῖς πρὸς Νικηφόρον τὸν βασιλέα γενομέναις συνθήκαις, συμφέρον ἐνόμισαν ἑαυτοῖς μεῖναι κατὰ χώραν καὶ τῆς γῆς κυριεύειν. ἐνῆγε δὲ πρὸς τοῦτο πλέον αὐτοὺς καὶ ὁ Καλοκυρός, λέγων, εἰ παρ᾿ αὐτῶν ἀναγορευθῇ βασιλεὺς Ῥωμαίων αὐτός, τῆς τε Βουλγαρίας ἐκστήσεται καὶ σπονδὰς ποιήσει διηνεκεῖς, καὶ τὰς συμφωνηθείσας δοθῆναι δόσεις αὐτοῖς παρέξει πολ|λαπλασίως, καὶ συμμάχους ἕξει καὶ φίλους αὐτοὺς διὰ βίου. οἵστισι ῥήμασι χαυνωθέντες οἱ Ῥῶς τῆς τε Βουλγαρίας ὡς δορυκτήτου ἀντεποιοῦντο κτήματος, καὶ διαπρεσβευσάμενον τὸν βασιλέα καὶ ὑποσχόμενον ἐπιτελέσειν ἅπαντα τὰ τῷ Νικηφόρῳ ἐπηγγελμένα οὐ προσεδέξαντο, ἀποκρίσεις δόντες βαρβαρικῆς πεπληρωμένας ἀλαζονείας, ὡς ἀναγκασθῆναι τοῦτον διὰ μάχης κρῖναι τὰ πράγματα. γράμμασιν οὖν ἐν ὀλίγῳ τὰς ἑῴας δυνάμεις πρὸς τὴν ἑσπέραν διαβιβάσας ἄρχοντά τε αὐταῖς ἐπιστήσας, ὃν ὠνόμασε στρατηλάτην Βάρδαν μάγιστρον τὸν Σκληρόν, οὗ τὴν ἀδελφὴν Μαρίαν νόμιμον ἠγάγετο γαμετὴν ἰδιωτεύων ὁ βασιλεύς, ἔμελλεν ἔαρος ἐφισταμένου καὶ αὐτὸς ἐξορμῆσαι. οἱ Ῥῶς δὲ καὶ ὁ τούτων ἀρχηγὸς Σφενδοσθλάβος, τὴν τοῦ Ῥωμαϊκοῦ στρατεύματος ὡς ἐπύθοντο περαίωσιν, κοινοπραγήσαντες δεδουλωμένοις ἤδη τοῖς Βουλγάροις, προσειληφότες δὲ καὶ συμμάχους τούς τε Πατζινάκας καὶ τοὺς πρὸς δύσιν ἐν Παννονίᾳ κατῳκημένους Τούρκους, καὶ διὰ πάντων στρατὸν πολεμιστὴν ἠθροικότες ἐς ὀκτακισχιλίους ἐπὶ τριάκοντα μυριάσι κορυφουμένους καὶ τὸν Αἷμον διαβάντες, πᾶσαν ἐπυρπόλουν τὴν Θρᾴκην καὶ ἐληΐζοντο, πηξάμενοι παρεμβολὴν ἀγχοῦ που τῶν τειχῶν Ἀρκαδιουπόλεως, κἀκεῖσε τὴν συμπλοκὴν ἐκδεχόμενοι τοῦ πολέμου. ὁ δὲ μάγιστρος Βάρδας ὁ Σκληρὸς ὡς ᾔσθετο κατὰ πολὺ τῷ πλήθει λειπόμενος (περιΐστατο γὰρ αὐτῷ πᾶσα ἡ στρατιὰ εἰς δώδεκα χιλιάδας) στρατηγικαῖς ἔγνω ἀπάταις | τοὺς ἐναντίους περιελθεῖν καὶ τέχνῃ καὶ

1 a. 970 **11/12** circa mens. Mart. a. 970

ACEVBMN D **93** οἶκον A **94** καὶ post ἀλλὰ add. ACE τοῦ om. E **95** πρὸς τὸν βασ. Νικηφ. B τὸν ante Νικηφ. add. V γενομέναις: ἐνομέναις B **1** ἑαυτοῖς VBMN: εἶναι ACE **2** πλέον om. M **3** αὐτός, τῆς τε: αὐτοῖς τε τῆς B τὰς ante σπονδὰς add. E **4** δοθῆναι om. B **5** πολλαπλασίους B αὐτοὺς ante ἕξει VB καὶ φίλους — βίου: διὰ βίου φίλους B οἵστισι: οἷς A **6** Ῥῶς VBMN: Ῥὼς ACE τε om. M **8** τὰ om. E **9** βαρβαρικαῖς B **10** ἐν: ἐπ᾿ V **11** τῆς ante ἑῴας add. ACE αὐταῖς: ἑαυτὰς B **12** Βάρδα C **13** νομίμως E **14** Ῥῶς VBMN: Ῥὼς ACE **16** ἐπύθετο M **17** Πατζινάκας ACVMN: Πετζινάκας E: Πατζινάκους B **18** Παννονίᾳ AC: Πανονίᾳ EVBMND: Πανονίαν Zon. III, 523, 18 κατῳκημένους ACEMN: κατῳκισμένους VB **19** πολεμιστῶν A **20** ποταμὸν post Αἷμον add. A **21** πηξάμενοι παρεμβολήν: καὶ παρεμβολὴν πηξάμενοι B **22** κἀκεῖσε: ἐκεῖσε B ἐκδεχόμενοι τοῦ πολέμου: τοῦ πολ. ἐξεδέχοντο B **24** λειπόμενος: νικώμενος A πᾶσα om. B **25** στρατηγικαῖς — ἀπάταις: στρατηγικῶς ἔγνω ἅπαντας A

μηχανῇ τὰ τοσαῦτα κατεργάσασθαι πλήθη. ὃ δὴ καὶ γέγονε. συγκλείσας γὰρ ἑαυτὸν σὺν τῇ στρατιᾷ εἴσω τειχῶν, πολλὰ προκαλουμένων τῶν πολεμίων ἐξελθεῖν καὶ περὶ τῶν ὅλων διαγωνίσασθαι οὐχ ὑπήκουσεν, ἀλλ' ἐκαρτέρει ὡς τάχα δειλιάσας, βλέπων τοὺς ἀντιπάλους τὰ παρατυχόντα φέροντάς τε καὶ ἄγοντας. τοῦτο δὲ τὸ βούλευμα μεγάλην καταφρόνησιν ἐνεποίησε τοῖς βαρβάροις. οἰηθέντες γάρ, ὡς ταῖς ἀληθείαις δειλίᾳ συνεχόμενος ὁ Σκληρὸς συγκεκλεικὼς ἔχει τείχους ἔνδον τὰς Ῥωμαϊκὰς φάλαγγας, ἐπεξελθεῖν μὴ τολμῶν, ἀδεῶς τε ἐσκεδάννυντο καὶ ἀμελῶς ἐστρατοπέδευον καὶ τῆς πρεπούσης ἠμέλουν φυλακῆς, πότοις καὶ μέθαις καὶ αὐλοῖς καὶ κυμβάλοις καὶ ὀρχήσεσι βαρβαρικαῖς διανυκτερεύοντες καὶ μηδενὸς τῶν δεόντων ἐπιμελούμενοι. καιροῦ τοίνυν ἐπιτηδείου λαβόμενος ὁ Βάρδας καὶ ὅπως ἐπίθηται τοῖς ἐχθροῖς εὖ μάλα διασκοπήσας, καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν ὁρίσας καὶ λόχους καὶ ἐνέδρας νυκτὸς ἐπί τινων εὐκαιροτάτων χωρίων στησάμενος Ἰωάννην πατρίκιον τὸν Ἀλακασσέα μετά τινος ὀλίγης δυνάμεως ἐκπέμπει, προτρέχειν κελεύσας καὶ διασκοπεῖν τοὺς ἐχθροὺς καὶ θαμὰ πρὸς αὐτὸν μηνύειν καὶ ὅπη πάρεισιν ἀναδιδάσκειν, ἐπισκήψας δὲ καὶ συμμῖξαι τούτοις ἐγγίσασι καὶ ἅμα τῇ συμπλοκῇ δοῦναι τὰ νῶτα καὶ δόκησιν φευγόντων παρεσχηκέναι, μὴ ἀκρατῶς μέντοι γε φεύγειν, ὅλῳ ῥυτῆρι ἐνδόντας τοῖς ἵπποις τοὺς χαλινούς, ἀλλ' ἠρέμα καὶ μετὰ τάξεως, ὅπῃ δὲ παρείκοι, καὶ ὑποστρέφοντας συρρή|γνυσθαι τοῖς ἐχθροῖς, καὶ οὕτω ποιεῖν, μέχρις ἂν εἰς τοὺς λόχους τούτους καὶ τὰς ἐνέδρας ἐναποκλείσωσι, τότε δὲ ἀκόσμως φεύγειν καὶ προτροπάδην. τριχῇ δὲ τῶν βαρβάρων διαιρεθέντων Βούλγαροι μὲν καὶ Ῥῶς τὴν πρώτην ἀνεπλήρουν μερίδα, Τοῦρκοι δὲ καθ' ἑαυτοὺς ἦσαν μόνοι καὶ Πατζινάκαι ὡσαύτως· ἐρχόμενος οὖν ὁ Ἰωάννης συμπλέκεται τοῖς Πατζινάκαις κατὰ τύχην συνηντηκώς, καὶ ὥσπερ ἦν αὐτῷ παρηγγελμένον, προσποιεῖται φυγήν, σχολαίαν τὴν ἀναχώρησιν ποιούμενος. ἐνέκειντο δ' οἱ Πατζινάκαι τὰς ἑαυτῶν λύσαντες τάξεις, ὡς τάχα τοὺς φεύγοντας ἀφανίσοιεν ἄρδην. ἐκεῖνοι δὲ νῦν μὲν φεύγοντες μετὰ τάξεως, νῦν δ' ὑποστρέφοντες καὶ ἀμυνόμενοι ἔθεον πρὸς τοὺς

ACEVBMN DDH 26 τὰ om. EB τοσαῦτα om. E 26/27 συγκλείσας γάρ: καὶ γὰρ συγκλείσας A 27 σὺν τῇ στρατιᾷ om. VB 28 διαγωνίσεσθαι A ἐξελθεῖν dittogr. post ὑπήκουσεν add. B 30 δὲ: δὴ B μεγάλως B 31 ἐποίησε C δειλίᾳ om. E 32 συγκεκλεικὼς ACEMN: συγκεκλεισμένας VB 33 τε om. M 34 ἐστρατοπεδεύοντο A 35 καὶ pr. om. A καὶ ὀρχήσεσι βαρβαρικαῖς om. ACE 36 ἐπιμελόμενοι B 37 λαβόμενος: δραξάμενος M 39 χωρίων εὐκαιροτάτων B 40 Ἀλακασέα ABFH προτρέχειν ACEVN: προστρέχειν M: τρέχειν B 41 ὅποι B 43 τὰ om. B 44 γε om. B ἐνδόντα B 45 παρείκοι CMN: παρήκοι AEVB: παρείκει D ὑποστρέφοντα B 47 ἀποκλείσωσι B καὶ ante ἀκόσμως add. E 49 Ῥῶς VBMN: Ῥὼς ACE ἀνεπλήρουν AEMN: ἐπλήρουν VB: ἐνεπλήρουν C 50 Πατζινάκοι B 51 Πατζινάκοις συνηντηκὼς κατὰ τύχην B 52 τε post σχολαίαν add. B 53 δ' VBMND: δὲ ACEH Πατζινάκαι AEVMN: Πατζινάκαις C: Πατζινάκοι B 54 ἀφανίσειεν BDH

λόχους. ἐπεὶ δὲ καὶ ἐς μέσους ἐγένοντο τούτους, τότε δὴ ἀνέντες τοὺς χαλινοὺς ἀκρατῶς ἔφευγον, καὶ οἱ Πατζινάκαι διεκχυθέντες ἀτάκτως ἐδίωκον. ἐπιφανέντος δ' ἐξαίφνης τοῦ μαγίστρου μετὰ παντὸς τοῦ στρατοῦ, τῷ ἀπροσδοκήτῳ καταπλαγέντες τὴν μὲν δίωξιν ἐπέσχον, οὐ μήν γε καὶ ἐς φυγὴν ἀπεῖδον, ἀλλ' ἔμενον, ἥν τις ἐπίοι δεξόμενοι. μετὰ σφοδρᾶς δὲ ῥύμης τῶν περὶ τὸν μάγιστρον συμπεσόντων αὐτοῖς, καὶ τῆς λοιπῆς φάλαγγος ὄπισθεν ἐρχομένης μετ' εὐκοσμίας καὶ τάξεως, πίπτουσιν εὐθὺς οἱ ἀλκιμώτεροι τῶν Σκυθῶν. καὶ κατὰ βάθος τῆς φάλαγγος σχισθείσης ἐς μέσους ἐμπίπτουσιν οἱ Πατζινάκαι τοὺς λόχους, τῶν κεράτων συνελθόντων ἀλλήλοις καὶ κύκλωσιν ἀποτελεσάντων. ἐπ' ὀλίγον οὖν ἀντισχόντες ἐνέκλιναν καὶ πάντες σχεδὸν κατεκόπησαν. |

6. Οὕτω δὲ τούτους τρεψάμενος ὁ Βάρδας καὶ διὰ τῶν αἰχμαλώτων μαθών, ὡς καὶ οἱ λοιποὶ ἀκμῆτες ὄντες προσμένουσι συντεταγμένοι τὸν πόλεμον, τρέπεται τὴν ταχίστην πρὸς ἐκείνους. ἄρτι δ' ἐκεῖνοι τὸ τῶν Πατζινάκων ἐγνωκότες ἀτύχημα κατεκλάσθησαν τὰς ψυχὰς τῷ ἀδοκήτῳ τῆς συμφορᾶς. ὅμως παρακαλέσαντες ἑαυτοὺς καὶ τοὺς ἐκ τῆς φυγῆς σκεδασθέντας ἀνακαλεσάμενοι προσβάλλουσι τοῖς Ῥωμαίοις, οἱ μὲν ἱππεῖς προδραμόντες, οἱ δὲ πεζοὶ κατόπιν ἐρχόμενοι. ὡς δὲ καὶ κατὰ τὴν πρώτην προσβολὴν ἀνεκόπησαν οἱ ἱππεῖς τὰς ὁρμὰς ὑπὸ Ῥωμαίων ἀνυποστάτων φανέντων, ἐκκλίναντες εἰς τοὺς πεζοὺς συνηλάθησαν. ἐκεῖσε δὲ πάλιν γενόμενοι ἀνελάμβανον ἑαυτοὺς καὶ τοὺς Ῥωμαίους ἐπερχομένους προσέμενον. καὶ ἦν μὲν ἄχρι τινὸς ἡ μάχη ἀγχώμαλος, ἕως οὗ Σκύθης τις μεγέθει σώματος καὶ ἀνδρείᾳ ψυχῆς ἐπαιρόμενος τῶν ἄλλων ὑπερπηδήσας ἐπ' αὐτὸν τὸν μάγιστρον φέρεται παριππεύοντα καὶ τὰς τάξεις παραθαρρύνοντα, καὶ ξίφει παίει κατὰ τοῦ κράνους. τοῦ δὲ ξίφους περιολισθήσαντος ἄπρακτος ἐγένετο ἡ βολή. τοῦτον δὲ ὁ μάγιστρος ξίφει παίει κατὰ τοῦ κράνους. βάρει δὲ τῆς χειρὸς καὶ βαφῇ τοῦ σιδήρου οὕτω γέγονεν ἐνεργὸς ἡ πλῆξις, ὡς δίχα ὅλον διατμηθῆναι τὸν Σκύθην. καὶ Κωνσταντῖνος δὲ πατρίκιος ὁ τοῦ μαγίστρου ἀδελφὸς

cap. 6: Zon. III, 524, 8—525, 3

ACEVBMN DH 56 εἰς B 57 Πατζινάκοι B 59 τῷ — καταπλαγέντες om. ACE ἀπροσδοκήτῳ VBD: ἀδοκήτῳ MNH 60 μήν γε: μὴν δὲ B εἰς EVBDH 61 δὲ om. B 62 ὄπιθεν CEVB 63 εὐθὺς οἱ: ὡς B **64** Πατζινάκοι B 66 ἔκλιναν C 69 ἄρτι δ' ἐκεῖνοι VBMN: κἀκεῖνοι AC: κἀκεῖνο E 70 Πατζινάκων VBMN: Πατζινακῶν ACE τὰς ψυχὰς om. B τῷ dittogr. C 71 παρακαλέσαντες: παρασκευάσαντες B 73 προδραμόντες VN: προσδραμόντες ACEB: om. M καὶ om. B 77 προσερχομένους C μὲν ἄχρι: μέχρι B ἀγχώμαχος E 78 ἀνδρείᾳ VBMN: ἀνδρίᾳ ACE 80 κρανίου AC 81 περιολισθήσαντος ACEMN: παρολισθήσαντος VB δέ: δ' αὖθις B 83 οὕτως VB ἐνεργὴς M 83/84 ὡς — Σκύθην: διχῆ τὸν Σκύθην δι' ὅλου τμηθῆναι B 84 ὁ ante πατρίκιος add. B

τῷ ἀδελφῷ βοηθῶν ἕτερον Σκύθην συναιρόμενον τῷ ῥηθέντι καὶ ἰταμώτερον φερόμενον παῖσαι κατὰ τῆς κεφαλῆς ἐσπούδασεν. ἐκείνου δ' ἐπὶ θάτερα κλίναντος ἑαυτὸν διαμαρτήσας ὁ Κωνσταντῖνος κατα|φέρει τὸ ξίφος εἰς τὸν αὐχένα τοῦ ἵππου καὶ ἀποτέμνει τοῦ τραχήλου τὴν κεφαλήν. πεσόντος δὲ τοῦ Σκύθου, ἀποβὰς τοῦ ἵππου καὶ τῇ χειρὶ τῆς γενειάδος δραξάμενος ἀποσφάττει τοῦτον. τοῦτο τὸ ἔργον Ῥωμαίους μὲν ἐπέρρωσε καὶ θαρραλεωτέρους ἐποίησε, δειλίας δὲ καὶ φόβου τοὺς Σκύθας ἐνέπλησε. καὶ ταχὺ ἐπιλελησμένοι ἀλκῆς τὰ νῶτα δεδώκασι καὶ ἀσέμνως καὶ μετὰ πολλῆς ἔφευγον ἀκοσμίας. εἵποντο δὲ οἱ Ῥωμαῖοι, καὶ ἅπαν τὸ πεδίον νεκρῶν ἐμπεπλήκασιν. ἥλωσαν δὲ καὶ ζωγρίαι τῶν πεσόντων πλείους. ἐγένοντο δὲ καὶ πλὴν ὀλίγων πάντες οἱ περιλειφθέντες τραυματίαι. καὶ οὐδεὶς ἂν διέδρα τὸν κίνδυνον, εἰ μὴ νὺξ ἐπιγενομένη ἐπέσχε τῆς διώξεως τοὺς Ῥωμαίους. καὶ τῶν μὲν βαρβάρων ἐκ τοσούτων μυριάδων ὀλίγοι παντελῶς διεγένοντο, Ῥωμαῖοι δὲ ἔπεσον ἐν τῇ μάχῃ εἴκοσι καὶ πέντε, τραυματίαι δ' ἐγένοντο ὁμοῦ τι σύμπαντες.

7. Οὔπω τέλος εἶχε τῷ Σκληρῷ τὰ τοῦ Σκυθικοῦ πολέμου, οὐδὲ προσεγένετο τοῖς Ῥωμαίοις τὸν ἐκ τῆς μάχης ἀποπλύνασθαι λύθρον, καὶ γράμματα ἐφοίτων βασιλικὰ μετάκλητον ποιοῦντα ἐς βασιλέα τὸν μάγιστρον. ὃν ἀφικόμενον ἐς τὴν Ἀσίαν περαιωθῆναι κελεύει τὰ πρὸς τὸν προκείμενον ἀρκοῦντα ἀγῶνα εἰληφότα στρατεύματα. ἔτυχε γὰρ Βάρδας ὁ Φωκᾶς ἀποδρὰς ἐξ Ἀμασείας, ἣν οἰκεῖν κατεκέκριτο, μετὰ συγγενῶν καὶ φίλων καὶ συνήθων, μεθ' ὧν ἀφανῶς συνωμόσατο τὴν ἐν Καππαδοκίᾳ καταλαβεῖν Καισάρειαν, κἀκεῖσε ἑταιρικὸν οὐκ ὀλίγον ἀθροίσας, ὧν ἦσαν ἔξαρχοι οἱ τοῦ πατρικίου Θεοδούλου παῖδες τοῦ Παρσακουτηνοῦ Θεόδωρος καὶ Νικηφόρος καὶ τις πατρίκιος ἄλλος

7 autumno a. 970 10 fortasse autumno a. 970

cap. 7: Zon. III, 525, 3—527, 4

ACEVBMN DH 85 τῷ ἀδελφῷ om. C καὶ αὐτὸς ante Σκύθην add. ACE 88 ἀποτέμνει CVBMN: ἀποτέμει E: ἀποκόπτει A 89 πεσόντος — ἀποβάς: πεσόντος δὲ τοῦ ἵππου καὶ τοῦ Σκύθου σὺν αὐτῷ, ἀποβὰς A Σκύθους B 90 ἐκείνου ante γενειάδος add. B τοῦτον om. ACE 91/92 δειλίας — ἐνέπλησε VBMN: δειλίας δὲ τοὺς Σκύθας καὶ φόβου ἐνέπλησε ACE 92 καὶ om. B 93 καὶ ἀσέμνως om. B οἱ om. ACE 95 δὲ — περιλειφθέντες: δὲ πλὴν ὀλίγων καὶ οἱ περιλειφθέντες ἅπαντες B 2 μὲν om. B 3 δ' B 4 δὲ VB ὁμοῦ om. A τι om. AEBMNFH σύμπαντες CMNDH: πολλοί A: τριακόσιοι δέκα σύμπαντες E: τριάκοντα πάντες B: πάντες V 5 δὲ post οὔπω add. B 6 τῶν … ἀποπλύνεσθαι λύθρων C 7 καὶ om. V ἐφοίτων ACEMN: ἐφοίτα VB 8 εἰς BM 9 ἀγῶνα ἀρκοῦντα AB στρατεύματος C 10 Ἀμασίας EB κατεκέκριτο A: κατακέκριτο CEVH: κατακέκριται BMND 11 τῶν ante συγγενῶν add. B φίλων καὶ συνήθων ACEMN: συνήθων καὶ φίλων VB καὶ post συνωμόσατο add. B 12 ἐκ Καππαδοκίας E ἑταιριακὸν B 13 συναθροίσας A 14 Παρσακουτηνοῦ ACV: Παρσακουτν̄ ND: Παρσακουντινοῦ B: Παρσακουληνοῦ E: Παρσακουτανοῦ M ἄλλος πατρίκιος A

Συμεὼν ὁ Ἀμ|πελᾶς, διάδημα περιθεὶς ἑαυτῷ καὶ τὰ λοιπὰ τῆς βασιλείας ἀνειληφὼς γνωρίσματα ἀποστασίαν κατὰ τοῦ βασιλέως κινῆσαι, τοῦ πατρὸς αὐτοῦ Λέοντος τοῦ κουροπαλάτου τοὺς μὲν ἀναπείσαντος δώροις εἰς τοῦτο, τοὺς δὲ ὑποσχέσεσιν ἀξιωμάτων καὶ κτήσεων, ὑπηρέτῃ πρὸς τοῦτο χρησαμένου τῷ τῆς Ἀβύδου ἐπισκόπῳ. ἐβούλετο δὲ καὶ αὐτὸς ἐκ τῆς Λέσβου διαπερᾶν λάθρᾳ σὺν τῷ υἱῷ Νικηφόρῳ εἰς τὰ ἐπὶ Θρᾴκην χωρία. γνωσθέντος δὲ τούτου τῷ βασιλεῖ, ἐπεὶ καὶ ὁ ἐπίσκοπος συνειλημμένος καὶ τοὺς ἐλέγχους οὐχ οἷός τε ὢν διαδιδράσκειν πάντα ἐξοῖσεν εἰς τοὐμφανές, παρεδόθη τοῖς δικασταῖς ὁ κουροπαλάτης, καὶ ὑπὸ πάντων τούτων προστιμᾶται τεθνάναι σὺν τῷ υἱῷ. ἐπιεικέστερον δὲ χρησαμένου τοῦ βασιλέως, ἀειφυγίᾳ καὶ τῶν ὀμμάτων πηρώσει καὶ ἄμφω καταδικάζονται, λεληθότως, ὡς λέγεται, τοῦ βασιλέως παραγγείλαντος τοῖς δημίοις μηδαμῶς τὰς ὄψεις τούτων λωβήσασθαι, ἀλλὰ δόκησιν μὲν παρασχεῖν ἐκτυφλώσεως, ἔργῳ δ' ἐᾶσαι τούτους τὸ οἰκεῖον ἀποφέρεσθαι φῶς, ἀποκρύψαι δὲ καί, ὅτι προστεταγμένον ἦν τοῦτο παρὰ τοῦ βασιλέως, ἑαυτοῖς δὲ τὸ ἔργον ἀναθέσθαι, ὡς τάχα φιλανθρωπευσαμένοις καὶ χαρισαμένοις τὸ βλέπειν αὐτοῖς. καὶ τὰ μὲν περὶ τοῦ κουροπαλάτου ἐς τοῦτο ἐτελεύτα. διαβὰς δὲ ὁ Σκληρὸς τὴν Ἀσίαν κἀν τῷ Δορυλαίῳ γενόμενος πρῶτον μὲν ἀπεπειρᾶτο τοῦ Φωκᾶ καὶ τῶν τούτῳ συναιρομένων, εἴ πως δυνηθείη αὐτοὺς ἀγαθῶν ὑποσχέσεσιν ἀποστῆναι πεῖσαι τῶν βεβουλευμένων (καὶ γὰρ δὴ καὶ παραγγελίαν εἶχεν ἐκ βασιλέως, ὡς ἀνυστὸν ἀγωνίσασθαι ἐμφυλίου αἵματος καθαρὰς διατηρῆσαι | τὰς χεῖρας)· ὡς δ' ἀνηνύτοις ἔγνω ἐπιχειρῶν (ἐθρασύνοντο γὰρ μᾶλλον, ἢ ἐχαυνοῦντο ταῖς πρεσβείαις οἱ ἀποστάται), ἔργου ἤδη ἅπτεσθαι ἔκρινε, καὶ τὸν στρατὸν ἀγείρας ἀπῄει πρὸς τὴν Καισάρειαν. ὅπερ οἱ σὺν τῷ Φωκᾷ ἐγνωκότες, καὶ τὸ ἐπ' ἀδήλοις ἐλπίσιν ὀχεῖσθαι ἐάσαντες καὶ τὰ ἐν χερσὶ προτιμήσαντες, τὰς ἐκ τοῦ βασιλέως διδομένας αὐτοῖς δωρεὰς δεξάμενοι νυκτὸς ἐπιγενομένης αὐτομολοῦσι πρὸς τὸν Σκληρόν, πρῶτος μὲν ὁ Διογένης Ἀδράλεστος, εἶτα καὶ ὁ Ἀμπελᾶς καὶ οἱ τοῦ Θεοδούλου παῖδες, οἱ καὶ τὸ πᾶν τῆς ἀποστασίας προκαταρτύσαντες

ACEVBMN D **15** τε post διάδημά add. B **16** κινῆσαι: ἐκίνησε B **17** αὐτοῦ: τοῦ V κουροπαλάτι M ἀναπείσαντας C **18** καὶ ante ὑποσχέσεσιν add. VB **20** διαπερᾶν λάθρᾳ ACEMN: λάθρᾳ διαπερᾶν VDH: λάθρᾳ διαπεράσαι B τὰ ἐπὶ ACEV: τἀπὶ MND: τὴν ἐπὶ B Θρᾴκης E **21** χωρία VBMN: πεδία ACE **22/23** ἐλέγχους — τοὐμφανές: ἐλέγχους διαδρᾶναι οὐχ οἷός τε ὢν πάντα εἰς τοὐμφανὲς ἐξήνεγκε B **22** ὢν: ἦν A **24** προστιμᾶται CEVH: προτιμᾶται ABMND τούτοις ante χρησαμένου add. B **25** ἀειφυγίαν A πήρωσιν A **27** τούτων: τούτοις B **28** δὲ M **29** καί om. B **31** περὶ om. E τοῦ: τὸν VB κουροπαλάτου ACEN: κουροπαλατ' D: κουροπαλάτι M: κουροπαλάτην VB **32** εἰς B διαβὰς — Σκληρός: ὁ δὲ Σκληρὸς διαβὰς B εἰς ante τὴν add. VB **33** ἐπειρᾶτο B **34** εἴ πως: ὅπως B **36** ἀνυστὸν: οἷόν τε B **37** ἀνηνύτοις: ἀνοήτοις A ἐθαρσύνοντο A **41** τοῦ om. VB διδομένας ACEVBD: δεδομένας MN αὐτοῖς om. AB **43** πρῶτον M **44** καταρτύσαντες B

καὶ ἐφεξῆς τὸ λοιπὸν ἅπαν πλῆθος, ὡς μόνον ἀθρόον μετὰ τῶν ἑαυτοῦ θεραπόντων περιλειφθῆναι τὸν Φωκᾶν. πάσης δὲ βοηθείας ἔρημος οὗτος ἀπολειφθεὶς καὶ ἀνίᾳ βαπτισθεὶς καὶ λύπῃ κατὰ τῶν παρακινησάντων, εἶτα προδεδωκότων, κατηνέχθη πρὸς ὕπνον ἤδη νυκτὸς ἐπιστάσης. ἔδοξεν οὖν ὑπνώττων ἀγανακτεῖν καὶ ἀλύειν καὶ περὶ τῶν ἀδικησάντων διαλέγεσθαι τῷ θεῷ· 'δίκασον κύριε', λέγων, 'τοὺς ἀδικοῦντάς με'. ἐν ᾧ δὲ ἔμελλε καὶ τὰ ἑπόμενα εἰπεῖν τοῦ ψαλμοῦ, ἤκουσε φωνῆς λεγούσης μὴ περαιτέρω προβῆναι. ἔφθασε γὰρ ὁ Σκληρὸς προειληφέναι τὸ ἐπίλοιπον τῆν ᾠδῆς. διαναστὰς οὖν σύντρομος, ὡς ἔγνω πάσης ἐλπίδος ὠλισθηκώς ὡς εἶχεν ἐξιππασάμενος μετὰ τῶν περὶ αὐτὸν πρὸς τὸ φρούριον ἔφευγε τὸν Τυροποιόν. γνωσθέντος δὲ τοῦ δρασμοῦ τῷ μαγίστρῳ Βάρδᾳ τῷ Σκληρῷ, ἱππεῖς ἀπεστέλλοντο εὔζωνοι καταταχῆσαι καὶ καταλαβεῖν αὐτὸν πρὸ τοῦ εἰς τὸ φρούριον εἰσελθεῖν. οἵτινες συντόνῳ | χρησάμενοι τῇ διώξει καταλαμβάνουσιν αὐτὸν κατὰ τὸ πεδίον καὶ μέλλοντα ὅσον οὐδέπω ταῖς τοῦ φρουρίου προσεγγίζειν ὑπωρείαις. εἷς δὲ τούτων τόλμῃ προφέρων τῶν ἄλλων καὶ γενναιότητι, τοὔνομα Κωνσταντῖνος, Χάρων τὴν προσηγορίαν, τοὺς ἄλλους κατόπιν λιπὼν μετὰ συντονίας ἐπήρχετο τῷ Φωκᾷ, ὄπισθεν οὐραγοῦντι τῶν ἑαυτοῦ, καὶ ἥν τις ἐπίῃ δέξασθαι προθύμως παρεσκευασμένῳ. τοῦτον πόρρωθεν ἰδὼν καὶ γνωρίσας ὁ Χάρων ὕβρεσιν ἀσέμνοις καὶ ἀπρεπέσιν ἔβαλλεν, ἀγεννῆ καὶ ἄνανδρον ἀποκαλῶν, καὶ προσμένειν κελεύων μικρόν, ὥστε τὰ γέρα τῆς ἀποστασίας λαβεῖν. ὁ δὲ τῶν ὕβρεων ἐπακούων, καὶ ὅστις ὁ λέγων μὴ ἀγνοήσας, ἐπισχὼν τὸν χαλινὸν καὶ πρὸς ἐκεῖνον ἐπιστραφείς· 'ἔδει σε, ὦ ἄνθρωπε,' ἔφη, 'τὸ ἀστάθμητον λογισάμενον τῆς τῶν ἀνθρώπων τύχης μὴ προσονειδίζειν, μηδ' ἐπεμβαίνειν ἀνθρώπῳ ταῖς ἐξ αὐτῆς ἐπηρείαις ἠναγκασμένῳ, ἀλλ' οἰκτείρειν μᾶλλον καὶ ἐλεεῖν τὸν δυστυχοῦντα ἐμέ, πατέρα μὲν ἐσχηκότα κουροπαλάτην, πάππον καίσαρα, θεῖον βασιλέα, δοῦκα δὲ καὶ αὐτὸν γεγονότα καὶ τοῖς ἀνωτάτω συναριθμηθέντα, νυνὶ δὲ ἐσχάτοις κακοῖς ὑποβεβλημένον καὶ ἀκληρή-

50 Ps. 34, 1

ACEVBMN D 45/46 ὡς — Φωκᾶν: ὡς τὸν Φωκᾶν μόνον ἀθρόον μετὰ τῶν αὐτοῦ θεραπόντων περιληφθῆναι B 45 ἀθρόως C 46 οὗτος ἔρημος VB 47 παρακινησάντων: παρακολουθησάντων αὐτόν B 49 ἀγανακτῶν M 50 με om. B 52 προειληφέναι post 53 ἐπίλοιπον A 53 σύνδρομος A 55 ἔφευγε VMN: ἔφυγε AMN: ἔφθασε B τὸ Πυροποιόν B 55/56 μαγίστρῳ B τῷ om. B 56 ἀποστέλλονται B 57 καταλαβεῖν ACEMN: κατασχεῖν VB συντόμῳ B 58 καὶ om. B 59 μέλλοντος E οὐδέπω VMND: οὔπω ACEB 62 ἐπέρχεται B τῷ: τὸν E ὄπιθεν VBMND οὐραγοῦντι VBMN: οὐραγοῦντα ACE 63 ἣν: ἂν B ἐπίῃ: ἐπίοι B 64 ἔβαλλεν CVMN: ἔβαλλε A: ἔβαλεν E 65 τε post ἀγεννῆ add. A 70 μᾶλλον καὶ ἐλεεῖν: καὶ ἐλεεῖν μᾶλλον E 71 δυστυχοῦντά με B 72 ἀνωτάτω: ἄνω A 73 ἐσχάτοις — ὑποβεβλημένον: ἐσχάτοις περιβληθέντα κακοῖς M ἀκληρήμασι CEVMN: ἀκληρώμασι A: δυσκληρήμασι B

μασι.' τοῦ δέ· 'καλὰ ταῦτα, ὦ κακὴ κεφαλή, λέγεσθαι πρὸς παῖδας τοὺς δυναμένους ἀπατηθῆναι, ἐμὲ δὲ οὐ φενακίσεις τοῖς τοιούτοις σου λογυδρίοις', καὶ τὸν ἵππον μυωπίζοντος καὶ θρασύτερον προσιόντος, σπασάμενος ὁ Φωκᾶς τὴν ἐν τῇ ἐφεστρίδι παρῃωρημένην κορύνην καὶ ὑπαντιάσας παίει τοῦτον κατὰ τοῦ κράνους. καὶ αὐτὸν μὲν ἀποδείκνυσι νεκρὸν παραυ-| τίκα, ἐμποδίσαι μὴ δυνηθείσης τῆς κόρυθος τῇ βίᾳ τῆς πληγῆς, ἐκεῖνος δὲ ἀποστρέψας τὸν χαλινὸν εἴχετο τῆς ὁδοῦ. οἱ δὲ διώκοντες κατόπιν ἐρχόμενοι καὶ ἔνθα ὁ Χάρων τεθνηκὼς ἔκειτο γενόμενοι, καὶ τῷ ἀνυποστάτῳ τοῦ πτώματος ἐκπληττόμενοι πάντες ἵστων τὴν δίωξιν, μηδενὸς τολμῶντος προσωτέρω ἰέναι. καὶ οὕτως ἀδείας λαβόμενος ὁ Φωκᾶς ἄνεισιν εἰς τὸ φρούριον. παρεγένετο μετὰ ταῦτα καὶ ὁ Σκληρός, συνεχῶς πρὸς ἐκεῖνον πέμπων, καὶ κήδεσθαι μεθ' ὅρκων γράφων ὡς κηδεστοῦ (νύμφην γὰρ ἐπὶ τἀδελφῷ Κωνσταντίνῳ τὴν ἐκείνου εἶχεν ἀδελφὴν Σοφίαν) καὶ συμβουλεύων προσχωρῆσαι τῷ βασιλεῖ καὶ τὴν ἑαυτοῦ διὰ τῆς αὐτομολίας συμπάθειαν ἐπισπάσασθαι. ὅρκους λαβών, ὡς οὐδέν τι πείσεται φλαῦρον, παραδίδωσιν ἑαυτὸν τῷ Σκληρῷ σὺν τοῖς συνοῦσιν αὐτῷ. ὃν μηδὲν ἄλλο παθόντα κακόν, μόνον δὲ γενόμενον κληρικὸν ἐν τῇ νήσῳ Χίῳ ὑπερορίζει ὁ βασιλεύς. τὸν δὲ Σκληρὸν εὐζώνως μετὰ τῶν κούφων ταγμάτων διαβῆναι πάλιν κελεύει πρὸς τὴν ἑσπέραν.

8. Ἄγεται δὲ ἑαυτῷ γυναῖκα ὁ Ἰωάννης Θεοδώραν τὴν ἀδελφὴν Ῥωμανοῦ, θυγατέρα δὲ τοῦ Πορφυρογεννήτου Κωνσταντίνου. καὶ ταύτῃ τῇ πράξει μεγάλως εὔφρανε τοὺς πολίτας, ὡς τὸ τῆς βασιλείας κράτος περιφυλάττων τῷ γένει.

9. Δευτέρῳ δὲ ἔτει τῆς βασιλείας αὐτοῦ μέλλων ἐκστρατεύειν κατὰ τῶν Ῥῶς τά τε στρατεύματα φιλοτιμίαις ἀνελάμβανε, καὶ | στρατη-

94 mense Nov. a. 970 3 vere a. 971

---

cap. 8: Zon. III, 527, 5—527, 7 cap. 9: Zon. III, 527, 7—529, 10

ACEVBMN DH 76 ἐπιόντος A 77 παρεωρημένην C ὑπαντήσας AB 79 ἐκείνου B 81 τεθνηκὼς — γενόμενοι: ἔκειτο γενόμενοι τεθνηκώς V: ἔκειτο τεθνηκὼς γενόμενοι B 86 τἀδελφῷ BMN: τῷ ἀδελφῷ ACED: τἀδελφῇ V Κωνσταντίνου V 87 ἑαυτοῦ: αὐτοῦ B 88 αὐτομολίας CEVMN: αὐτομόλου B: αὐτοβουλίας A οὖν post ὅρκους add. B 89 τι post φλαῦρόν M φλαῦρον: φαῦλον EB ἑαυτὸν: ἑαυτῷ B 90 συνοῦσιν αὐτῷ VBMN: ὑπ' αὐτὸν ACE 91 ὑπερορίζει ACEMND: περιορίζει VB Zon. III, 527, 2 92 πάλιν om. VB 94 δ' AEB ἑαυτῷ: αὐτῷ CB 1 πράξει: τάξει A ηὔφρανε E βασιλείας: βασιλέως V 3 Δευτέρῳ — ἔτει VBMN: Ἐν δὲ τῷ δευτέρῳ (β' CE) ἔτει ACE αὐτοῦ βασιλείας B 4 Ῥὼς ACE

γοὺς ἐφίστα ἐπὶ συνέσει καὶ ἐμπειρίᾳ στρατηγημάτων βεβοημένους, καὶ τῶν ἄλλων ἐπεμέλεῖτο παρασκευῶν, ἵνα μηδενὸς σπανίζοι τὸ στράτευμα. ἐπεμελήθη δὲ καὶ τοῦ στόλου διὰ Λέοντος τοῦ μετὰ ταῦτα πρωτοβεστιαρίου, δρουγγαρίου τότε τῶν πλωΐμων τυγχάνοντος, τὰ μὲν παλαιὰ ἐπισκευάσας, κατασκευάσας δὲ καὶ ἄλλα καινὰ καὶ στόλον ἀξιόλογον καταστησάμενος. ἐπεὶ δὲ πάντα καλῶς εἶχεν αὐτῷ ἔαρος ἐπιστάντος, τῷ θεῷ τὰ ἐξιτήρια θύσας καὶ συνταξάμενος τοῖς πολίταις ἔξεισι τῆς βασιλίδος. γενομένῳ δ' αὐτῷ κατὰ τὴν Ῥαιδεστὸν δύο συναντῶσι πρεσβευταὶ τῶν Σκυθῶν, τῷ δοκεῖν μὲν πρεσβείαν ἀποπληροῦντες, ἔργῳ δὲ τὰ Ῥωμαίων ἐλθόντες κατασκοπῆσαι πράγματα. οὓς ὀνειδίζοντας καὶ ἄδικα πάσχειν ἐπιβοωμένους προσέταξεν ὁ βασιλεὺς περιελθεῖν ἅπαν τὸ στρατόπεδον καὶ θεωροὺς γενέσθαι τῶν τάξεων (οὐδὲ γὰρ ἠγνόησε τῆς ἀφίξεως τὴν αἰτίαν), περιελθόντας δὲ καὶ πάντα κατασκοπήσαντας ἀπαλλάττεσθαι παρεκελεύετο καὶ τῷ σφῶν ἡγουμένῳ λέγειν, ὡς μετὰ τοιαύτης εὐκοσμίας καὶ πειθηνίου λαοῦ ὁ Ῥωμαίων βασιλεὺς ἔρχεται ὠχυρωμένος πολεμήσων αὐτῷ. καὶ τοὺς μὲν πρεσβευτὰς ὑποχωρῆσαι πεποίηκεν οὕτως, αὐτὸς δὲ κατόπιν εὐζώνους λαβών, πεζοὺς μὲν ἀμφὶ τὰς πέντε χιλιάδας, ἱππεῖς δὲ ἐς τετρακισχιλίους, τὸ δὲ λοιπὸν ἅπαν πλῆθος σχολαίως ἕπεσθαι κελεύσας μετὰ Βασιλείου τοῦ παρακοιμωμένου, τὸν Αἶμον διαβὰς ἀπρόοπτος ἐς τὴν πολεμίαν ἐσβάλλει καὶ ἐγγὺς τῆς πόλεως τῆς μεγάλης Περσθλάβας, ἥτις εἶχε τὰ τῶν Βουλγάρων βασίλεια, τὴν στρατοπεδείαν ἐπήξατο. τοῦτο αἰφνι|δίως γενόμενον τοὺς μὲν Σκύθας εἰς ἔκστασιν καὶ ἀμηχανίαν ἐνέβαλε, Καλοκύρης δὲ ὁ τῶν παρόντων κακῶν πρωτουργός τε καὶ αἴτιος μηδὲ τὴν τῆς σάλπιγγος ἠχὴν ἐνωτίσασθαι καρτερήσας (ἔτυχε γὰρ καὶ οὗτος ἐκεῖσε ἐνδιατρίβων), ἐπείπερ ᾔσθετο τὸν βασιλέα παραγενέσθαι αὐτὸν αὐτουργὸν ἐσόμενον τοῦ πολέμου, λάθρᾳ τοῦ ἄστεος ὑπεκδὺς πρὸς τὴν παρεμβολὴν ἀποδιδράσκει τῶν Ῥῶς. ὃν ἰδόντες οὗτοι καὶ τὴν τοῦ βασιλέως πυθόμενοι ἄφιξιν ἐς ταραχὴν οὐ μετρίαν ἐνέπιπτον. ἀναλαβόντες δ' ὅμως ἑαυτούς, τοῦ Σφενδοσθλάβου πολλὰ παραινετικὰ ῥήματα καὶ

ACEVBMN D 5 τῶν ante στρατηγημάτων add. B 6 σπανίζει CB 8 τυγχάνοντος: ὑπάρχοντος B 9/10 καταστησάμενος ἀξιόλογον A 12 δὲ E 13 τῶν Σκυθῶν πρεσβευταί A τῷ ACEVB: τὸ MND 14 ἐλθόντας A 16 τάξεων: πράξεων E 17 ἠγνόησε — αἰτίαν: ἠγνόησε τὸν τρόπον τῆς ἀφίξεως E πάντας AB 18 παρεκελεύσατο B τῷ: τῶν EB ἡγουμένῳ ACVMN: ἡγουμένων E: ἡγεμόνι B 20 ἔρχεται ὠχυρωμένος ACEN: ὠχ. ἔρχ. VB ἔρχεται — αὐτῷ: ἔρχ. πολεμ. αὐτῷ ὠχ. M 21 οὗτος E 22 μὲν om. B δὲ ἐς om. B 24 καὶ ante τὸν add. B εἰς B πολεμίαν: βασιλείαν C εἰσβάλλει B 25 Πρισθλάβας A γενόμενος post Περσθλ. add. M τῶν om. VB Βουλγαρίας B 26 τοῦτο — γενόμενον: ἀλλ' οὗτος μὲν αἰφνιδίως ἐκεῖσε γενόμενος A 27 μὲν om. A ἐνέβαλλε V Καλοκύρις EB 28 τὴν om. B 29/30 ἔτυχε — ἐνδιατρίβων VBMN: ἐκεῖσε γὰρ καὶ οὗτος ἔτυχεν ἐνδιατρίβων ACE 30 παραγενέσθαι om. VB 31 ἐσόμενον: γενόμενον (i. m. ἐσόμενον) E 32 ἀποδιδράσκων B Ῥῶς ACE

τῷ καιρῷ δημηγορήσαντος πρόσφορα, ἀφικνοῦνται καὶ παραστρατοπεδεύουσι τοῖς Ῥωμαίοις. τέως δὲ τὸ συνὸν τῷ βασιλεῖ στράτευμα εἰς τὸ πρὸ τῆς πόλεως πεδίον παραγενόμενοι αἰφνιδίως μηδὲν προσδοκοῦσι τοῖς πολεμίοις ἐμπίπτουσι, καταλαμβάνουσι δὲ ἔξω τειχῶν τὴν ἐνόπλιον παιδείαν γυμναζομένους ἄνδρας εἰς ὀκτακισχιλίους καὶ πεντακοσίους ἀριθμουμένους, οἵτινες ἐπὶ χρόνον τινὰ ἀντισχόντες, εἶτα καταπονηθέντες ἔφευγον. καὶ οἱ μὲν ἀκλεῶς ἀνῃρέθησαν, οἱ δὲ εἰς τὴν πόλιν διασῴζονται. ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, οἱ ἔνδον ὄντες τῆς πόλεως Σκύθαι, τὴν ἀπρόοπτον ἐπέλευσιν αἰσθόμενοι τῶν Ῥωμαίων καὶ τὴν πρὸς τοὺς σφετέρους συμπλοκήν, ἕκαστος, ὡς ὁ καιρὸς ἐδίδου, τὸ προστυχὸν λαμβάνοντες ὅπλον ἐξῄεσαν εἰς βοήθειαν. οὓς συναντῶντες οἱ Ῥωμαῖοι ἀσύντακτον καὶ διεσπασμένην τὴν πορείαν ποιοῦντας ἔκτεινον. διὸ μηδ' ἀντισχεῖν κἂν ἐπὶ μικρὸν χρόνον δυνηθέντες κλίνουσιν | εἰς φυγήν. προδραμόντων δὲ τῶν ἱππέων τῆς Ῥωμαίων φάλαγγος καὶ τὴν ἐς τὴν πόλιν φέρουσαν ἐπιτειχισάντων, ἀνὰ τὸ πεδίον ἐσκεδασμένοι φεύγοντες καὶ καταλαμβανόμενοι ἀνῃροῦντο, ὡς ἅπαντα τὰ ὁμαλὰ πληρωθῆναι νεκρῶν, ζωγρίας δὲ ἁλῶναι ἀριθμοῦ κρείττους. Σφάγγελος δὲ ὁ πάσης τῆς ἐν Περσθλάβᾳ στρατιᾶς ἐξηγούμενος (ἐτάττετο δὲ δεύτερος μετὰ τὸν Σφενδοσθλάβον ἐν Σκύθαις) καὶ περὶ αὐτῆς, ὡς εἰκός, δείσας τῆς πόλεως, τὰς πύλας ἀποκλείσας καὶ μοχλοῖς ἐξασφαλισάμενος ἄνεισιν εἰς τὸ τεῖχος καὶ παντοίοις βέλεσι καὶ λίθοις τοὺς ἐπιόντας Ῥωμαίους ἠμύνετο. νὺξ μὲν οὖν ἐπιγενομένη διέλυσε τὴν πολιορκίαν, ἕωθεν δὲ ὁ πρόεδρος Βασίλειος ἀνεφάνη μετὰ τοῦ κατόπιν παντὸς πλήθους. καὶ ὁ βασιλεὺς τῇ τούτου ἐλεύσει περιχαρὴς γενόμενος ἄνεισιν ἐπί τινος γεωλόφου, ὡς εἴη τοῖς Σκύθαις καταφανής, τὰ δὲ πλήθη ἐς ταὐτὸ συνελθόντα ἐκύκλουν τὴν πόλιν. ὡς δὲ πολλὰ τοῦ βασιλέως παρακαλοῦντος ἐνδοῦναι τῆς ἐνστάσεως καὶ μὴ ἄρδην ἀπολωλέναι οὐκ ἐπείθοντο κατιέναι τοῦ τείχους, θυμοῦ δικαίου πλησθέντες οἱ Ῥωμαῖοι εἴχοντο τῆς πολιορκίας, τόξοις τε τοὺς ἄνωθεν εἴργοντες καὶ κλίμακας τοῖς τείχεσι προσερείδοντες. καί τις στρατιώτης γεννάδας,

37/38 die 12. mens. Apr. a. 971

ACEVBMN DH **35** δημηγορήσαντα C παραστρατοπεδεύουσι ACEMN: παραστρατοπεδεύονται VBDH **37** προσδοκοῦσι CEMND: προσδοκῶσι ABH: προσδοκῶντες V **39** ἄνδρας om. B ἐς M ,η καὶ φ' C **42** ὄντες om. B **45** οὓς: οἷς A **46** ἀσύντακτον: ἄτακτον A ἔκτειναν B **47** διὸ: καὶ CE κλίνουσιν VBMN: ἔκλιναν ACE **49** εἰς B ἐπιτειχίσαντες C **49/50** φεύγοντες ἐσκεδασμένοι M **50** καὶ om. B **51** ζωγρίαν E Σφάγγελος CVBN: Σφάγελλος AM: Φάλαγγος E **52** Περσθλάβᾳ CEVND: Περσθλάβῃ M: Περασθλάβᾳ B: Πρισθλάβᾳ A δὲ om. M **55** τοὺς om. B **57/58** μετὰ — πλήθους: μετὰ παντὸς τοῦ κατόπιν πλήθους A **58** τούτου: τούτων AB γενόμενος: γεγονὼς B **59** γηλόφου A εἰς B **60** ἐκύκλουν VBMN: ἐπολιόρκουν ACE: ἐπολιορκοῦντο Zon. III, 528, 16 **62** τοῦ τείχους om. B **63** τῆς om. B τε om. B

ξίφος τῇ δεξιᾷ κατέχων καὶ τῇ λαιᾷ ἄνωθεν τῆς κεφαλῆς τὴν ἀσπίδα προβεβλημένος, πρῶτος διὰ μιᾶς τῶν κλιμάκων ἀναρριχώμενος, καὶ τῇ μὲν ἀσπίδι τὰς βολὰς ἀποκρουόμενος, τῷ δὲ ξίφει τοὺς ἐπιόντας καὶ κωλύοντας ἀμυνόμενος, ἄνεισι διὰ τῶν ἐπάλξεων, καὶ τοὺς ἐκεῖσε πάντας διασκεδάσας ἄδειαν | ἀνόδου τοῖς κατόπιν παρέσχετο. ὃν μιμησάμενος ἄλλος καὶ αὖ ἄλλος καὶ πολλοὶ ἕτεροι. καὶ συνασπισμοῦ γενομένου οἱ Σκύθαι κατισχυόμενοι ἑαυτοὺς ἀπὸ τῶν τειχῶν κατεκρήμνιζον. πολλοὶ δὲ καὶ ἄλλοι Ῥωμαῖοι κατὰ ζῆλον τῶν προτέρων καὶ ἐν διαφόροις τόποις διὰ κλιμάκων ἀνέβαινον εἰς τὸ τεῖχος. καὶ τῶν Σκυθῶν θορυβουμένων ἔλαθόν τινες ἀμογητὶ πρὸς τὰς πύλας ἐλθεῖν, καὶ ταύτας ἀναπετάσαντες εἰσῆγον τὸ στράτευμα. καὶ τοῦτον τὸν τρόπον τῆς πόλεως ἁλούσης, οἱ μὲν Σκύθαι ἀνὰ τοὺς στενωποὺς φεύγοντες καὶ καταλαμβανόμενοι ἀνῃροῦντο, γυναῖκες δὲ καὶ παιδία ᾐχμαλωτίζοντο. ἑάλω δὲ καὶ Βορίσης ὁ βασιλεὺς τῶν Βουλγάρων ἅμα γυναικὶ καὶ τέκνοις, ἔτι τὰ παράσημα φέρων τῆς βασιλείας καὶ εἰς βασιλέα ἀπήχθη. τούτῳ δὲ ὁ βασιλεὺς φιλανθρώπως ἐχρήσατο, αὐτόν τε βασιλέα Βουλγάρων ἀποκαλῶν, καὶ πάντας τοὺς ἁλισκομένους Βουλγάρους ἀνέτους ἀφιεὶς καὶ ἐλευθέρους, ὅπῃ καὶ βούλοιντο, ἀπιέναι, οὐκ ἐπὶ δουλείᾳ φάσκων Βουλγάρων, ἀλλ' ἐπ' ἐλευθερίᾳ μᾶλλον ἀφῖξεσθαι, Ῥῶς δὲ μόνους γινώσκειν ἐχθροὺς καὶ τούτοις χρῆσθαι ὡς πολεμίοις.

10. Οἱ δὲ τῶν Σκυθῶν γενναιότεροι ὀχύρωμά τι κατειληφότες ἐντὸς τῶν τῆς πόλεως βασιλείων, ὀκτακισχίλιοι τὸν ἀριθμόν, ἐπί τινα χρόνον ἐλάνθανον καὶ πολλοὺς τῶν καθ' ἱστορίαν ἐκεῖσε γενομένων, ἢ σκύλων ἁρπαγὴν ἀσυμφανῶς κρατοῦντες ἀπέκτεινον. οὗ γνωσθέντος τῷ βασιλεῖ στρατὸς ἐπ' αὐτοὺς ἐστέλλετο ἀξιόμαχος. ὀκνηρῶς δὲ εἶχον οἱ πεμπόμενοι καὶ τῆς πολιορκίας ἐδει|λίων ἀποπειρᾶσθαι, οὐκ ἐπειδὴ τοὺς Ῥῶς

75 die 13. mens. Apr. a. 971 vespere

cap. 10: Zon. III, 529, 10—530, 3

ACEVBMN DH **65** ἐν ante τῇ δεξιᾷ add. B **66—68** καὶ — ἀμυνόμενος om. B **68** ἀμυνόμενος ACVND: ἀμυνομένους E: ἠμυνόμενος M **69** ἄδειαν: ἄνεσιν C **70** καὶ pr. om. B αὖ om. ACE ἀνῆεσαν post ἕτεροι add. B **71** κατισχυόμενοι: καταισχυνόμενοι B τείχων EB **72** καὶ alt. om. B **73** τόποις om. C **76** φεύγοντες: φέροντες A **77** παιδία AVBMN: παιδ' E: παῖδες C **79** φέρων post βασιλείας B καὶ — ἀπήχθη om. B **80** τούτῳ ACEMN: αὐτῷ VB τε: τὸν E **82** ἀφεὶς M (sed non D) ὅπῃ — ἀπιέναι: ἀπιέναι. ὅπῃ (ὅπῃ om. B) καὶ βούλοιντο VB δουλείαν B **83** Ῥῶς ACE **83/84** γινώσκειν μόνους E **84** χρήσασθαι B **86** ὀκτακισχιλίους B **87** γενομένων ἐκεῖσε M γενομένων ACEMN: γινομένων VB τῶν ante σκύλων add. B **88** ἀσυμφανῶς κρατοῦντες om. B ἀπέκτεινον ACEB: ἀπέκτενον VD: ἀπέκτενον MN **89** ἐστέλλετο CVBMN: ἐφέρετο E: πέμπεται A **90** τούς: τοῖς M Ῥῶς ACE

ἐφοβοῦντο, ἀλλ' ἐπειδὴ ὁ τόπος ὀχυρὸς ἦν καὶ ἀνάλωτος. καὶ τοῦτο δὲ ὁ βασιλεὺς εὐχερῶς διελύσατο, τὰ ὅπλα λαβὼν καὶ πεζὸς ἔμπροσθεν τῶν ἄλλων προπορευόμενος· τοῦτο γὰρ ἰδόντες οἱ στρατιῶται ἀθρόοι τὰ ὅπλα λαβόντες ἔθεον, ἕκαστος τὸν βασιλέα προλαβεῖν ἐπειγόμενοι, καὶ μετὰ βοῆς καὶ ἀλαλαγμοῦ τῷ φρουρίῳ προσβάλλουσιν. ἐκθύμως δὲ τῶν Ῥῶς ὑπομενόντων τὴν πολιορκίαν, πῦρ εἰς πολλὰ μέρη ὑφάψαντες, οὕτω τοὺς ἀνθισταμένους κατηγωνίσαντο. μὴ στέγοντες γὰρ τὴν τοῦ πυρὸς δύναμιν καὶ τὴν Ῥωμαϊκὴν χεῖρα, ἕκαστος ἑαυτὸν κρημνίζοντες ἀπεδίδρασκον. καὶ πολλοὶ μὲν ἀνήλωντο τῷ πυρί, πολλοὶ δὲ κρημνιζόμενοι ἀπώλοντο, τοὺς δὲ λοιποὺς μάχαιρα καὶ αἰχμαλωσία διεδέξαντο. καὶ ἡ μὲν πόλις τοῦτον ἑάλω τὸν τρόπον, ἐν δυσὶν ὅλαις ἡμέραις μὴ ἀντισχοῦσα. ταύτην δὲ ἁλοῦσαν ἀνακτησάμενος ὁ βασιλεὺς καὶ φρουρὰν ἀξιόλογον ἐπιστήσας, καὶ τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια δαψιλῶς παρασκευασάμενος, καὶ τὴν τῆς ἁγίας ἀναστάσεως τελέσας ἡμέραν, καὶ ἐξ ἑαυτοῦ Ἰωαννούπολιν μετονομάσας τὴν πόλιν, τῇ ἐπαύριον τῆς ἐπὶ τὸ Δορόστολον, ὃ καὶ Δρίστρα καλεῖται, εἴχετο πορείας.

11. Ὁ δὲ Σφενδοσθλάβος τὴν τῆς Περσθλάβας πυθόμενος ἅλωσιν ἐς ταραχὴν ἐνέπεσεν, ὡς εἰκός, οὐ μήν γε καὶ τοῦ φρονήματος καθυφῆκεν, ἀλλὰ παραθαρρύνας τοὺς περὶ αὐτὸν καὶ νῦν μᾶλλον ἀγαθοὺς ἄνδρας ἀναφανῆναι παρακαλέσας, τἄλλά τε, ὡς ἐνῆν, καταστησάμενος, καὶ πάντας, οὓς εἶχεν ἐν ὑποψίᾳ τῶν Βουλ|γάρων, ἀμφὶ τοὺς τριακοσίους ὄντας τὸν ἀριθμόν, ἀνελών, ἔξεισι κατὰ Ῥωμαίων. ὁ δὲ βασιλεὺς τὰς ἐν τῇ παρόδῳ πόλεις ἑλὼν καὶ στρατηγοὺς αὐταῖς ἐπιστήσας πολλά τε φρούρια καὶ πολίσματα ἐκπορθήσας καὶ τοῖς στρατιώταις εἰς ἁρπαγὴν δεδωκώς, εἴχετο τῆς ὁδοῦ. τῶν δὲ σκοπῶν ἥκειν φρασάντων Σκύθας τινάς, λαὸν ἐπίλεκτον ἐκπέμπει. Θεόδωρόν τε τὸν ἐκ Μισθείας αὐτῶν τῷ πλήθει ἀρχηγὸν ἐπιστήσας προηγεῖσθαι ἐπέσκηψε τοῦ στρατοῦ κατασκοπεῖν τε τὸ πλῆθος τῶν ἐναντίων καὶ αὐτῷ διδόναι γνῶσιν, εἰ

cap. 11: Zon. III, 530, 4—530, 10

ACEVBMN DFH 91 ὀχυρὸς ἦν ACEMN: ἦν ὀχυρὸς VB 92 εὐχερῶς διελύσατο: διελύσατο ἰσχυρός B πρῶτος post πεζὸς add. V ἔμπροσθεν om. ACE πάντων ante τῶν add N 93 τοῦτον E 95 Ῥὼς ACE 3 ἑαυτὸν AEVMN: ἑαυτῶν C: αὐτῶν B κρημνίζοντες ἀπεδίδρασκον VBMN: ἀπεκρήμνιζόν (ἀπεκρήμνιζε A) τε (τε om. A) καὶ οὕτως ἀπεδίδρ. ACE 4 πολλοὶ — ἀνήλωντο: πολλοὶ μὲν ἔργον ὤφθησαν τοῦ πυρός A ἀνήλωντο: ἀνειλοῦντο B 5 ἀπώλοντο ACEVM: ἀπώλυντο BND διεδέξαντο ACEV: διεδέξατο BMND 9 ἡμέραν ACEMN: ἑορτὴν VB 10 αὐτοῦ CB Ἰαννούπολιν ND (sed non F) τὴν post Ἰωαννούπ. add. C τὴν πόλιν om. ACE τῆς ACVMN: τὴν E: om. B 11 Δορόστολον VND: Δορύστολον ACE: Ῥοδόστολον BM Δρίστα CB 12 Πρισθλάβας A 13 ἐς ACEVMND: εἰς BH 14 περὶ αὐτὸν VBMN: ὑφ' ἑαυτὸν ACE ἀνδραγαθῆσαι καὶ post μᾶλλον add. M 15 παρεκαλέσατο B 19/20 ἁπαγὴν δεδωκώς: διαρπαγὴν ἐκδεδωκώς B 21 τόν: τὸ C Μισθίας AB αὐτῶν om. VB 23 αὐτῷ διδόναι VBMN: διδόναι αὐτῷ ACE διαδόναι B

προχωροίη δέ, καὶ διάπειραν τῆς αὐτῶν ἰσχύος ἀκροβολισάμενον εἰληφέναι. αὐτὸς δὲ κατόπιν εἵπετο ξυντεταγμένος μετὰ πάσης τῆς στρατιᾶς. οἱ σὺν τῷ Θεοδώρῳ γοῦν ἐπείπερ εἰς χεῖρας ἦλθον τοῖς πολεμίοις, ἐμπίπτουσι τούτοις ῥαγδαῖοι. οἱ δὲ 'Ρῶς ἐνέδραν εὐλαβηθέντες πρόσω μὲν οὐκέτι ἐχώρουν, πολλῶν δὲ πληγέντων καί τινων δὲ πεσόντων ἐκκλίναντες ἐς τὰ πλησίον σκεδάννυνται ὄρη καὶ τὰς ἐκεῖσε νάπας βαθείας καὶ ἀμφιλαφεῖς τυγχανούσας, καὶ διὰ τῆς ὀρεινῆς ἐπὶ τὴν Δρίστραν ἐπανασῴζονται. ἦσαν δὲ τὸ πλῆθος οὗτοι ἑπτακισχίλιοι, οἱ δὲ τούτοις συμπλακέντες καὶ τρεψάμενοι 'Ρωμαῖοι τὸν ἀριθμὸν τριακόσιοι. ἑνωθέντες δ' οἱ Σκύθαι τῷ Σφενδοσθλάβῳ, καὶ τοῦτον ἐκεῖθεν ἀναστήσαντες μετὰ παντὸς τοῦ στρατοῦ, πρὸ δώδεκα τοῦ Δοροστόλου μιλίων αὐλίζονται, ἐς τριακοσίας καὶ τριάκοντα χιλιάδας ἀριθμούμενοι καὶ τὸν βασιλέα ἐπιόντα ἐκθύμως καὶ ῥωμαλέως ἐκδεχόμενοι. οἱ δὲ 'Ρωμαῖοι ταῖς ἐξ ὑπογύου νίκαις γαυρούμενοι καὶ τὴν τὰ πάντα κρῖναι μέλλουσαν μάχην προσεκδεχόμενοι, εἰδότες δ', ὅτι καὶ | θεὸν συλλήπτορα ἕξουσιν, οὐ τοῖς ἀδίκων χειρῶν ἄρχουσι φιλοῦντα, ἀλλὰ τοῖς ἀδικουμένοις διὰ παντὸς ἐπαρήγειν, οὐ μόνον οἱ εὐψυχότεροι, ἤδη δὲ καὶ οἱ καταπλῆγες καὶ μαλακοὶ τὰς ψυχὰς πρόθυμοι καὶ θαρραλέοι ἐγίνοντο καὶ πρὸς τὴν συμπλοκὴν λίαν ἐσφάδαζον. εἰς ὄψιν δὲ τῶν στρατευμάτων ἀλλήλοις γενομένων καὶ λόγοις παρακλητικοῖς τοῦ τε βασιλέως καὶ τοῦ Σφενδοσθλάβου τοὺς οἰκείους ἐπιρρωσάντων καὶ τὰ τῷ καιρῷ πρόσφορα παρακελευσαμένων, ὡς αἱ σάλπιγγες τὸ ἐνυάλιον ἤχησαν, συρρήγνυνται ἀλλήλοις τὰ πλήθη τὴν αὐτὴν ἔχοντα προθυμίαν. καὶ κατὰ μὲν τὴν πρώτην προσβολὴν οἱ 'Ρωμαῖοι μετὰ ῥύμης ἐπενεχθέντες σφοδρᾶς καὶ πολλοὺς καταβαλόντες τὰς βαρβαρικὰς τάξεις κατέσεισαν· οὐ μήν γε καὶ ὑπαγωγὴ τῶν ἐναντίων ἐγένετο, οὔτε τῶν 'Ρωμαίων λαμπρὸς διωγμός, ἀλλ' ἐπιρρώσαντες πάλιν ἑαυτοὺς οἱ Σκύθαι αὖθις ἐπῆλθον μετ' ἀλαλαγμοῦ τοῖς 'Ρωμαίοις. καὶ μέχρι μέν τινος ἰσοπαλὴς ἦν ὁ ἀγών,

46 die 23. mens. Apr. 971

ACEVBMN *D* **24** προχωροίη VBMN: προσχωροίη ACE αὐτῶν: σφῶν A ἀκροβολισάμενον: δι' ἀκροβολισμῶν A **25** ξυντεταγμένος CEVMND: συντεταγμένος AB **26** ἦλθον: ἧκον A **27** 'Ρὼς ACE **29** εἰς B σκεδάννυνται ACMN: ἐσκεδάννυντο EVB **30** βαθείας: δασείας B τυγχανούσας VBMN: οὔσας ACE **31** ,ζ E **33** δὲ E **34** Δοροστόλου VND: Δωροστόλου C: Δορυστόλου A: Δωροστολίου E: 'Ροδοστόλου BM **35** εἰς B **36** ἐπιόντα post ἐκδεχόμενοι ACE **37** τὰ om. M **38** μάχην προσεκδεχόμενοι MND: μάχην προεκδεχόμενοι ACE: μάχην προσδεχόμενοι VB τὸν ante θεὸν add. M ἕξουσιν: ἔχοντες M **39/40** διὰ παντὸς om. B **40** ἐπαρήγειν post **39** ἄρχουσιν B **40** ἐμψυχότεροι B **41** θαρσαλέοι B **44** τοὺς οἰκείους om. B **45** ὢς om. ACE ὡς αἱ σάλπιγγες: ὅσαις ἐσθλὰ βεβαιωσάντων B τὸ: τὸν E καὶ post ἤχησαν add. B **46** τὴν αὐτήν: τοιαύτην B ἔχοντες E **51** ἦν ὁ ἀγών: ὁ ἀγὼν ἦν M ἦν om. E

ἤδη δὲ περὶ δείλην ὀψίαν τῆς ἡμέρας οὔσης οἱ Ῥωμαῖοι παρακαλέσαντες ἀλλήλους καὶ τρόπον τινὰ στομώσαντες ταῖς παραινέσεσιν ἐπέβρισαν τῷ εὐωνύμῳ κέρατι τῶν Σκυθῶν καὶ πολλοὺς τῷ ἀνυποστάτῳ κατέβαλον τῆς ὁρμῆς. συνισταμένων δὲ τῶν Ῥῶς ἐπὶ τὸ πεπονηκός, τῶν περὶ αὐτὸν ὁ βασιλεὺς εἰς ἐπικουρίαν ἐκπέμπει τινάς, κατόπιν δὲ καὶ αὐτὸς εἵπετο ἀνακεκαλυμμένοις τοῖς παρασήμοις τῆς βασιλείας, τὸ δόρυ διηγκωνισμένος τόν τε ἵππον κεντρίζων θαμὰ καὶ τῇ βοῇ διεγείρων τοὺς στρατιώτας. ἀγῶνος δὲ καρτεροῦ συστάντος καὶ πολλὰς μετακλίσεις δεξαμένης τῆς μάχης (δυοκαίδεκα γάρ φασι τροπὰς | δέξασθαι τὸν ἀγῶνα) μόλις οἱ Ῥῶς ἀπειρηκότες πρὸς τοὺς κινδύνους ἀκόσμῳ φυγῇ πρὸς τὸ πεδίον ἐσκίδναντο. οἷς οἱ Ῥωμαῖοι ἑπόμενοι τοὺς καταλαμβανομένους ἀνήλισκον. ἔπεσον οὖν πολλοί, καὶ πλείους ἑάλωσαν. ὅσοι δὲ διαδρᾶναι τὸν κίνδυνον ἴσχυσαν, εἰς τὸ Δορόστολον διασῴζονται.

12. Ὁ δὲ βασιλεὺς τὰ ἐπινίκια θύσας τῷ καλλινίκῳ μάρτυρι Γεωργίῳ (ἦν γὰρ κατὰ τὴν ἡμέραν τῆς αὐτοῦ μνήμης συρράξας τοῖς πολεμίοις) τῇ ἐπιούσῃ καὶ αὐτὸς τῆς πρὸς τὸ Δορόστολον ἥψατο, ἐκεῖσέ τε γενόμενος στρατοπεδείαν ἐπήξατο ὀχυράν. οὐ μέντοι γε καὶ πολιορκίας ἥψατο, δεδιώς, μή πως ἀφυλάκτου τοῦ ποταμοῦ τυγχάνοντος ἀποδρᾶσαι μετὰ τῶν νηῶν δυνηθεῖεν οἱ Ῥῶς, αὐλισάμενος δὲ προσέμενε τὸν Ῥωμαϊκὸν στόλον. ἐν τῷ μεταξὺ δὲ ὁ Σφενδοσθλάβος οὓς κατεῖχε ζωγρίας Βουλγάρους, ἀμφὶ τὰς εἴκοσι χιλιάδας ἀριθμουμένους, σιδηροπέδαις καὶ ἄλλοις δεσμοῖς ἠσφαλίσατο, ἐπανάστασιν φοβηθεὶς καὶ πρὸς ὑποδοχὴν ηὐτρεπίζετο τῆς πολιορκίας. ἤδη δὲ καὶ τοῦ στόλου καταλαβόντος ἐπεχείρει τῇ τειχομαχίᾳ ὁ βασιλεύς, καὶ πολλάκις ἐπεκδραμόντας τοὺς Σκύθας ἐτρέψατο. μιᾷ δὲ τῶν ἡμερῶν σκεδασθεῖσι τοῖς Ῥωμαίοις εἰς ἄριστον περὶ δείλην ὀψίαν οἱ βάρβαροι, εἰς δύο διαιρεθέντες μέρη, ἱππεῖς καὶ πεζοὶ ἐκ πυλίδων δύο τῆς πόλεως, τῆς τε κατὰ ἀνατολάς, ἣν φρουρεῖν ἐτέτακτο Πέτρος ὁ στρατοπεδάρχης μετὰ Θρᾳκῶν καὶ Μακεδόνων, καὶ τῆς πρὸς δύσιν, ὅπου | Βάρδας ὁ Σκληρὸς μετὰ

cap. 12: Zon. III, 530, 10—531, 18

ACEVBMN DH 52 δείλην ὀψίαν ACEVB: δείλης ὀψίας MNDH 53 ἐπέμβρισαν C 54 πολλούς: πολλὰ C τῶν ἀνυποστάτων B κατέβαλλον V 55 Ῥώς ACE 57 τὸ: τῷ C 59 κρατεροῦ E 60 φησι CE 61 Ῥώς ACE 63 ἀνήλισκον: ἀνῄρουν B 64 Δορόστολον CEVN: Δορύστολον A: Ῥοδόστολον BM 66 κατὰ — μνήμης VBMN: κατὰ τὴν αὐτοῦ (τὴν αὐτοῦ: ταύτην τὴν E) ἡμέραν ACE πολεμίοις VBMN: ἐναντίοις ACE 67/68 τῆς — γενόμενος: τῇ πρὸς τὸ Ῥοδόστολον ἥψατο καὶ ἐκεῖσε γενόμενος B 67 Δορόστολον CEVMN: Δορύστολον A: Ῥοδόστολον B 70 Ῥώς ACE 72 ἀριθμουμένους VBMN: ἀριθμουμένας ACE 73 καὶ ἄλλοις om. M 75 ἐκδραμόντας B 76 Σκύθεις E ἔτρεψε E 77/78 οἱ — καὶ ACEMN: οἱ βάρβαροι διαιρεθέντες εἰς μέρη δύο, ἱππεῖς τε καὶ VB 78 τε om. C

τῶν ἑῴων δυνάμεων τὴν φυλακὴν ἐπετέτραπτο, ἐξῆλθον παραταξάμενοι, τότε πρῶτον φανέντες ἔφιπποι. τὰς γὰρ προηγησαμένας μάχας πεζοὶ διηγωνίσαντο. οὓς εὐρώστως οἱ Ῥωμαῖοι δεξάμενοι ἐκθύμως ἐμάχοντο. καὶ μέχρι πολλοῦ ἰσοτάλαντος ἦν ὁ ἀγών. τέλος δὲ τῇ σφετέρᾳ ἀρετῇ Ῥωμαῖοι τρέπουσι τοὺς βαρβάρους καὶ πρὸς τεῖχος συγκλείουσι, πολλῶν κἀν τῷ ἀγῶνι τῷδε πεσόντων, καὶ μᾶλλον ἱππέων, μηδενὸς δὲ τῶν Ῥωμαίων τραυματισθέντος, ἀλλ' ἢ μόνων ἵππων πεσόντων τριῶν. οὕτω δὲ θραυσθέντες οἱ βάρβαροι καὶ εἴσω τείχους συνελαθέντες νυκτὸς ἐπιγενομένης διενυκτέρευον ἄγρυπνοι καὶ τοὺς ἐν τῇ μάχῃ πεσόντας ἀπωλοφύροντο ἀγρίοις καὶ φρικώδεσιν ὀδυρμοῖς, ὡς δοκεῖν τοὺς ἀκούοντας θηρίων εἶναι βρυχηθμοὺς καὶ ὠρυγάς, ἀλλ' οὐ θρήνους ἀνθρώπων καὶ οἰμωγάς. ἡμέρας δὲ ἄρτι διαγελώσης πάντας τοὺς ἔν τισι φρουρίοις ἐς φυλακὴν ἐσκεδασμένους ἀνεκαλοῦντο ἐς τὸ Δορόστολον, καὶ ταχέως ἧκον μετακληθέντες. καὶ ὁ βασιλεὺς δὲ ἀνειληφὼς ὅλην τὴν δύναμιν ἦλθεν εἰς τὸ πρὸ τῆς πόλεως πεδίον καὶ πρὸς πόλεμον ἠρέθιζε τοὺς βαρβάρους. ἐπεὶ δὲ μὴ ἐξῄεσαν, εἰς τὴν στρατοπεδείαν ὑποστρέψας ἡσυχίαν ἦγε καὶ προσῆλθον αὐτῷ πρέσβεις ἐκ Κωνσταντείας καὶ τῶν ἄλλων φρουρίων τῶν πέραν ἱδρυμένων τοῦ Ἴστρου, ἀμνηστίαν κακῶν αἰτούμενοι καὶ ἑαυτοὺς ἐγχειρίζοντες σὺν τοῖς ὀχυρώμασιν. οὓς προσηνῶς δεξάμενος ἀπέστειλε τοὺς παραληψομένους τὰ φρούρια καὶ στρατιὰν ἀποχρῶσαν εἰς τὴν αὐτῶν φυλακήν. ἤδη δὲ ἑσπέρας καταλαβούσης τὰς πάσας πύλας τῆς πόλεως ἀναπετάσαντες οἱ | Ῥῶς, πολλῷ τῶν προτέρων πλείονες ὄντες, ἐπιπίπτουσι τοῖς Ῥωμαίοις ἀνελπίστως διὰ τὴν νύκτα διάγουσι· καὶ κατὰ μὲν τὴν πρώτην συμβολὴν ἔδοξαν προτερῆσαι, μετὰ μικρὸν δὲ ὑπερέσχον Ῥωμαῖοι. ὡς γὰρ συνέβη πεσεῖν τὸν Σφάγγελον ἡρωϊκῶς ἀγωνιζόμενον, συνεχύθησαν τῇ τοῦ πεσόντος στερήσει καὶ τὰς ὁρμὰς ἐχαυνώθησαν. ὅμως ἀνένδοτοι παρ' ὅλην τὴν νύκτα διέμειναν καὶ τὴν ἐπιοῦσαν ἡμέραν μέχρι σταθηρᾶς μεσημβρίας. τότε δὲ τοῦ βασιλέως δύναμιν πεπομφότος ἐφ' ᾧ τοῖς βαρβάροις ἀποκλεῖσαι τὴν εἰς τὴν πόλιν εἴσοδον, γνόντες οἱ Ῥῶς αὐτίκα ἔκλιναν εἰς φυγήν, καὶ τὰς πρὸς τὴν πόλιν εἰσόδους ἐπιτε-

ACEVBMN DH 81 ἐπέτραπτο B παραταξόμενοι E 84 πολλῶν M 86 τῷδε ACEVBD: τούτῳ MN 87 δὲ om. BM μόνον EBM ἵππων VBMN: ἱππέων ACE 88 οὕτως V 88/89 καὶ — ἄγρυπνοι: διενυκτέρευον ἄγρυπνοι εἴσω τείχους συνελθόντες νυκτὸς ἐπιγενομένης B 88 συνελασθέντες C 91 καὶ ὠρυγάς om. B 91/92 ἀλλ' — ἀνθρώπων: ἀλλ' οὐκ ἀνθρώπους θρήνους B 92 δ' B 93 ἐς pr. ACEVMND: εἰς BH ἐς alt. CEVM: εἰς ABNDH Δορύστολον A 94 ταχέως: τάχα E καὶ alt. om. E δὲ — ὅλην ACEMN: δὲ ὅλην ἀνειληφὼς VB 2 Κωνσταντίας B 3 πέρα E 7 πάσας om. VB 8 Ῥώς ACE ἐμπίπτουσι: ἐμπίπτουσιν ἀνέτοις, post 9 ἀνελπίστως A 10 συμβολὴν VBMN: προσβολὴν ACE 10 οἱ ante Ῥωμαῖοι add. EM 12 ἐχαυνώθησαν ACEVBD: ἀνεκόπησαν MN δ' post ὅμως add. B 13 παρ' — διέμειναν: τὴν ὅλην διέμειναν νύκτα A 15 ἀπεκλεῖσαι E 16 Ῥώς ACE εἰς CVBN: πρὸς AEMDH

τειχισμένας εὑρόντες ἔφευγον διὰ τοῦ πεδίου καὶ καταλαμβανόμενοι ἀνῃροῦντο. ὁ δὲ Σφενδοσθλάβος νυκτὸς ἐπιγενομένης διώρυγι βαθείᾳ τὸ τῆς πόλεως ἐστεφάνωσε τεῖχος, ἵνα μὴ εὐχερῶς ἔχοιεν οἱ Ῥωμαῖοι μεθ' ὁρμῆς τῷ τῆς πόλεως τείχει πελάζειν. καὶ οὕτω τὴν πόλιν ἀσφαλισάμενος ἔγνω δεῖν εὐψυχότατα τὴν πολιορκίαν προσδέχεσθαι. ἐπεὶ δὲ τὸ πλέον τῆς στρατιᾶς διέκειντο κακῶς ἀπὸ τῶν τραυμάτων, συνεπελάμβανε δὲ καὶ λιμὸς ἤδη τῶν ἀναγκαίων δαπανηθέντων αὐτοῖς, καὶ μηδ' ἔξωθεν τὰ πρὸς χρείαν συνεχωροῦντο αὐτοῖς εἰσκομίζεσθαι παρὰ τῶν Ῥωμαίων, νύκτα βαθεῖαν καὶ ἀσέληνον ἐπιτηρήσας ὁ Σφενδοσθλάβος, καθ' ἣν ὑετός τε ῥαγδαῖος ἐξ οὐρανοῦ κατηνέχθη καὶ χάλαζα φοβερὰ ἐπερράγη καὶ βρονταὶ καὶ ἀστραπαὶ φρικωδέστατοι, μονοξύλοις ἐμβὰς μετὰ δισχιλίων ἀνδρῶν ἔξεισιν εἰς ἐπισιτισμόν. συλλεξάμενοι δὲ ὅθεν εὐπόρησεν | ἕκαστος σῖτον καὶ κέγχρον καὶ εἴδη ἄλλα συνεκτικὰ τῆς ζωῆς, ἀνήγοντο διὰ τοῦ ποταμοῦ τοῖς μονοξύλοις εἰς τὸ Δορόστολον. ἐν δὲ τῷ ἀναπλεῖν θεασάμενοι κατὰ τὸ χεῖλος τοῦ ποταμοῦ θεράποντας οὐκ ὀλίγους τῶν στρατιωτῶν τοὺς μὲν ἵππους ποτίζοντας, τοὺς δὲ χορτολογοῦντας, ἄλλους δὲ καὶ ξυλεύοντας, ἀποβάντες τῶν πλοίων διὰ τῆς ὕλης ἀψοφητὶ βαδίζοντες ἀδοκήτως ἐκ τἀφανοῦς ἐμπίπτουσιν αὐτοῖς, καὶ πολλοὺς μὲν τούτων ἀπέκτειναν, τοὺς δὲ λοιποὺς ἐπὶ τὰς πλησίον λόχμας σκεδασθῆναι ἠνάγκασαν. αὖθις δ' εἰς τὰς σκάφας ἐμβάντες καὶ οὐρίῳ φερόμενοι πνεύματι πρὸς τὸ Δορόστολον φέρονται. τοῦτο δὲ γνωσθὲν εἰς μεγάλην ἀνίαν ἐμβάλλει τὸν βασιλέα, καὶ τοὺς ἀρχηγοὺς τοῦ στόλου ἐν αἰτίᾳ μεγάλῃ ἔσχεν, ὅτι μὴ ἐπῄσθοντο τοῦ ἐκ Δοροστόλου τῶν βαρβάρων ἀπόπλου. ἐπηπείλησε δὲ καὶ θάνατον αὐτοῖς, εἰ ἔτι ἅπαξ τοιοῦτόν τι λάθῃ γενέσθαι. καὶ οἱ μὲν τὰς παρ' ἑκάτερα ὄχθας τοῦ ποταμοῦ ἐτήρουν ἐπιμελῶς, ὁ δὲ βασιλεὺς ἐφ' ὅλας πέντε καὶ ἑξήκοντα ἡμέρας τῇ πολιορκίᾳ χρησάμενος, καὶ καθ' ἑκάστην πολεμῶν καὶ μὴ ἀνιείς, δέον ἐνόμισε διὰ προσεδρείας καὶ λιμοῦ ἀποπειρᾶσθαι τῆς πόλεως. διὸ καὶ πάντοθεν τάφροις τὰς ὁδοὺς ἀποκλείσας καὶ φυλακὰς ἐπιστήσας αὐταῖς,

ACEVBMN DH 18 ἐπιγεγενημένης A 21 ἐμψυχότατα B εἰσδέχεσθαι B 22 πλεῖον A διέκειτο B 23 δαπανηθέντων VBMN: συνδαπανηθέντων ACE 24 μηδ': οὐδ' B τὰ πρὸς χρείαν VBMN: τἀναγκαῖα CE: τά ἀναγκαῖα A τὰ – εἰσκομίζεσθαι: τὰ πρὸς χρείαν αὐτοῖς εἰσκομ. συνεχωρ. B αὐτοῖς om. A εἰσκομίζεσθαι post 25 Ῥωμαίων A 26 τε om. VB κατενήνεκτο B 27 ἐπερράγη VBMN: κατερράγη ACE φρικωδέστataι B 28 εἰς om. B ηὐπόρησεν M 29 καὶ *pr. om.* M ἄλλα εἴδη A 30 Δορόστολον CEVMN: Δορύστολον A: Ῥοδόστολον B 31 τὸ χεῖλος AEVMN: τὸ τεῖχος C: τὰς ὄχθας B 32 τῶν om. A 34 βαδίζοντας B ἀδοκήτως ACEMN: ἀπροσδοκήτως VB ἐκ τἀφανοῦς CEVBMN: ἐξ ἀφανοῦς A: ἐκ τῆς ἀφανοῦς DH 35 τῶν ante πλησίον add. B 36 σκεδασθῆναι: σκευασθῆναι B δὲ ACE καὶ om. B 37 Δορύστολον A 39 μεγάλῃ αἰτίᾳ B μεγάλῃ om. M ἔσχεν: εἶχεν A Δορυστόλου A 41 τὰς παρ' ἑκάτερα AVBMN: τὰς παρ' ἑκατέρας C: τὰς παρ' ἑκατέρου E τοῦ ποταμοῦ ὄχθας B 41/42 τοῦ ποταμοῦ ἐτήρουν ACEVBD: ἐτήρουν τοῦ ποταμοῦ MN 42 ἡμέραις B 43 καὶ pr. om. B 45 πανταχόθεν A 45/46 τάφροις – ἐξίοι om. A 45 φύλακας BDH αὐταῖς: αὐτοῖς B

ὡς μή τις ἔξίοι τὰ ἐπιτήδεια κομίσων, ἐκάθητο ἠρεμῶν. καὶ τὰ μὲν ἐν Δοροστόλῳ ἐφέρετο τῇδε.

13. Λέων δὲ ὁ κουροπαλάτης καὶ Νικηφόρος ὁ τούτου παῖς, δοκήσει μέν, ὡς εἴπομεν ἔμπροσθεν, πηρωθέντες, ἔτι δ' ἀσινεῖς | τὰς ὁράσεις ἔχοντες, εἰς τυραννίδα καὶ αὖθις παρεσκευάζοντο, πολλοὺς τῶν ἐν τῇ πόλει καὶ τῶν ἐν τοῖς βασιλείοις φρουρῶν ὑποφθείραντες. καὶ ἐπεὶ τὰ κατὰ γνώμην αὐτοῖς ἀπηρτίσθη, πλοῖον μισθωσάμενοι καὶ ἐν αὐτῷ ἐμβάντες ἀπαίρουσι τῆς νήσου, ἣν οἰκεῖν κατεκρίθησαν, καὶ πρὸς τὴν ἀντίπορθμον τῆς πόλεως ἤπειρον γίνονται κατὰ τὸ προάστειον, ὃ κατονομάζουσι Πηλαμύδα, ἐκεῖθέν τε περὶ πρώτας ἀλεκτρυόνων ᾠδὰς ἐπὶ τὸ Βυζάντιον ἔρχονται. ἑνὸς δὲ τῶν συνιστόρων δῆλον θεμένου τὸ ἔργον Λέοντι τῷ δρουγγαρίῳ τοῦ στόλου, τὴν φυλακὴν ἐπιτετραμμένῳ τῶν βασιλείων σὺν Βασιλείῳ τῷ ῥαίκτωρι, ὁ δὲ δύναμιν ἀξιόχρεων ἐπὶ κατασχέσει τοῦ κουροπαλάτου καὶ τοῦ παιδὸς αὐτοῦ ἐκπέμπτει. ὅπερ οὗτοι μαθόντες εἰς τὴν μεγάλην καταφεύγουσιν ἐκκλησίαν. ἐκεῖθεν δὲ ἀποσπασθέντες εἰς τὴν Πρώτην νῆσον ἐξαπεστάλησαν, κἀκεῖσε τοὺς ὀφθαλμοὺς ἐξωρύχθησαν. ἐφάνη δὲ κατ' ἐκεῖνο καιροῦ καὶ ἄλλο τι ὡς οἷον ἄξιον εἶναι καὶ διηγήσεως. πινάκιον ἐκ λίθου Προικοννησίας ἐπὶ παραδείσου τινὸς τῶν συγκλητικῶν εὑρέθη ἀμελῶς ἐρριμμένον, εἰκονισμένας ἔχον δύο ἀνθρωπίνας μορφὰς ἐπὶ τῆς ἐπιφανείας, μίαν μὲν ἀνδρός, ἑτέραν δὲ γυναικός. ἐν δὲ τῷ μετώπῳ τῆς πινακίδος ἦν γεγραμμένον ἐπίγραμμα ὧδέ πῃ διεξιόν· "Ἰωάννου καὶ Θεοδώρας τῶν φιλοχρίστων πολλὰ τὰ ἔτη." ὅπερ τινὰς μὲν εἰς ἔκπληξιν ἦγεν, ὅπως τὰ ἐνεστῶτα μάλα προεδηλοῦτο σαφῶς. τινὲς δὲ μὴ ἀπηλλάχθαι τὸ πρᾶγμα σκευωρίας καὶ μαγγανείας ἐνόμιζον, τὸν τοῦ παραδείσου δεσπότην διὰ τῆσδε τῆς μηχανῆς τὴν βασιλικὴν | πρὸς ἑαυτὸν ἐκκαλεῖσθαι οἰηθέντες προσπάθειαν. εἴτε δὲ οὕτως, εἴτε ἐκείνως ἡ ἀλήθεια ἔχει, φράζειν οὐκ ἔχω.

52 a. 971

ACEVBMN DFH 46 ἔξίοι VMN: ἐξίῃ BH: ἐξῄει D: ἐπίῃ CE: om. A κομισόμενος A 47 Δοροστόλῳ CEVMN: Δορυστόλῳ A: Ῥοδοστόλῳ B 48 τούτου om. B 49 εἴπομεν ἔμπροσθεν VMN: ἔμπροσθεν εἴπομεν ACE: εἴπομεν B 51 ἐν om. MN (sed non D) 55 Πηλαμύδα ACEVMN: Πηλαμύδην FH: Παλαμύδα B περὶ: παρὰ V τὰς ante πρώτας add. VB 58 ῥαίκτη E 59 κουροπαλάτου ACVBN: κοροπαλάτου E: κουροπαλάτι M 60 ἐκκλησίαν καταφεύγουσιν A 61 δὲ VMNFH: τε ACEBD ἀποσπασθέντες ACEMN: ἐκσπασθέντες VB 62 κἀκεῖ AB καὶ ante κατ' add. A 63 οἷον: οἶμαι A εἶναι om. A καὶ om. ADH 64 παραδείσῳ CE 65 ἐπιφανείας ACEVBD: ἐμφανείας MN 67 Ἰωάννη M 68 βασιλέων post φιλοχρ. add. E ὅπερ τινὰς VBMN: ὅ τινας ACE 69 προεδήλου B 70 σκαιωρίας AB 71 τὴν βασιλικὴν om. B 72 οἰηθέντες om. E τὴν τοῦ βασιλέως post οἰηθέντες add. B εἴτ' ἐκείνως B

14. Οἱ δὲ Σκύθαι ἔνδοθεν τῷ λιμῷ πιεζόμενοι, ἐκτὸς ὑπὸ τῶν τειχομαχικῶν ὀργάνων κακούμενοι, καὶ κατ' ἐξαίρετον ἐν ἐκείνῳ τῷ τόπῳ, ὃν ὁ μάγιστρος Ἰωάννης ὁ Ῥωμανοῦ τοῦ Κουρκούα υἱὸς φυλάττειν ἐτέτακτο (τὸ γὰρ ἐκεῖσε πετρόβολον ὄργανον οὐ μικρῶς τοὺς ἐντὸς ἐπημαίνετο), ἀποκρίναντές τινας τῶν ἀλκιμωτέρων ὁπλίτας ψιλοῖς ἐπιμεμιγμένους ἐπὶ τὸ τοιοῦτον ἐκπέμπουσιν ὄργανον, εἴ πως δυνηθεῖεν αὐτὸ κατεργάσασθαι. τοῦτο γνοὺς ὁ Κουρκούας, ὅ τι κράτιστον ἦν περὶ αὐτὸν ἀναλαβόμενος, ἐβοήθει διὰ ταχέων. ἐς μέσους δὲ τοὺς Σκύθας γενόμενος ἀκοντίῳ βληθέντος αὐτοῦ τοῦ ἵππου καὶ σὺν αὐτῷ πεπτωκότος ἀναιρεῖται κρεουργηθείς. οἱ Ῥωμαῖοι δὲ ἐπιδραμόντες καὶ τοῖς Ῥῶς συμπλακέντες τό τε ὄργανον ἀβλαβὲς διετήρησαν καὶ τοὺς Σκύθας ὠσάμενοι συνέκλεισαν εἰς τὴν πόλιν. Ἰουλίου δὲ καταλαβόντος μηνὸς καὶ εἰκοστὴν ἡμέραν ἄγοντος, ἐξῆλθον οἱ Ῥῶς παμπληθεῖς καὶ τοῖς Ῥωμαίοις συμπλακέντες ἐμάχοντο, παραθαρρύνοντα ἔχοντες καὶ πρὸς τοὺς ἀγῶνας ἀλείφοντα ἄνδρα τινὰ παρὰ Σκύθαις ἐπισημότατον, Ἴκμορα τοὔνομα, μετὰ Σφάγγελον τὸν ἀναιρεθέντα τιμώμενον, οὔτε κατὰ συγγένειαν τὴν ἐξ αἵματος ἐν τοῖς μάλιστα ἀγόμενον παρ' αὐτοῖς, οὔτε κατὰ συμπάθειαν, ἀλλ' ἐκ μόνης ἀρετῆς παρὰ πᾶσι σεβόμενον. τοῦτον ἰδὼν Ἀνεμᾶς ὁ τῶν Κρητῶν τοῦ βασιλέως υἱὸς Κουρουπᾶ, εἷς ὢν τῶν βασιλι|κῶν σωματοφυλάκων, αὐτόν τε εὐψύχως ἀγωνιζόμενον καὶ τοὺς λοιποὺς εἰς τοῦτο παρορμῶντα καὶ διεγείροντα καὶ τὰς τῶν Ῥωμαίων τάξεις διαταράσσοντα, μήτε πρὸς τὸ μέγεθος καταπλαγεὶς τοῦ ἀνδρός, μήτε τὴν ἀλκὴν δειλιάσας, ἀλλὰ περικαρδίῳ θέρμῃ ληφθεὶς καὶ τὸν ἵππον τῇδε κἀκεῖσε παρακινήσας, μεθ' ὁρμῆς ἀκατασχέτου τὸ παρῃωρημένον τῷ μηρῷ αὐτοῦ ξίφος σπασάμενος ἵεται κατὰ τοῦ Σκύθου, καὶ παίει τοῦτον τῷ φασγάνῳ κατὰ τοῦ ἀριστεροῦ ὤμου περὶ τὴν κλεῖδα, καὶ ἀποτέμνει τὸν αὐχένα, ὡς συμβῆναι τὴν κεφαλὴν σὺν τῇ δεξιᾷ χειρὶ ἐκκοπεῖσαν πεσεῖν εἰς τὸ ἔδαφος. καὶ ὁ μὲν Σκύθης ἔκειτο

85/86 die 20. mens. Iul. a. 971

cap. 14: Zon. III, 531, 18/19

ACEVBMN DH 74 ἔνδοθεν: ἔνδον BM δὲ post ἐκτὸς add. A, δ' add. B 75 καὶ om. B 76 Ἰωάννης ACEVBM (man. rec.) D: om. MN Κουρκούα ACEMN: κουροπαλάτου V: κοροπαλάτου B υἱὸς VBMN: παῖς ACE 82 αὐτοῦ: αὐτῷ AC καὶ om. B πεπτωκὼς B 84 Ῥῶς ACE 86 καὶ — ἄγοντος: ἡμέραν τε ἄγ. εἰκοστ. B Ῥῶς ACE παμπληθεῖ B 87 καὶ om. B 88 ἀλείφοντα om. B Ἴκμωρα B 89 Σφάγελον E τιμώμενον VBMN: ἀγόμενον ACE 91 μόνης VBMN: τῆς ACE 92 ὁ — υἱὸς ACEMN: ὁ τοῦ βασιλέως (βασιλέως: κρατοῦντος B) τῶν Κρητῶν υἱός VB 93 τ' B 94 παρορμῶντα καὶ διεγείροντα: καὶ διεγείροντα καὶ παρορμῶντα E 1 ληφθεὶς: βληθεὶς M 2 περικινήσας E 3 ξίφει σπαμενος B 4 τοῦτον — φασγάνῳ: τοῦτο τῷ σφαγάνῳ B περὶ AEVB: παρὰ CMNDH 5 τὸν αὐχένα om. B

πεσών, ὁ δ' Ἀνεμᾶς ἀσινὴς ἐπανῆκε πρὸς τὸ στρατόπεδον. ἤρθη ἐπὶ τῷ ἔργῳ φωνὴ παμμιγής, τῶν μὲν Ῥωμαίων ἀλαλαξάντων ἐπὶ τῇ νίκῃ, τῶν δὲ Σκυθῶν ἀσήμως ὀλολυξάντων καὶ τῆς ἑαυτῶν ὑπενδόντων ἐνστάσεως. ἐπιβρισάντων δὲ τῶν Ῥωμαίων ἐς φυγὴν ἐγκεκλίκασι καὶ ἀκλεῶς εἰς τὴν πόλιν ἐσῴζοντο. ἔπεσον δὲ πολλοὶ κατὰ τήνδε τὴν ἡμέραν, ὑπ' ἀλλήλων τε συμπατούμενοι διὰ τὴν στενοχωρίαν καὶ ὑπὸ Ῥωμαίων σφαττόμενοι τῷ καταλαμβάνεσθαι. μικροῦ δ' ἂν ἑάλω καὶ ὁ Σφενδοσθλάβος αὐτός, εἰ μὴ νὺξ ἐπιγενομένη τοῦτον ἐρρύσατο. οἱ δὲ τὸν κίνδυνον διαδράντες, ἐντὸς τοῦ περιβόλου γενόμενοι, κωκυτὸν ἐπὶ τῷ τοῦ Ἴκμορος θανάτῳ μέγαν ἐκόψαντο. τοὺς δὲ πεσόντας τῶν βαρβάρων σκυλεύοντες οἱ Ῥωμαῖοι εὗρον καὶ γυναῖκας ἐν τοῖς ἀναιρεθεῖσι κειμένας ἀνδρικῶς ἐσταλμένας καὶ μετὰ τῶν ἀνδρῶν πρὸς Ῥωμαίους ἀγωνισαμένας. |

15. Ἐπεὶ δὲ τοῖς βαρβάροις κακῶς ἐφέρετο τὰ τοῦ πολέμου καὶ ξυμμαχίας ἦν ἐλπὶς οὐδαμοῦ (οἵ τε γὰρ ὁμόφυλοι ἦσαν μακράν, καὶ τὰ ὅμορα βάρβαρα τῶν ἐθνῶν δείσαντα τοὺς Ῥωμαίους ἀπείπαντο τὴν βοήθειαν, ἐπιλελοίπει δ' αὐτοὺς καὶ τὰ ἐπιτήδεια, καὶ οὐδαμόθεν ἦν εἰσκομίσασθαι δυνατόν, τοῦ Ῥωμαϊκοῦ στόλου τὰς ὄχθας ἀκριβῶς τηροῦντος τοῦ ποταμοῦ. ἐπέρρει δὲ καὶ τοῖς Ῥωμαίοις ἑκάστης ἡμέρας ὡς ἔκ τινος ἀφθόνου πηγῆς πάντα τὰ ἀγαθά, καὶ ἱππικαὶ καὶ πεζικαὶ δυνάμεις διὰ παντὸς προσετίθεντο· καὶ οὐδὲ τοῖς † κελητίοις ἑαυτῶν ἐμβάντας ἀποδρᾶναι ἦν δυνατόν, τῶν διεξόδων, ὡς εἴπομεν, ἀκριβῶς φυλαττομένων) βουλὴν συστησάμενοι οἱ μὲν νυκτὸς συνεβούλευον κλέψαι τὴν ἀναχώρησιν, ἄλλοι δὲ δεξιὰς καὶ πίστεις παρὰ Ῥωμαίων αἰτή-

cap. 15: Zon. III, 531, 19—532, 18

ACEVBMN DH 7 ὁ om. B δὲ MND ἐπανῆκεν εἰς A δ' ante ἐπ add. B 8 τὸ ἔργον (corr. e τῷ ἔργῳ) E 9 δὲ om. B 10 ἐπιβριμησάντων C ἐς VMND: εἰς ACEBH 11 εὐκλεῶς B ἐς M τήνδε om. ACE 13 δ' ἄν: δεῖν B 14/15 ἐπιγενομένη — κωκυτὸν: ἐπεγένετο, ὅθεν καὶ κωκυτὸν A 15 διαδράντες: διαδραμῶντες B 16 τῷ: τὸ B τοῦ ACEND: om. VBM Ἴκμωρος CB μέγα CE δὲ: γοῦν A 17 σκυλεύοντες VBMN: σκυλεύσαντες ACE καὶ om. B ἀνῃρημένοις DH 20 ἐφέρετο post πολέμου B 21 οὐδαμοῦ VBMN: οὐδεμία ACE 22 βάρβαρα om. B 23 ἐπιλελοίπει ACEMN: ἐπελελοίπει V: ἐπέλιπε B αὐτοὺς VBMND: αὐτοῖς ACEH 24 εἰσκομίζεσθαι B δυνατόν: δύναμις B ἀκριβῶς om. ACE 25 τηροῦντος post 24 στόλου A ἑκάστης ἡμέρας CEVBND: καθ' ἑκάστην A: om. M 26/27 ἱππικαὶ — δυνάμεις VBMN: ἱππεῖς καὶ πεζοὶ ACE 27 καὶ οὐδὲ EVND: καὶ οὐδεὶς M: ἀλλὰ καὶ A: καὶ C κελητίοις Fabrot Bekker: μονοξύλοις, post ἑαυτῶν, A: πλοίοις, post ἑαυτῶν, B: om. CEVMNDH 28 εἰσβάντας E τοὺς Σκύθας post ἐμβάντας add. B ἀποδρᾶναι ACEVBD: ἀποδρᾶν MN οὐκ post ἀποδρᾶναι add. A 29 φυλαττομένων: τηρουμένων B βουλὴν ACEMN: συμβουλὴν V: συμβούλιον B οἱ βάρβαροι ante οἱ add. B 30 πίστεις: ἐπιστήμεις B Ῥωμαίων ACEVD: Ῥωμαίοις BMNH

σασθαι, οἷα μὴ ἄλλως δυνατῆς οὔσης τῆς ὑποχωρήσεως, καὶ οὕτω πρὸς τὰ οἰκεῖα ἀπᾶραι. καὶ ἄλλων ὥς πῃ ἑκάστῳ ὁ καιρὸς ἐδίδου συμβουλευσάντων, πάντων δὲ καθάπαξ καταθέσθαι τὸν πόλεμον ἐπιθυμούντων, ὁ Σφενδοσθλάβος παρῄνει μᾶλλον ἔτι ἅπαξ πολεμῆσαι Ῥωμαίοις, καὶ ἢ καλῶς ἀγωνισαμένους ἐπικρατεῖς τῶν ἐναντίων γενέσθαι, ἢ ἡττηθέντας αἰσχίστης ζωῆς καὶ ἐπονειδίστου εὐκλεᾶ καὶ μακάριον προτιμήσασθαι θάνατον. ἀβίωτον γὰρ ἔσται αὐτοῖς δρασμῷ τὴν σωτηρίαν πορισαμένοις, εἴπερ μέλλοιεν εὐκαταφρόνητοι ἔσεσθαι τοῖς γειτονοῦσιν ἔθνεσιν, ἃ τὸ πρόσθεν αὐτοὺς σφοδρῶς ἐδεδίεσαν. ἤρεσεν ἡ τοῦ Σφενδοσθλάβου βουλή, καὶ κατέθεντο πάντες τὸν ὑπὲρ ψυχῆς ἔσχατον ἀναδέχεσθαι κίνδυ|νον ταῖς ὅλαις δυνάμεσι. τῇ γοῦν ἐπιούσῃ ἐξελθόντες τοῦ ἄστεος πανδημεὶ καὶ τὰς πύλας ἀποκλείσαντες, ὡς μή τινι δυνατὸν εἴη τραπέντι διασῴζεσθαι πρὸς τὴν πόλιν, συμβάλλουσι τοῖς Ῥωμαίοις. ἀγῶνος δὲ καρτεροῦ συστάντος καὶ τῶν βαρβάρων εὐψύχως ἀγωνιζομένων, τῷ ἡλίῳ καυσούμενοι οἱ Ῥωμαῖοι καὶ δίψει πονούμενοι ὡς πανοπλῖται (ἦν γὰρ καὶ σταθηρὰ μεσημβρία) ἤρξαντο ἐνδιδόναι. ὅπερ αἰσθόμενος ὁ βασιλεὺς διὰ ταχέων μετὰ τῶν περὶ αὐτὸν ἐβοήθει, καὶ αὐτὸς μὲν τὴν ἀκμὴν ὑπεδέξατο τοῦ πολέμου, τῷ δὲ πεπονηκότι στρατεύματι ὑπὸ ἡλίου καὶ δίψης ἀσκοὺς οἴνου καὶ ὕδατος πλήρεις προσέταξε κομίζειν, οἷς χρησάμενοι καὶ τὴν δίψαν καὶ τὸν τοῦ ἡλίου καύσωνα ἀποκρουσάμενοι καὶ ἑαυτοὺς ἀναλαβόντες μετὰ σφοδρότητος καὶ ῥύμης τοῖς Σκύθαις ἐπέρραξαν. ἐκείνων δὲ γενναίως ὑποδεξαμένων ἦν ἡ μάχη ἰσοπαλής, μέχρις ἂν ὁ βασιλεὺς τὴν στενοχωρίαν φρασάμενος τοῦ τόπου, καὶ ἐκ τούτου κατανοήσας τοῖς Σκύθαις ἐπιγίνεσθαι τὴν καρτερίαν τῷ τοὺς Ῥωμαίους ἐστενοχωρῆσθαι καὶ μὴ οἵους εἶναι ἔργα πρέποντα τῆς ἑαυτῶν ἀλκῆς ἐπιδείκνυσθαι, ἐπέσκηψε τοῖς στρατηγοῖς εἴκειν εἰς τοὐπίσω πρὸς τὸ πεδίον, καὶ τῆς πόλεως πόρρω ἀφίστασθαι δόκησιν φευγόντων παρέχοντας, μὴ μέντοι γε προτροπάδην, ἀλλ'

46 die 21. mens. Iul. a.971

ACEVBMN DH **31** καὶ om. VMNDH οὕτως C **32** ἄλλων: ἄλλοι A ὥς πῃ: ὥσπερ EB ἑκάστῳ om. B συνεβουλεύσαντο A **33** πάντων — ἐπιθυμουμένων om. B καταθέσθαι: ἀποθέσθαι A **35** ἐπικρατεῖς — γενέσθαι: ἐπικρατεῖς γενέσθαι Ῥωμαίων A ἐναντίων VBMN: Ῥωμαίων ACE **36** ζωῆς αἰσχίστης A καὶ μακάριον post **37** θάνατον A **37** γὰρ ἔσται αὐτοῖς om. A **38** εὐκαταφρόνητοι ACEVND: ἀκαταφρόνητοι B: αὐτοὺς σφρόνητοι M **39** τὸ om. B αὐτοὺς: αὐτοῖς CE σφοδρῶς VBMN: σφόδρα ACE **42** τινα M **43** διασῴζεσθαι post πόλιν A **44** οὕτως ante εὐψύχως add. V **45** δίψῃ V **46** ἤρξαντο: εἴρξατο B **47** διὰ ταχέως M αὐτὸν: αὐτῶν E **48** ὑπεδέξατο ACEVBD: ἐδέξατο MN **50/51** τὴν — καύσωνα: τοῦ ἡλίου τὸν καύσωνα καὶ τὴν δίψαν B **51** ἀναλαβόντες ACEMN: ἀναλαβόμενοι VB **53** φρασάμενος ACEVB: φωρασάμενος MNDH **53/54** τοῦ τόπου φρασάμενος E **54** γίνεσθαι B **56** τῆς — ἀλκῆς: ταῖς αὐτῶν ἀλκαῖς B ἐπέσκηψε: ἐπέσκεψαι B **57** πρὸς τὸ om. E

ἠρέμα καὶ κατ' ὀλίγον εἴκοντας, κἀπειδὰν ἄποθεν αὐτοὺς διώκοντας τῆς πόλεως ἐκκαλέσωνται, αἰφνίδιον παρενεγκόντας τοὺς χαλινοὺς ἐπιστρέφειν τοὺς ἵππους καὶ τούτοις συμπλέκεσθαι. καὶ οἱ μὲν ἐποίουν τὸ κελευσθέν, οἱ δὲ Ῥῶς τὴν εἰς τοὐπίσω ὑποχώρησιν τῶν Ῥωμαίων φυγὴν οἰηθέντες, ἀλλήλους παρακαλεσάμενοι εἵποντο σὺν ἀλαλαγμῷ. ὡς δὲ κατὰ τὸν ὡρισμέ|νον ἐγένοντο τόπον οἱ Ῥωμαῖοι, ἐπιστραφέντες προσρήγνυνται τούτοις γενναίως. ἐνταῦθα μάχης ἰσχυρᾶς γενομένης συνέβη στρατηγὸν Θεόδωρον τὸν ἐκ Μισθείας τοῦ ἵππου αὐτοῦ λογχευθέντος πεσεῖν κατὰ γῆς. περὶ τοῦτον ἅμιλλα ἐγένετο καρτερά, τῶν μὲν Ῥῶς ἀνελέσθαι, τῶν δὲ Ῥωμαίων, ὅπως μὴ ἀφαιρεθείη φιλοτιμουμένων. οὗτος γὰρ ὁ Θεόδωρος τοῦ ἵππου πεσὼν ἕνα τινὰ τῶν Σκυθῶν τῆς ζώνης δραξάμενος καὶ τῇδε κἀκεῖσε τῷ χειρὸς σθένει κινῶν ὥς τι μικρὸν ἀσπιδίσκιον κοῦφον, τὰς κατ' αὐτοῦ πεμπομένας αἰχμὰς ἀπεκρούετο, καὶ κατὰ μικρὸν πρὸς τοὺς Ῥωμαίους ὑπανεχώρει ὀπισθοκινήτῳ τῇ πορείᾳ. τέλος ἐπιβρίσαντες οἱ Ῥωμαῖοι τούς τε Σκύθας ἀπώσαντο καὶ τὸν ἄνδρα τοῦ κινδύνου ἐρρύσαντο. καὶ τὰ στρατεύματα διελύθησαν τελείως, μηδαμῶς ἔτι κρίσιν τοῦ πολέμου λαβόντος.

16. Ὁ βασιλεὺς δὲ εὐψυχότερον νῦν μᾶλλον ἢ πρότερον ὁρῶν ἀγωνιζομένους τοὺς Σκύθας, καὶ τὴν τοῦ χρόνου τριβὴν βαρούμενος, οἰκτείρων δὲ καὶ τοὺς Ῥωμαίους ταλαιπωρουμένους καὶ τῷ πολέμῳ κακῶς πάσχοντας, μονομαχίᾳ ᾠήθη κρῖναι τὰ πράγματα. καὶ δὴ διαπρεσβεύεται πρὸς τὸν Σφενδοσθλάβον, προκαλούμενος αὐτὸν εἰς μονομαχίαν, δέον εἶναι λέγων ἑνὸς ἀνδρὸς θανάτῳ κριθῆναι τὸ ἔργον ἢ κατασφάττεσθαι καὶ κατὰ μικρὸν δαπανᾶσθαι τὰ ἔθνη, καὶ τὸν νικήσαντα κύριον εἶναι τῶν ὅλων. οὗτος δὲ τὴν μὲν πρόκλησιν οὐκ ἐδέξατο, λόγους δ' ἐπαφῆκεν ὑπεροπτικούς, ὡς τὰ κατ' αὐτὸν ἄμεινον αὐτὸς

84 circa diem 21. mens. Iul. a. 971

---

cap. 16: Zon. III, 532, 18—533, 3

ACEVBMN DFH **59** αὐτοὺς om. DH **59/60** τῆς πόλεως διώκοντας B **60** τῆς πόλεως om. ACE ἐγκαλέσονται M αἰφνίδιον VBMN: αἰφνιδίως ACE **62** οἱ δὲ: καὶ οἱ E Ῥὼς ACE εἰς τοὐπίσω om. ACE **63** παρακαλεσάμενοι: παρασκευασάμενοι B **64** ὡρισμένον VBMN: εἰρημένον ACE **65** προσρήγνυνται ACEMN: ῥήγνυνται V: συρρήγνυνται B **66** τὸν ante στρατηγὸν add. MN, sed non D Θεόδωρον στρατηγὸν VB Μισθίας A λογχευθέντος: κατενεχθέντος B **67** κρατερά E **68** Ῥὼς ACE ὅπως om. E **69** ἑνός τινος B Σκύθων B **70** τῷ: τῆς B χειρὸς: χερῶς M **70/71** κινῶν — κοῦφον: κινῶν αὐτὸν ὥς τι κοῦφον καὶ μικρὸν ἀσπιδίσκιον B **72** ὑπανεχώρει VBMN: ὑπεχώρει ACE **74** ἐρρύσαντο VBMN: ῥύονται ACE **75** τελείως ACEMN: τελείαν VB **76** ἐμψυχότερον B **77** βαρούμενος ACVMN: βαρυνόμενος (man. rec. corr. ex βαρούμ. (?)) E: ἀχθόμενος B **79** δὴ om. B **80** προσκαλούμενος BMD (sed non F) **81** λέγων εἶναι B θανάτῳ om. VB **83** εἶναι τῶν ὅλων ACEMN: τῶν ὅλων εἶναι VB μὲν om. B **84** αὐτὸς om. B

τοῦ ἐχθροῦ σκοπήσει. αὐτὸς δέ, εἰ μὴ ζῆν ἄγει σχολήν, εἰσὶ μυρίαι ἄλλαι θανάτου ὁδοί. τούτων ὁποίαν αἱρεῖται, ἑλέσθω. ταῦτα δὲ φρυαξάμενος τῆς πολεμικῆς εἴ|χετο παρασκευῆς προθυμότερον. ὁ δὲ βασιλεὺς τὸν ἐκ προκλήσεως ἀπογνοὺς ἀγῶνα, πᾶσι τρόποις ἐμηχανᾶτο τὴν εἰς τὴν πόλιν ἀποκλεῖσαι εἴσοδον τοῖς βαρβάροις, καὶ πρὸς τὸ ἔργον ἐκπέμπει Βάρδαν μάγιστρον τὸν Σκληρὸν μετὰ τῶν ταγμάτων, ὧν ἐστρατήγει. τὸν δὲ πατρίκιον Ῥωμανὸν τὸν υἱὸν Κωνσταντίνου βασιλέως, τοῦ υἱοῦ τοῦ πρεσβυτέρου Ῥωμανοῦ, καὶ Πέτρον τὸν στρατοπεδάρχην, μεθ' ὧν ἐξῆρχον δυνάμεων, προσράξαι τοῖς πολεμίοις ἐπέτρεψεν. οἳ δὴ προσβαλόντες τοῖς Σκύθαις ἐμάχοντο καρτερῶς. ἐκθύμως δὲ κἀκείνων ὑποδεξαμένων, πολλὰς τροπὰς καὶ μετακλίσεις συνέβη τὸν πόλεμον δέξασθαι, καὶ ἐφ' ἱκανὸν χρόνον ἰσοτάλαντος ἦν ἡ μάχη. ἐνταῦθα πάλιν ὁ τοῦ τῆς Κρήτης ἀμηρᾶ υἱὸς Ἀνεμᾶς, τῇδε κἀκεῖσε τὸν ἵππον μετακινήσας καὶ σφοδρότερον μυωπίσας, κατ' αὐτοῦ τοῦ Σφενδοσθλάβου φέρεται μετὰ λήμματος νεανικοῦ, καὶ τὴν φάλαγγα διασχίσας τῶν δυσμενῶν παίει τοῦτον τῷ ξίφει κατὰ μέσην τὴν κεφαλήν, καὶ καταβάλλει μὲν τοῦ ἵππου, οὐ μήν γε καὶ ἀναιρεῖ ἐπαρκεσάντων τῶν ὅπλων, ἃ ἐνεδέδυτο. αὐτὸς μέντοι κυκλωθεὶς καὶ ὑπὸ πολλῶν βαλλόμενος ἀναιρεῖται, ἡρωϊκῶς καταστρέψας τὸν βίον καὶ θαῦμα μέγα καὶ τοῖς ἀντιπάλοις γενόμενος.

17. Λέγεται δὲ καὶ θειοτέρας τότε τυχεῖν τοὺς Ῥωμαίους ἐπικουρίας. θύελλα γάρ τις ἐκ νότου κατὰ πρόσωπον ἀρθεῖσα ἵστατο τῶν Σκυθῶν, μὴ συγχωροῦσα χρῆσθαι κατὰ τὴν μάχην ταῖς προαιρέσεσι. καί τις ἀνὴρ ὤπτο παντὶ τῷ στρατοπέδῳ Ῥωμαίων ἐφ' ἵππου λευκοῦ προαγωνιζόμενος καὶ τὰς τῶν πολεμίων κλονῶν | καὶ διαταράσσων φάλαγγας, μηδενὶ πρότερον ἢ μετὰ ταῦτα γενόμενος γνώριμος, ὃν ἔφασκον εἶναι ἕνα τῶν καλλινίκων μαρτύρων Θεοδώρων. τούτοις δὲ προμάχοις ἀεὶ καὶ προβόλοις κατὰ τῶν πολεμίων ἐχρῆτο ὁ βασιλεύς. καὶ γὰρ δὴ καὶ συνέτυχε τόνδε τὸν ἀγῶνα κατ' αὐτὴν συνενεχθῆναι τὴν ἡμέραν, καθ' ἣν εἰώθαμεν ἑορτάζειν τὴν μνήμην τοῦ στρατηλάτου. καὶ γυνή δέ τις

cap. 17: Zon. III, 533, 3–534, 13

ACEVBMN DH 86 αἱρεῖται VMN: αἱρεῖτο B: αἱροῖτο ACE 88 προκλήσεως VBMN: παρακλήσεως ACE 89 εἴσοδον om. B 90 αὐτὸς post ὧν add. ACE 91 τοῦ ante βασιλέως add. BM (sed non D) 92 πρεσβύτου AV τὸν om. ACE 93 ἐξῆρχον VBMN: ἦρχον CE: εἶχον A προσρῆξαι B ἐπέτρεψεν: προσέταξεν A 94 προσβαλόντες: κἀκείνων προ M τοῖς Σκύθαις προσβαλόντες A 2 τῆς ACEVBD: om. MN 4 τοῦ ante νεανικοῦ add. B 7 ἐνεδύσατο B κυκλωθείς: κύκλωθεν B 8 καὶ om. ADH 9 καὶ om. E 10 τυχεῖν τότε B 11 ἀρθεῖσα om. VB 13 παντὶ: παντελῶς E 14 διαταράττων A 16 ἕνα om. CB Θεοδώρων ACEVBND: Θεόδωρον MH τὸν ἕτερον post Θεόδ. add. B 18 ἀνενεχθῆναι E

ἐν Βυζαντίῳ σεμνὴ ὑπερτάτης δυνάμεως εἶναι τὸ φάσμα ἐπιστοῦτο, μιᾷ πρότερον τῆς συμπλοκῆς ἡμέρᾳ ὄναρ θεασαμένη, καὶ δόξασα τῇ θεοτόκῳ παρίστασθαι καὶ λεγούσης ἀκοῦσαι πρός τινα στρατιώτην· 'κῦρι Θεόδωρε, ὁ ἐμὸς καὶ σὸς Ἰωάννης περιστάσει συνέχεται, καὶ σπεῦσον εἰς τὴν αὐτοῦ βοήθειαν,' καὶ ἡλίου ἀνίσχοντος τοῖς γείτοσιν ἐξηγησαμένη. καὶ τὰ μὲν ὁραθέντα ταῦτα, τρέπονται δὲ πάλιν οἱ Σκύθαι, καὶ ἀποκεκλεισμένας τὰς τῆς πόλεως εὑρόντες πύλας ὑπὸ τοῦ Σκληροῦ ἀνὰ τὸ πεδίον ἐσκεδάννυντο, καὶ ἀνῃρέθησαν ὑπ' ἀλλήλων τε συμπατούμενοι καὶ ὑπὸ Ῥωμαίων συγκοπτόμενοι ἀριθμοῦ κρείττους, τραυματίαι δὲ ἐγένοντο σχεδόν τι πάντες. τὸν μάρτυρα δ' ὁ βασιλεὺς τιμῶν καὶ τῆς ἐπικουρίας ἀποτιννὺς αὐτῷ τὰς ἀμοιβάς, τὸν ναόν, ἐν ᾧ τὸ θεῖον αὐτοῦ ἀπόκειται σῶμα ἐκ βάθρων καταβαλὼν μέγαν τε καὶ κάλλιστον ᾠκοδόμησε, μεγαλοπρεπεῖς αὐτῷ κτήσεις προσαφορίσας. ὃν καὶ ἀντὶ Εὐχανείας Θεοδωρόπολιν κατωνόμασεν.

18. Ὁ δὲ Σφενδοσθλάβος πᾶσαν μετελθὼν μηχανὴν καὶ διὰ πασῶν ἐλαττούμενος, ὡς ἔγνω μηδεμίαν αὐτῷ ὑπολελεῖφθαι | ἐλπίδα, πρὸς συνθήκας ἀπέβλεψε. πέμπει οὖν πρὸς βασιλέα πρεσβευτὰς πίστεις ἐξαιτούμενος, ἐφ' ᾧ συμμάχοις καὶ φίλοις Ῥωμαίων καταλεγεὶς ἀσινὴς συγχωρηθείη ἐπ' οἴκου ἀναχωρῆσαι μετὰ τῶν ἀμφ' αὐτόν, ἀδεῶς τε τὸν βουλόμενον Σκύθην ἐμπορίας χάριν φοιτᾶν. δεξάμενος δὲ τὴν πρεσβείαν ὁ βασιλεὺς καὶ τὸ ᾀδόμενον λόγιον ἐπειπών, ὡς ἔθος Ῥωμαίοις τοὺς πολεμίους πλέον εὐεργεσίαις ἢ ὅπλοις νικᾶν πάντα τὰ αἰτούμενα ἐβεβαίωσε. γενομένων δὲ τῶν σπονδῶν ὁ Σφενδοσθλάβος καὶ εἰς ὁμιλίαν ἐλθεῖν ἐδεήθη τῷ βασιλεῖ. ἐπινεύσαντος δὲ καὶ πρὸς τοῦτο ἀφίκετο. καὶ συμμίξαντες ἀλλήλοις καὶ διαλεχθέντες περὶ ὧν ἂν ἐβούλοντο, ἀπηλλάγησαν. ὁ δὲ βασιλεύς, αἰτήσαντος καὶ τοῦτο τοῦ Σφενδοσθλάβου, καὶ πρὸς Πατζινάκας διαπρεσβεύεται, εἰ βούλονται, φίλους αὐτοὺς καὶ συμμάχους ἀξιῶν ἔχειν, καὶ μὴ διαπερᾶν τὸν Ἴστρον καὶ τὰ Βουλγάρων

42 circa finem mens. Iul. a. 971 **46** post mens. Iul. a. 971

cap. 18: Zon. III, 534, 13–536, 5; Glyc. 574, 9–574, 11

ACEVBMN DF **22** λέγουσα E **24** ἀφηγησαμένη A **26** εὑρόντες (εὑρόντας C) πύλας CVBN: πύλας εὑρόντες AEMD **27/28** ὑπ' — συγκοπτόμενοι: ὑπό τε Ῥωμαίων καὶ ὑπ' ἀλλήλων συμπατούμενοι B **29** δὲ VMN: δ' ACEB τι CEMN: οἱ A: om. VB **30** αὐτῷ om. B τὰς om. VB **31** ἀπέκειτο B μέγα E **32** κτήσεις ACEVBMND: κτίσεις H **33** Εὐχανίας AB **35** ἐλπίδα ὑπολειφθῆναι E **38** τε: δὲ C **39** εἰς τὴν Ῥωμαίων post χάριν add. B **42** γενομένων — Σφενδοσθλάβος: ὁ γοῦν Σφ. τῶν σπονδῶν γενομένων A **42/43** εἰς ὁμιλίαν ἐλθεῖν VB (ἐλθ; post ἐδεήθη) MN: εἰς ὄψιν ἐλθεῖν καὶ ὁμιλίαν ACE **43** τῷ βασιλεῖ ἐδεήθη CE **44** ἂν om. ACEB **46** πρός: τοὺς V Πατζινάκους CEB εἰ βούλονται post **47** συμμάχους VB βούλονται ACEVBNF: φίλονται M: βούλοιντο D αὐτοὺς om. ACE **47** μή: μηδὲ E Βουλγάρων VBMN: Ῥωμαίων ACE

ληΐζεσθαι, παραχωρῆσαι δὲ καὶ τοῖς Ῥῶς ἀκωλύτως διελθεῖν τὴν αὐτῶν γῆν καὶ οἴκαδε ἀπελθεῖν. ἀπεπλήρου δὲ τὴν πρεσβείαν Θεόφιλος ὁ τῶν Εὐχαΐτων ἀρχιερεύς. οἱ δὲ τὴν πρεσβείαν δεξάμενοι, τὴν διάβασιν μόνην ἀπαγορεύσαντες τῶν Ῥῶς, πρὸς τἄλλα σπονδὰς ἔθεντο. τῶν δὲ Ῥῶς ἀποπλευσάντων, τῶν παρὰ ταῖς ὄχθαις φρουρίων τοῦ ποταμοῦ καὶ πόλεων πρόνοιαν θέμενος ὁ βασιλεὺς ἐς ἤθη τὰ Ῥωμαίων ἀνέζευξεν. ὃν ὁ τῆς πόλεως ἀρχιερεὺς μετὰ τῆς συνόδου καὶ πάντες οἱ ἐν τέλει μετὰ παιάνων καὶ ἐπινικίων εὐφημιῶν ὑπεδέξαντο στεφανηφοροῦντες, τέθριππον ὄχημα λευκοπώλων ἔχοντες ἡτοιμασμένον | πάνυ διαπρεπῶς καὶ τούτου ἐπιβάντα ἀξιοῦντες θριαμβεῦσαι τὸν βασιλέα. ὁ δὲ μηδὲν σοβαρὸν ἐθέλων, ἀλλὰ μέτριον ἑαυτὸν ἐπιδεικνύμενος, τοὺς μὲν προσενεχθέντας ἀνειλήφει στεφάνους καὶ ἵππῳ λευκῷ τὸν θρίαμβον ἐξεπλήρωσεν, ἐν δὲ τῷ ἅρματι τὰς Βουλγαρικὰς θεὶς τῶν βασιλέων στολὰς καὶ ἄνωθεν τούτων εἰκόνα τῆς θεομήτορος ὡς πολιούχου, προπορεύεσθαι ἑαυτοῦ διετάξατο. ἐν δὲ τῷ λεγομένῳ φόρῳ γενόμενος καὶ ἀποχρώντως εὐφημηθεὶς καὶ τῇ θεομήτορι καὶ τῷ ταύτης υἱῷ τὰς ἐπινικίους εὐχαριστίας παρεσχηκώς, τὰ παράσημα τῆς Βουλγαρικῆς βασιλείας ἐπ' ὄψει τῶν πολιτῶν τὸν Βορίσην ἀποδιδύσκει. τὰ δὲ ἦν στέφανος ἐκ χρυσοῦ καὶ τιάρα νενησμένη ἐκ βύσσου καὶ πέδιλα ἐρυθρά. ἐκεῖθεν εἰς τὴν μεγάλην φοιτήσας ἐκκλησίαν καὶ ἐν αὐτῇ τὸν Βουλγαρικὸν στέφανον ἀνάθημα τῷ θεῷ δεδωκώς, ἀναγαγὼν δὲ καὶ τὸν Βορίσην εἰς τὸ τῶν μαγίστρων ἀξίωμα, ἐπορεύθη εἰς τὰ βασίλεια. ὁ δὲ Σφενδοσθλάβος οἴκαδε ὑποστρέφων ἐν τῷ διϊέναι τὴν τῶν Πατζινάκων γῆν περιπίπτει ἐνέδραις ἤδη προευτρεπισθείσαις καὶ ὑποδεχομέναις αὐτόν, καὶ ἄρδην αὐτός τε καὶ τὸ συνὸν αὐτῷ ἀπόλλυται πλῆθος, μηνιώντων αὐτῷ τῶν Πατζινάκων διὰ τὰς εἰς Ῥωμαίους σπονδάς.

72 vere a. 972

cap. 19: Zon. III, 536, 6—536, 10; Glyc. 574, 11—574, 14

ACEVBMN DH **48** Ῥὼς ACE **50** Εὐχαίων V **51** ἀπαγορεύσαντες τῶν Ῥῶς: τ. Ῥ. ἀπηγόρευσαν B Ῥὼς ACE δὲ post τἄλλα add. B Ῥὼς ACE **52** ταῖς ὄχθαις ACEVB: τὰς ὄχθας MND φρουρίων τοῦ ποταμοῦ VBMN: τοῦ ποτ. φρουρ. ACE **53** καὶ φρουρὰν καταλιπὼν τὴν ἀρκοῦσαν post θέμενος add. VB εἰς B **55** ἐπινικιῶν AB καὶ post ἐπινικ. add. E **56** λευκοπώλων CVN: λευκοπῶλον AEMDH: λευκόπωλον B διαπρεπῶς: πολυτελῶς A **57** διὰ μέσης post ἀξιοῦντες add. A **59** ἀπειλήφει E **60** καὶ om. V **61** πολιοῦχον A ἑαυτοῦ ACEMN: αὐτοῦ VB **63** τὰς dittogr. E **66** νενηγμένη B **67** φοιτήσας ἐκκλησίαν CEVMN: ἐκκλησίαν φοιτήσας B: ἐκκλησίαν ἀποφοιτήσας A τὸν: τὸ C στέφανον om. CE **68** μαγίστρων: μεγίστων E **70** Πατζινακῶν A **72/73** μηνιώντων — σπονδάς om. B Πατζινακῶν A **73** τοὺς ante Ῥωμαίους add. A

19. Ὁ δὲ βασιλεὺς χαριστήρια τῶν τροπαίων ἀποδιδοὺς τῷ σωτῆρι Χριστῷ ναὸν ἄνωθεν τῆς ἀψῖδος τῆς Χαλκῆς ἀνῳκοδόμησεν ἐκ καινῆς, μηδενὸς φεισάμενος τῶν εἰς πολυτέλειαν συντεινόντων καὶ κόσμον. ἀφῆκε δὲ καὶ τοῖς ὑποφόροις πᾶσι τὸ λεγόμενον καπνικόν. προσέταξε δὲ ἐν τῷ νομίσματι | καὶ τῷ ὀβολῷ εἰκόνα ἐγγράφεσθαι τοῦ σωτῆρος, μὴ πρότερον τούτου γινομένου. ἐγράφοντο δὲ καὶ γράμματα Ῥωμαϊστὶ ἐν θατέρῳ μέρει ὧδέ πῃ διεξιόντα· "Ἰησοῦς Χριστὸς βασιλεὺς βασιλέων." τοῦτο δὲ καὶ οἱ καθεξῆς ἐτήρησαν βασιλεῖς. Βασιλείου δὲ τοῦ πατριάρχου ἐπ' αἰτίαις διαβληθέντος καὶ συνοδικῶς καθαιρεθέντος, προεβλήθη πατριάρχης Ἀντώνιος ὁ Στουδίτης.

20. Αὐγούστῳ δὲ μηνί, ἰνδικτιῶνος τρίτης, ἐφάνη καὶ κομήτης ὁ λεγόμενος πωγωνίας, καὶ ἐφαίνετο ἕως Ὀκτωβρίου μηνὸς τῆς τετάρτης ἰνδικτιῶνος. προεμήνυε δ' οὗτος τὸν τοῦ βασιλέως θάνατον καὶ τὰς μελλούσας κατασχεῖν τὴν Ῥωμαίων γῆν ἐκ τῶν ἐμφυλίων πολέμων ἀπαραμυθήτους τύχας.

21. Τῶν δ' ὑπὸ τοῦ βασιλέως Νικηφόρου προσκτηθεισῶν πόλεων καὶ τῶν ὑποφόρων γενομένων Ῥωμαίοις, ὡς ἔμπροσθεν εἴρηται, ἀραμένων πτέρναν καὶ τὴν Ῥωμαϊκὴν ἀποσεισαμένων ἐξουσίαν, ἔξεισι κατ' αὐτῶν ὁ βασιλεὺς καὶ ἄπεισιν ἄχρι Δαμασκοῦ.

22. Καὶ τὰς μὲν πειθοῖ καὶ λόγῳ, τὰς δὲ πολέμῳ καὶ βίᾳ ἀνακτησάμενος, καὶ πάντα κατὰ τὸ πρέπον καταστησάμενος, ἀνεζεύγνυε πρὸς τὴν βασιλίδα. γενόμενος δὲ κατὰ τὴν Ἀνάβαρζαν καὶ τὸν Ποδανδὸν καὶ τὰς λοιπὰς παροδεύων χώρας, καὶ βλέπων τὰ ἐν ποσί, κτήσεις τε ὁρῶν πολυτελεῖς καὶ χωρία εὐφυῆ τε καὶ πάμφορα, διεπυνθάνετο τοὺς παρευρημένους, τίνος ἂν καὶ εἶεν αὗται. ὡς δ' ἐμάνθανε παρὰ τῶν ἐρωτωμένων, ὅτι περ τοῦ παρακοιμωμένου εἰσὶ Βασιλείου πᾶσαι, αὕτη μὲν καὶ αὕτη τῇ Ῥωμαίων προσκτηθ|εῖσαι ἔναγχος παρὰ Νικηφόρου τοῦ

76 hieme 971 **78** hieme 971 **82/83** a. 974 **84** a. 975 **91** a. 975

cap. 20: Glyc. 574, 14–574, 17 cap. 21: Zon. III, 536, 11–536, 14; Glyc. 574, 17–574, 20 cap. 22: Zon. III, 536, 14–538, 2; Glyc. 574, 20–575, 19

ACEVBMN *DH* **76** μηδενὸς: μὴ M εἰς om. CE πολυτέλειαν: συντέλειαν M **77** τῶν ὅλων θεμάτων post πᾶσι add. VB καὶ ante ἐν add. BMDH **78** ἐν ante τῷ alt. add. BH (sed non D) **79** γενομένου C **80** ὁ ante βασιλεὺς add. B **82** καὶ συνοδικῶς καθαιρεθέντος om. E **84** Αὐγούστου δὲ μηνὸς V γ' ACEB καὶ om. B **85** Ὀκτωμβρίου CEB τετάρτης τῆς B δ' C **86** τοῦ om. M **87** τὴν: τῶν E **94** ἀνεζεύγνυε ACEMN: ἀνέζευξε VB **95** βασιλίδα: βασιλεύουσαν E Ἀνάζαρβον A τὸν AVMN: τὸ CEB Ποδανδὸν: Πανδαδὸν C **1** τε om. M **3** καὶ om. B παρὰ om. M **4** πᾶσαι Βασιλείου VB καὶ ante αὕτη add. M **5** τῇ Ῥωμαίων ACEMN: Ῥωμαίοις VB

βασιλέως, αὕτη δὲ παρὰ τοῦδε τοῦ δομεστίκου τῶν σχολῶν, καὶ αὕτη παρὰ τοῦ δεῖνος, καὶ αὕτη καὶ αὕτη παρὰ σοῦ, καὶ τῷ Βασιλείῳ δεδώρηνται, οὐδὲν δέ, ὅτι καὶ λόγου ἄξιον εἶδεν ὑπολελειμμένον τῶν προσκτηθέντων τῷ δημοσίῳ, γενόμενος περιαλγὴς καὶ βύθιον στενάξας· ʽδεινόν, ὦ παρόντες,' ἔφη, ʽεἰ τὰ δημόσια καταναλίσκονται χρήματα καὶ τὰ Ῥωμαϊκὰ ταλαιπωροῦνται στρατεύματα καὶ οἱ βασιλεῖς ὑπερορίους ἀναδέχονται κόπους, τὰ δὲ ἐκ τῶν τοσούτων προσκτώμενα μόχθων ἑνὸς εὐνούχου γίνονται κτῆμα.' καὶ ὁ μὲν βασιλεὺς ταῦτα, τῶν τις δὲ παρόντων τῷ Βασιλείῳ τὸν τοῦ βασιλέως λόγον διαπορθμεύσας ἀνηρέθισε πρὸς ὀργήν. καὶ ἔκτοτε εὐκαιρίαν ἐζήτει τὸν βασιλέα ἀποσκευάσασθαι. θωπείαις οὖν ὑπελθών ποτε καὶ δώροις ἐξαπατήσας τὸν ἐγχεῖν εἰωθότα τὸν οἶνον τῷ βασιλεῖ, καὶ δηλητήριον κερασάμενος οὐ τῶν δραστικωτάτων καὶ ταχὺν ἐπιφερόντων τὸν κίνδυνον, ἀλλὰ τῶν σχολαίως καὶ κατὰ μικρὸν ἀναλισκόντων τὴν τοῦ πεπωκότος δύναμιν, κεράννυσι τῷ βασιλεῖ. καὶ πιὼν καὶ κατ' ὀλίγον νοσηλευόμενος καὶ τῆς οἰκείας δυνάμεως ἀποπίπτων, τελευταῖον δὲ καὶ τοὺς ὤμους ἀνθρακιάσας, αἵματος πολλοῦ ῥυέντος αὐτῷ διὰ τῶν ὀφθαλμῶν, εἰσελθὼν ἐν τῇ βασιλίδι κατέλυσε τὴν ζωήν, βασιλεύσας ἔτη ἕξ, τοσούτους τε μῆνας καὶ πρός, καὶ διαδόχους καταλιπὼν τῆς ζωῆς Βασίλειον καὶ Κωνσταντῖνον τοὺς παῖδας τοῦ Ῥωμανοῦ. |

τὴν δὲ ἰδέαν τοιόσδε τις ἦν· λευκὸς μὲν τὴν ὄψιν καὶ εὔχρους, τὴν κόμην φέρων ξανθὴν καὶ ἀραιάν, ἐπὶ μέτωπον. ὀφθαλμοὶ τούτῳ ἀνδρώδεις καὶ χαρωποί, ῥὶς λεπτή τε καὶ σύμμετρος, γένυς ἡ ἄνωθεν πυρσὴ καὶ εἰς πλαίσιον καθειμένη παρὰ τὸ μέτριον, ἡ δὲ κάτωθεν μεμετρημένη, ὡς τὸ εἰκός, καὶ μήτι ἐνδεῶς ἔχουσα. τὴν δὲ ἡλικίαν βραχύς τις ἦν, εἰ καὶ στέρνον εὐρὺ καὶ μετάφρενον εἶχε. γιγαντώδης δὲ τούτῳ ἐνῆν ἰσχύς, καὶ ταῖς χερσὶν εὐαγωγία καὶ ὁλκή τις ἀκαταγώνιστος· ἡρωϊκὴ γὰρ αὐτῷ ψυχὴ ἀνεκέκρατο, ἀδεής τε καὶ ἀκατάπληκτος, ἐν οὕτω βραχεῖ σώματι ἀποδεδειγμένη τόλμαν ὑπερφυῆ. ἐς ὅλην γὰρ φάλαγγα οὐκ ἀπεδειλία μόνος ὁρμᾶν, πλείστους τε κατακαίνων

23 die 10. mens. Ian. a. 976

26—44 = Leo Diac. 96, *18*—98, 2

ACEVBM (usque **20** πιὼν) N DH **6** τοῦδε om. A **7** καὶ αὕτη ante παρὰ σοῦ om. BM (sed non D) δεδώρηται C **8** ὡς ante οὐδὲν add. B τοῦ ante λόγου add. E **8/9** τῷ δημοσίῳ τῶν προσκτηθέντων B **9** τι post βύθιον add. B **10** τὰ δημοσίου B καταναλίσκοντα M **12** τὰ — μόχθων (τῶν om. BD Glyc. 572, 12; κόπων καὶ ante μόχθων add. D) VBMND: τὰ δὲ προσκτώμενα (προσκτηθέντα CE) ἐκ τῶν τοιούτων κόπων ACE **13** κτῆμα CEMN Glyc. 575, 12: κτήματα AVBD τις δέ; δέ τις τότε B **14** τῶν ante παρόντων et τῷ add. V **16** ἐγχεῖν: ἐκχεῖν, corr. ex ἐχεῖν, E **18** κίνδυνον: θάνατον A **19** σχολαίων M **20** καὶ pr.: ὁ δὲ B **23** καὶ μῆνα ἕνα post ἓξ add. E καὶ ante τοσούτους add. B τοσούτους τε μῆνας: μῆνας τοσούτους A **24** καὶ alt. om. D καταλιπὼν τῆς ζωῆς: τῆς βασιλείας καταλιπὼν B ζωῆς VN: βασιλείας ACEB **25** τοῦ om. E **26—45** interpol. ACE **26** τοιόσδε: τοιοῦτος A **28** ἄνω E **31** ἀναταγώνιστος Leo Diac. 96, 23 ψυχὴ non apud Leon. Diac. 96, 24 ἀνακέκρατο E **32** τόλμη E **33** κατακταίνων Leo Diac. 97, 3

ἀπτέρῳ τάχει πρὸς τοὺς οἰκείους διανέκαμπτεν, ἐν ἅλμασι δὲ καὶ σφαιρισμοῖς καὶ ἀκοντισμοῖς καὶ τόξων ἐντάσει καὶ βολαῖς πάντων κατευμεγέθει τῶν τότε. ἵππους τε τέσσαρας κέλητας ἱστὰς στοιχηδὸν ἐκ τοῦ θατέρου μέρους καθαλλόμενος ἐπὶ τὸν πύματον ὥς τις πτηνὸς ἐφίζανε. βέλος τε ἀφιεὶς διὰ δακτυλίου ὀπῆς τοῦ σκοποῦ κατεστοχάζετο σφαῖράν τε ἐκ σκύτους κατειργασμένην ἐν πυθμένι ὑελλίνου σκύφους τιθείς, τὸν ἵππον μύωπι κεντρίζων θαμὰ καὶ τὸν δρόμον ἐπιταχύνων, ῥάβδῳ παίων τὴν σφαῖραν αὐτὴν μὲν ἀναθρῴσκειν καὶ πέτεσθαι κατειργάζετο, τὸ δὲ σκύφος ἐπὶ χώρας ἔμενεν ἀμετακίνητον. μεγαλόδωρός τε ἦν καὶ φιλοδωρότατος, καὶ οὐδεὶς αὐτὸν αἰτησάμενος ἀπῆλθε κενός, εἰ μὴ Βασίλειος ὁ παρακοιμώμενος ἐπεῖχεν αὐτόν. ἐλάττωμα δὲ τούτῳ προσῆν, ὅτι τε περὶ πότους ἔστιν ὅτε παρὰ τὸ προσῆκον ἐκώμαζε καὶ περὶ τὰς τοῦ σώματος ἡδονὰς διεπτόητο. ἦν δὲ ὅτε ἐβασίλευσεν ἐτῶν τεσσαράκοντα καὶ πέντε, θνῄσκει δὲ ζήσας τὰ πάντα ἔτη πεντήκοντα πρὸς τῷ ἑνί. Ὁ Σεβαστείας κατὰ τὴν ἑνδεκάτην (ια' A) τοῦ Ἰαννουαρίου μηνὸς βασιλεῦσαί φησι τὸν Βασίλειον. ᾧ μᾶλλον πιστευτέον.

ACE 34 ἀπτέρῳ CE: ἀπείρῳ A: ἀπτερώτῳ Leo Diac. 97, 3 διανέκαμπτεν C: διανέκαμπεν A: διενέκαπτεν E: διανέκαμπτε Leo Diac. 97,4 ἅλματι E δὲ AC Leo Diac. 97, 4: τε E 35 ἐντάσει CE: ἐντάσεσι A Leo Diac. 97, 5 36 κέλωτας E ἱστὰς κέλητας A ἐκ A Leo Diac. 97, 7: εἰ E: om. C 37 πύματον AE Leo Diac. 97, 5: πέμπτον C 38 πυθμένι AE Leo Diac. 97, 13: πυθμέσιν C ὑελλίνου AE Leo Diac. 97, 12 cod. Paris. Gr. 1712: ὑελίνου C σκύφους AE Leo Diac. 97, 13: σκάφους C 40 πέττεσθαι C 41 ἀμετακίνητον ἔμενε A 43 τε CE Leo Diac. 98, 1: τὰ A καὶ post ὅτε add. E ἐκώμαζεν E 44 διεπτόητο ACE: διεπτοεῖτο Leo Diac. 98, 2 cod. Scor. Y-I-4: δι' ἐπτωῆτο Leo Diac. cod. Paris. Gr. 1712 44/45 τεσσαρακονταπέντε A 45 Ὁ – 47 interpol. AE

ΒΑΣΙΛΕΙΟΣ ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΝΟΣ

1. Τὸ μὲν οὖν Ἰωάννου τέλος τὸν εἰρημένον συνηνέχθη τρόπον, τὸ δὲ τῆς βασιλείας κράτος εἰς Βασίλειον μετήχθη καὶ Κωνσταντῖνον τοὺς υἱοὺς Ῥωμανοῦ, κατὰ τὸ ἑξακισχιλιοστὸν τετρακοσιοστὸν ὀγδοηκοστὸν τέταρτον ἔτος, ἰνδικτιῶνος τετάρτης, μηνὸς Δεκεμβρίου. ὧν ὁ μὲν Βασίλειος τὸν εἰκοστὸν ἤνυε τῆς ἡλικίας χρόνον, ἔτεσι δὲ τρισὶ τούτου νεώτερος ἦν ὁ Κωνσταντῖνος. σχῆμα μὲν οὖν καὶ ὄνομα μόνον τοῖς βασιλεῦσι περιετέθειτο, ἡ δὲ μεταχείρισις τῶν πραγμάτων παρὰ τοῦ προέδρου ἐνηργεῖτο Βασιλείου διὰ τὸ νεάζον τῆς ἡλικίας τῶν βασιλέων καὶ ἁπαλὸν καὶ μήπω βεβηκὸς τοῦ φρονήματος. ὃς ἅμα τε περιῆλθεν εἰς τοὺς παῖδας τοῦ Ῥωμανοῦ τὸ κράτος, καὶ ἅμα ταχυδρόμους ἐκπέμψας ἄγει τὴν αὐτῶν μητέρα ἀπὸ τῆς ὑπερορίας εἰς τὰ βασίλεια. δεδιὼς δὲ καὶ τὰς κατὰ τῆς βασιλείας ἐπαναστάσεις, καὶ μᾶλλον τῶν ἄλλων Βάρδαν μάγιστρον τὸν Σκληρόν, ἀεὶ τῇ βασιλείᾳ ἐφεδρεύοντα καὶ | διὰ παντὸς τὴν ἀποστασίαν ὠδίνοντα (ἑάλω γὰρ καὶ ἐπὶ τοῦ βασιλέως Ἰωάννου ἐπιβουλεύων, καὶ καταδικασθεὶς ἐξορυχθῆναι τοὺς ὀφθαλμοὺς ἐξερρύσθη παρ' αὐτοῦ τῆς ποινῆς), τοῦτον μάλιστα δεδοικὼς πᾶσαν τηνικαῦτα τὴν Ῥωμαϊκὴν δύναμιν ἐγκεχειρισμένον καὶ ὅπῃ καὶ βούλοιτο ῥᾳδίως ἄγοντα καὶ μετακυβεύοντα (ἦν γὰρ στρατηλάτης προβεβλημένος πάσης ἀνατολῆς), συμφέρον εἶναι τῇ βασιλείᾳ καὶ ἀσφαλὲς ἐνόμισε τὸ πολὺ τῆς δυνάμεως ἀκρωτηριάσαι καὶ ἀσθενέστερον αὐτὸν ἀποφήνασθαι πρὸς τὴν ὑποπτευομένην ἀποστασίαν. καὶ οὖν καὶ παραλύει τοῦτον τῆς τοῦ στρατηλάτου ἀρχῆς, δοῦκα δὲ ἀποδείκνυσι τῶν ἐν Μεσοποταμίᾳ ταγμάτων, ἐπαγρυπνεῖν κελεύσας καὶ φυλάττειν τὰς ἐκδρομὰς τῶν Σαρακηνῶν. τὸ δ' αὐτὸ τοῦτο καὶ εἰς Μιχαὴλ τὸν Βούρτ-

51 a. 976 **62** a. 971

---

cap. 1: Zon. III, 538, 15—539, 17; Glyc. 575, 20—575, 22

ACEVBN DH **48** Βασίλειος — Κωνσταντῖνος VMN: Βασίλειος ὁ Νέος ACE: om. B **49** οὖν om. C συνήχθη B **50** μετήχθη ACEVB: μετηνέχθη ND **51/52** ,ςυπδ' ACEBN **52** δ' ACEN μηνὸς Δεκεμβρίου ACEV: μηνὶ Δεκεμβρίῳ BND **53** τούτου τρισὶ C **54** οὖν om. B ὄνομα μόνον ACEVB: μόνον ὄνομα NDH **55** ἡ ante τῶν add. A **56** ἐνεργεῖτο B **56/57** τῶν — ἁπαλὸν VBN: καὶ ἁπαλὸν τῶν βασιλέων ACE **58** τοῦ om. ACE ἅμα om. A ἐκπέμψας VBN: πέμψας ACE **62** διὰ παντὸς τὴν om. B **65** ὅποι B **66** προβεβλημένος om. C **67** ἀσφαλῆ C **69** ἀποφῆναι B καὶ οὖν καὶ: καὶ γοῦν B **70** δὲ om. E **71** καὶ ante ἐπαγρυπνεῖν add. B **72** Βούρτζιν B

ζην ὕποπτον ὄντα ἐμηχανήσατο, διαστῆσαι τοῦτον τῆς τοῦ Σκληροῦ ἑταιρείας σπουδάσας (συνῆν γὰρ καὶ οὗτος αὐτῷ τάγματός τινος κατάρχων στρατιωτικοῦ). ὅνπερ τῷ τῶν μαγίστρων τιμήσας ἀξιώματι δοῦκα τῆς παρὰ τῷ Ὀρόντῃ Ἀντιοχείας προβάλλεται. ἔφορον δὲ καὶ ἐπιστάτην τῶν ἑῴων ἀποδείκνυσι πάντων ταγμάτων τὸν πατρίκιον Πέτρον τὸν τοῦ Φωκᾶ δοῦλον, στρατοπεδάρχην αὐτὸν ὀνομάσας, τομίαν μὲν ἄνθρωπον, δραστήριον δὲ ἄλλως καὶ τὰ πολεμικὰ ἐμπειρότατον. τοῦτο τὸν Σκληρὸν σφόδρα ἐλύπησεν, ὡς μηδὲ παρ' ἑαυτῷ δυνηθῆναι συγκαλύψαι τὴν ἀνίαν μεγαλοψύχως, ἀλλ' ἐπεγκαλέσαι καὶ προσονειδίσαι, | εἰ ἀντὶ τῶν ὑπ' αὐτοῦ γενομένων ἀνδραγαθημάτων τε καὶ τροπαίων τοιαύτας ἀντιλαμβάνει τὰς ἀμοιβάς, ἐπὶ τὸ χεῖρον προκόπτων, κἂν ὀλίγον ἢ οὐδὲν τῷ παρακοιμωμένῳ ἐμέλησεν, ἀγαπᾶν εἰπόντι τοῖς δεδομένοις, καὶ μὴ ἐπέκεινα πολυπραγμονεῖν, εἰ μή που μέλλει ἀντὶ ἄρχοντος οἰκουρὸς ἔσεσθαι τῆς ἰδίας οἰκίας.

2. Τούτων δὲ οὕτως οἰκονομηθέντων τῷ παρακοιμωμένῳ ἀπάρας ὁ Βάρδας τῆς βασιλίδος σὺν τάχει πολλῷ τὴν ἐγχειρισθεῖσαν αὐτῷ καταλαμβάνει ἀρχήν. ἐν δὲ ταῖς προηγησαμέναις στρατηγίαις ἐμβριθὴς πολλάκις φανεὶς καὶ δραστήριος, καὶ ὑπὸ παντός, ὡς ἔπος εἰπεῖν, τοῦ στρατοῦ φιληθείς, καὶ πρὸς πολλούς, οὓς ἐθάρρει τὸ τῆς μελέτης παραγυμνώσας μυστήριον, καὶ μᾶλλον τῷ τάγματι τῶν στρατηλατῶν, ἄρτι δὲ καιρὸν οἰηθεὶς ἐπιτήδειον εἰς τὸ ἀνακαλύψαι τὸ σπουδαζόμενον, μετὰ τῶν ἐπιτηδείων σκεψάμενος, ἣν ἐκ μακρῶν ὤδινεν ἀποτίκτει ἀποστασίαν, καὶ κατὰ τῶν βασιλέων καὶ τῶν ὁμοφύλων αἴρει τὰ ὅπλα. εὐθὺς οὖν Ἄνθην τινὰ τοὔνομα, Ἀλυάτην τὴν προσηγορίαν, τὰ μάλιστα ὄντα αὐτῷ τῶν δραστικωτάτων ὑπηρετῶν, ἐς τὴν βασιλίδα ἐκπέμπει, ὅπως, εἰ δύναιτο, Ῥωμανὸν τὸν ἑαυτοῦ κλέψας υἱόν (ἔτυχε γὰρ ἐνδημῶν τῇ βασιλευούσῃ) πρὸς αὐτὸν ἀφίκηται. ὁ δὲ γενόμενος ἐν τῇ πόλει καὶ πάντα τρόπον λαθεῖν ἐπειγόμενος φήμας οὐ καλὰς κατὰ τοῦ Σκληροῦ ἐνέσπειρε, δι' ὧν λαθεῖν τε ἐδυνήθη ἀνύποπτος φανεὶς καὶ τὸν Ῥωμανὸν

cap. 2: Zon. III, 539, 17—541, 1

ACEVBM (a 94 ἀπο]στασίαν) N DFH 74 ἑταιρίας ACVH σπουδάσας om. B
75 τῷ om. B 76 παρὰ ACVBD: περὶ ENH Ὀρόντι B 79 ἐμπυρότατον C
83 τε om. B 86 μέλλει ACEVB: μέλλοι N: μελλ' D ἰδίας οἰκίας: οἰκίας αὐτοῦ A
87 καὶ ante οὕτως add. B οὕτω E 89 δὲ ταῖς προηγησαμέναις ACEVB:
ταῖς προηγησαμέναις δὲ NF στρατηγίαις VBN: στρατείαις ACE 91 οὓς: ὡς B
92 τῷ τάγματι: τὸ τάγμα B 93 δὲ CEVN: τε A: om. B καὶ post σπουδαζ.
add. NDH 94 μακροῦ B 95 τῶν βασιλέων: τῆς βασιλείας B καὶ ante
εὐθὺς add. E 1 Ἄνθην τινὰ ACEVB: τινα Ἄνθην NDH: Ἄνθην M 2 ἐς VMND:
εἰς ACEBH ἐκπέμπει ACEVB: πέμπει MNDH 3 ἑαυτοῦ: αὐτοῦ B κλέψας
ACEVB: κλέψαι MNDH 4 ἀφικνεῖται C 6 ἐνέσπειρεν post 5 καλὰς B
ἠδυνήθη ACE

ἀποκλέψας πρὸς τὸν Σκληρὸν ἀγαγεῖν. ὁ Βάρ|δας δὲ τὸ βουλευθὲν εἰς τοὐμφανὲς ἤδη ἐκρήξας διάδημά τε περιβάλλεται καὶ τὰ λοιπὰ τῆς βασιλείας ἀναλαμβάνει παράσημα καὶ ὑπὸ παντὸς τοῦ συνόντος στρατοῦ Ῥωμαίων ἀναγορεύεται βασιλεύς, τῶν Ἀρμενίων καταρξάντων τῆς εὐφημίας. ἐπεὶ δὲ τῷ τοιοῦτον ἀναρρίψαντι κύβον χρημάτων δεῖν πολλῶν ἠπίστατο, ὧν ἄνευ οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων, καθά πού φησιν ὁ ῥήτωρ, πρὸς συλλογὴν τούτων παραχρῆμα ἐτρέπετο, τούς τε τῶν δημοσίων πράκτορας φόρων κατέχων καὶ τὰ κοινὰ εἰσπραττόμενος χρήματα, καὶ τοὺς ἄλλως ὑπόνοιαν παρέχοντας πλούτου συλλαμβάνων καὶ τιμωρῶν, ἐνίων δὲ καὶ αὐθαιρέτως προσαγόντων τὸν ἑαυτῶν βίον ἐλπίδι τοῦ ἀπολήψεσθαι μείζονα. καὶ οὕτως ἐν οὐ μακρῷ τῷ χρόνῳ πλῆθος χρημάτων συνάγει πολύ. φρούριόν τε κατασχὼν ἐρυμνὸν τὸ λεγόμενον Χάρπετε, ἐν Μεσοποταμίᾳ κείμενον, καὶ παντοίως ἀσφαλισάμενος καὶ φυλακὴν ἐπιστήσας τὴν ἐξαρκοῦσαν, ἐν τούτῳ τά τε συναγόμενα ἀπετίθει χρήματα, καὶ ὁρμητήριον ἐξ ἀποτυχίας καὶ λιμένα σωτηρίας ἔχειν ἐταμιεύετο. καὶ τοὺς προσγειτονοῦντας Σαρακηνούς, τόν τε τῆς Ἀμίδης ἀμηρᾶν Ἀποτούλφ, ἥτις Ἔμετ καλεῖται, καὶ τὸν τῆς Μαρτυρουπόλεως Ἀποτάγλε, ἥντινα Μιεφερκεὶμ ὀνομάζουσι, πίστεις δοὺς καὶ λαβών, καὶ μετ' αὐτῶν κηδεύσας καὶ διὰ τοῦ κήδους τὰ τῆς φιλίας ἀσφαλισάμενος, χρήματά τε λαμβάνει πολλὰ καὶ συμμαχικὸν Ἄραβας ἱππότας τριακοσίους. τῆς φήμης δὲ πανταχοῦ διαδραμούσης, συνέρρεον πρὸς αὐτὸν ὁπόσοι νεωτέροις χαίρουσι πράγμασιν. ἤδη δὲ τοῦ | θέρους ἐπιγενομένου ἄρας παντὶ τῷ στρατῷ ἠπείγετο πρὸς τὴν βασιλεύουσαν, μεστὸς ἐλπίδων καὶ μονονοὺ τοῖς βασιλείοις καθῆσθαι δοκῶν. καὶ γὰρ δὴ καὶ ἐθράσυνεν αὐτὸν καὶ τολμηρότερον ἐτίθει πρὸς τὸ ἐγχείρημα μοναχοῦ τινος ἀρετῆς ἀντιποιουμένου ὄψις νυκτερινή. ἐδόκει γὰρ οὗτος ἰδεῖν

10 vere a. 976

12 cf. Demosth., Olynth. 1, 20 et Scylitzes Cont. 103, 19/20 Tsolakes

ACEVBMN DH **7** βουληθὲν B **9** αὐτῷ post συνόντος add. B **11** τῷ: τὸ B ἀναρρίψαντα C δεῖ B **12** ἐπίσταντο B γενέσθαι τῶν δεόντων ACEVBD: τῶν δεόντων γενέσθαι (ἐπιγενέσθαι M) MNH **12/13** καθά — ῥήτωρ: κατὰ τὸν ῥήτορα B **13** ἐτράπετο B τοὺς ante τῶν (τῶν om. N) MN (sed non D) **15** ἄλλως: ἄλλους B δὲ post συλλαμβάνων add. CE **16** προσαγαγόντων E **17** ἀπολήψασθαι B **19** Χάρπετ B καὶ παντοίως ἀσφαλισάμενος om. ACE **21** ἀποτυχίας ACEVBD: ἀτυχίας MN **22** ἐταμιεύετο ACEVBD: ἐταμιεύσατο MN πρὸς ante τοὺς add. MNDH προσγειτονοῦντας ACEVB: γειτονοῦντας MNDH **23** Μαρτυρουπόλεως VBMN: Μαρτυροπόλεως ACEDH **24** Ἀποτάλγε B ᾠκειώσατο post ὀνομάζουσιν add. B, post **25** λαβὼν add. A **25** μετ': ἐπ' M κηδεύσας: κῆδος συστησάμενος B **26** συμμαχικοὺς B **27** πανταχοῦ post συνέρρεον dittogr. add. A **28** πρὸς VBMN: ἐπ' ACE νεώτεροι E χαίρουσι πράγμασιν ACEVBD: πράγμασι χαίρουσιν MN **30** μονονουχὶ E τοῖς βασιλείοις καθῆσθαι CEVMN: τῷ θώκῳ τῆς βασιλείας ἐφιζάνειν B: τῷ θρόνῳ τῶν βασιλείων ἐγκαθῆσθαι A **31** καὶ pr. om. B τολμητότερον B

ἄνδρας πυρίνους, οἵτινες τὸν Βάρδαν λαβόντες ἄγουσιν εἴς τινα ὑψηλοτάτην περιωπήν. ἐντυχεῖν δ' ἐν αὐτῇ γυναικὶ ἀνθρωπίνης ὄψεως στερροτέρᾳ, καὶ τὴν μάστιγα αὐτῷ ἐπιδοῦναι βασιλικήν. ταύτην τὴν μάστιγα ὁ μὲν Βάρδας σύμβολον ἐλογίζετο τῆς βασιλείας, ἦν δὲ ἄρα ἡ πρὸς Ῥωμαίους ὀργὴ τοῦ θεοῦ.

3. Ἄρτι δὲ τῆς φήμης καὶ τὴν βασιλίδα καταλαβούσης, οἱ βασιλεῖς τε ἐν ἀγωνίᾳ καθίσταντο, καὶ ἀθυμία κατεῖχε τὸ νουνεχὲς τοῦ πολιτεύματος καὶ ἀκέραιον, μόνους δὲ ηὔφραινε τοὺς ὅσοι ταῖς ἐναλλαγαῖς ἥδονται τῶν πραγμάτων καὶ χαίρουσι ταῖς λεηλασίαις. ταχύ τε οὖν γράμματα πρὸς τὸν στρατοπεδάρχην ἐγένοντο Πέτρον, καὶ ταχὺ τὸ ὑγιαῖνον τοῦ στρατοῦ μέρος ἠθροίζετο εἰς Καισάρειαν. ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, ὁ σύγκελλος Στέφανος καὶ τῆς Νικομηδείας πρόεδρος, ἀνὴρ ἐλλόγιμος καὶ ἐπὶ σοφίᾳ καὶ ἀρετῇ διαβόητος καὶ πειθοῖ μαλάξαι ἱκανὸς γνώμην σκληρὰν καὶ ἀτίθασσον, πρέσβυς ἐς τὸν Σκληρὸν ἀποστέλλεται, εἴ πως δυνηθῇ πεῖσαι τοῦτον ἀποθέσθαι τὰ ὅπλα. ἀλλ' οὗτος πρὸς ἓν ἔχων τὴν διάνοιαν τεταμένην, τὴν τῆς βασιλείας ὄρεξιν, ἐλθόντα πρὸς αὐτὸν καὶ | πολλὰ εἰπόντα ἐπαγωγὰ καὶ θελκτήρια λόγων μὲν πολλῶν οὐκ ἠξίωσεν, ἀνατείνας δὲ τὸν δεξιὸν πόδα καὶ τὸ κοκκοβαφὲς δείξας πέδιλον· 'ἀδύνατον, ὦ ἄνθρωπε,' ἔφη, 'τὸν τοῦτο ἅπαξ περιβαλλόμενον ἐπ' ὄψει πολλῶν ῥᾳδίως ἀποβαλεῖν. φράσον τοίνυν τοῖς ἀποστείλασιν, ὡς ἢ ἑκοντί με παραδέξονται βασιλέα, ἢ καὶ μὴ βουλομένων πειράσομαι λαβεῖν τὴν ἀρχήν.' ταῦτα εἰπὼν καὶ προθεσμίαν ἡμέρας τεσσαράκοντα δεδωκὼς ἀπαλλάττεσθαι κελεύει. ἐπαναδραμόντος δὲ τοῦ συγκέλλου καὶ τὴν ἀπόκρισιν ἀποκομίσαντος τοῦ Σκληροῦ τοῖς βασιλεῦσι καὶ τῷ τὴν βασιλείαν ἰθύνοντι Βασιλείῳ, γράμματα ἐφοίτων πρὸς τὸν στρατοπεδάρχην ἐμφυλίου μὲν μὴ κατάρχειν πολέμου, τὰς δὲ παρόδους

42 fortasse aestate a. 976 **46** fortasse aestate a. 976 **57** aestate a. 976 circiter

cap. 3: Zon. III, 541, 1–541, 11

ACEVBMN DH **33** Βάρδα C ἄγουσιν ACEV: ἀνάγουσιν BMNDH τινα: τὴν C **34** δὲ ACE ἀνθρωπίνης — στερροτέρᾳ: στερρ. ὄψ. ἀνθρ. A **35** τὴν pr. om. ACE βασιλικόν CE **36** ἡ: καὶ E τοὺς ante Ῥωμ. add. E **39** καθίσταντο ACEVB: καθίστανται MH: καθίσταντ N: καθίστατο D κατεῖχε ACEVB: κατέσχε MNDH τοῦ πολιτεύματος VBMN: τῆς πολιτείας ACE **40** ηὔφραινε ACV: ηὔφρανε EBMNDH **42** ἐγίνοντο ACEB Πέτρον: πρότερον B **43** ἠθροίζοντο B **44/45** ἐλλόγιμος ἀνὴρ B **45** ἐπιβόητος B ἱκανὸς post **46** ἀτίθασσον B **46** πρέσβυς: πρέσβις AVBMND: πρέσβης CE εἰς B **48** ὄρεξιν: ἔφεσιν A **52/53** ῥᾳδίως — μή: ῥᾳδίως ἀποβασιλέα ὀνομασθῆναι. βουλομένων οὖν, εἰ καὶ μὴ B **53** ἑκοντὶ παραδέξονταί με A βασιλέα om. CE καὶ om. C **54** ἡμέρας VMND: ἡμερῶν ACEBH **56** κομίσαντος B ἀποκομίσαντος — βασιλεῦσι: τοῦ Σκληροῦ τοῖς βασιλεύουσιν ἀποκομίσαντος A

τηρεῖν ἀσφαλῶς, καὶ ἥν τις ἐπίῃ πολεμήσων, ἀμύνεσθαι. ὁ δὲ Σκληρὸς ἀπιὼν πρὸς Καισάρειαν προδρόμους ἀπέστειλε καὶ κατόπτας, ἐφ' ᾧ κατασκοπεῖν, καὶ ὅπηπέρ εἰσιν οἱ ἐναντίοι μηνύειν, καὶ προομαλίζειν αὐτῷ τὴν ὁδόν. ἔξαρχος δὲ τῶν πεμφθέντων προκέκριτο Ἄνθης ὁ Ἀλυάτης. οἵτινες καταντήσαντες ἔν τινι στενοχωρίᾳ (Κούκου λίθον τὸν τόπον ὀνομάζουσι) καὶ μέρει τῆς βασιλικῆς στρατιᾶς ἐντυχόντες ἄρχοντα ἐχούσης Εὐστάθιον μάγιστρον τὸν Μαλεῖνον, ἀπεπειρῶντο τοῦ συναντήματος καὶ ἀκροβολισμοὺς ἐποιοῦντο. ἐπί τινα δὲ καιρὸν ἀκροβολιζομένων ἀλλήλοις τῶν στρατευμάτων, καὶ μηδενὸς νῶτα διδόντος, ὁ Ἀλυάτης μὴ περισχὼν ἑαυτόν, περικαρδίῳ δὲ ζέσει ληφθείς, μυωπίσας τὸν ἵππον σὺν ἀλογίστῳ ῥύμῃ τοῖς ἐναντίοις προσρήγνυται. μηδὲν | δέ, ὅ τι καὶ λόγου διαπραξάμενος ἄξιον, πίπτει καιρίαν τυπείς. καὶ τὸ ἀμφ' αὐτὸν ἅπαν εἰς τὰς ἔγγιστα νάπας καὶ λόχμας διεσκεδάσθη. διεμηνύθη δὲ τότε καὶ ὁ τοῦ Βάρδα ἑταιρειάρχης ὡς μέλλων αὐτομολεῖν τῷ τοῦ βασιλέως στρατῷ. ὃν παραστησάμενος ὁ Σκληρὸς καὶ προσονειδίσας, καὶ μηδὲν πλέον φανερῶς εἰς αὐτὸν δεδρακώς, ἀπέλυσε, λάθρᾳ δὲ τοῖς μισθοφόροις Σαρακηνοῖς μηνύσας ἀνεῖλεν. οὗτοι γὰρ διϊόντα τὸν ἄνδρα μεσούσης ἡμέρας περιχυθέντες ταῖς μαχαίραις κατέκοψαν.

4. Οἱ δὲ τῶν βασιλικῶν κατάρχοντες στρατευμάτων τὴν τοῦ Σκληροῦ ὅσον οὐδέπω ἐπέλευσιν προσδοκῶντες, τὰ καίρια τῆς ὁδοῦ κρίνουσι προκαταλαβεῖν, καὶ ἄραντες παντὶ τῷ στρατεύματι στρατοπεδεύουσιν ἀπεναντίας ἐκείνῳ, προκαταλαβόντες, ἃς ἔμελλε διοδεύειν ὁδούς. ὅπερ μαθὼν ὁ Σκληρὸς νωθρὸς ἦν καὶ ὤκνει τὴν εἰς τὸ πρόσω πορείαν, μελλήσει δὲ τρίβων τὸν χρόνον ἐκαραδόκει τὸ μέλλον. ἀνερεθίζει δὲ τοῦτον καὶ προθυμότερον ἀποδείκνυσιν αὐτόμολός τις ἐλθὼν στρατηγός, Σαχάκιος τοὔνομα, Βραχάμιος τὴν προσηγορίαν. παρηγγύησε γὰρ ἐλθὼν μὴ

70 autumno a. 976

cap. 4: Zon. III, 541, 11—542, 4

ACEVBMN DH **59** ἀμύνασθαι EB **60** πρὸς: εἰς C **61** ὅπηπέρ εἰσιν: ὅπῃ πάρεισιν M **62** προκέκριτο ACEVND: προκέκριται BM: προσκέκριται H **63** καταντ. post στενοχωρ. A τινι om. B στενοχωρίῳ C Κούκου MNB: Κούκκου VDH: Κόκκου ACE **64** ὀνομάζουσι ACEV: κατονομάζουσι BMNDH μέρει ACEBN: μέρος VMDH ἄρχοντας E **65** ἔχοντα B τὸν ante μάγιστρον add. E Μαλεῖνον CEVMN: Μαλέϊνον A: Μαλέηνον B **66/67** ἀκροβολισμένων B **67** διδόντος ACEVB: διδόντων MNDH **69** δέ ACVBD: om. EMNH **71** νάπας καὶ λόχμας ACEVBD: λόχμας καὶ νάπας MN **72/73** τοῦ βασιλέως: τῆς βασιλείας E **74** φανερῶς om. B **77** στρατευμάτων ACEVBD: ταγμάτων MN **78** καίρια: ἐπικαιρότατα B **79** σὺν ante τῷ add. B **80** ἐκείνῳ: ἐκείνου C **81** τὸ AEVMN: τὴν C: τὰ B **82** ἀνερέθιζε B **83** ἀναδείκνυσιν A **84** παρηγγύησε ACVBN: παρεγγύησε E: παρεγγυήσει M

τηνάλλως τρίβειν τὸν χρόνον· καταφρόνησιν γὰρ ἔλεγεν ἐμποιεῖν τὴν τριβήν. δόξας δὲ λέγειν εὔκαιρα ἡγεμὼν καὶ ὁδηγὸς ἀποδείκνυται τῆς ὁδοῦ. καὶ ὁ μὲν ἡγεῖτο, οὗτος δὲ εἵπετο. καὶ διὰ τριῶν ἡμερῶν καταλαμβάνει τὴν Λάπαραν. τόπος δὲ οὗτος μέρος τῆς Καππαδοκίας, τὸ νῦν λεγόμενον Λικανδόν, διὰ τὸ λιπαρὸν καὶ πάμφορον οὕτω κατονομασθείς. τοῦτο μαθὼν ὁ στρατοπεδάρχης, νυκτοπορίᾳ χρησάμενος δέει τοῦ μὴ ἀντιπαρελθεῖν τὸν Σκληρόν, | ἀντιστρατοπεδεύει τοῖς ἐναντίοις. καὶ μέχρι μέν τινος ἀνεδύοντο καὶ παρεῖλκον τὴν εἰς τοὐμφανὲς συμπλοκήν, καὶ κλέψαι τὴν νίκην διηγωνίζοντο. κατεστρατήγησε δὲ τοὺς ἐναντίους ὁ Βάρδας, δεῖπνα πολλὰ παρασκευασάμενος, ὡς τάχα τὸν οἰκεῖον ἑστιάσων στρατόν, καὶ οὕτω τοὺς πολεμίους ἐξαπατήσας. ὑπολαβόντες γὰρ κατ' ἐκείνην τὴν ἡμέραν μὴ κατάρξασθαι μάχης αὐτόν, καὶ αὐτοὶ πρὸς εὐωχίαν ἐτράποντο. ὁ δὲ Σκληρὸς ὡς ἔγνω τοῦτο (εἶχε γὰρ καὶ πρὸς πόλεμον παρεσκευασμένα τὰ στρατεύματα), αἰφνίδιον τῇ σάλπιγγι σημήνας τὸ ἐνυάλιον ἐμπίπτει τοῖς πολεμίοις ἀριστοποιουμένοις. οἱ δέ, ὡς ἔτυχεν ἕκαστος, τὸ παρατυχὸν ἀναλαμβάνοντες ὅπλον τοὺς προσιόντας ἐδέχοντο, μὴ τῷ αἰφνιδίῳ καταπλαγέντες. καὶ ἐπὶ χρόνον μέν τινα εὐρώστως ἠμύνοντο. εἶτα ὑπερκερώσεις ποιησάμενος ὁ Βάρδας καὶ ἔνδον συναπολαμβάνειν ἤδη τοὺς πολεμίους φοβῶν, ἐπαφεὶς δὲ καὶ κατὰ νῶτα τοὺς μισθοφόρους, τρέπει τε εἰς φυγὴν καὶ πολὺν ἐργάζεται φόνον, τοῦ δουκὸς Ἀντιοχείας τοῦ Βούρτζη πρῶτον ἐγκλίναντος, εἴτε διὰ δειλίαν εἴτε διὰ κακουργίαν. ἐλέγετο γὰρ ἀμφότερα. κατέσχε δὲ καὶ τὸ στρατόπεδον ἅπαν σὺν τῇ ἀποσκευῇ, καὶ πλοῦτον ἐντεῦθεν περιεβάλετο ἄπειρον. ἐκεῖθεν αὖθις ἐπὶ τὸ λεγόμενον ἔρχεται Τζαμανδόν. πόλις δὲ ἡ Τζαμανδὸς ἐν ἀποκρήμνῳ πέτρᾳ κειμένη, πολυάνθρωπος καὶ πλούτῳ περιβριθής. ἥντινα παρ' ἑκόντων λαβὼν τῶν ἐγχωρίων πλοῦτον συνέλεξεν οὐκ ὀλίγον. αὕτη ἡ νίκη πολλοὺς τῶν τῷ βασιλεῖ προσκειμένων κατέσεισε καὶ αὐτομολῆσαι πρὸς τὸν Σκληρὸν ἠνάγκασεν. ὅ τε γὰρ Βούρτζης πρῶτος αὐτο|μολεῖ τῷ Σκληρῷ καὶ ὁ πατρίκιος Ἀνδρόνικος καὶ δοὺξ ὁ Λυδὸς σὺν τοῖς υἱέσι. καὶ Ἀτταλεῖς δεσμὰ περιθέντες τῷ ναυάρχῳ τοῦ βασιλέως τῷ

ACEVBMN DH 85 χρόνον: καιρὸν B 86 ἄκαιρα E 87 καὶ ὁ — εἵπετο om. MNDH οὗτος: ὁ A καὶ alt. om. MD 88 Λάπαραν ACVMN: Λάπαρα E: Λίπαραν B 89 Λυκανδόν E Zon. III, 541, 12 90 νυκτοπορίᾳ ACEVD: νυκτοπορείᾳ BMN 91 παρελθεῖν B 95 οὕτως BMND ὑπολαβόντες BMN: ὑπολαβόντας ACEV 2 ἐτράπηντο B 3 παρεσκευασμένα ACVND: παρασκευασμένα EBM τῇ om. B σημάνας B 6 ἐκδέχοντο B 8 συλλαμβάνειν A ἤδη συναπολαμβ. MND νῶτα ACEV: νώτου BMNDH 10 ἐκκλίναντος AE 11 καὶ ante ἀμφότερα add. B 12 ἅπαν om. C περιβάλλετο (corr. ex περιεβάλετο V) CEVB 13 αὖθις om. B ἐπὶ: περὶ A ἔρχεται post ἐκεῖθεν B δ' M 14 ἀποκρήμνῳ πέτρᾳ: ἀποκρύφῳ τόπῳ B περιβριθής ACEVBD: ἐπιβριθής MN 15 ἐγχωρίων: ἐντοπίων DH τῶν ἐγχ. λαβὼν M (sed non D) οὐκ ὀλίγον συνέλεξεν B 16 βασιλεῖ: Βασιλείῳ B ἀνέσεισε A 17 κατηνάγκασεν AM (sed non D) 18 Ἀνδρόνικος dittogr. V ὁ ante δοὺξ add. E 19 υἱοῖς A

Κουρτικίῳ Μιχαὴλ προσχωροῦσι μετὰ παντὸς τοῦ στόλου, στρατηγεῖν παρὰ τοῦ Σκληροῦ πεμφθέντι τῶν Κιβυρραιωτῶν.

5. Ὧν ἀγγελθέντων τῷ βασιλεῖ καὶ τῷ παρακοιμωμένῳ, βουλῆς προτεθείσης ἔδοξε τῶν τῷ βασιλεῖ ᾠκειωμένων τινὰ ἰσοτύραννον εἰληφότα ἀρχὴν καὶ ἀνεύθυνον, καὶ ἐξουσίαν ἔχοντα τιμαῖς τε προβιβάζειν καὶ δώροις καταπλουτίζειν τοὺς προσχωροῦντας, χωρῆσαι κατὰ τοῦ τυράννου. ἤρεσεν ἡ γνώμη, καὶ πέμπεται Λέων ὁ τοῦ βασιλέως πρωτοβεστιάριος, σύμβουλον εἰληφὼς καὶ Ἰωάννην τινὰ πατρίκιον, ἄνδρα ἐπίσημον καὶ ἐπὶ λόγων ἕξει βεβοημένον, ἐξουσίαν ἐκ βασιλέως δεξάμενος πάντα ἀδιστάκτως ποιεῖν, ὅσα ἔξεστι βασιλεῖ. ἐξελθὼν οὖν καὶ κατὰ τὸ τῆς Φρυγίας γενόμενος Κοτυάειον καὶ τῷ στρατοπεδάρχῃ ἑνωθεὶς Πέτρῳ ἐκεῖσε τὴν παρεμβολὴν ἐπήξατο, κατεσκηνωμένου τοῦ Βάρδα τυγχάνοντος ἐν τῷ Διποτάμῳ. χωρίον δὲ βασιλικὸν τὸ Διπόταμον, ὃ Μεσάνακτα κατονομάζουσιν οἱ ἐγχώριοι. λάθρᾳ οὖν ὑποσχέσεσι δωρεῶν καὶ τιμῶν προβιβασμοῖς ἐπειρᾶτο διασύρειν τοὺς ἀποστάτας καὶ πρὸς ἑαυτὸν ἐπισπᾶσθαι καὶ εὔνους τιθέναι τῷ βασιλεῖ, ἐλάνθανε δὲ μᾶλλον ἐπιρρωννὺς τὸ ἀντίπαλον, ἀσθενείας σημεῖον λογιζόμενον τὴν παράκλησιν. ὅθεν καὶ ἀπογνοὺς ἄρας ἐκ Κοτυαείου καὶ τὸν Σκληρὸν νυκτὸς παρελάσας ἐχώρει πρὸς τὴν ἀνατολήν. τοῦτο τὸ | ἔργον λίαν τοὺς περὶ τὸν Σκληρὸν ἐδειμάτωσε, δεδιότας οὐ περὶ χρημάτων καὶ κτημάτων μόνον, ἀλλὰ καὶ περὶ τῶν τιμιωτάτων αὐτῶν. πολλοὶ οὖν ἐξομνύμενοι τὴν ἀποστασίαν τῷ πρωτοβεστιαρίῳ προσέρρεον, ὡς κινδυνεύειν κονιορτοῦ δίκην διαλυθῆναι τὸ ἀποστατικόν. ὅπερ ἵνα μὴ γένηται φοβηθεὶς ὁ Σκληρὸς τὸν μάγιστρον Μιχαὴλ τὸν Βούρτζην ἄρτι, ὡς εἴπομεν, προσκεχωρηκότα αὐτῷ, καὶ Ῥωμανὸν πατρίκιον τὸν Ταρωνίτην μετ' εὐζώνου ἐκπέμπει στρατιᾶς, ἐμποδὼν ἵστασθαι τῷ πρωτοβεστιαρίῳ κελεύσας, ἐπιτιθεμένοις ἐξ ἐφόδου καὶ τὰς ἐκδρομὰς κωλύειν ὡς δύναμις, συμπλοκῆς δὲ καθολικῆς κατὰ τὸ ἐγχωροῦν φείδεσθαι. πλησιάσαντες δὲ

cap. 5: Zon. III, 542, 4—542, 17

ACEVBMNU (a 25 καὶ) DH 20 Κουρτίκῃ BH (sed non D) τῷ Κουρτίκῃ δὲ καὶ αὖθις ὁ στόλος ἐμπιστεύεται ante στρατηγεῖν add. B 20/21 στρατηγεῖν παρά: στρατηγεῖς μετὰ E 21 Κιβερραιωτῶν E 23 τῷ βασιλεῖ om. B 24 ἔχοντι E 27 τινὰ post ἄνδρα add. U 28 βεβοημένον: βεβαιούμενον B 29 ὅσα — βασιλεῖ: ὅσα καὶ βασιλεῖ ἔξεστιν A 30 τῆς om. U 31 καὶ ante κατεσκηνωμένου add. U 33 λάθρᾳ: λάθαρα C δώρων B 34 ὑποσύρειν ἐπειρᾶτο B 35 ἐπισπάσασθαι U 36 τὸ: τὸν M σημεῖον ἀσθενείας A 37 τοῦ ante ἐκ add. U τοῦ ante Κοτ. add. E 38 τὴν ἀνατολήν: πόλεμον B τοὺς περί: πρὸς M 39 κτημάτων καὶ χρημάτων AB 44 προσκεχωρηκότος E Παρωνείτην B 46 ἐπιτιθεμένοις ACEVMN: ἐπιτιθέμενον U: ἐπιτιθεμένους B κωλύειν — δύναμις: ὡς δύναμις, κωλύειν B 47 καθολ. δὲ συμπλ. A δὲ pr. om. B

τῷ βασιλικῷ στρατεύματι οἱ περὶ τὸν Βούρτζην ἠναγκάσθησαν καὶ ἄκοντες πολεμῆσαι παρὰ τὴν τοῦ Σκληροῦ παραγγελίαν, ἀπὸ τοιαύτης αἰτίας. Σαρακηνοὶ ἐκ τῆς πρὸς ἕω Βερροίας τὰ ἐτήσια τέλη Ῥωμαίοις κομίζοντες ἠγγέλλοντο πρὸς τὴν βασιλίδα ἀπιέναι, καὶ ὡς μέλλουσι κατά τινα ῥητὴν ἡμέραν διὰ μέσων ἰέναι τῶν στρατευμάτων. καὶ ἐπειδὴ παρῆν ἡ κυρία, καὶ ἔμελλον κατὰ τὸ λεγόμενον Ὀξύλιθον φρούριον οἱ Σαρακηνοὶ διαβαίνειν, καθοπλίσαντες οἱ περὶ τὸν Βούρτζην τοὺς ἀμφ' αὐτούς, τὸ δ' αὐτὸ τοῦτο καὶ οἱ τοῦ πρωτοβεστιαρίου πεποιηκότες, μάλα ὁρμητικῶς πρὸς τὴν μάχην ἐχώρουν. προὔκειτο γὰρ ἑκατέροις ὥσπερ τις ἆθλος ὁ παρὰ τῶν Σαρακηνῶν κομιζόμενος χρυσός. καὶ ἐπείπερ ἤγγισαν, συμπεσόντες ἐμάχοντο. τρέπεται γοῦν ὁ Βούρτζης, καὶ πολλοὶ τῶν σὺν αὐτῷ ἀπώλοντο, καὶ μᾶλλον τῶν Ἀρμενίων. πάντας γὰρ τοὺς ἁλόντας | Ἀρμενίους ἀπέσφαττον οἱ Ῥωμαῖοι, μὴ λαμβάνοντες οἶκτον διὰ τὸ πρώτους προσχωρῆσαι τῷ ἀποστάτῃ.

6. Ἀγγελθείσης δὲ τῆς ἥττης ὁ Βάρδας καιρὸν ἀναβολῆς μὴ δεδωκώς, ἀγείρας τοὺς ἀμφ' αὐτὸν ὑπήντα διὰ ταχέων, καὶ κατά τινα τόπον Ῥαγέας ὀνομαζόμενον γενόμενος στρατοπεδεύεται, ἐπιτήδειον μάχης καιρὸν ἐκζητῶν. χρονοτριβούντων δὲ τῶν βασιλικῶν στρατευμάτων ὁ τῆς μάχης καιρὸς παρετείνετο, καὶ πολλοὶ τῶν ἀποστατῶν τῇ προηγησαμένῃ ἥττῃ σεσαλευμένοι τῷ πρωτοβεστιαρίῳ προσέτρεχον. ὅσον μὲν οὖν σφριγῶν ἦν ἐν τῇ στρατιᾷ τοῦ βασιλέως καὶ ἀπειροπόλεμον, τῇ ἐξ ὑπογύου γαυρούμενον νίκῃ ὤργα πρὸς συμπλοκήν, οἱ γηραιότεροι δὲ καὶ κατηθλημένοι τοῖς ἀγῶσιν ὤκνουν καὶ ἀνεδύοντο τὴν μάχην. ἀλλ' ἐπεὶ κατὰ τὸν εἰπόντα· 'ταχεῖα πειθὼ τὸν κακὸν ἀκολουθεῖ,' πείθεται τοῖς νεωτέροις καὶ ὁ πρωτοβεστιάριος, καὶ τὸ ἐνυάλιον σημήνας ἐξάγει τὰ

cap. 6: Zon. III. 542, 17—543, 3 **71** ταχεῖα ... ἀκολουθεῖ: cf. ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ Soph. frgm. 860 Pearson = 785 Nauck (e Plut. Artax. 28)

ACEVBMNU DH **50** τῆς ante ἕω add. B ἕω ACEVBU: ἑῴαν MNDH **52** ῥητὴν om. U **53** ἔμελλε E λεγόμενον om. U **57** τις ACVMNU: τι B: om. E ἆθλον B παρὰ: περὶ E **58** γοῦν: οὖν E **60** Ἀρμενίους: τῶν Ἀρμενίων DH οἱ Ῥωμαῖοι ἀπέσφαττον A μὴ — οἶκτον om. B **61** πρώτως U **62** Ἀπαγγελθείσης EU **63** ἀμφ': ὑπ' A αὐτὸν CV ὑπήντα AVBMNU: ὑπάντα C: ἀπήντα E **64** Ῥαγαίας B **64/65** ἐπιτήδειον — ἐκζητῶν: ἐπιτήδ. καιρὸν ἐκζητῶν μάχης A **65** ἐπιζητῶν U βασιλικῶν om. U **66** παρετείνετο AEVMN: προετείνετο C: παραγέγονεν U: παρεγένετο B **67** σαλευόμενοι E μὲν ACEVBUD: om. MN **68** σφριγῶν ACEVMN: σφριγγόν U: σφριγοῦν B **69** ὤργα: ὥρμησεν U **70** ἀγῶσιν — ἀνεδύοντο: ἀγῶσιν τὴν μάχην ὤκνουν καὶ ἀνεδ. A **71** τὸν om. N (sed non D) ταχείᾳ πειθοῖ τὰ κακὰ ἀκολουθεῖ A τῶν κακῶν CEB ἀκολουθεῖν M (sed non D) πείθετο M **72** ὁ om. E σημάνας B ἐξάγει: ἄγει E

στρατεύματα πρὸς τὴν μάχην. καὶ ὁ Βάρδας δὲ τριχῇ διελὼν τὸν οἰκεῖον στρατόν, τὸ μὲν μέσον εἶχεν αὐτός, τοῦ δεξιοῦ δὲ κέρως Κωνσταντῖνον τὸν ἀδελφόν, τοῦ δ' εὐωνύμου Κωνσταντῖνον τὸν Γαυρᾶν ἄρχειν ἐπέστησε. συμβολῆς δὲ γενομένης καὶ τῶν περὶ τὰ κέρατα στρατηγῶν τὴν ἵππον ἐπισεισάντων τοῖς ἐναντίοις, μὴ ἐνεγκόντες τὴν ῥύμην οἱ περὶ τὸν πρωτοβεστιάριον τρέπονται, καὶ γίνεται φόνος πολύς. ἐνταῦθα καὶ Ἰωάννης ἔπεσεν ὁ πατρίκιος καὶ ὁ στρατοπεδάρχης Πέτρος καὶ ἄλλοι πολλοὶ τῶν διαφα|νῶν. ἑάλω καὶ ὁ πρωτοβεστιάριος μεθ' ἑτέρων ἀνδρῶν ἀρχικῶν. τὸν μὲν οὖν πρωτοβεστιάριον φρουρεῖσθαι προσέταξε, Θεοδώρου δὲ καὶ Νικήτα τῶν αὐταδέλφων τῶν Ἁγιοζαχαριτῶν ἐπ' ὄψει παντὸς τοῦ στρατεύματος ἐξορύττει τοὺς ὀφθαλμούς, ὡς παραβάντων τάχα τοὺς ὅρκους, οὓς πρὸς αὐτὸν ἔθεντο, καὶ τῷ πρωτοβεστιαρίῳ προσχωρησάντων.

7. Ἐκ ταύτης τῆς νίκης τὰ μὲν τοῦ Βάρδα ὑψοῦτο καὶ ἐπὶ μέγα ἤρετο, πάντων, ὡς εἰπεῖν, μικρῶν καὶ μεγάλων προσρυϊσκομένων αὐτῷ, τὰ δὲ τοῦ βασιλέως ἐπὶ μιᾶς ἐσάλευεν, ἱερᾶς μέντοι ἀγκύρας, τῆς τοῦ θεοῦ βοηθείας. ὁ δὲ παρακοιμώμενος ἐφρόντιζε μὲν καὶ τῶν κατὰ χέρσον, πλέον δ' ἐμερίμνα τῶν κατὰ θάλατταν. ἐλύπει γὰρ αὐτὸν ὁ τοῦ ἐναντίου κατάρχων στόλου. Μιχαὴλ γὰρ ὁ Κουρτίκιος, πᾶσαν μὲν νῆσον πεπορθηκώς, ἤδη δ' ἐπίδοξος ὢν καὶ τὴν ἐν Ἑλλησπόντῳ πολιορκεῖν Ἄβυδον. οὐκοῦν καὶ στόλον ἐξαρτυσάμενος μάλα καλῶς, ἐκπέμπει κατὰ τοῦ Κουρτικίου, ναύαρχον ἔχοντα Θεόδωρον πατρίκιον τὸν Καραντηνόν. οὗτος δ' ἐκπλεύσας καὶ τὰ στενὰ διαβὰς τοῦ Ἑλλησπόντου κατὰ Φώκαιαν τῷ Κουρτικίῳ προσρήγνυται, καὶ γενομένης καρτερᾶς ναυμαχίας οἱ περὶ τὸν Κουρτίκιον τρέπονται καὶ σκεδάννυνται, καὶ λοιπὸν θαλασσοκρατήσαντος τοῦ Καραντηνοῦ τὴν ἐκεχειρίαν ἔσχε τὰ τῆς θαλάσσης. ἤδη δὲ τῶν

74 autumno a. 977

---

cap. 7: Zon. III, 543, 3—544, 9 87 Ps. 113, 21

ACEVBMNU DH 73 στρατεύματα: στρατόπεδα U δὲ om. M διελών: ἀνελών, post 74 στρατὸν B 74 τό: τὸν EB κέρως: μέρους U 75 Γαυρᾶν CEVBN: Γαβρᾶν AM: Γαβρὰν UD 76 δὲ om. M τὴν ἵππον ACEM: τὴν ἵππων VN: τὸν ἵππον B: τῶν ἵππων UD: τῶν ἵππον H 77 ἐπισεισάντων: ἐπελασάντων B 79 πολλοὶ om. U 80 δὲ post ἑάλω add. ACEU ὁ om. C 81 φρουρεῖν E 82 μαγίστρων καὶ ante αὐταδ. add. U αὐταδέλφων ACEVBUD: ἀδελφῶν MNH Ἁγιοζαχαρίτων U 88 ἐσάλευσεν EVH (sed non D) 90 δὲ A θάλασσαν C αὐτόν post 91 στόλου A 91 γὰρ ACVMND: om. EBUH 92 ἐν Ἑλλησπόντῳ: Ἑλλήσποντον U 94 Καραντινόν BMUD 95 τὰ om. M 1 κρατερᾶς CE ναυμαχίας ACEMNU: ναυαρχίας VB 2 θαλασσοκρατ. λοιπὸν U 3 Καραντηνοῦ ACEVBND: Καραντινοῦ MU τὴν AMND: om. CEVBU ἐκεχειρίας E καί post δὲ add. E

κατὰ θάλατταν ἐχόντων καλῶς ὁ παρακοιμώμενος τῶν κατὰ τὴν ἤπειρον ἐτίθετο ἐπιμέλειαν. καὶ δὴ Μανουὴλ πατρίκιον τὸν Ἐρωτικόν, ἐκ γένους τε ἄνδρα καὶ ἐπ' | ἀρετῇ διαβόητον καὶ ἀνδρείᾳ, φρουρεῖν ἐκπέμπει τὴν Νίκαιαν. μετὰ μικρὸν δὲ καταλαμβάνει καὶ ὁ Σκληρός, καὶ τὰ πέριξ τῆς Νικαίας πυρπολήσας χωρία τελευταῖον καὶ ἐπ' αὐτὴν τὴν Νίκαιαν ἔρχεται, καὶ ἑλεπόλεσι καὶ μηχαναῖς ἐκπορθῆσαι ἠπείγετο. γενναίως δὲ τοῦ Μανουὴλ ὑποδεξαμένου τὴν πολιορκίαν καὶ τὰς προσαγομένας τῷ τείχει κλίμακας καὶ μηχανὰς σκευαστῷ πυρὶ πυρπολήσαντος, τὴν ἐκ πολιορκίας ἅλωσιν ἀπογνοὺς ὁ Σκληρὸς ἐνδείᾳ τῶν ἀναγκαίων ἤλπιζεν αἱρῆσαι τὴν πόλιν. χρόνου δὲ τῇ πολιορκίᾳ τριβέντος πολλοῦ καὶ τῶν ἔνδον πιεζομένων τῇ σιτοδείᾳ, μὴ ἔχων, ὅ τι καὶ δράσειεν ὁ Μανουήλ, μηδ' ὅθεν εἰσκομίσεται τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα ἐπιμελῶς τοῦ Σκληροῦ τὰς εἰσόδους τηροῦντος, ἀπάτῃ τὸν Σκληρὸν ἔγνω περιελθεῖν. ἀμέλει καὶ τοὺς τῆς Νικαίας σιτοβολῶνας ψάμμον λεληθότως πεπληρωκώς, καὶ σίτῳ ἄνωθεν τὴν ἐπιφάνειαν ἐπιχρώσας, ὡς κλέπτεσθαι τὰς ὄψεις τῶν θεωμένων, τινὰς τῶν ἡλωκότων ἀπὸ τῆς ἐναντίας μοίρας προσκαλεσάμενος ἐδείκνυ τὰ ταμιεῖα, καὶ πρὸς τὸν Σκληρὸν ἐπαφίησιν, εἰπεῖν ἐπισκήψας, ὅτιπερ 'τὴν ἐκ τοῦ λιμοῦ πολιορκίαν οὐ δέδοικα (ἀποχρώσας γὰρ ἔχω τὰς τροφὰς καὶ ἐπὶ δυσὶν ὅλοις ἔτεσι), πολιορκίᾳ δὲ ἄλλως ἡ πόλις ἀνάλωτος. τὰ σὰ δ' ἐγὼ φρονῶν ἕτοιμός εἰμι ὑπεκστῆναί σοι τῆς πόλεως, εἰ ἐμοί τε καὶ τοῖς μετ' ἐμοῦ δι' ὅρκων δοίης ἀπιέναι, ὅποι δὴ καὶ αἱρούμεθα.' ἀσμένως δὲ τοῦ Βάρδα δεξαμένου τὸν λόγον καὶ πίστεις παρεσχηκότος, τοὺς Νικαεῖς ὁ Μανουὴλ εἰληφὼς καὶ τὸν ἀμφ' αὐτὸν στρατὸν μετὰ πάν|των ὧν εἶχον, εἴσεισιν εἰς τὴν βασιλεύουσαν. τὴν Νίκαιαν δὲ παρειληφὼς ὁ Σκληρὸς καὶ τὸ περὶ τὸν σῖτον εὑρὼν ῥᾳδιούργημα ἠνιάθη μὲν ἐφ' οἷς ἐξηπάτητο, φρουρὰν δ' ὅμως ἀφεὶς ἀξιόμαχον ἐν αὐτῇ, καὶ στρατηγὸν Πηγάσιόν τινα ἐπιστήσας, αὐτὸς τῶν ἐφεξῆς ἥπτετο ἔργων.

29 a. 978 ineunte

ACEVBM (usque **30** ἀ[φεὶς) NU DH **4** θάλατταν VBMND: θάλασσαν ACEUH **5** ἐπιμέλειαν: πρόνοιαν U Ἐραντικόν U **6** ἀνδρίᾳ ACE **7** καὶ pr.: ταύτην U **8** χωρία πυρπολ. A καὶ om. E **8/9** τὴν Νίκαιαν om. B **9** αὐτὴν post ἑλεπόλεσιν add. B **11** σκευαστῷ: σκευῶν B πυρπολήσαντος: κατακαύσαντος B **13** αἱρῆσαι: εὑρῆσαι E **15** μηδ': μηδ' ἔχων ACE εἰσκομίσεται ACEVMN: εἰσκομίσαι U: προσκομίσεται B τὸ ζῆν: ζωὴν E **17** τῆς Νικαίας: ἐν Νικαίᾳ B **17/18** λεληθότως — ἐπιχρώσας: λεληθ. περὶ τὴν ἐπιφάνειαν πεπληρωκὼς καὶ σῖτον ἄνωθεν ἐπιχρώσας U **18** πεπλήρωκε E σίτου M **19** ἑαλοκότων B **22** γὰρ om. U τὰς om. BMNUDH ὅλοις om. B ἔτεσιν MNUDH **23** δὲ: δ' U **24** ὑπεκστῆναι — πόλεως: τῆς πόλεως ὑπεκστῆναί σοι B σοι om. ACE **25** ἀπιέναι: ἀπενδῦναι B ὅπῃ E **26** παρεσχηκότος: παρεστηκότος CE **27** ἀμφ': ὑπ' A αὐτὸν VM εἶχεν U **29** ἠνία U ἐξηπατήθη U **30** δὲ ACE εἰς ante ἀξιόμαχον add. E **31** αὐτὸς: αὐτῆς B ἥπτετο: εἵπετο E

8. Ὁ δὲ παρακοιμώμενος τοῖς ὅλοις ἀπορηθείς (ἤδη γὰρ καὶ ὁ Σκληρὸς ἐπλησίαζε τῇ βασιλίδι) μίαν ἐγνώκει βοήθειαν ἀποχρῶσαν, Βάρδαν τὸν Φωκᾶν μεταπέμψασθαι τῆς ὑπερορίας, μόνον ἀξιόμαχον οἰηθεὶς τοῦτον ἀντίπαλον ἔσεσθαι τῷ Σκληρῷ. λόγου δὲ θᾶττον μεταπεμψάμενος καὶ ὅρκοις ἀσφαλισάμενος καὶ πλοῦτον παρεσχηκὼς δαψιλῆ καὶ τῷ τῶν μαγίστρων ἀξιώματι τιμήσας, δομέστικον προχειρίζεται τῶν σχολῶν καὶ κατὰ τοῦ Σκληροῦ ἐξίησιν. ὁ δὲ τὸν ὑπὲρ τῶν ὅλων ἀναδεξάμενος ἀγῶνα πρῶτον μὲν ἐπεχείρησεν ἀπὸ Θρᾴκης περαιωθῆναι εἰς Ἄβυδον. φυλάττοντος δὲ τὰ ἐν Ἑλλησπόντῳ χωρία Ῥωμανοῦ τοῦ υἱοῦ τοῦ Σκληροῦ, ἀποκρουσθεὶς ἐκεῖθεν ἐπάνεισιν εἰς τὴν βασιλίδα, ἐκεῖθέν τε πλοίου ἐπιβὰς καὶ τοὺς ἐναντίους λαθὼν πρὸς τὴν ἀντίπορθμον γίνεται γῆν, καὶ νυκτοπορίαις χρησάμενος ἄπεισιν εἰς Καισάρειαν, ἐκεῖσέ τε Εὐσταθίῳ μαγίστρῳ τῷ Μαλεΐνῳ καὶ Μιχαὴλ τῷ Βούρτζῃ συμπαίξας (ἔφθασε γὰρ καὶ αὐτὸς ἐκ μετανοίας τὰ τοῦ βασιλέως πάλιν ἑλέσθαι) μετ᾽ αὐτῶν πρὸς πόλεμον ἐξηρτύετο. καὶ δὴ λαόν, ὡς ὁ καιρὸς ἐδίδου, ἀθροίσας, καὶ τοὺς ἐκ τῆς φυγῆς ἐσκεδασμένους ἁλίσας, πρὸς τὸ Ἀμώριον γίνεται. καὶ ὁ Σκληρὸς | δὲ τὴν τούτου ἔξοδον ἀκηκοώς, καὶ νῦν πρῶτον οἰηθεὶς τὸν ἀγῶνα ἔσεσθαι αὐτῷ πρὸς ἄνδρα πολεμιστὴν καὶ φέρειν εἰδότα γενναίως καὶ τακτικῶς τὰς πολέμου στροφάς, καὶ οὐχ, ὡς τὸ πρότερον, πρὸς ἀνδράρια ἐκτετμημένα θαλαμευόμενα καὶ σκιατραφῆ, ἄρας ἀπὸ Νικαίας πρὸς τὸ Ἀμώριον ἄπεισι, καὶ συναντήσας συμπλέκεται τῷ Φωκᾷ. οὐχ ὑποστάντων δὲ τῶν περὶ τὸν Φωκᾶν διὰ τὸ ταῖς προηγησαμέναις ἥτταις χαυνωθῆναι τὸν τῆς ἀνδρείας αὐτοῖς καὶ τόλμης τόνον, ἐπικρατέστερος γίνεται ὁ Σκληρός. οὐ μέντοι καὶ παντάπασιν ἐς ὑπαγωγὴν ἄκοσμον ἐσκέδαστο ἡ στρατιὰ τῷ Φωκᾷ, ἀλλ᾽ ὑποκλίνασα μὲν

53 die 19. mens. Iun. a. 978

cap. 8: Zon. III, 544, 9—545, 2

ACEVBNU DH **32/33** ἤδη — βασιλίδι: ἤδη γὰρ καὶ τῇ βασ. ἐπλησίαζεν ὁ Σκλ. A **33** ἀποχρῶσαν om. A **35** οἰηθεὶς post ἀντίπαλον CEV (i. m.) B **36** καὶ ὅρκοις ἀσφαλισάμενος om. ACE ὅρκῳ B **38** ἐξίησιν CEVNU: ἀφίησιν B: ἐκπέμπει A **39** δεξάμενος B πρῶτα AC **40** ἐν Ἑλλησπόντῳ: Ἑλλησπόντου E **41** τὴν βασιλίδα: τὰ βασίλεια U **43** νυκτοπορίαις AVD: νυκτοπορείαις BN: νυκτοπορείας CE: νυκτοπορείᾳ U **44** ἐκεῖσε — Μαλεΐνῳ: ἐκεῖσε δὲ τῷ μαγ. Εὐστ. τῷ Μαλεήνῳ B μαγίστρῳ post Μιχαὴλ add. NUD **45** συμπαίξας VNUD: συμμίξας ACEBH μετανοίας: μεταμέλου A **45/46** τὰ — ἑλέσθαι: τὴν τοῦ βασιλέως ἑλέσθαι συμπάθειαν B **45** τοῦ om. ACE **48** Ἀμώριον AD: Ἀμμόριον ENU: Ἀμόριον CVB **49** οἰηθεὶς post αὐτῷ A αὐτῷ om. U **50** τοῦ ante πολέμου add. B πολέμου: πολεμίους H: πόλεων D **51** πρὸς ante ἀνδράρια om. C **52** Ἀμώριον AD: Ἀμόριον CEVB: Ἀμμόριον E (man. rec.) NU ἄπεισι ACVBUD: εἴσεισι E: γίνεται N **53** ὑποστάντων: ὑπὸ πάντων E **54** ἀνδρίας AC αὐτοῖς ACEVB: αὐτῶν NUD: αὐτοῦ H **55** εἰς BU **56** στρατεία U τῷ: τοῦ E

ἐνέδωκε, σχολαίαν δ' ἐποιεῖτο τὴν ὑποχώρησιν, ὡς μὴ ὑπὸ δειλίας δοκεῖν ἐλαύνεσθαι, ἀλλ' ἐξ ἐπιτάγματος ὑπείκειν στρατηγικοῦ μετ' εὐκοσμίας καὶ τάξεως. καὶ γὰρ δὴ καὶ νῶτα δόντας τοὺς στρατιώτας καὶ πρὸς φυγὴν ὡρμημένους, ὄπισθεν οὐραγῶν ὁ Φωκᾶς τοὺς ἐπιόντας ἠμύνετο καὶ οὐ μετὰ σφοδροτάτης εἴα καὶ ῥύμης καὶ βίας προσφέρεσθαι. ἔνθα καὶ λέγεται Κωνσταντῖνον τὸν Γαυρᾶν μετὰ τῶν ἀμφ' αὐτὸν τὸ φεῦγον διώκοντα φιλοτιμίᾳ χρησάμενον ἀκαίρῳ, καὶ μεγάλην εὔκλειαν ἕξειν οἰηθέντα, εἰ αἰχμάλωτος ὑπ' αὐτοῦ γένοιτο ὁ Φωκᾶς, μυωπίσαντα τὸν ᾧ ἐπωχεῖτο ἵππον, μετὰ μεγίστης ὁρμῆς προσενεχθῆναι τῷ Φωκᾷ. ὃν οὗτος ἰδὼν καὶ ὅστις εἴη κατανοήσας, ἠρέμα τὸν ἵππον παρενεγκὼν καὶ ὑπαντιάσας παίει κορύνῃ κατὰ τῆς κόρυθος. καὶ ὁ μὲν λειποθυμήσας τῇ ἀνυποστάτῳ φορᾷ τῆς πληγῆς πίπτει παραυτίκα τοῦ ἵππου, ὁ δὲ Φωκᾶς ἀδείας μείζονος τυχὼν | τῆς ἐπὶ τὰ πρόσω πορείας εἴχετο, σχολῇ καὶ βάδην ἰών, ἀλλ' οὐκ ἀνειμένοις τοῖς χαλινοῖς. οἱ γὰρ σὺν τῷ Γαυρᾷ τὸν οἰκεῖον πεπτωκότα θεασάμενοι στρατηγὸν καὶ ἐπιμέλειαν τούτου τιθέμενοι ἀνῆκαν τὸν διωγμόν. ὁ δὲ Φωκᾶς ἅμα τοῖς σὺν αὐτῷ τὸν λεγόμενον Χαρσιανὸν κατειληφὼς κἀκεῖσε αὐλισάμενος ἐσκόπει τὸ μέλλον, τιμαῖς τε ταῖς ἐκ βασιλέως δεξιούμενος πολλοὺς προσφοιτῶντας καὶ τῶν συνόντων εὐεργεσίαις παραθερμαίνων τὰς προθυμίας. ἑπόμενος δὲ τούτῳ καὶ ὁ Σκληρός, καὶ περί τινα τόπον Βασιλικὰ θέρμα καλούμενον κατασκηνώσας, εἰς μάχην τὸν ὁμώνυμον ἐξεκαλεῖτο. ἀσπασίως δὲ καὶ τούτου δεξαμένου τὴν πρόκλησιν αὖθις ἑτέρα συνίσταται μάχη. καὶ χρόνον μέν τινα ἀντέσχον οἱ περὶ τὸν Φωκᾶν, αὐτοῦ τούτου παριππεύοντος ἁπανταχοῦ καὶ τῇ σιδηραίᾳ κορύνῃ τὰς τῶν ἐναντίων ῥηγνύντος φάλαγγας καὶ μυρίον ἐργαζομένου φόνον. ὅμως δὲ καὶ πάλιν νῶτα δεδωκότες οἱ περὶ τοῦτον ἐτράπησαν.

81 autumno a. 978

---

cap. 9: Zon. III, 545, 2—546, 8

ACEVBNU DH 57 ὑποχώρησιν ACEVBUD: ἀναχώρησιν N δειλίας: δειλίαν E 58 ὑπείκειν: εἴκειν B στρατηγικοῦ AEVNU: στρατηγικῆς C: στρατηγοῦ B 59 δόντων τῶν στρατιωτῶν B 60 ὡρμημένων B ὄπιθεν EVB ἐπέσκεπτε καὶ post Φωκᾶς add. A 61 σφοδρότητος U καὶ ῥύμης καὶ βίας (καὶ pr. om. A; καὶ ῥύμης om. U) ACEVU: ῥύμης αὐτοὺς καὶ βίας B: καὶ βίας καὶ ῥύμης NDH 62 Γαυρᾶν CE: Γᾶ F: Γαβρᾶν AVN: Γαβρὰν BUD ἀμφ' — φεῦγον: τῶν περὶ αὐτὸν τὸ φεύγοντα B αὐτὸν: αὐτῶν C 63 καὶ ante φιλοτιμίᾳ add. B ἀκαίρῳ om. C οἰηθέντες C 64 αἰχμάλωτος — Φωκᾶς: αἰχμάλ. ὁ Φωκᾶς γένοιτο ὁ Φωκᾶς A γένηται U μυωπίσαντες E 66 ἠρέμα — καὶ om. U 68/69 ἀδείας — τυχών: ἄδειαν μείζονα σχὼν A 70 Γαυρᾷ C: Γαβρᾷ AEVBNUH: Γαυρᾷ D 71 θέμενοι EU 72 τὸν alt. VND: τὸ ACEBUH 74 φοιτῶντας E 75 παραθερμαίνων VBNU: παραθαρρύνων ACE 76 Βασιλικὸν C καλούμενα V 77 καὶ om. B 78 πρόσκλησιν EB συνίστατο AEDH 79 πανταχοῦ U 80 σιδηρέᾳ ACEDH ῥηγνύντος ACEVB: ῥηγνύοντι UD: ῥηγνύοντας N 81 μυρίων BU ἐργαζόμενος U φόνων U δεδωκότε νῶτα B

9. Ἐκεῖθεν οὖν ὁ Φωκᾶς, ὡς εἶχε, διὰ ταχέων ἄνεισιν εἰς τὴν Ἰβηρίαν, καὶ Δαβὶδ τῷ τῶν Ἰβήρων ἄρχοντι προσελθὼν εἰς ἐπικουρίαν ᾔτει στρατόν. τοῦ δὲ μετὰ προθυμίας ὑπηρετοῦντος (ἐφιλίωτο γὰρ τῷ Φωκᾷ, ἐξ ὅτου δοὺξ ἦν ἐν Χαλδίᾳ) λαὸν ἐκεῖθεν εἰληφὼς οὐκ ὀλίγον, ἀθροίσας δὲ καὶ τοὺς μετ' αὐτοῦ ἐσκεδασμένους ὄντας ἐκ τῆς τροπῆς, κάτεισιν εἰς Παγκάλειαν, ἔνθα στρατοπεδευσάμενος ἦν ὁ Σκληρός. τόπος δὲ ἡ Παγκάλεια πεδίον ἀναπεπταμένον τε καὶ ἱππήλατον, ἔγγιστά που τοῦ ποταμοῦ Ἅλυος κείμενος. καὶ γίνεται πάλιν καρτερὸς ἀγών. ἐνταῦθα τὸν ἑαυ|τοῦ λαὸν θεασάμενος ὁ Φωκᾶς κατὰ μικρὸν ἐνδιδόντα καὶ πρὸς φυγὴν βλέποντα, βέλτιον εἶναι κρίνας τὸν εὐκλεῆ θάνατον τῆς ἀγεννοῦς καὶ ἐπονειδίστου ζωῆς, τὰς τῶν ἐναντίων συγκόψας φάλαγγας πρὸς αὐτὸν μετὰ σφοδρότητος ἵεται τὸν Σκληρόν. εὐρώστως δὲ κἀκείνου τὴν αὐτοῦ ὑποδεξαμένου ὁρμήν, καὶ μηδενὸς τῶν στρατιωτῶν ἐπιβοηθοῦντος, ἀλλὰ τῷ τῶν ἀρχηγῶν ἀγῶνι βουλομένων κριθῆναι τὰ πράγματα (καὶ γὰρ δὴ καὶ ἐφαίνετο πάγκαλόν τι θέαμα καὶ κατάπληξιν τοῖς ὁρῶσιν ἐπάγον ἀνδρῶν δύο μονομαχία ἐπ' εὐτολμίᾳ καὶ ῥώμῃ ψυχῆς μέγα φρονούντων), ὑποστάντες ἀλλήλους συστάδην ἐμάχοντο. καὶ ὁ μὲν Σκληρὸς τοῦ ἵππου τοῦ Φωκᾶ τὸ δεξιὸν οὖς σὺν τῷ χαλινῷ παίσας ἀποκόπτει τῷ ξίφει. ὁ δὲ Φωκᾶς τῇ κορύνῃ πατάξας αὐτὸν κατὰ τῆς κεφαλῆς τοῦτον μὲν ἐπὶ τοῦ τραχήλου τοῦ ἵππου ῥιπτεῖ τῷ βάρει τῆς πληγῆς κατενεχθέντα, αὐτὸς δὲ τὸν ἵππον κεντρίσας καὶ τὰς τῶν ἐναντίων διατεμὼν φάλαγγας ἔξεισι, καὶ πρός τινα λόφον ἀνελθὼν τοὺς ἐκ τῆς τροπῆς ἀνεκαλεῖτο. οἱ δὲ περὶ τὸν Σκληρὸν κακῶς ἔχοντα τοῦτον θεασάμενοι ἐκ τῆς πληγῆς καὶ ἤδη λειποψυχοῦντα τῷ τραύματι ἐπί τινα πηγὴν ἄγουσι τὸν λύθρον ἀπονιψόμενον. ὑπώπτευον γὰρ καὶ τὸν Φωκᾶν τελείῳ ἤδη παραδοθῆναι ἀφανισμῷ. τοῦ ἵππου δὲ ἀποσκιρτήσαντος καὶ τὸν κατέχοντα ἀποδράντος καὶ διὰ τῶν στρατευμάτων ἐπιβάτου χωρὶς θέοντος ἀτάκτῳ ῥύμῃ, καὶ τῷ αἵματι πεφυρμένου (Αἰγύπτιον τὸν ἵππον ἐκάλουν), καὶ καταμαθόντες, οὗ τινος ὁ ἵππος, καὶ νομίσαντες τὸν ἑαυτῶν

87 die 24. mens. Mart. a. 979

cap. 10: Zon. III, 546, 9—546, 19

ACEVBM (a **85** δὲ) NU DH **83** διὰ ταχέως B **86** ἐν Χαλδίᾳ CEVMNU: Χαλδίας A: Χαλδαίων B **87** αὐτοῦ: αὐτὸν MU **88** Παγκάλειαν — ἡ om. U ἦν post ἔνθα A **89** ἀναπεπτωμένον CE που om. MNDH **90** κείμενον EBDH ὁ ante ἀγών add. B ἐνταῦθα ACEVMN: ἐντεῦθεν B: ἔνθα U **91** κατά: μετὰ U **92** ἀποβλέποντα U καὶ ante βέλτιον add. E εὐκλεᾶ U ἀγεννοῦς: ἀκλεοῦς A **94/95** τὴν — ὑποδεξαμένου: δεξαμένου τὴν αὐτοῦ B **1** ἀλλὰ — ἀγῶνι: ἀλλὰ τῶν ἀρχ. τῷ ἀγῶνι B τὰ πράγματα: τὴν νίκην U **2** καὶ pr. — θέαμα: ἐφαίνετο καὶ γὰρ πάγκ. τι θέαμα U **4** γὰρ post ὑποστάντες add. U ἀλλήλοις EU **5** τοῦ ἵππου om. MN (sed non DH) **7** ῥίπτει E κατενεχθέντος E **9** λόφον: ὄροφον B **10** θεασάμενοι **11** post πληγῆς MNUDH **11** λειποψυχοῦντι E **12** ἀπονιψάμενον U **16** καὶ pr. om. B ἑαυτοῦ B

ἄρχοντα πεπτωκέναι, ἀκόσμως τρέπονται πρὸς φυγήν, κρημνοῖς καὶ Ἄλυϊ τῷ ποταμῷ ῥιπτοῦντες ἑαυτοὺς καὶ ἀκλεῶς | ἀπολλύμενοι, μηδενὸς ὄντος τοῦ διώκοντος. τοῦτο κατιδὼν ὁ Φωκᾶς ἀπὸ τοῦ λόφου, καὶ θεῖον ἔργον εἶναι τὸ πρᾶγμα, ὥσπερ ἦν εἰκός, ὑποτοπάσας, κάτεισι μετὰ τῶν συνόντων ἐπιδιώκων τοὺς φεύγοντας ὑπ' ἀλλήλων συμπατουμένους καὶ ἀλκῆς ὅλως μὴ μεμνημένους, καὶ τοὺς μὲν ἀναιρῶν, τοὺς δὲ χειρούμενος. ὁ δὲ Σκληρὸς μετ' ὀλίγων διασωθεὶς φεύγει πρὸς Μαρτυρόπολιν. ἐκεῖθεν δὲ πρεσβευτὴν ἐκπέμπει τὸν ἑαυτοῦ ἀδελφὸν Κωνσταντινον πρὸς Χοσρόην τὸν τῆς Βαβυλῶνος ἄρχοντα, ἐπικουρίαν καὶ συμμαχίαν αἰτῶν. παρέλκοντος δ' ἐκείνου καὶ μήτε τῇ δόσει συντιθεμένου, μήτ' ἀπαναινομένου, καὶ τοῦ Κωνσταντίνου χρονοτριβοῦντος, ἠναγκάσθη καὶ αὐτὸς ὁ Σκληρὸς μετὰ τῶν συνόντων ἁπάντων πρὸς Χοσρόην φοιτῆσαι.

10. Τῆς δὲ τοῦ Σκληροῦ τροπῆς ἀγγελθείσης τῷ βασιλεῖ διὰ γραμμάτων τοῦ Φωκᾶ καὶ τῆς εἰς Βαβυλῶνα ἀναχωρήσεως, τοῦτον μὲν ὁ βασιλεὺς ἀποδεξάμενος ἀξίως ἐτίμησε, πρὸς δὲ Χοσρόην τὸν τῆς Βαβυλῶνος ἀμερμουμνῆν πρεσβευτὴν ἐκπέμπει τὸν βέστην Νικηφόρον τὸν Οὐρανόν, ἱκετεύων μηδεμιᾶς ἐπιστροφῆς ἀξιῶσαι τὸν ἀποστάτην, μηδὲ θελῆσαι παράδειγμα γενέσθαι τοῖς ὀψιγόνοις φαῦλον, ἀμελήσας μὲν βασιλέως ἀδικουμένου βασιλεὺς καὶ αὐτὸς ὤν, προσθέμενος δὲ τυράννῳ ἀδίκῳ καὶ ἀποστάτῃ. ἐνεχείρισε δὲ καὶ γράμματα βασιλικὰ ἐνσεσημασμένα, δι' ὧν συμπαθείας ἁπάσης ἠξίου τὸν Σκληρὸν καὶ τοὺς συνόντας αὐτῷ, εἰ μεταμαθόντες τὸ δέον τόν τε ἑαυτῶν ἐπιγνῶσι δε-|σπότην καὶ πρὸς τὰ οἰκεῖα ὑπονοστήσουσι. διασωθέντος δὲ πρὸς Χοσρόην τοῦ Οὐρανοῦ καὶ τῶν βασιλικῶν φωραθέντων γραμμάτων, ὁ Χοσρόης καὶ τὸν πρεσβευτὴν καὶ τὸν Σκληρὸν καὶ πάντας τοὺς σὺν αὐτῷ Ῥωμαίους ὑπονοήσας φρουραῖς παραδίδωσι. καὶ τούτους μὲν εἶχεν ἡ φρουρά, τῶν δὲ μὴ συνανελθόντων ἀποστατῶν τῷ Σκληρῷ

33 vere a. 979 **37** vere a. 979

ACEVBMNU DFH **18** τῷ ποτ. Ἄλυϊ B ἀπολλύμενοι: ἀποθνήσκοντες A **20** εἶναι om. ACE ὑποτοπάσας VBMNU: ὑποτοπήσας ACE **23** ὀλίγων ACBMNUD: ὀλίγον EVH Μαρτυρόπολιν ACEUD: Μαρτυρούπολιν BMN **24** ἐκεῖθέν τε AB **25** ἄρχοντα: κρατοῦντα B **27** μήτε M ἀπαναινουμένου B **28/29** ἁπάντων — φοιτῆσαι VBMNU: ἁπάντων προσχωρῆσαι Χοσρόῃ ACE **31** ἐς U **33** ἄρχοντα post Βαβ. add. U ἀμερμουμνὴν VBMND (sed non F) **33/34** ἐκπέμπει — Οὐρανόν: ἐκπέμπει τὸν Νικ. βέστην τὸν Οὐρ. M **35** μηδὲ: μὴ B **37** τυράννῳ — ἀποστάτῃ: τυράννῳ καὶ ἀποστ. καὶ ἀδίκῳ M **38** κακῶν post ἁπάσης add. MNUDH Σκληρὸν: ἀποστάτην M **39** τόν: τῶν E ἐπιγνοῖεν U **40/41** τοῦ Οὐρανοῦ πρὸς Χοσρόην U **43** φρουραῖς VBMNU: φρουρᾷ ACE **44** τῶν δὲ: καὶ τῶν U συνανελθόντων AV: συνελθόντων CEBMNUDH ἀποστατῶν: τῷ ἀποστάτῃ U τῷ Σκληρῷ om. U

Λέων μὲν ὁ αἰχμάλωτος καὶ οἱ τοῦ δουκὸς Ἀνδρονίκου τοῦ Λυδὸς παῖδες Χριστοφόρος ὁ Ἐπείκτης καὶ Βάρδας ὁ Μουγγός (ἔφθη γὰρ ἐκεῖνος ἀποθανεῖν) τὸ Ἀρμακούριον καὶ τὴν Πλατεῖαν πέτραν καὶ ἄλλα τινὰ φρούρια ἐρυμνὰ ἐν τῷ θέματι κείμενα τῶν Θρᾳκησίων κατεσχηκότες ἀντεῖχον ἕως ὀγδόης ἰνδικτιῶνος, καὶ ἐπεκδρομὰς ἐκ τούτων ποιούμενοι τὰ βασιλέως ἐλύπουν. καὶ οὐ πρὶν ἐπαύσαντο τὰς χώρας λεηλατοῦντες, πρὶν ἂν ἀμνηστίαν εἰληφότες κακῶν διὰ Νικηφόρου πατρικίου τοῦ Παρσακουτηνοῦ τῷ βασιλεῖ προσεχώρησαν.

11. Τότε δὴ καὶ Ἀντώνιος ὁ πατριάρχης, κατὰ τὴν τοῦ Σκληροῦ ἀποστασίαν ἀποταξάμενος τῇ ἱερατείᾳ, ἀπεβίω. καὶ χειροτονεῖται πατριάρχης Νικόλαος ὁ τὴν ἐπωνυμίαν Χρυσοβέργης, τῆς ἐκκλησίας ἀποιμάντου διατελεσάσης ἐπὶ ἔτη πρὸς τῷ ἡμίσει τέσσαρα. ἐγένετο δὲ καὶ ἔκλειψις ἡλίου περὶ μέσην ἡμέραν, ὡς καὶ ἀστέρας φανῆναι. τῶν δὲ Βουλγάρων ἅμα τῇ τελευτῇ τοῦ βασιλέως Ἰωάννου ἀποστατησάντων, ἄρχειν αὐτῶν προχειρίζονται τέσσαρες ἀδελφοί, Δαβίδ, Μωϋσῆς, Ἀαρὼν καὶ Σαμουήλ, ἑνὸς τῶν παρὰ Βουλγάροις μέγα δυνηθέντων κόμητος ὄντες παῖδες

Νικολάου ὀνομαζομένου, μητρὸς Ῥιψίμης

καὶ | διὰ τοῦτο κομητόπωλοι κατονομαζόμενοι. τῶν γὰρ κατὰ γένος προσηκόντων τῷ Πέτρῳ οἱ μὲν ἄλλοι θανάτῳ διεκόπησαν, Βορίσσης δὲ καὶ Ῥωμανὸς οἱ τούτου υἱοὶ εἰς τὴν πόλιν εἰσαχθέντες, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἔμενον ἐν αὐτῇ, ὁ μὲν μάγιστρος παρὰ τοῦ βασιλέως τιμηθεὶς Ἰωάννου, ὁ δὲ Ῥωμανὸς ἐκτμηθεὶς τὰ παιδουργὰ μόρια παρὰ τοῦ παρακοιμωμένου πρότερον Ἰωσήφ. καὶ ἐπεὶ συνέβη τὸν βασιλέα Ἰωάννην ἀποθανεῖν,

49 a. circiter 980 **54** a. 979 **68** die 10. mens. Ian. a. 976

---

cap. **11**: Zon. III. 547, 1—548, 6; Glyc. 576, 2—576, 7

ACEVBMNU DH **45** Λυδὸς VBMN: Λυδοῦ ACEU **45/46** παῖδες τοῦ Λυδὸς M **46** ὁ pr. om. M Μουγγός EVB: Μουγκός A: Μογγός CMND: Μανός U **47** καὶ ante τὸ add. U **48** κείμενα om. U **49** η′ C ἐπιδρομὰς CU τούτων: τούτου N **50** τοῦ ante βασιλέως add. U οὐ πρὶν: οὐκ A τὰς χώρας: τὴν χώραν U **51** ἂν om. EM εἰλήφασι B κακῶν εἰληφότες U **52** Παρσακουντηνοῦ E καὶ ante τῷ add. B προσεχώρησε E **53** κατὰ: μετὰ M **54** ἀποταξάμενος τῇ ἱερατείᾳ: τῷ ἱερατεύειν ἀποταξάμενος A **55** Νικόλαος post Χρυσοβέργης A **56** ἀποιμάντως B διατελεσάσης VBMNUDH: διαμεινάσης ACE ἐπὶ om. H πρὸς τῷ ἡμίσει τέσσαρα (τῷ om. M) ACEVBMNU: δ′ς H: δ′ καὶ τὸ ἥμισυ (?) D **57** ὡς: ὥστε M ἄστρα E Glyc. 576, 3 **59** Μωσῆς B Glyc. 576, 6 **60** Βουλγάρων U δυνηθέντων ACEVUD: δυνηθέντος BMN **62** interpol. U **63** κωμητόπωλοι ACEVBMN: κομητόπουλοι UH: κομιτόπουλοι D **64** κατεκόπησαν A Βορίσσης CEVUD: Βορίσης ABMN: Βορήσης H **65** υἱεῖς U Ἰωάννη M εἰσαχθέντες ACEVBND: εἰσελθόντες MU **67** Ἰωάννου τιμηθεὶς U παιδουργικὰ B

καὶ τὸν Σκληρὸν ἀποστατῆσαι τοῦ βασιλέως καὶ συγγενοῦς αὐτῶν Βασιλείου εἰς τὰ ἐπὶ Θρᾴκην χωρία ἐξιόντος,

ἐκεῖθεν ἀποδιδράσκουσι, καὶ τὴν Βουλγαρίαν φθάσαι ἠπείγοντο. καὶ ὁ μὲν Βορίσσης τόξῳ βληθεὶς ἐν τῷ διϊέναι κατά τινα λόχμην παρά τινος Βουλγάρου νομίσαντος Ῥωμαῖον αὐτὸν εἶναι (ἐνεδέδυτο καὶ γὰρ στολὴν Ῥωμαϊκήν) ἀπόλλυται, Ῥωμανὸς δὲ διασῴζεται εἰς Βιδίνην, καὶ χρόνῳ ὕστερον ἐπάνεισι πάλιν εἰς τὴν βασιλίδα, ὡς ἐν τῷ ἰδίῳ τόπῳ λελέξεται. τούτων δὲ τῶν τεσσάρων ἀδελφῶν Δαβὶδ μὲν εὐθὺς ἀπεβίω

ἀναιρεθεὶς μέσον Καστορίας καὶ Πρέσπας εἰς (εἰς] καὶ C) τὰς λεγομένας Καλὰς δρῦς παρά τινων Βλάχων ὁδιτῶν

Μωσῆς δὲ τὰς Σέρρας πολιορκῶν λίθῳ ἀπὸ τοῦ τείχους βληθεὶς ἐτελεύτησε

ἄλλοι δὲ οὐ λίθῳ βληθῆναι γράφουσι (λέγουσι A) τὸν Μωϋσῆν, ἀλλὰ τοῦ ἵππου συμπεσόντος αὐτῷ, ὑπό τινος τῶν περὶ τὸν δοῦκα Μελισσηνὸν ἀποσφάττεσθαι (ἀποσφαγῆναι A)

καὶ τὸν Ἀαρὼν δὲ τὰ Ῥωμαίων, ὡς λέγεται, φρονοῦντα ἀνεῖλεν ὁ ἀδελφὸς Σαμουὴλ παγγενῆ,

κατὰ τὴν ιδ' τοῦ Ἰουνίου (Ἰουλίου C) μηνὸς ἐν τῇ τοποθεσίᾳ τῆς Ῥαμετανίτζας (Ῥωμετανίτζας A, Ῥαμιτζανίτζας U),

μόνου Σφενδοσθλάβου τοῦ καὶ Ἰωάννου διασωθέντος, τοῦ υἱοῦ αὐτοῦ, παρὰ Ῥαδομηροῦ τοῦ καὶ Ῥωμανοῦ, τοῦ υἱοῦ τοῦ Σαμουήλ. καὶ καθί-

72 a. 976/977 secundum Petrov, Obrazuvane **77/78** a. 976 **81/82** a. 976 **86/87** die 14. mens. Iun. a. 976 secundum Petrov, a. 987 secundum alios

---

ACEVBMNU DH **70/71** interpol. U **73** Βορίσσης CEVUD: Βορίσης ABMN τοξοβοληθεὶς B λόχμον C **74** Βουλγάρου — εἶναι: Βουλγάρου κωφοῦ μὴ διακούσαντος τὸν Βορίσσην εἶναι αὐτόν, νομίσαντος δὲ Ῥωμαῖον τυγχάνειν αὐτὸν ἀπὸ τῆς στολῆς U Ῥ. αὐτὸν εἶναι VB: Ῥ. εἶναι αὐτόν MN: αὐτὸν Ῥ. εἶναι DH: Ῥ. εἶναι ACE καὶ om. DH γὰρ καὶ M **75** ἀπόλλυτο C εἰς B. interpol. U **76** εἰς ACEV: πρὸς BMNUDH **77** τῆς ἀποστασίας post εὐθὺς add. U **79/80** interpol. ACEU **81** Σέρρας: τέσσαρας E **81/82** πολιορκῶν — ἐτελεύτησε: πολιορκῶν, συμπεσόντος αὐτῷ τοῦ ἵππου, ὑπό τινος τῶν ὑπὸ τὸν δοῦκα Μελισσηνὸν ἀποσφάττεται U **83/85** interpol. E et i. m. A **86** post φρονοῦντα add. ACB (cf. etiam Zon. III, 547, 15): ἢ (ἢ: ὁ B) τὴν ἀρχὴν εἰς ἑαυτὸν (εἰς ἑαυτὸν om. B) σφετεριζόμενον (σφετεριζόμενος B) αὐτοῦ post ἀδελφὸς add. A **87/88** Σαμουὴλ ἀδελφὸς U παγγενεῖ C **88/89** post **87** παγγενῆ interpol. AC, post **87** Σαμουὴλ interpol. U **90** μόνου: μόνον B Σφενδοσθλάβου ACEVB: Βλαδισθλάβου NUDH: Βαδισθλάβου M **90/91** τοῦ καὶ Ἰωάννου — Σαμουὴλ ACEVB: τοῦ καὶ υἱοῦ αὐτοῦ Ἰωάννου, παρὰ Ῥωμανοῦ, τοῦ καὶ Ῥαδομηροῦ, τοῦ υἱοῦ τοῦ Σαμουὴλ MN: τοῦ καὶ Ἰωάννου διασωθέντος τοῦ υἱοῦ αὐτοῦ παρὰ Δομήρου (Δομηροῦ H), τοῦ καὶ Ῥωμανοῦ, τοῦ υἱοῦ τοῦ Σαμουὴλ DH: καὶ Ἰωάννου τοῦ υἱοῦ αὐτοῦ διασωθέντος παρὰ Ῥοδομηροῦ καὶ Γαβριήλ, τοῦ υἱοῦ Σαμουὴλ U **90** καὶ om. EB **91** Ῥαδομηροῦ AVBMN: Ῥοδομηροῦ U: Δομηροῦ CEH: Δομήρου D τοῦ ante Σαμουὴλ om. B **91/92** καὶ καθίσταται — Σαμουὴλ om. MNUDH **91** καθίστατο E

σταται μόναρχος Βουλγαρίας ἁπάσης ὁ Σαμουήλ. οὗτος πολεμικὸς ἄνθρωπος ὢν καὶ μηδέποτε εἰδὼς ἠρεμεῖν, τῶν Ῥωμαϊκῶν στρατευμάτων ταῖς πρὸς τὸν Σκληρὸν μάχαις | ἀσχολουμένων ἀδείας τυχὼν κατέδραμε πᾶσαν τὴν ἑσπέραν, οὐ μόνον Θρᾴκην καὶ Μακεδονίαν καὶ τὰ τῇ Θεσσαλονίκῃ πρόσχωρα, ἀλλὰ καὶ Θετταλίαν καὶ Ἑλλάδα καὶ Πελοπόννησον. καὶ πολλὰ φρούρια παρεστήσατο, ὧν ἦν τὸ κορυφαῖον ἡ Λάρισσα, ἧς τοὺς ἐποίκους μετῴκισεν εἰς τὰ τῆς Βουλγαρίας ἐνδότερα πανεστίους, καὶ τοῖς καταλόγοις τῶν ἑαυτοῦ κατατάξας στρατιωτῶν συμμάχοις ἐχρῆτο κατὰ Ῥωμαίων. μετήγαγε δὲ καὶ τὸ λείψανον τοῦ ἁγίου Ἀχιλλίου, ἐπισκόπου Λαρίσσης χρηματίσαντος

ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου κἀν τῇ μεγάλῃ καὶ πρώτῃ συνόδῳ παρόντος σὺν Ῥηγίνῳ Σκοπέλων (Σκοπέλου A) καὶ Διοδώρῳ (Διοδώρου AC) Τρίκκης (Τρίκης ACE),

καὶ εἰς τὴν Πρέσπαν ἀπέθετο, ἔνθα ἦσαν αὐτῷ τὰ βασίλεια,

οἶκον κάλλιστον καὶ μέγιστον ἐπὶ τῷ ὀνόματι αὐτοῦ δομησάμενος.

12. Ἀμύνασθαι δὲ τοῦτον ὁ βασιλεὺς τῶν εἰργασμένων γλιχόμενος, ἐπείπερ ἀπετινάξατο τὰς περὶ τοῦ Σκληροῦ φροντίδας, τὰς Ῥωμαϊκὰς ἀθροίσας δυνάμεις αὐτὸς δι' ἑαυτοῦ εἰσβολὴν ἐν Βουλγαρίᾳ ἐδόκει ποιήσασθαι, Βάρδαν τὸν Φωκᾶν ἔτι δομέστικον ὄντα τῶν σχολῶν καὶ τοὺς λοιποὺς ἑῴους δυνάστας μηδ' ἀξιώσας λόγου. εἰσερχόμενος δὲ ἐν Βουλγαρίᾳ διὰ τῆς παρὰ τῇ Ῥοδόπῃ καὶ τῷ ποταμῷ Εὔρῳ, τὸν μάγιστρον Λέοντα τὸν Μελισσηνὸν κατόπιν εἴασε, τὰς δυσχωρίας φυλάττειν προστάξας. αὐτὸς δὲ τὰ μεταξὺ Τριαδίτζης, ἥτις πάλαι Σαρδικὴ ἐπωνόμαστο

ἐν ᾗ καὶ τῶν δυτικῶν τριακοσίων ἐπισκόπων σύνοδος γέγονε Κώνσταντος τοῦ τῆς δύσεως καὶ Κωνσταντίνου (Κωνσταντίου E) τοῦ τῆς ἀνατολῆς βασιλέως κελεύσει τῶν υἱῶν τοῦ μεγάλου Κωνσταντίνου

στενὰ διελθὼν καὶ τὰς λόχμας, καὶ ἔν τινι τόπῳ Στοπονίῳ λεγομένῳ

3 a. 985

cap. 12: Zon. III, 549, 6—549, 18

ACEVBMNU DH 92 ἁπάσης Βουλγαρίας B 1 Ἑλλάδα καὶ Θετταλίαν U 2 καὶ ante ὧν add. E 4 παρεστίους E 5 ἐχρήσατο U 5/6 τοῦ ἁγίου om. U 6 Ἀχιλλίου ACEVBMND: Ἀχιλλᾶ UH τοῦ ante ἐπισκόπου add. U 7/8 interpol. ACEU; ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου καὶ ἐν τῇ πρώτῃ συνόδῳ παρόντος post 6 χρηματίσαντος add. B 9a interpol. ACEU 10 Ἀμύνεσθαι U δὲ om. E 12 Βουλγαρίᾳ AVMNU: Βουλγάροις B: πλοιαρίῳ C 13 ποιήσεσθαι A ἔτι — σχολῶν CEVB: ἔτι δομ. τῶν σχολ. ὄντα A: ἔτι τῶν σχολ. ὄντα δομ. U: ἔτι τῶν σχολ. δομ. ὄντα MNDH 14 μηδ': μὴ U ἀπερχόμενος E 15 παρὰ ACVMN: περὶ EU: ἐν B τὴν Ῥοδόπην E Εὔρῳ ACE 16/17 προστάξας φυλάττειν B 17 ἐπωνόμασται U 19–21 interpol. ACEU 22 τὰ ante στενὰ interpol. U λόγχμας M Στοπονίῳ ACEVBD: Στυπωνίῳ U: Στενοπονίῳ MN

γενόμενος, ἔθετο χάρακα, ἐκεῖσέ τε διενοεῖτο, πῶς ἂν ἐπιχειρήσῃ τῇ πολιορκίᾳ τῆς Σαρδικῆς. ἠκούετο δὲ καὶ ὁ Σαμουὴλ τὰς κορυφὰς τῶν κύκλωθεν ὀρέων κατέχων (πρὸς φανερὰν γὰρ συμπλοκὴν καὶ ἀγχέμαχον ἐδειλία), καὶ πάντοθεν ἐνεδρεύων, εἴ πως δυνηθείη βλάψαι τοὺς ἐναντίους. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο καὶ τοιοῦτος ἦν τῷ βασιλεῖ ὁ σκοπός, Στέφανος ὁ δομέστικος τῶν σχολῶν τῆς δύσεως, ὃν διὰ τὸ βραχὺ τῆς ἡλικίας Κοντοστέφανον ἐπωνόμαζον, ἀπεχθέστατος ὢν Λέοντι τῷ Μελισσηνῷ, πρόσεισι νυκτὸς ἤδη καταλαβούσης τῷ βασιλεῖ καὶ ἀναζευγνύειν ὡς τάχιστα παρεκάλει, καὶ τὰ ἄλλα λογιζόμενον δεύτερα, καὶ τὴν βασιλίδα καταλαβεῖν, ὡς τοῦ Μελισσηνοῦ ἐποφθαλμιῶντος τῇ βασιλείᾳ κἀκεῖσε ἀπιόντος ἄρτι σὺν τάχει πολλῷ. ἐθρόησεν ὁ λόγος τὸν βασιλέα, καὶ ἀναζυγὴν εὐθέως ἐκήρυξεν. ὁ δὲ Σαμουὴλ τὴν ἀσύντακτον ἀναχώρησιν φυγήν, ὡς εἰκός, εἶναι ὑποτοπάσας, ἐπιπεσὼν ἀθρόως μετ' ἀλαλαγμοῦ καὶ βοῆς τούς τε Ῥωμαίους κατέπληξε καὶ φυγεῖν ἠνάγκασε, καὶ τὸ στρατόπεδον κατέσχε, καὶ τῆς ἀποσκευῆς ἁπάσης ἐγένετο κύριος καὶ αὐτῆς τῆς βασιλικῆς σκηνῆς καὶ τῶν βασιλικῶν παρασήμων. μόλις δὲ ὁ βασιλεὺς τὰ στενὰ διελθὼν εἰς Φιλιππούπολιν διασῴζεται. ἐν ᾗ γενόμενος, καὶ τὸν Μελισσηνὸν ἀμετακίνητον εὑρὼν καὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ φυλακὴν ἐπιμελῶς τηροῦντα, τῷ Κοντοστεφάνῳ ἐλοιδορεῖτο ὡς ψευσαμένῳ καὶ παραιτίῳ γεγονότι τοσούτου κακοῦ. οὗτος δὲ μὴ ἐνεγκὼν πρᾴως τὴν ἐπιτίμησιν, ἀλλ' ἔτι μᾶλλον τραχυνόμενος καὶ δίκαια συμβουλεῦσαι ἰσχυριζόμενος, ἠνάγκασε τὸν βασιλέα διὰ τὴν ἀναίσχυν|τον ἰταμότητα ἀναπηδῆσαί τε τοῦ θρόνου καὶ τῶν τριχῶν αὐτοῦ καὶ τῆς γενειάδος λαβόμενον κατασπάσαι εἰς γῆν.

13. Ἰνδικτιῶνος δὲ πεντεκαιδεκάτης, ἔτους ἑξακισχιλιοστοῦ τετρακοσιοστοῦ ἐνενηκοστοῦ τετάρτου, Ὀκτωβρίῳ μηνί, ἐγένετο κλόνος μέγας,

41 die 17. mens. Aug. a. 986 **52** a. 987

cap. 13: Glyc. 576, 7–576, 13

ACEVBMNU D **23** ἐκεῖσέ τε: κακεῖσε B **24** ὁ om. M **25** κύκλωθεν: κύκλῳ U κατέχων: καταλαβὼν A πρὸς γὰρ φανερὰν A γὰρ om. CE ἀγχίμαχον CE **26** βλάψαι: κλέψαι C **27** ἐγένετο M **34** ὠνόμαζον B **36** τὰ ante τάχιστα add. E καὶ om. AMNUD **37** καὶ om. B ἐποφθαλμιῶντος: ἐγκειμένου, post 38 βασιλείᾳ, A **38** κατιόντος U ἄρτι post πολλῷ U **39** καὶ om. B καὶ Ἀαρὼν σὺν τῷ Ῥωμανῷ post Σαμουὴλ interpol. U **40** εἰκός om. U ὑποτοπάσας VBMN: ὑποτοπήσας ACE: ὑποτοπάσαντες U ἐπιπεσόντες U ἀθρόος E, om. U **41** καὶ pr. om. E τε om. BU κατέπληξαν U ἠνάγκασαν U **42** κατέσχον U ἁπάσης om. U ἐγένοντο κύριοι U **43** σκηνῆς om. B **44** δ' M Φιλιππόπολιν AC **45** εὐμετακίνητον C εὑρὼν ἀμετακίνητον E **46** φυλακὴν αὐτῷ A τηροῦντος E **47** κακοῦ τοσούτου U **49** μᾶλλον dittogr. post δίκαια add. U διϊσχυριζόμενος U **50** ἰταμότατα B τε om. BU **52** κ' ACEBU ιε' δὲ B ἔτει A **52/53** ,ϛυϙδ' ACEMN **53** Ὀκτωβρίου μηνός AB

καὶ κατέπεσον οἰκίαι καὶ ναοὶ πολλοὶ καὶ μέρος τῆς σφαίρας τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας. ὅπερ πάλιν ὁ βασιλεὺς φιλοτίμως ἐπανωρθώσατο, δαπανήσας εἰς μόνας τὰς μηχανὰς τῆς ἀνόδου, δι' ὧν οἱ τεχνῖται ἱστάμενοι καὶ τὰς ὕλας ἀναγομένας δεχόμενοι ᾠκοδόμουν τὸ πεπτωκός, κεντηνάρια δέκα.

14. Οἱ δὲ τῶν Ῥωμαίων μεγιστᾶνες μηνιῶντες τῷ βασιλεῖ, ὁ μὲν Φωκᾶς Βάρδας καί τινες σὺν αὐτῷ, ὅτι περ εἰς Βουλγαρίαν ἐκστρατεύσας ὑπερεῖδεν αὐτούς, μηδ' ἐν Καρὸς λογισάμενος μοίρᾳ, ἄλλοι δὲ καὶ ἄλλοι δι' ἄλλους προπηλακισμούς τε καὶ παροινίας, ὁ δὲ μάγιστρος Εὐστάθιος ὁ Μαλεῖνος διὰ τὸ ἀτίμως ἀπὸ τῆς εἰρημένης ἐκστρατείας ἀποπεμφθῆναι, συναθροισθέντες ἐν τῷ Χαρσιανῷ κατὰ τὸν οἶκον τοῦ ῥηθέντος Μαλεΐνου, πεντεκαιδεκάτῃ τοῦ Αὐγούστου μηνός, τῆς πεντεκαιδεκάτης ἰνδικτιῶνος, Βάρδαν τὸν Φωκᾶν ἀνεῖπον βασιλέα, διάδημά τε περιθέντες αὐτῷ καὶ τὰ λοιπὰ τῆς βασιλείας γνωρίσματα. τούτου δὲ ἀναγορευθέντος ἠγγέλλετο καὶ ὁ Σκληρὸς ἥκων ἀπὸ Συρίας. καθειρχθεὶς γάρ, ὡς εἴπομεν, παρὰ τοῦ Χοσρόου μετὰ τῶν περὶ αὐτὸν ἐν Βαβυλῶνι ἔμενε τηρούμενος ἐν τῇ φρουρᾷ, πάσης ἐπιμελείας ἐστερημένος καὶ τῇ ἐκ τῆς καθείρξεως κακουχίᾳ καὶ ταῖς τῶν φυλαττόντων παροινίαις τετρυχωμένος. ἐξαίφνης δ' ἐπέλαμψεν αὐτῷ τύχη λαμπρά, καὶ τῆς φυλακῆς ἐκβάλλεται σὺν τοῖς ἀμφ' αὐτὸν παραδόξως. οἵῳ δὲ τρόπῳ τῶν δεσμῶν ἠλευ|θερώθη, καὶ ὅπως εἰς τὰ Ῥωμαίων ἤθη ἐπανεσώθη, ἄπεισι λέξων ὁ λόγος.

15. Τὸ τῶν Περσῶν γένος τὴν ἀρχὴν τῆς βασιλείας ἀφαιρεθὲν ὑπὸ τῶν Σαρακηνῶν ἀεὶ μὲν ἐνεκότει τούτοις καὶ ἐνεδομύχει, καὶ καιρὸν ἐζήτει καὶ μηχανήν, ὅπως τοὺς τὸ κράτος ἔχοντας κατασπάσῃ καὶ τὴν πάτριον πάλιν ἀναλάβῃ ἀρχήν. ἦν δέ τις ἐν αὐτοῖς ἀνὴρ ἐξ εὐγενοῦς σειρᾶς καταγόμενος, Ἴναργος τοὔνομα, λέγειν τε δεινὸς καὶ ἄλλως πολεμικὸς καὶ δραστήριος ἄνθρωπος. οὗτος τὸν βασιλέα Χοσρόην κατανοήσας ἀνειμένως καὶ φαύλως ἄρχοντα, καὶ νῦν παρεῖναι, ὃν ἐζή-

65 die 15. mens. Aug. a. 987

cap. 14: Zon. III, 549, 19—550, 9 **61** ἐν Καρὸς μοίρᾳ; cf. Hom. I 378; App. prov. 2, 60 cap. 15: Zon. III, 550, 9—551, 17

ACEVBMNU DH **55** ἐπηνωρθώσατο ACEU **57** καὶ — δεχόμενοι om. B καὶ ante ᾠκοδόμουν add. U ᾠκοδόμουν: ᾠκονόμουν C **58** χρυσίου ante κεντηνάρια add. D, χρυσίον H ι' C **60** τῶν ante σὺν add. U **61** μηδ' ἐν Καρός: μηδὲν καιροῦ A μοίρᾳ λογισάμενος U **63** ἀπό: ἐκ B **65** τῆς om. B ιε' ACEBNU **67** γνωρίσματα: παράσημα B **69** τηρούμενος VBMNU: φρουρούμενος ACE **72** ἐξέλαμψεν A **74** εἰς ACEVBUD: ἐς MN διεσώθη M **75** ἀφαιρεθὲν post γένος A ἀφαιρεθεὶς C **76** ἐνδομύχῃ B **77** κατασπάσῃ AEVBUD: κατασπάσει CMN **78** πάτριον om. B πάλιν: αὖθις U **79** Ἴναργος ACVBU: Ἴναρ E: Ἴναρχος MND **80** βασιλέα om. B **81** ἄρχοντα: ἔχοντα M (man. rec. corr. in ἄρχοντα) U (sed non D)

τουν οἱ Πέρσαι καιρὸν οἰηθείς, ἀνασείει τε τὸ γένος τῶν Ἀχαιμενιδῶν ἅπαν καὶ ἀπόστασιν κινεῖ κατὰ τῶν Σαρακηνῶν. προσλαβόμενος δὲ καὶ μισθοφορικὸν ἀπὸ τῶν ἑῴων Τούρκων ἀμφὶ τὰς εἴκοσι χιλιάδας ἐδῄου καὶ κατέτρεχε τὰ Σαρακηνῶν, ἄρδην ἀναιρῶν τοὺς ἁλισκομένους καὶ μηδὲ παίδων φειδόμενος. πρὸς τοῦτον ὁ Χοσρόης πολλάκις καὶ διὰ τῶν οἰκείων στρατηγῶν καὶ αὐτὸς δι' ἑαυτοῦ ἀντιπαραταξάμενος ἐν πάσαις ταῖς μάχαις ἡττήθη. ἀπογνοὺς οὖν λοιπὸν καὶ εἰδὼς μὴ ὢν ἱκανὸς ὅπλα τὸ ἀπὸ τοῦδε κινῆσαι κατὰ Περσῶν, τῶν αὐτοῦ στρατευμάτων πολλάκις κατακοπέντων καὶ μηδ' ὄνομα στεγόντων ἀκοῦσαι Περσῶν, εἰς ἔννοιαν ἔρχεται τῶν ἐν τῇ φρουρᾷ Ῥωμαίων, ἐπιλογισάμενος λίαν ἐμφρόνως, ὡς, εἰ μή τις τῶν ἐπισήμων ἦν καὶ ἐμφανῶν ὁ καθειργμένος καὶ κατὰ ψυχὴν καὶ σῶμα γενναῖος, οὐκ ἂν τοῦ οἰκείου δεσπότου κατεξανέστη καὶ ἐς τόδε ἀνάγκης τοῦτον συνήλασε, καὶ μετὰ ταῦτα φυγὰς καὶ βίον διαντλῶν ἀτυχῆ | ὑπὸ τοσούτων καὶ τηλικούτων ὡς βασιλεὺς ἀνυμνεῖται· κοινολογησάμενος μετὰ τῆς ἑαυτοῦ γερουσίας ἐκβάλλει τε τοὺς ἄνδρας τῆς φυλακῆς καὶ πάσης ἐπιμελείας καταξιοῖ, καὶ τελευταῖον τὴν περὶ τοῦ πολέμου προσφέρει ἀξίωσιν. θρυπτομένου δὲ κατ' ἀρχὰς τοῦ Σκληροῦ, καὶ μετ' εἰρωνείας πῶς ἂν δυνηθεῖεν λέγοντος ὅπλα κινῆσαι ἄνδρες ἐν τοσούτῳ καιρῷ καθειργμένοι καὶ κατακόρως μετασχόντες τῶν ἐκ τῆς φρουρᾶς κακοπαθειῶν, ὁ Χοσρόης πάλιν ἐνέκειτο, καὶ χρήματα λαβεῖν αὐτὸν ἱκέτευεν ἀριθμοῦ διεκπίπτοντα καὶ στρατεύματα πλήθει τε ἄπειρα καὶ λαμπρὰ ταῖς παρασκευαῖς, καὶ στρατηγῆσαι τὸν πόλεμον, καὶ μὴ μνησικακῆσαι τῆς καθείρξεως, ὡς δυναμένου καὶ αὐτοῦ τοῖς μετὰ ταῦτα καλοῖς καὶ ταῖς φιλοφροσύναις ἐπηλυγάσαι τὰ προφθάσαντα κακὰ καὶ τὰς ἐκ τῆς φυλακῆς ἀηδίας. πείθεται τὸ τελευταῖον ὁ Σκληρός, καὶ ἐκτελέσειν ὑπέσχετο τὸ κεκελευσμένον. στρατεύματα μέντοι λαβεῖν Ἀράβων ἢ Σαρακηνῶν ἢ ἑτέρων ἐθνῶν τῶν τῷ Χοσρόῃ ὑποκειμένων οὐδ' ὅλως ἠνέσχετο, τὰς δὲ φυλακὰς τῶν ἐν Συρίᾳ πόλεων ἀναζητῆσαι ἠξίωσε, καὶ τοὺς ἐν αὐταῖς κρατουμένους Ῥωμαίους ἐξαγαγεῖν

ACEVBMNU DFH 82 ἀνέσειε M (sed non D) 83 ἀποστασίαν B 86 τοῦτον: τοῦτο U καὶ alt. om. BU 87 πάσαις om. U 88 ἱκανὸς ὅπλα ACEVB: ὅπλα ἱκανὸς MNUDH 89 τὸ ACVMNU: τοῦ (quod exstinxit) E: om. B 89 κινῆσαι post 88 ὅπλα A 89/90 τῶν — Περσῶν om. U 92 ἦν post ἐμφανῶν U 93 καὶ σῶμα om. B γενναῖος CEVMNUD: γενναίως BH: γενναίων A ἐξανέστη U 94 εἰς B ἀνάγκης τοῦτον ACVBNUD: τοσοῦτον ἀνάγκης M: ἀνάγκης (συνήλασε hic F) τοσοῦτον EF μετὰ: διὰ A ὢν post φυγὰς add. B 95 ἀντλῶν E ἀποτυχῆ B ὑπὸ: ἀπὸ B ἀνυμνεῖτο AB 1 οὖν post κοινολογ. add. B ἑαυτοῦ: αὐτοῦ EB 1/2 τὸν ἄνδρα ACEVB: τοὺς ἄνδρας MNUD 3 περὶ om. B 3/4 θρυπτομένου — Σκληροῦ: θρυπτ. δὲ τοῦ Σκληροῦ κατ' ἀρχὰς U 4 λέγοντος δυνηθεῖεν A λέγοντας B 7 ἀριθμὸν CE τὰ ante στρατεύματα add. C πλήθη EMNUD 9 τῆς καθείρξεως om. U 10 ἐπηλυγάσαι: ἐπικρύψαι B προφθάσαντα CEVB: φθάσαντα MNUDH: προλαβόντα A 12 ὑπισχνεῖται U 13 τῶν om. U 15 αὐταῖς ACEVBUD: ταύταις MN κρατουμένους: κεκλεισμένους B

καὶ καθοπλίσαι, μετὰ τούτων καὶ οὐκ ἄλλως λέγων εἶναι δυνατὸν αὐτῷ τὸν πρὸς τοὺς Πέρσας ἀναδέξασθαι πόλεμον. ἐδέξατο ὁ Χοσρόης τὸν λόγον, καὶ αἱ φυλακαὶ ταχὺ ἀνεῴγνυντο, καὶ οἱ ἐν αὐταῖς ἠλευθεροῦντο Ῥωμαῖοι, καὶ συνηθροίσθησαν ἀπὸ τούτων ἄνδρες τρισχίλιοι. οὓς εἰς βαλανεῖα ἐκδοὺς καὶ τῶν ἐκ τῆς καθείρξεως ῥύπων ἀποκαθάρας ἐσθῆσί τε καὶ περιβολαῖς καιναῖς ἀμφιάσας, καὶ ἑκάστῳ | τὴν προσήκουσαν καὶ ἀρκοῦσαν δοὺς παντευχίαν, ὁδηγοὺς τῆς ὁδοῦ λαβὼν ἔξεισι μετ' αὐτῶν κατὰ τῶν Περσῶν. γενομένης δὲ ἀντιπαρατάξεως, καὶ μετὰ ῥύμης σφοδρᾶς τῶν περὶ τὸν Σκληρὸν ἐπιθεμένων τοῖς Πέρσαις, ἐκεῖνοι τῷ ξένῳ τῆς καθοπλίσεως καὶ τῷ ἀήθει τῆς φωνῆς καὶ τῷ ἀγνώστῳ τῆς παρατάξεως, τὸ δὲ πλέον καὶ τῇ ῥαγδαίᾳ φορᾷ καὶ ῥύμῃ τῶν Ῥωμαίων καταπλαγέντες τρέπονται κατὰ κράτος καὶ πίπτουσι πανσυδί, ὡς μηδ' ἄγγελον (τοῦτο δὴ τὸ τοῦ λόγου) περιλειφθῆναι τῆς συμφορᾶς, πεσόντος καὶ αὐτοῦ τοῦ Ἰνάρου κατὰ τὴν προσβολήν. λείαν δ' ὅτι πολλὴν περιβαλλόμενοι καὶ ἵππους συχνοὺς οὐκεθ' ὑποστρέψαι πρὸς Χοσρόην ἔγνωσαν, ἀλλὰ τῆς ἐπὶ Ῥωμαίους ἀγούσης ἁψάμενοι καὶ συντόνῳ χρησάμενοι τῇ ὁδοιπορίᾳ ἔλαθον διαδράντες καὶ εἰς τὰ σφέτερα ἤθη διασωθέντες. ἕτερος δὲ λόγος ἔχει, ὡς μετὰ τὴν κατὰ Περσῶν νίκην ἐπανελθόντας ἐδέξατο φιλοφρόνως αὐτοὺς ὁ Χοσρόης, καὶ ἐπεὶ μετ' ὀλίγον τὸ τῆς ζωῆς αὐτὸν ἔφθασε τέλος, ἐπέσκηψε τῷ υἱῷ καὶ ὁμωνύμῳ καὶ μετ' αὐτὸν βασιλεῖ συμμαχίαν δοῦναι τοῖς Ῥωμαίοις καὶ οἴκαδε πέμψαι. καὶ ὁ μὲν Σκληρὸς ἑνὶ τῶν εἰρημένων τρόπων τὴν Ῥωμαίων καταλαμβάνει γῆν, εὑρὼν Βάρδαν τὸν Φωκᾶν ὡς βασιλέα ἀνευφημούμενον, καὶ αὐτὸς ὁμοίως παρὰ τῶν συνόντων ἀνευφημούμενος.

16. Οὕτω δὲ τὰ πράγματα διακείμενα εὑρηκὼς διάφορος ἦν καὶ ποικίλος ταῖς γνώμαις. ἑαυτὸν μὲν γὰρ ἀσθενέστατον ἔκρινεν εἰς τὸ καθ' ἑαυτὸν μόνον συνέχειν καὶ διακρατεῖν τὴν ἀποστασίαν. | προσχωρῆσαι

38/39 a. 987 ineunte

ACEVBMNU DFH **16** ἄλλως: ἄλλων E **17** πρὸς τοὺς Πέρσας om. B τοὺς om. ACE ἀναδέξασθαι VBMNU: αἱρεῖσθαι ACE πόλεμον ἀναδέξασθαι B ἐδέξατο ὁ Χοσρόης: εἶπε B **19** ὁμοῦ (ὁμοῦ τι N) post ἄνδρες add. MNUDH **20** τὸν ... ῥύπον BU ἐκ: ἀπὸ B ἐσθήσεσί B **21** καιναῖς: κοιναῖς U **22** καὶ ἀρκοῦσαν om. AB **23** τῶν Περσῶν: τοὺς Πέρσας V δ' M **24** τε post ἐκεῖνοί add. U **27** πανσυδί VBMNU: πασσυδί ACE **29** καὶ αὐτοῦ: δὲ M (sed non F) τοῦ om. NUH(sed non D) Ἰνάρου ACVMN: Ἰνάργου B Zon. III 550, 13: Ἰνάρχου U **30** περιβαλόμενοι A ὑποστρέψαι VBMNU: ὑπέστρεψαν AC: ὑποστρέψας E **31** ἔγνωσαν om. ACE Ῥωμαίους ACEVMNF: Ῥωμαίων BD: Ῥώμην U **33** ἀνασωθέντες U τῶν ante Περσῶν add. EV **35** αὐτὸν: αὐτοῦ U τέλος ἔφθασεν A **37/38** τρόπων — γῆν: τρόπων καταλαμβάνει τὴν Ῥωμ. γῆν U **38** εὐφημούμενον U **40** εὑρηκὼς διακείμενα U **41** ἀσθενέστερον U **42** ἑαυτὸν: αὐτὸν NU (sed non D) καὶ διακρατεῖν om. U

δὲ τῷ Φωκᾷ ἢ τῷ βασιλεῖ λίαν ἀγεννὲς ᾠήθη καὶ ἄνανδρον. πολλὰ γοῦν γνωματεύσας μετὰ τῶν συνόντων, τέλος τὸ μὲν μόνος ἀνευφημεῖσθαι ὡς βασιλεὺς παράβολον καὶ ἀλυσιτελὲς διὰ τὸ ἀδύνατον ἐλογίζετο, ἑνὶ δὲ προσφοιτῆσαι τῶν δυναστῶν καὶ τοῦ ἑτέρου καταφρονῆσαι κατεγίνωσκε διὰ τὸ τοῦ μέλλοντος ἄδηλον. ἔγνω οὖν κατὰ τὸ δυνατὸν καὶ ἄμφω προσκτήσασθαι τὰς ἀρχάς, ἵν' ἐξ ἀποτυχίας τὴν ἑτέραν ἔχῃ βοηθὸν καὶ συλλήπτορα. γράμματα μὲν οὖν αὐτὸς ἐκπέμπει πρὸς τὸν Φωκᾶν, κοινοπραγίαν ἐξαιτῶν καὶ τῆς βασιλείας διανομήν, εἰ καταγωνίσασθαι δυνηθεῖεν τὸν βασιλέα. λάθρᾳ δὲ Ῥωμανὸν τὸν υἱὸν ἐκπέμπει πρὸς τὸν βασιλέα ὡς τάχα αὐτομολήσαντα, λίαν ἐντρεχῶς λογισάμενός τε καὶ κρίνας, ἵν' εἰ μὲν ὁ Φωκᾶς ὑπέρσχῃ, αὐτὸς εἴη σωτὴρ τοῦ παιδός, εἰ δ' ἐπικρατέστερα τὰ τοῦ βασιλέως ὑπάρξει, αὐτὸς δι' ἐκείνου παραιτηθεὶς τοῦ κινδύνου ῥυσθείη. καὶ ὁ μὲν Ῥωμανὸς δόκησιν φυγῆς παρασχὼν ἄπεισι πρὸς τὸν βασιλέα. ὃν οὗτος φιλοφρόνως ἄγαν δεξάμενος καὶ περιχαρῶς μάγιστρόν τε εὐθέως ἐτίμησε καὶ συμβούλῳ διὰ παντὸς ἐν τοῖς πολέμοις ἐχρῆτο. καὶ γὰρ δὴ καὶ μετὰ τὴν εἰς Συρίαν ὑποχώρησιν τοῦ Σκληροῦ τῶν φροντίδων ὁ βασιλεὺς ἀπαλλαγεὶς καὶ τῶν διοικήσεων ἁπτόμενος ἀνδρικώτερον, ἐπεὶ ἔγνω τὸν παρακοιμώμενον μὴ ἀρεσκόμενον τοῖς δρωμένοις, ἀλλ' ὑποτονθορύζοντα καὶ δεινὰ δράσειν, εἰ καιροῦ λάβοιτο, ἐλπιζόμενον, τοῦτον μὲν κατάγει τῆς | ἐξουσίας καὶ οἴκοι μένειν προστάττει, αὖθις δὲ μὴ ἠρεμοῦντα ὁρῶν, ἀλλ' ἀεὶ μελετῶντα ἀλλόκοτα καὶ τὴν προτέραν ἀπειληφέναι σπεύδοντα ἐξουσίαν ὑπερόριον ἀνὰ τὸ Στενὸν τίθησιν, ἀφελόμενος καὶ τὰ πλείω τῆς οὐσίας αὐτοῦ, ὡς μὴ κεχορηγημένην ἔχων ὕλην φθάσαι τι δρᾶσαι τῶν ἀνηκέστων. αὐτὸς δὲ τῆς ἐξ αὐτοῦ συμβουλῆς μονωθείς, καὶ φίλων δεόμενος καὶ συνεργῶν ἐν ταῖς περιστάσεσι, τότε γνησίως τὸν Ῥωμανὸν προσεδέξατο, ἄνδρα εἰδὼς ἐντρεχῆ καὶ δραστήριον καὶ τὰ πολεμικὰ ἱκανώτατον.

17. Βάρδας δὲ ὁ Φωκᾶς, ὡς τὴν τοῦ Σκληροῦ ἐπάνοδον προσαγ-

62/63 a. 985

cap. 17: Zon. III, 551, 16—553, 4

ACEVBMNUDFH **48** ἵνα B **49** μὲν om. B αὐτὸς: εὐθέως U **51** Ῥωμανὸν post υἱὸν ACE **52** τὸν Βασίλειον ante τὸν add. U τὸν om. ACEB αὐτομολήσαντα CVBUD: αὐτομολήσοντα AEMN **53** ὑπέρσχῃ AVBNF: ὑπερέσχῃ ED: ὑπέσχῃ U: ὑπερέχῃ CM **54** ὑπάρξοι U **55** ῥυσθῇ B **58** πολεμίοις B καὶ alt. om. BMNH (sed non D) **61** ὑποτονθορύζοντα ACEV: ὑποτονθορίζοντα BMNU: ὑποθορυβίζοντα D **62** δράσειν: πράσσειν M **63** προστάττει ACEVBUD: προστάττειν MNH ὁρῶν: ἰδὼν M **64** ἀλλ' ἀεὶ CEMNU: ἀλλὰ ἀεὶ B: ἀλλ' αἰεὶ AV **66** ὕλην ἔχων U φθάσῃ ABU **67** συμβουλῆς: βουλῆς B μονωθεὶς συμβουλῆς MNUDH **68** τὸν om. C **69** ὑπερπροσεδέξατο U τε post ἄνδρα add. ACE ἐντρεχῆ VBMNU: νουνεχῆ ACE **71** ἐπάνοδον: ὑποστροφὴν U

γελθεῖσαν ἐπύθετο, γράμματά τε ἐκπέμπει αὐτὰ ἐκεῖνα δηλοῦντα τὰ ἐκείνῳ πρὸς τρόπου, καὶ ὅρκοις ἐπιστοῦτο τὰς ὑποσχέσεις, 'εἰ τῶν ἠλπισμένων τύχοιμεν,' λέγων, 'σὺ μὲν ἄρξεις Ἀντιοχείας καὶ Φοινίκης καὶ Κοίλης Συρίας καὶ Παλαιστίνης καὶ Μεσοποταμίας, ἐγὼ δὲ ἄρχων ἔσομαι τῆς βασιλίδος αὐτῆς καὶ τῶν ὑπολοίπων ἐθνῶν.' δεξάμενος δὲ περιχαρῶς ὁ Σκληρὸς τοὺς λόγους, καὶ τοῖς ὅρκοις θαρρήσας, ἄπεισιν ἐν Καππαδοκίᾳ πρὸς τὸν Φωκᾶν, ὡς τάχα πληρώσων τὴν κοινοπραγίαν. ἐκεῖνος δὲ τοῦτον ἔνδον τῆς σαγήνης λαβὼν ἀπαμφιέννυσί τε τὰ τῆς βασιλείας παράσημα καὶ ἐς τὸ φρούριον τὸν Τυροποιὸν ἐκπέμπει, φρουρὰν οὐκ ἀγεννῆ περιστήσας αὐτῷ. αὐτὸς δὲ μέρος τοῦ στρατοῦ παρασχὼν Καλοκυρῷ πατρικίῳ τῷ Δελφινᾷ ἐκπέμπει κατὰ τὴν ἀντίπορθμον τῇ βασιλίδι Χρυσόπολιν. τὸ δὲ λοιπὸν ἅπαν τῆς στρα|τηγίας ἄγων μεθ' ἑαυτοῦ κάτεισιν εἰς Ἄβυδον, ἐλπίσας οὕτω κατεχομένων τῶν στενῶν πεπιεσμένους ἐνδείᾳ παραστήσεσθαι τοὺς πολίτας. ὁ δὲ βασιλεὺς πολλὰ παρακαλέσας τὸν Δελφινᾶν ἀπαναστῆναι τῆς Χρυσοπόλεως καὶ μὴ ἀντιμέτωπον τῇ βασιλίδι ποιεῖσθαι στρατοπεδείαν, ὡς οὐκ ἔπειθε, πλοῖα παρασκευάσας νυκτὸς καὶ τούτοις ἐμβιβάσας Ῥῶς (ἔτυχε γὰρ συμμαχίαν προσκαλεσάμενος ἐξ αὐτῶν, καὶ κηδεστὴν ποιησάμενος τὸν ἄρχοντα τούτων Βλαδιμηρὸν ἐπὶ τῇ ἑαυτοῦ ἀδελφῇ Ἄννῃ), περαιωθεὶς μετ' αὐτῶν ἀνοήτως ἐπιτίθεται τοῖς ἐχθροῖς καὶ ῥᾶον χειροῦται. τὸν μὲν οὖν Δελφινᾶν ἐπὶ ξύλου κρεμᾷ κατ' ἐκεῖνον τὸν τόπον, ἔνθαπερ εἶχε τὴν σκηνὴν πεπηγμένην, τὸν δὲ ἀδελφὸν τοῦ Φωκᾶ Νικηφόρον τὸν τυφλὸν φρουρᾷ παραδίδωσι

, ἀνασκολοπίζει δὲ καὶ τὸν Ἀτζυποθεόδωρον κατὰ τὴν Ἄβυδον

καὶ τοῖς λοιποῖς τοῖς ἁλοῦσι ποινὰς ἐπιθεὶς τὰς δοκούσας ὑπέστρεψεν εἰς τὴν βασιλίδα.

18. Ὁ δὲ Φωκᾶς τὴν Ἄβυδον καταλαβὼν ἐπιμελῶς ἐπολιόρκει, ῥω-

84 a. 988 ineunte

cap. 18: Zon. III, 553, 4—554, 6

ACEVBMNU DH **72** γράμματά — δηλοῦντα ACEVMN: γράμμα ἐκπέμπει αὐτῷ αὐτὰ ἐκεῖνα δηλοῦντα U: γράμματα ἐκπέμπει αὐτῷ ἐκεῖνοια δηλοῦντα τὰ ἐκείνου B **73** ἐπιστοῦτο: ἐπὶ τοῦτο C **74** ἐλπισμένων E **75** Κοίλης: ὅλης M **76** δὲ: οὖν U **77** τοὺς λόγους: τὰ γράμματα, post περιχαρῶς B **78** εἰς Καππαδοκίαν U ὡς τάχα om. U **79** ἔνδον — λαβὼν ACEVBUD: ἔνδον λαβὼν τῆς σαγήνης MN ἀμφιέννυσί U τε om. B **80** εἰς B **81** παριστήσας B μέρους B **82** Καλοκύρι B **83** ἅπαν — στρατηγίας: τῆς στρατιᾶς ἅπαν B στρατηγίας VMN: στρατιᾶς ACEBU **85** παραστήσασθαι CBU **86** Δελφινὰν U **88** ἔπειθε VBMNU: ἔπεισε ACE Ῥώς ACE **89** διὰ ante συμμαχίαν add. B συμμάχους E **90** ἑαυτοῦ: αὐτοῦ U ἀδελφῇ ἑαυτοῦ E **91** ἀνοήτως: ἀνωϊστὶ B **92** Δελφινὰν U **93** ἔνθαπερ εἶχε: ἔνθα περιεῖχεν B καὶ ante Νικηφόρον add. U **95** interpol. U **3/4** ῥωμαλέως — πολιορκίαν: τὴν πολιορκίαν ῥωμαλέως καὶ τῶν ἔνδον ὑφισταμένων A

μαλέως ὑφισταμένων καὶ τῶν ἔνδον τὴν πολιορκίαν, τοῦ δρουγγαρίου
τῶν πλωΐμων Κυριακοῦ προεκπεμφθέντος παρὰ τοῦ βασιλέως καὶ τοὺς
ἔνδον παραθαρρύνοντος. μετὰ μικρὸν δὲ ἐπεραιώθη καὶ Κωνσταντῖνος
ὁ τοῦ βασιλέως ἀδελφός, κατόπιν δ' ἀφίκετο καὶ αὐτὸς ὁ βασιλεύς.
ὧν περαιωθέντων ὁ Φωκᾶς μέρος μὲν τῆς στρατιᾶς προσεδρεύειν ἐπ-
έταξε τῇ τῆς Ἀβύδου πολιορκίᾳ, αὐτὸς δὲ τοῖς λοιποῖς τοῦ στρατοῦ
ἀντιπαρατάττει τοῖς βασιλεῦσι, καὶ μελλούσης ἤδη ἀρχὴν λαμβάνειν
τῆς μάχης ὁ Φωκᾶς τοῦ ζῆν ἀγεννῶς τὸ γενναίως ἀποθανεῖν εὐγενῶς
προκρίνας, τὸν βασιλέα θεασάμενος πόρρωθεν τῇδε κἀκεῖσε καθιππα-
ζόμενον καὶ τὰς τῶν | οἰκείων διακοσμοῦντα τάξεις καὶ παραθαρρύ-
νοντα, καὶ πρὸς ἑαυτὸν λογισάμενος, ὡς, εἰ τούτου ἐπιτυχὴς γένηται,
ῥᾷον ἂν καὶ τοὺς λοιποὺς καταγωνιεῖται, τὸν ἵππον μυωπίσας ῥαγ-
δαίως ἵκετο κατ' αὐτοῦ, τὰς ἐναντίας φάλαγγας διακόπτων καὶ ἀνυπό-
στατος τοῖς πᾶσι φαινόμενος. ἤδη δὲ τῷ βασιλεῖ προσεγγίζων εὐθὺς
ὑποστρέφει καὶ εἴς τινα λόφον ἄνεισι, καὶ τοῦ ἵππου ἀποβὰς καὶ πρὸς
γῆν ἐκτείνας ἑαυτὸν ἀπέλιπε τὴν ζωήν, εἴτε παρά του τῶν στρατιω-
τῶν ἐν τῷ ἀτάκτως φέρεσθαι καιρίαν τυπείς, εἴτε καὶ ἄλλως ἀπὸ σωματι-
κῆς ἀταξίας κατεργασθείς. πληγὴν μέντοι οὐδ' ὅλως εὑρέθη ἐν τῷ σώματι
ἔχων, καὶ διὰ τοῦτο ὁ λέγων λόγος δηλητηρίῳ αὐτὸν ἀναιρεθῆναι
κρατεῖ. φέρεται γάρ, ὅτι Συμεὼν ὁ πιστικώτατος τῶν θεραπόντων αὐτοῦ,
δώροις ὑπὸ βασιλέως ἀναπεισθείς, φαρμάκῳ τοῦτον ἀπέκτεινεν. εἰώθει
γὰρ ὁ Φωκᾶς ἐν τοῖς πολέμοις ὕδατος ψυχροῦ πρὸ τῆς συμπλοκῆς
ἀπογεύεσθαι. ὃ κἀν ταύτῃ τῇ συμπλοκῇ ποιήσας ἔλαθε συγκαταπιὼν
τῷ ὕδατι καὶ τὸ δηλητήριον. ἐπὶ πολὺν δὲ χρόνον ἐν τῷ λόφῳ κειμένου
τοῦ Φωκᾶ ᾤοντο πάντες διά τινα σωματικὴν μαλακίαν ἀναπαύσει
μικρᾷ ἑαυτὸν δεδωκέναι. ὡς δὲ ἐχρόνιζε κείμενος καὶ προσελθών τις
νεκρὸν αὐτὸν εὗρε καὶ ἄναυδον καὶ διεγνώσθη τοῖς πᾶσιν ὁ τούτου
θάνατος, οἱ μὲν ἀποστάται εὐθὺς εἰς φυγὴν ὥρμησαν, τὰ δὲ τοῦ βασι-

19 die 13. mens. Apr. a. 989

ACEVBMNU DH **5** ἐκπεμφθέντος BM **6** ἔνδον: ἔνδοθεν U παραθαρρύνοντας E δ' B **8** μὲν: μέντοι B ἐπέταξε ACEVUD: ἐπάταξε B: om. MN **9** τῇ om. E πολιορκίας E τοῖς λοιποῖς ACEVB: τῷ λοιπῷ MND: τὸ λοιπὸν U **10** ἀντιπαρατάττει VBMNU: ἀντιπαρατάττεται ACE **11/12** ἀποθανεῖν — προκρίνας CVMNU: ἀποθανεῖν εὖ κρίνας E: ἀποθανεῖν εὐγενέστερον κρίνας B: θανεῖν προκρίνας καὶ εὐγενῶς A **13** διακομοῦντα C **14** πρός: καθ' B εἰ: εἰς B **15** ἂν om. U ῥαγδαίως: ῥαδίως U **16** ἵκετο ACEV: ἵετο MNUDH: ἵεται B **17** καὶ ante τῷ add. M **19** ἐκτείνας ἑαυτὸν VBMNU: ἑαυτὸν ἐκτείνας ACE **20** καιρίαν τυπεὶς post στρατιωτῶν B καὶ om. U **22** ἔχων post **21** εὑρέθη MN (sed non D) **22** ὁ λέγων om. B **23** πιστότατος BU **24** τοῦ ante βασιλέως add. A **25** ὁ ἀναπεισθεὶς AVBMN: πεισθεὶς CE: ὑποκλαπεὶς U φαρμάκοις C **27** καὶ Φωκᾶς post πολέμοις U **26** συμπλοκῇ ACEVBU: συμβολῇ MNDH **30** καὶ alt. om. B τοῖς om. U **29** δεδωκέναι ACEVB: ἐκδεδωκέναι MNUDH **30** καὶ alt. om. B τοῖς om. U **31** καὶ ante οἱ add. B

γελθεῖσαν ἐπύθετο, γράμματά τε ἐκπέμπει αὐτὰ ἐκεῖνα δηλοῦντα τὰ ἐκείνῳ πρὸς τρόπου, καὶ ὅρκοις ἐπιστοῦτο τὰς ὑποσχέσεις, 'εἰ τῶν ἠλπισμένων τύχοιμεν,' λέγων, 'σὺ μὲν ἄρξεις Ἀντιοχείας καὶ Φοινίκης καὶ Κοίλης Συρίας καὶ Παλαιστίνης καὶ Μεσοποταμίας, ἐγὼ δὲ ἄρχων ἔσομαι τῆς βασιλίδος αὐτῆς καὶ τῶν ὑπολοίπων ἐθνῶν.' δεξάμενος δὲ περιχαρῶς ὁ Σκληρὸς τοὺς λόγους, καὶ τοῖς ὅρκοις θαρρήσας, ἄπεισιν ἐν Καππαδοκίᾳ πρὸς τὸν Φωκᾶν, ὡς τάχα πληρώσων τὴν κοινοπραγίαν. ἐκεῖνος δὲ τοῦτον ἔνδον τῆς σαγήνης λαβὼν ἀπαμφιέννυσί τε τὰ τῆς βασιλείας παράσημα καὶ ἐς τὸ φρούριον τὸν Τυροποιὸν ἐκπέμπει, φρουρὰν οὐκ ἀγεννῆ περιστήσας αὐτῷ. αὐτὸς δὲ μέρος τοῦ στρατοῦ παρασχὼν Καλοκυρῷ πατρικίῳ τῷ Δελφινᾷ ἐκπέμπει κατὰ τὴν ἀντίπορθμον τῇ βασιλίδι Χρυσόπολιν. τὸ δὲ λοιπὸν ἅπαν τῆς στρα|τηγίας ἄγων μεθ' ἑαυτοῦ κάτεισιν εἰς Ἄβυδον, ἐλπίσας οὕτω κατεχομένων τῶν στενῶν πεπιεσμένους ἐνδείᾳ παραστήσεσθαι τοὺς πολίτας. ὁ δὲ βασιλεὺς πολλὰ παρακαλέσας τὸν Δελφινᾶν ἀπαναστῆναι τῆς Χρυσοπόλεως καὶ μὴ ἀντιμέτωπον τῇ βασιλίδι ποιεῖσθαι στρατοπεδείαν, ὡς οὐκ ἔπειθε, πλοῖα παρασκευάσας νυκτὸς καὶ τούτοις ἐμβιβάσας Ῥῶς (ἔτυχε γὰρ συμμαχίαν προσκαλεσάμενος ἐξ αὐτῶν, καὶ κηδεστὴν ποιησάμενος τὸν ἄρχοντα τούτων Βλαδιμηρὸν ἐπὶ τῇ ἑαυτοῦ ἀδελφῇ Ἄννῃ), περαιωθεὶς μετ' αὐτῶν ἀνοήτως ἐπιτίθεται τοῖς ἐχθροῖς καὶ ῥᾷον χειροῦται. τὸν μὲν οὖν Δελφινᾶν ἐπὶ ξύλου κρεμᾷ κατ' ἐκεῖνον τὸν τόπον, ἔνθαπερ εἶχε τὴν σκηνὴν πεπηγμένην, τὸν δὲ ἀδελφὸν τοῦ Φωκᾶ Νικηφόρον τὸν τυφλὸν φρουρᾷ παραδίδωσι

, ἀνασκολοπίζει δὲ καὶ τὸν Ἀτζυποθεόδωρον κατὰ τὴν Ἄβυδον

καὶ τοῖς λοιποῖς τοῖς ἁλοῦσι ποινὰς ἐπιθεὶς τὰς δοκούσας ὑπέστρεψεν εἰς τὴν βασιλίδα.

18. Ὁ δὲ Φωκᾶς τὴν Ἄβυδον καταλαβὼν ἐπιμελῶς ἐπολιόρκει, ῥω-

84 a. 988 ineunte

cap. 18: Zon. III, 553, 4—554, 6

ACEVBMNU DH **72** γράμματά — δηλοῦντα ACEVMN: γράμμα ἐκπέμπει αὐτῷ αὐτὰ ἐκεῖνα δηλοῦντα U: γράμματα ἐκπέμπει αὐτῷ ἐκεῖνοια δηλοῦντα τὰ ἐκείνου B **73** ἐπιστοῦτο: ἐπὶ τοῦτο C **74** ἐλπισμένων E **75** Κοίλης: ὅλης M **76** δὲ: οὖν U **77** τοὺς λόγους: τὰ γράμματα, post περιχαρῶς B **78** εἰς Καππαδοκίαν U ὡς τάχα om. U **79** ἔνδον — λαβὼν ACEVBUD: ἔνδον λαβὼν τῆς σαγήνης MN ἀμφιέννυσί U τε om. B **80** εἰς B **81** παριστήσας B μέρους B **82** Καλοκύρι B **83** ἅπαν — στρατηγίας: τῆς στρατιᾶς ἅπαν B στρατηγίας VMN: στρατιᾶς ACEBU **85** παραστήσασθαι CBU **86** Δελφινὰν U **88** ἔπειθε VBMNU: ἔπεισε ACE Ῥώς ACE **89** διά ante συμμαχίαν add. B συμμάχους E **90** ἑαυτοῦ: αὐτοῦ U ἀδελφῇ ἑαυτοῦ E **91** ἀνοήτως: ἀνωϊστὶ B **92** Δελφινὰν U **93** ἔνθαπερ εἶχε: ἔνθα περιεῖχεν B καὶ ante Νικηφόρον add. U **95** interpol. U **3/4** ῥωμαλέως — πολιορκίαν: τὴν πολιορκίαν ῥωμαλέως καὶ τῶν ἔνδον ὑφισταμένων A

μαλέως ὑφισταμένων καὶ τῶν ἔνδον τὴν πολιορκίαν, τοῦ δρουγγαρίου τῶν πλωΐμων Κυριακοῦ προεκπεμφθέντος παρὰ τοῦ βασιλέως καὶ τοὺς ἔνδον παραθαρρύνοντος. μετὰ μικρὸν δὲ ἐπεραιώθη καὶ Κωνσταντῖνος ὁ τοῦ βασιλέως ἀδελφός, κατόπιν δ' ἀφίκετο καὶ αὐτὸς ὁ βασιλεύς. ὧν περαιωθέντων ὁ Φωκᾶς μέρος μὲν τῆς στρατιᾶς προσεδρεύειν ἐπέταξε τῇ τῆς Ἀβύδου πολιορκίᾳ, αὐτὸς δὲ τοῖς λοιποῖς τοῦ στρατοῦ ἀντιπαρατάττει τοῖς βασιλεῦσι, καὶ μελλούσης ἤδη ἀρχὴν λαμβάνειν τῆς μάχης ὁ Φωκᾶς τοῦ ζῆν ἀγεννῶς τὸ γενναίως ἀποθανεῖν εὐγενῶς προκρίνας, τὸν βασιλέα θεασάμενος πόρρωθεν τῇδε κἀκεῖσε καθιππαζόμενον καὶ τὰς τῶν | οἰκείων διακοσμοῦντα τάξεις καὶ παραθαρρύνοντα, καὶ πρὸς ἑαυτὸν λογισάμενος, ὡς, εἰ τούτου ἐπιτυχὴς γένηται, ῥᾷον ἂν καὶ τοὺς λοιποὺς καταγωνιεῖται, τὸν ἵππον μυωπίσας ῥαγδαίως ἵκετο κατ' αὐτοῦ, τὰς ἐναντίας φάλαγγας διακόπτων καὶ ἀνυπόστατος τοῖς πᾶσι φαινόμενος. ἤδη δὲ τῷ βασιλεῖ προσεγγίζων εὐθὺς ὑποστρέφει καὶ εἴς τινα λόφον ἄνεισι, καὶ τοῦ ἵππου ἀποβὰς καὶ πρὸς γῆν ἐκτείνας ἑαυτὸν ἀπέλιπε τὴν ζωήν, εἴτε παρά του τῶν στρατιωτῶν ἐν τῷ ἀτάκτως φέρεσθαι καιρίαν τυπείς, εἴτε καὶ ἄλλως ἀπὸ σωματικῆς ἀταξίας κατεργασθείς. πληγὴν μέντοι οὐδ' ὅλως εὑρέθη ἐν τῷ σώματι ἔχων, καὶ διὰ τοῦτο ὁ λέγων λόγος δηλητηρίῳ αὐτὸν ἀναιρεθῆναι κρατεῖ. φέρεται γάρ, ὅτι Συμεὼν ὁ πιστικώτατος τῶν θεραπόντων αὐτοῦ, δώροις ὑπὸ βασιλέως ἀναπεισθείς, φαρμάκῳ τοῦτον ἀπέκτεινεν. εἰώθει γὰρ ὁ Φωκᾶς ἐν τοῖς πολέμοις ὕδατος ψυχροῦ πρὸ τῆς συμπλοκῆς ἀπογεύεσθαι. ὃ κἀν ταύτῃ τῇ συμπλοκῇ ποιήσας ἔλαθε συγκαταπιὼν τῷ ὕδατι καὶ τὸ δηλητήριον. ἐπὶ πολὺν δὲ χρόνον ἐν τῷ λόφῳ κειμένου τοῦ Φωκᾶ ᾤοντο πάντες διά τινα σωματικὴν μαλακίαν ἀναπαύσει μικρᾷ ἑαυτὸν δεδωκέναι. ὡς δὲ ἐχρόνιζε κείμενος καὶ προσελθών τις νεκρὸν αὐτὸν εὗρε καὶ ἄναυδον καὶ διεγνώσθη τοῖς πᾶσιν ὁ τούτου θάνατος, οἱ μὲν ἀποστάται εὐθὺς εἰς φυγὴν ὥρμησαν, τὰ δὲ τοῦ βασι-

19 die 13. mens. Apr. a. 989

ACEVBMNU DH 5 ἐκπεμφθέντος BM 6 ἔνδον: ἔνδοθεν U παραθαρρύνοντας E δ' B 8 μὲν: μέντοι B ἐπέταξε ACEVUD: ἐπάταξε B: om. MN 9 τῇ om. E πολιορκίας E τοῖς λοιποῖς ACEVB: τῷ λοιπῷ MND: τὸ λοιπὸν U 10 ἀντιπαρατάττει VBMNU: ἀντιπαρατάττεται ACE 11/12 ἀποθανεῖν — προκρίνας CVMNU: ἀποθανεῖν εὖ κρίνας E: ἀποθανεῖν εὐγενέστερον κρίνας B: θανεῖν προκρίνας καὶ εὐγενῶς A 13 διακομοῦντα C 14 πρὸς: καθ' B εἰ: εἰς B 15 ἂν om. U ῥαγδαίως: ῥᾳδίως U 16 ἵκετο ACEV: ἵετο MNUDH: ἵεται B 17 καὶ ante τῷ add. M 19 ἐκτείνας ἑαυτὸν VBMNU: ἑαυτὸν ἐκτείνας ACE 20 καιρίαν τυπεὶς post στρατιωτῶν B καὶ om. U 22 ἔχων post 21 εὑρέθη MN (sed non D) 22 ὁ λέγων om. B 23 πιστότατος BU 24 τοῦ ante βασιλέως add. A ἀναπεισθεὶς AVBMN: πεισθεὶς CE: ὑποκλαπεὶς U φαρμάκοις C 25 ὁ Φωκᾶς post πολέμοις U 26 συμπλοκῇ ACEVBU: συμβολῇ MNDH 27 καὶ om. U 29 δεδωκέναι ACEVB: ἐκδεδωκέναι MNUDH 30 καὶ alt. om. B τοῖς om. U 31 καὶ ante οἱ add. B

λέως ἐπερρώσθη στρατεύματα, καὶ ἐδίωκον ἀμεταστρεπτί, καὶ ζωγροῦνται μὲν Λέων καὶ Θεόγνωστος οἱ Μελισσηνοί, Θεοδόσιος ὁ Μεσανύκτης καὶ ἄλλοι πολλοί. οὓς μεθ' ἑαυτοῦ ὁ βασιλεὺς εἰς | τὴν πόλιν εἰσαγαγὼν διὰ μέσης ἐθριάμβευσε τῆς ἀγορᾶς ὄνοις ἐφεζομένους, μόνου φεισάμενος Λέοντος τοῦ Μελισσηνοῦ. λέγεται γὰρ οὗτος ἐπὶ τῆς παρατάξεως τῷ οἰκείῳ ἀδελφῷ Θεογνώστῳ, ἐπιχλευάζοντι τοὺς βασιλεῖς καὶ ὕβρεις ἀπρεπεῖς ἐς αὐτοὺς ἀπορριπτοῦντι, ἐπιτιμῆσαί τε πολλὰ μετὰ δακρύων καὶ παρακαλέσαι παύσασθαι τῆς ἀθυροστομίας καὶ μὴ ἀναιδῶς ἐνυβρίζειν εἰς τοὺς οἰκείους δεσπότας, ἐπεὶ δὲ μὴ ἔπειθε, καὶ τὸν σειρομάστην ἐντείνας δοῦναι τούτῳ πολλάς, ὥστε καὶ τὸν βασιλέα θεωρὸν ὄντα τῶν γινομένων ἀνειπεῖν πρὸς τοὺς παρόντας· 'ἴδετε, ὦ οὗτοι, ἀφ' ἑνὸς ξύλου καὶ σταυρὸν καὶ πτύον.' διὰ ταύτην οὖν τὴν αἰτίαν λέγεται τῷ Λέοντι συγχωρηθῆναι τὸν θρίαμβον.

19. Ἄρτι δὲ τοῦ Φωκᾶ ἀποθανόντος κατὰ τὸν Ἀπρίλλιον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ τετρακοσιοστοῦ ἐνενηκοστοῦ ἑβδόμου ἔτους, καὶ τῆς κατ' αὐτὸν ἀποστασίας διαλυθείσης, ἀδείας λαβόμενος ὁ Σκληρὸς πάλιν ἀνελάμβανεν ἑαυτὸν καὶ τὴν προτέραν ἐσωμάσκει ἀποστασίαν. ὅπερ πυθόμενος ὁ βασιλεὺς γράμμασι παρῄνει κόρον λαβεῖν τῆς τῶν Χριστιανῶν χύσεως αἱμάτων, ἄνθρωπον καὶ αὐτὸν ὄντα καὶ θάνατον προσδεχόμενον καὶ κρίσιν, καὶ ὀψέ ποτε μεταμαθεῖν τὸ συμφέρον, καὶ τὸν ἐκ θεοῦ δεδομένον ἐπιγνῶναι ἄρχοντα

μὴ πλανώμενον τῷ πραττομένῳ (ταττομένῳ E) τοῦ ὀνόματος αὐτοῦ στοιχείῳ. ἐλέγετο γὰρ λόγος δημώδης ὑπό τινων τῶν τὰ μετέωρα ἐστοχασμένων· 'βῆτα βῆτα διώξει, καὶ βῆτα βασιλεύσει.' ὑφ' οὗ αὐτός τε καὶ ὁ Φωκᾶς ἐξηπατημένοι ταῖς ἀποστασίαις (ταῖς ἀποστ.] τὰς εἰς αὐτὸν et deinde lac. E) ἐπεβάλλοντο (ἐπεβάλοντο E).

τούτοις δὲ τοῖς γράμμασι μαλαχθεὶς ἐκεῖνος καὶ πίστεις λαβών, ὡς οὐδὲν

45 mense Apr. a. 989 49/50 mense Apr. a. 989

---

42 paroem., fons mihi ignotus cap. 19: Zon. III, 555, 17—556, 13

ACEVBMNU DH 32 ἐπερρώθη EB 33 μὲν om. BU Μεσονύκτης U 35 φεισαμένου V 36 τοῦ Μελισσηνοῦ Λέοντος B 37 τοὺς βασιλεῖς ἐπιχλευάζοντι A 38 εἰς αὐτοὺς ἀπρεπεῖς U ἐς: εἰς BU ἐς αὐτούς: ἑαυτοὺς C ἀπορριπτοῦντι AVBMNU: ἀπορριπτοῦντα E: ἐπιρριπτοῦντα C 38/39 τε — δακρύων καὶ ACEVB: τε μετὰ δακρύων πολλὰ MNU: τε μετὰ δακρύων καὶ πολλὰ DH 39 παρακαλέσαι BMNU: παρακαλέσας AEVDH: μετακαλέσας C 40 εἰς om. B ἐπεὶ: ὡς B δὲ μὴ ACEVBN: δὴ μὴ M: μηδὲ U 41 καὶ om. B 42 ἀφ' ἑνὸς ACEVBUD: ἀπ' ἑνὸς MN 43 καὶ pr. om. B τῷ Λέοντι om. U 44 συγχωρηθῆναι: συγγνωσθῆναι B 46 β' ACEBU 46/47 ,ςυϞζ' ACEBN: ,ςυϞδ' U: ,ςυϛ' M 49 ἐσωμάσχει U 50 Χριστιανικῶν BMNU χύσεως αἱμάτων: αἱμάτων ἐκχύσεως B 52 μαθεῖν M (sed non D) 53—56 interpol. U et i. m. E 57 τούτοις — ἐκεῖνος: τοῖς δὲ τοῦ βασιλέως γράμμασι μαλαχθεὶς ὁ Σκληρὸς U ἐκεῖνος: ὁ Σκληρὸς MU (sed non D)

ὑποστήσεται φλαῦρον, κατατίθεται τὰ ὅπλα καὶ τῷ βασιλεῖ σπένδεται, κουροπαλάτης τιμηθείς. οὐ μέντοι γε καὶ ὀφθαλμοῖς τὸν βασιλέα θεάσασθαι ἠξιώθη. κατὰ γὰρ τὴν ὁδὸν ἀορασίᾳ | πληγεὶς τὴν ὁρατικὴν ἀπέβαλεν αἴσθησιν καὶ τυφλὸς εἰσήχθη πρὸς βασιλέα. ὃν χειραγωγούμενον ἐκεῖνος θεασάμενός φησι πρὸς τοὺς παρόντας· ʻὃν ἐφοβούμην καὶ ἔτρεμον, χειραγωγούμενος ἔρχεται.ʼ

20. Ἀπολυθεὶς δὲ τῶν ἐμφυλίων πολέμων καὶ φροντίδων ὁ βασιλεύς, πῶς ἂν διάθηται τὰ κατὰ τὸν Σαμουὴλ ἐσκόπει καὶ τοὺς λοιποὺς τοπάρχας, οἵτινες ταῖς ἀποστασίαις ἐνασχολουμένου ἄδειαν εἰληφότες οὐ μικρὰ τὰς τῶν Ῥωμαίων ἐπικρατείας ἐλύπησαν. ἔξεισι γοῦν εἰς τὰ ἐπὶ Θρᾴκης καὶ Μακεδονίας χωρία, καὶ κάτεισιν εἰς Θεσσαλονίκην, ἀποδώσων τὰ εὐχαριστήρια τῷ μάρτυρι Δημητρίῳ. ἐκεῖσέ τε Γρηγόριον μάγιστρον τὸν Ταρωνίτην ἄρχειν λιπών, δοὺς αὐτῷ καὶ στρατὸν ἀξιόμαχον, ἐφʼ ᾧ εἴργειν καὶ ἀνακόπτειν τὰς ἐπιδρομὰς τοῦ Σαμουήλ, αὐτὸς ὑποστρέψας κἀν τῇ βασιλίδι γενόμενος ἄνεισιν εἰς Ἰβηρίαν. ἤδη γὰρ καὶ ὁ κουροπαλάτης ἐτεθνήκει Δαβίδ, κληρονόμον τῶν αὐτῷ προσηκόντων γράψας τὸν βασιλέα. ἐκεῖσε δὲ γενόμενος καὶ τὴν δοθεῖσαν αὐτῷ κληρονομίαν καταστησάμενος, καὶ τὸν τοῦ κουροπαλάτου Δαβὶδ ἀδελφὸν Γεώργιον τὸν τῆς ἐνδοτέρω Ἰβηρίας ἄρχοντα τοῖς οἰκείοις ἀρκεῖσθαι πείσας, καὶ μὴ ἐπιβαίνειν τοῖς ἀλλοτρίοις, σπεισάμενός τε αὐτῷ καὶ ὅμηρον εἰληφὼς τὸν τούτου υἱόν, ἄπεισιν εἰς Φοινίκην, ἔχων μεθʼ ἑαυτοῦ καὶ τοὺς ἐν τῇ κατʼ αὐτὸν Ἰβηρίᾳ κατὰ γένος πρωτεύοντας, ὧν ἦσαν κορυφαῖοι ὁ Πακουριάνος καὶ Φεβδάτος καὶ Φέρσης οἱ αὐτάδελφοι, οὓς καὶ εἰς τὸν τῶν πατρικίων

67 a. 987 77 a. circiter 990

cap. 20: Zon. III, 557, 7—558, 4

ACEVBMNU DH **58** φλαῦρον: φαῦλον B **60** εἴπερ αὐτῷ προῄρητο post ἠξιώθη add. U ἀορασίᾳ: ἀοράτως B **62** ἐκεῖνος: ἐκεῖ A ἔφη B **63** ἔτρεμα U χειραγωγούμενος: παρακρατούμενος A **64** Ἀπολυθεὶς — βασιλεύς: Ἀπολυθεὶς δὲ τῶν πολέμων τούτων τῶν ἐμφυλίων ὁ βασ. καὶ τῶν περὶ τούτους φροντίδων A καὶ φροντίδων om. U **65** τὸν om. M (sed non D) ἐσκόπει AMND: ἐφρόντιζε, post **64** βασιλεὺς B: om. CEVU **66** ἐνασχολουμένου VBMND: ἐνασχολούμενοι ACEU: ἀνασχολούμενοι H αὐτοῦ post ἐνασχολ. add. B εἰληφότας E μικρὰ: μικρῶς EU **67** τῶν om. B ἐλύπησαν ἐπικρατείας A τἀπὶ MNUD **68/69** τὰ — Δημητρίῳ: τῷ μεγαλομάρτυρι Δημ. τὰ χαριστήρια B **69** μεγαλομάρτυρι BDH **70** Ταρωνί V **71** καὶ ἀνακόπτειν dittogr. C **72** ἄνεισιν εἰς Ἰβηρίαν: καὶ ἐς Ἰβηρίαν ἄνεισιν M (sed non D) **74** ἐκεῖσε δὲ γενόμενος om. M (sed non D) δὲ om. BM ἐξουσίαν ante κληρονομίαν add. E **75** ἀδελφὸν om. ACE **76** ἄρχοντα Ἰβηρίας A ποιήσας καὶ ante πείσας add. M **77** ἐπιβαίνειν CEVND: ἐπεμβαίνειν ABMU **79** αὐτόν: αὐτῇ U κατὰ γένος om. U οἱ ante κορυφαῖοι add. B Πακουρίανος E **80** καὶ pr.: ὁ B Φευδάτος AB τὸν om. B

ἀνεβί|βασε θῶκον. ἐν Φοινίκῃ δὲ γενόμενος καὶ τὸν Τριπόλεως ἀμηρᾶν καὶ τὸν Δαμασκοῦ καὶ Τύρου καὶ Βηρυτοῦ (οὗτοι γὰρ πρὸ ὀλίγου ὁμονοήσαντες καὶ ὅπλα κατὰ τῆς Ἀντιοχείας κινήσαντες, τοῦ βασιλέως τῷ πρὸς τὸν Φωκᾶν πολέμῳ σχολάζοντος, Δαμιανόν τε πατρίκιον, ὃς ἦρχεν Ἀντιοχείας, πολέμῳ συμβαλόντα τούτοις ἀνεῖλον καὶ κίνδυνον οὐ μικρὸν τῇ πόλει ἐνέσειον), ὡς ἐνῆν ἀσφαλισάμενος μένειν τῇ δουλώσει Ῥωμαίων καὶ ὅμηρα λαβὼν ἐπαναζευγνύει πρὸς τὸ Βυζάντιον.

21. Διϊόντα δὲ τοῦτον ἐν Καππαδοκίᾳ Εὐστάθιος μάγιστρος ὁ Μαλεῖνος ἐν τοῖς οἰκείοις ὑπεδέξατο πανστρατί, πᾶσαν αὐτῷ τε καὶ τῷ στρατεύματι ἀφθόνως παρεσχηκὼς χορηγίαν. ὃν ὡς τάχα ἀποδεξάμενος καὶ ἐπαινέσας καὶ μετ' αὐτοῦ προσλαβόμενος εἰς τὴν βασιλίδα ἔκτοτε ὑποστρέψαι οὐ συνεχώρησεν, ἀλλὰ χορηγῶν αὐτῷ δαψιλῶς τὰ πρὸς τὴν χρείαν καὶ ὥσπερ τι θηρίον ἔν τινι τρέφων σηκῷ κατεῖχεν, ἕως αὐτὸν καὶ τὸ πέρας τοῦ βίου κατέλαβε. τούτου ἀποθανόντος ἡ κτῆσις αὐτοῦ πᾶσα δεδημοσίευτο. ἔγραψε δὲ καὶ νόμον ὁ βασιλεὺς εἴργοντα τοὺς δυνατοὺς ἐν ὁμάδι χωρίων αὔξάνεσθαι. τοῦτο δὲ καὶ ὁ πρὸ αὐτοῦ Κωνσταντῖνος ὁ Πορφυρογέννητος, ὁ πατροπάτωρ τοῦ βασιλέως, καὶ Ῥωμανὸς ὁ ἐκείνου πενθερὸς ἐποιήσαντο.

22. Νικολάου δὲ τοῦ Χρυσοβέργη ἐπὶ χρόνοις δώδεκα καὶ μῆνας ὀκτὼ τὴν ἐκκλησίαν ἰθύναντος καὶ καταλύσαντος τὴν ζωήν, χειροτονεῖται Σισίνιος μάγιστρος, ἀνὴρ ἐλλόγιμος καὶ ἰατρικῆς τέχνης ἥκων | εἰς τὸ ἀκρότατον, ἐν ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ τρίτῳ, ἰνδικτιῶνος

81 a. 995 **94** die 1. mens. Ian. a. 996 **2** mense Mart. a. 947 **3** mense Apr. a. 923 **5** a. 996

---

cap. 22: Zon. III, 558, 5—558, 11

ACEVBMNU DH **81** ἐνεβίβασε A Τριπόλεως AVBMNU: Τριπολίτην C: Τριπολ' E ἀμηρὰν ENU **82** τὸν om. M καὶ Τύρου om. U **83** τῷ: αὐτῷ U τὸν om. M **84** σχολάσαντος U τὸν ante πατρίκιον add. MNDH τὸν Δαλασσηνόν post πατρίκιον add. U **85** συμβαλόντα ACEMNU: συμβάλλοντα V: συμβαλλόντα B **86** ἐνέσειον ACVB: ἀνέσειον E: ἐπέσειον MNUD **87** ὅμηρον U **88/89** Εὐστάθιος — Μαλεῖνος CEVMNU: ὁ μάγ. Εὐστάθ. ὁ Μαλ. A: Εὐστάθ. ὁ μάγ. ὁ Μαλ. B **90** ἄφθονον A ὡς om. B **91** μεθ' ἑαυτοῦ U **92** δαψιλῶς ACEVBUD: om. MN **93** τρέφων ἔν τινι MNUDH **94** καὶ om. B δὲ post τούτου add. MNUDH κτίσις C **85** δεδημοσίευται BU **1** ὁμάδι: νομαδίᾳ U αὔξάνεσθαι: ἐξάγεσθαι U ὁ om. NUDH **1/2** ὁ — Κωνσταντῖνος: ὁ πάππος αὐτοῦ Κωνστ. B **2** ὁ alt. — βασιλέως om. B ὁ πατροπάτωρ VD: καὶ πατροπάτωρ (προπάτωρ CE) ACE: ὁ προπάτωρ MNU: ὁ πάππος B **3** ἐποιήσαντο ACEVUD: ἐποίησαν B: ἐποιήσατο MNH **4** Χρυσοβέργη VBUD: Χρυσοβέργου AMN: Χρυσοβεργ' CE χρόνους EVU ιβ' CE **5** καὶ om. U ἐς ACE **6** Σισίννιος EMND Zon. III, 558, 7 καὶ νομικῆς post ἰατρικῆς add. U **7** ,ςφγ' ACEBM: ,ςφ' τρίτῳ N: ,ςυςγ' U

ὀγδόης· ὅστις καὶ τοὺς διακρινομένους ἥνωσε διὰ τὴν τετραγαμίαν Λέοντος τοῦ βασιλέως, ἐξ ὅτου τοῦτον Εὐθύμιος εἰς κοινωνίαν ἐδέξατο, ἥνωσεν. καὶ οὗτος δὲ ἐπὶ τρεῖς μόνους ἐνιαυτοὺς τὴν ἐκκλησίαν ποιμάνας ἐξέστη τῆς ζωῆς, καὶ προεβλήθη Σέργιος, ἡγούμενος ὢν τῆς μονῆς τοῦ Μανουὴλ καὶ τὸ γένος ἀναφέρων πρὸς Φώτιον τὸν πατριάρχην.

23. Τοῦ δὲ Σαμουὴλ ἐκστρατεύσαντος κατὰ Θεσσαλονίκης καὶ τὸ μὲν ἄλλο πλῆθος εἰς λόχους καὶ ἐνέδρας διαμερίσαντος, ὀλίγους δέ τινας εἰς ἐκδρομὴν ἄχρι Θεσσαλονίκης αὐτῆς πεπομφότος, ἐπιγνοὺς τὴν ἔφοδον ὁ δοὺξ Γρηγόριος τὸν μὲν οἰκεῖον υἱὸν Ἀσώτιον ἔπεμψεν ἰδεῖν καὶ κατασκοπῆσαι τὸ πλῆθος καὶ αὐτῷ γνῶσιν δοῦναι, αὐτὸς δὲ ὄπισθεν εἵπετο. ὁ δὲ ἐξελθὼν καὶ τοῖς προδρόμοις συμπλακεὶς καὶ τρεψάμενος ἔλαθεν εἰς μέσους τοὺς λόχους περιληφθείς. τοῦτο ὡς ὁ Γρηγόριος ἔμαθεν, ἐβοήθει διὰ ταχέων τὸν παῖδα τῆς αἰχμαλωσίας γλιχόμενος ἐκλυτρώσασθαι. ἀλλὰ καὶ αὐτὸς κυκλωθεὶς ὑπὸ τῶν Βουλγάρων καὶ γενναίως καὶ ἡρωϊκῶς ἀγωνισάμενος ἔπεσεν. ἀγγελθείσης δὲ τῷ βασιλεῖ τῆς τοῦ δουκὸς ἀναιρέσεως πέμπεται πάσης δύσεως ἄρχων ὁ μάγιστρος Νικηφόρος ὁ Οὐρανός. ἔφθασε γὰρ καὶ οὗτος τὴν ἐκ Βαβυλῶνος φυγὴν ὠνησάμενος καὶ τὴν βασιλίδα καταλαβών. ὅστις ἐν Θεσσαλονίκῃ γενόμενος, ἐπεὶ ἔγνω τὸν Σαμουὴλ τῇ τοῦ δουκὸς Γρηγορίου τοῦ Ταρωνίτου σφαγῇ καὶ τῇ ἁλώσει τοῦ υἱοῦ αὐτοῦ ἐπαιρόμενον, καὶ διὰ τοῦτο τά τε Θετταλικὰ διαβάντα Τέμπη καὶ τὸν Πηνειὸν περαιωσάμενον ποταμόν, Θετταλίαν τε καὶ Βοιωτίαν καὶ Ἀττικὴν | εἰσβαλόντα τε καὶ ἐν Πελοποννήσῳ διὰ τοῦ ἐν Κορίνθῳ ἰσθμοῦ, καὶ πάντα ταῦτα δῃοῦντα καὶ ληϊζόμενον, ἄρας καὶ αὐτὸς μετὰ τῶν περὶ αὐτὸν στρατευμάτων καὶ τὰς ὑπωρείας διελθὼν τοῦ Ὀλύμπου καὶ ἐν Λαρίσσῃ γενόμενος, κἀκεῖσε λιπὼν τὴν ἀποσκευὴν καὶ εὔζωνον λαβὼν τὸν στρατὸν τὴν Θετταλίαν ὁδοιπορίᾳ συντόνῳ διελθὼν καὶ τὸ τῆς Φαρσαλίας πεδίον καὶ τὸν Ἀπιδανὸν διαβὰς ποταμόν, κατὰ τὸ χεῖλος τοῦ Σπερχειοῦ πήγνυσι τὴν στρατοπεδείαν, εἰς τὴν

11 a. 998

---

cap. 23: Zon. III, 558, 12—559, 10

ACEVBMNU DH 8 η′ AEBMU τοῖς διακρινομένοις U ἥνωσε om. U 9 interpol. U 11 τῆς ζωῆς: τοῦ ζῆν B δὴ ante προεβλήθη add. A τοῦ: τῶν B 12 ἀναφέρων τὸ γένος B ἀναφέρων post Φώτιον A πρὸς VBMN: ἐς ACE: εἰς U 13 στρατεύσαντος B 15 ἐκδρομὰς B ἄχρις E αὐτῆς: αὐτοῦ U δὲ post ἐπιγνοὺς add. M 16 Ἀσώτην B 17 ὄπιθεν EVBMN 19 ἐς A τούτων ante λόχους add. A ὡς ἔμαθεν ὁ Γρηγ. A 20 λυτρώσασθαι AB 21 καὶ post Βουλγ. om. B 23 μάγιστρος post 24 Νικηφόρος E μάγιστρος: πρωτοσπαθάριος U 24 πατρίκιος τιμηθεὶς post Οὐρανὸς add. U ἐν Βαβυλῶνι ACE 25 ὅστις: ὃς A 27 τῇ om. B Ἀσωτίου post αὐτοῦ add. U 28 περαιωσάμενοι U 29 εἰσβαλόντα CE: εἰσβαλλόντα VBMND: εἰσβάλλοντα A: εἰσβαλόντων U τε: δὲ U 30 καὶ — ληϊζόμενον om. ACE ταῦτα πάντα B 35 καὶ ante κατὰ add. C

περαίαν καὶ αὐτοῦ τοῦ Σαμουὴλ αὐλιζομένου. ὄμβρων γὰρ ἀπλέτων ὑσθέντων ἐξ οὐρανοῦ καὶ τοῦ ποταμοῦ πλημμυροῦντος καὶ πελαγίζοντος, ἀπέγνωστο τὸ νῦν ἔχον ἡ συμπλοκή. ἀλλ' ὁ μάγιστρος ἄνω καὶ κάτω τὸν ποταμὸν περισκοπήσας καί τινα τόπον εὑρών, δι' οὗ ᾠήθη δυνατὸν ἔσεσθαι τούτῳ περαιωθῆναι, ἀγείρας νυκτὸς τὸν στρατὸν περαιοῦται τὸν ποταμὸν καὶ τοῖς περὶ τὸν Σαμουὴλ ἀμερίμνως καθεύδουσιν ἐπιτίθεται. καὶ σφάζονται μὲν ἀριθμοῦ κρείττους, μηδενὸς πρὸς ἀλκὴν ἀπιδεῖν τολμήσαντος, ἐπλήγη δὲ καὶ αὐτὸς ὁ Σαμουὴλ καὶ ὁ τούτου υἱὸς Ῥωμανὸς βαθείαις πληγαῖς. καὶ κἂν ἑάλωσαν, εἰ μὴ τοῖς νεκροῖς συμμίξαντες ἑαυτοὺς ἔκειντο ὡς τεθνεῶτες, καὶ νυκτὸς ἐπιγενομένης ἔλαθον διαδράντες εἰς τὰ ὄρη τῶν Αἰτωλῶν, κἀκεῖθεν διὰ τῶν κορυφῶν τῶν τοιούτων ὀρέων διελθόντες τὴν Πίνδον διεσώθησαν ἐν Βουλγαρίᾳ. ὁ δὲ μάγιστρος τοὺς αἰχμαλώτους Ῥωμαίους ἐλευθερώσας, σκυλεύσας δὲ καὶ τοὺς πεσόντας Βουλγάρους, διαρπάσας δὲ καὶ τὸ τῶν πολεμίων στρατόπεδον καὶ πλοῦτον ὅτι πλεῖστον περιβαλλόμενος, σὺν τῇ στρατιᾷ ἐπανέζευξεν εἰς Θεσσαλονίκην. |

24. Ὁ Σαμουὴλ δὲ πρὸς τὰ οἰκεῖα ἀνασωθεὶς γαμβρὸν ἄγεται ἐπὶ τῇ αὐτοῦ θυγατρὶ Ἀσώτιον τὸν τοῦ Ταρωνίτου υἱόν, τῶν δεσμῶν ἐλευθερώσας· πρὸς τοῦτον γὰρ ἡ παῖς αὐτοῦ Μιροσθλάβα ἐρωτικῶς διατεθεῖσα ἐξάξειν ἑαυτὴν ἠπείλει, εἰ μὴ νομίμως αὐτῷ συναφθείη. ἐκτελέσας δὲ τοὺς γάμους ἐκπέμπει μετ' αὐτῆς τοῦτον εἰς τὸ Δυρράχιον, ἐπὶ φυλακῇ τάχα τῆς χώρας. ὁ δὲ ἐκεῖσε γενόμενος καὶ τῇ συζύγῳ κοινολογησάμενος καὶ πείσας φεύγει μετ' αὐτῆς εἰς τὰς ἐν τῷ τόπῳ φυλακῆς χάριν παραπλεούσας Ῥωμαϊκὰς τριήρεις, καὶ δι' αὐτῶν εἰς τὸν βασιλέα ἀνασῴζεται, τιμηθεὶς μάγιστρος καὶ ἡ τούτου σύζυγος ζωστή. διεκόμισε δ' οὗτος καὶ γράμματα δυνάστου τινός, ἑνὸς τῶν ἐν Δυρραχίῳ, Χρυσηλίου τοὔνομα, ὑπισχνουμένου παραδοῦναι τὴν τοῦ Δυρραχίου

42 a. 996 vel 997

ACEVBMNU DH **36** αὐτοῦ om. B ἀπλέτων: ἀπείρων U **37** ὑσθέντων: ἥσθετο U ἐξ οὐρανοῦ om. B **38** ἀπέγνω U μάγιστρος: Οὐρανὸς U **39** τόπον: τρόπον C **40** τούτῳ: τοῦτον BU **42** σφάττονται A **43** ἀπιδὸν B τολμήσαντος: νομίσαντος τολμητόν B **43/44** τούτου υἱὸς: υἱὸς αὐτοῦ CE **44** Ῥωμανός: Γαβριὴλ καὶ Ῥαδομηρὸς U **45** τεθνεῶται M γενομένης U **47** τήν: τὸν CEB Σπίνδον E **48–51** ὁ — Θεσσαλονίκην om. U **48** σκυλεύσαντας B **49** δὲ: τε B **50** περιβαλόμενος A **52** δὲ post Ὁ U **53** αὐτοῦ: οἰκείᾳ B Ταρωνὰ B **54** αὐτοῦ M. interpol. U **55** τῆς ζωῆς ante ἑαυτὴν add. B τοῦ βίου post ἑαυτὴν add. A αὐτῷ: ἑαυτῷ ND **56** μετ' αὐτῆς om. CEB **57/58** χώρας — κοινολογησάμενος: χώρας μετὰ τῆς συζύγου. ὁ δὲ ἐκεῖσε παραγενόμενος καὶ ταύτῃ κοινολογ. B **58** αὐτῆς: αὐτῶν C **59/60** εἰς τὰ βασίλεια B **60** ἀποσῴζεται A **61** δ' CEVBMNUD: δὲ AH καὶ om. B **61/62** ἐν — τοῦ om. M

πόλιν τῷ βασιλεῖ, εἰ τιμηθείη αὐτός τε καὶ οἱ δύο υἱοὶ αὐτοῦ πατρίκιοι. γράμμασι δὲ τοῦ βασιλέως ἐπιτελεῖς τὰς ὑποσχέσεις ποιῆσαι βεβαιώσαντος, παρεδόθη τὸ Δυρράχιον Εὐσταθίῳ πατρικίῳ τῷ Δαφνομήλῃ, καὶ οἱ τοῦ Χρυσηλίου υἱοὶ τετίμηντο πατρίκιοι, ἐκείνου φθάσαντος καταστρέψαι τὴν ζωήν.

25. Τούτῳ τῷ χρόνῳ Παῦλος μάγιστρος ὁ Βωβός, ἀνὴρ τῶν ἐν Θεσσαλονίκῃ τὰ πρῶτα, καὶ Μαλακινὸς πρωτοσπαθάριος ἐπὶ συνέσει καὶ λόγῳ ἐμπρέπων, διαβληθέντες, ὡς τὰ Βουλγάρων φρονοῦντες μετῳκίσθησαν, ὁ μὲν Παῦλος εἰς τὴν ἐν Θρᾳκησίῳ πεδιάδα, ὁ δὲ Μαλακινὸς ἐς Βυζάντιον. τοῦτο παθεῖν φοβηθέντες καί τινες τῶν ἐκ τῆς Ἀδριανουπόλεως ἰλλούστριοι καὶ στρατη|γικαῖς ἀρχαῖς διαπρέψαντες, διὰ τὸ ὑποπτεύεσθαι τῷ Σαμουὴλ προσερρύησαν, ὁ μὲν Βατάτζης πανοικί, μόνος δὲ Βασίλειος ὁ Γλαβᾶς. οὗ τὸν υἱὸν ὁ βασιλεὺς καθεῖρξε καὶ ἐπὶ τρεῖς ὅλους ἐνιαυτοὺς κατεῖχεν, εἶτα ἀπέλυσε. τότε καὶ τῷ ἄρχοντι Βενετίας γυναῖκα νόμιμον ἔδωκεν ὁ βασιλεὺς τὴν θυγατέρα τοῦ Ἀργυροῦ, ἀδελφὴν δὲ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος, τὸ ἔθνος οὕτως ὑποποιούμενος. ἐποιήσατο δὲ καὶ εἰσβολὴν ἐν Βουλγαρίᾳ διὰ Φιλιππουπόλεως ὁ βασιλεύς, ταύτην φρουρεῖν τάξας τὸν πατρίκιον Θεοδωροκάνον. καὶ πολλὰ τῶν ἐν Τριαδίτζῃ φρουρίων καταστρεψάμενος ἐπανῆλθεν εἰς Μοσυνούπολιν.

26. Τῷ δὲ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ὀγδόῳ ἔτει, τῆς τρισκαιδεκάτης ἰνδικτιῶνος, δύναμιν βαρεῖαν ἐκπέμψας ὁ βασιλεὺς κατὰ τῶν πέραν τοῦ Αἵμου Βουλγαρικῶν κάστρων, ἀρχηγοὺς ἔχουσαν τὸν πατρίκιον Θεοδωροκάνον καὶ Νικηφόρον πρωτοσπαθάριον τὸν Ξιφίαν, τήν τε

64 sec. Dölger a. 997 **83** a. 999/1000 **77** a. 1004 nuptiae factae sunt
79/80 a. 998–1003 expeditiones contra Samuelem factae sunt

---

cap. 26: Zon. III, 559, 11–559, 14

ACEVBMNU DH **63** τῷ βασιλεῖ om. U τιμηθῇ B υἱοὶ αὐτοῦ AVMNU: τούτου υἱοὶ C: αὐτοῦ υἱοὶ B **64–66** γράμμασι — πατρίκιοι om. MNUDH **65** πατρικίῳ: μαγίστρῳ A Δαφνομήλῃ AEV: Δαφνομήλει C: Δαφνομίλει B **66** τετίμηνται CEB **69** φέρων post Θεσσαλ. add. B Μαλακινὸς EV: Μαλακηνὸς CBMNUDH: Μαλακεινὸς A **71** Θρακήσῃ C πεδιάδαν C Μαλακινὸς CEVBH: Μαλακηνὸς AMNUD **73** διὰ: εἰς C **74** τῷ: τὸν B **75** Γλαβάς B **76/77** ἀπέλυσε — βασιλεὺς: ἀπέλυσε τοῦτον. ἔδωκε δὲ τότε καὶ τῷ ἄρχοντι Βενετίας γυναῖκα νόμιμον ὁ βασιλεὺς U **77** νόμιμον γυναῖκα B **78** δὲ om. MND οὕτως AEVMNU: οὗτος C: om. B **80** ὁ βασιλεύς: ἡ βασιλίς V ταύτην: ταύτῃ U προστάξας B Θεοδωρουκάνον B **81** τῇ post ἐν add. U **82** Μοσυνούπολιν CEVMN: Μοσυνόπολιν AUH: Μισυνούπολιν BD **83** ,ϛφη' CEB: ,ϛφ ὀγδόῳ MN: ,ϛυϙη' U ιγ' CEBU **84** πέμψας B τῶν ACEBUD: τὴν VMN **85** ἀρχηγὸν CE

μεγάλην εἷλε Περσθλάβαν καὶ τὴν μικρὰν καὶ τὴν Πλίσκοβαν, καὶ ἀσινὴς καὶ τροπαιοῦχος ἡ Ῥωμαϊκὴ ὑπενόστησε δύναμις.

27. Τῷ δ' ἐπιόντι πάλιν ἔτει ἄπεισι κατὰ Βουλγαρίας ὁ βασιλεὺς διὰ Θεσσαλονίκης, καὶ προσερρύη αὐτῷ Δοβρομηρὸς ὁ τῆς Βερροίας κατάρχων,

ἐπ' ἀνεψιᾷ γαμβρὸς τοῦ Σαμουήλ,

παραδοὺς καὶ τὴν πόλιν τῷ βασιλεῖ καὶ ἀνθύπατος τιμηθείς. ὁ δὲ τὰ Σέρβια φυλάττων Νικόλαος,

ὁ δὲ τὰ Σέρβια φυλάττων Νικόλαος] ὁ δὲ τὴν Κολυδρὸν φυλάττων Δημήτριος ὁ Τειχωνᾶς, ἐπεὶ μὴ προεδίδου τὴν πόλιν, ἠξίωσε δὲ ἐκχωρηθῆναι, αὐτῷ τὰ σὺν τῷ περὶ αὐτὸν στρατεύματα ὑπεκχώρησεν ὁ βασιλεύς. ἀφῆκε δ' αὐτὸν σὺν τῷ σὺν αὐτῷ στρατῷ πρὸς τὸν Σαμουὴλ ἀφίξεσθαι. Νικόλαος δὲ ὁ τὰ Σέρβια φυλάττων,

ὃν Νικολιτζᾶν ὑποκοριζόμενοι διὰ τὸ βραχὺ τῆς ἡλικίας ἐκάλουν, ἐκθύμως ἀντεῖχε καὶ τὴν ἐπενηνεγμένην αὐτῷ γεγηθότως ἐπέφερε πολι|ορκίαν. φιλοτίμως δὲ τοῦ βασιλέως χρησαμένου αὐτῇ, ἑάλω τὸ φρούριον καὶ αὐτὸς ὁ Νικολιτζᾶς. καὶ μετοικίσας ἐκεῖθεν τοὺς Βουλγάρους ὁ βασιλεὺς Ῥωμαίους φυλάττειν ἐπέστησε. καὶ ταῦτα δράσας ἐπάνεισι πρὸς τὴν βασιλίδα, ἐπαγόμενος μεθ' ἑαυτοῦ καὶ τὸν Νικολιτζᾶν, ὃν καὶ πατρικιότητι ἐτίμησεν. ἀλλ' ἀβεβαίου γνώμης οὗτος τυχών, ἐκεῖθεν ἀποδράς, ἔλαθεν ἀνασωθεὶς πρὸς τὸν Σαμουήλ, καὶ μετ' αὐτοῦ ἐλθὼν ἐπολιόρκει τὰ Σέρβια. ἀλλὰ πάλιν ὁ βασιλεὺς ὀξὺς ἐπιφανεὶς τὴν τῆς πόλεως ἔλυσε πολιορκίαν, δρασμῷ χρησαμένου τοῦ Νικολιτζᾶ σὺν τῷ Σαμουήλ. ἀλλ' οὐκ εἰς τέλος διέδρα ὁ ἄπιστος. λόχῳ γὰρ περιπεσὼν Ῥωμαϊκῷ συνελήφθη, καὶ πρὸς τὸν βασιλέα δέσμιος ἀχθεὶς εἰς φυλακὴν ἐνεβλήθη ἐν Κωνσταντινουπόλει πεμφθείς. ὁ δὲ βασιλεὺς εἰσελθὼν εἰς Θετταλίαν τὰ ἐν αὐτῇ φρούρια ἤδη παρὰ τοῦ Σαμουὴλ κατασκαφέντα ἀνωρθώσατο, καὶ τὰ παρὰ τῶν Βουλγάρων κατεχόμενα ἐκπολιορκήσας τοὺς μὲν Βουλγάρους ἐς τὸν λεγόμενον μετῴκισε Βολερόν, φρουρὰν δὲ

90 vere a. 1001 **13** aestate a. 1001

cap. 27: Zon. III, 559, 14—560, 2; Glyc. 576, 14—576, 20

ACEVBMNU DFH **87** εἷλε AVBND: εἶχε MU: om. CE Πρεσθλάβαν AU Πλίσκοβαν EVMNU: Πλέσκοβαν A: Πολίσκοβαν C: Πρόσκλοβαν B **88** ἐπενόστησε E **89** δὲ B Βουλγάρων H (sed non D) **92** interpol. U **95—3** interpol. U (pro 93/94) **4** Νικολιτζᾶν ACEVU: Νικολιτζὰν BMN: Νικολίτ ης D **5** ἐπενηνεγμένην ACEVBU: ἐπενενηγγμένην MNH: ἐπινενηγμένην D γεγηθότως: γενναίως B ὑπέφερε BUDH **6** βασιλέως: Βασιλείου U αὐτῇ: αὐτῷ U ἑαλὼς V **7** τοὺς Βουλγ. post **8** βασιλεὺς M **9** Νικολιτζάν D **10** ἀλλὰ U τυγχάνων B **11** ἀνασωθεὶς AVMNU: ἐπανασωθεὶς B: διασωθεὶς CE **14** διέδρασεν C **14/15** γὰρ — συνελήφθη: γὰρ Ῥωμ. συνελήφθη περιπεσών A τινι post περιπεσὼν add. MNUDH **16** εἰσελθὼν ACEVB: ἐλθὼν MNUDH **19** μὲν om. B τὸν VMND: τὸ ACEBUH μετῴκισε VMNUD: κατῴκισε ACEBH δ' ABU

ἐν πᾶσι καταλιπὼν ἀξιόμαχον ἐπανῆλθεν εἰς τὰ λεγόμενα Βοδινά. φρούριον δὲ τὰ Βοδινὰ ἐπὶ πέτρας ἀποτόμου κείμενον, δι' ἧς καταρρεῖ τὸ τῆς λίμνης τοῦ Ὀστροβοῦ ὕδωρ, ὑπὸ γῆς κάτωθεν ῥέον ἀφανῶς κἀκεῖσε πάλιν ἀναδυόμενον. καὶ ἐπεὶ μὴ ἑκουσίως παρεδίδοσαν ἑαυτοὺς οἱ ἔνδον, πολιορκίᾳ τοῦτο κατέσχε. καὶ τούτους ὁμοίως εἰς τὸν Βολερὸν ἀποικίσας, φρουρᾷ δὲ τοῦτο ὀχυρωσάμενος ἀξιολόγῳ, ἐπάνεισιν εἰς Θεσσαλονίκην.

28. Ὁ δὲ τοῦ φρουρίου κατάρχων Δραξάνος, ἀνὴρ πολεμιστής, | ᾐτήσατο κατὰ τὴν Θεσσαλονίκην οἰκῆσαι. ἐπινεύσαντος δὲ τοῦ βασιλέως ἡρμόσατο γυναῖκα τὴν θυγατέρα τοῦ πρώτου τῶν πρεσβυτέρων τοῦ ναοῦ τοῦ ἀθλοφόρου Δημητρίου, καὶ παῖδας ἐξ αὐτῆς ἔσχε δύο. εἶτα ἀποδρὰς ἑάλω, καὶ ἐντεύξει τοῦ κηδεστοῦ ἠλευθερώθη. καὶ δεύτερον ἀποδρὰς ὁμοίως ἀφείθη. καὶ ἕτερα δὲ τέκνα δύο ποιήσας τὸ τρίτον ἀπέδρα, καὶ συλληφθεὶς ἀνεσκολοπίσθη.

29. Τῶν δὲ Νουμεριτῶν καὶ Ἀταφιτῶν Ἀράβων δεινῶς τήν τε Κοίλην Συρίαν καὶ αὐτὴν κατατρεχόντων τὴν Ἀντιόχειαν, τὸν μάγιστρον Νικηφόρον τὸν Οὐρανὸν ὁ βασιλεὺς ἄρχοντα Ἀντιοχείας ἐκπέμπει, διάδοχον αὐτοῦ τῆς Θεσσαλονίκης πεποιηκὼς τὸν πατρίκιον Δαβὶδ τὸν Ἀρειανίτην. ἐν δὲ Φιλιππουπόλει τὸν πρωτοσπαθάριον Νικηφόρον τὸν Ξιφίαν στρατηγεῖν ἔταξε, τοῦ Θεοδωροκάνου διὰ γῆρας παραιτησαμένου. ὁ δὲ μάγιστρος Νικηφόρος ὁ Οὐρανὸς ἐν Ἀντιοχείᾳ γενόμενος καὶ δυσὶ καὶ τρισὶ μάχαις συμπλακεὶς Κιτρινίτῃ τῷ τῶν Ἀράβων ἀρχηγῷ καὶ τρεψάμενος ἔπεισεν ἡσυχίαν ἄγειν, καὶ τὰ πράγματα εἰς βαθεῖαν εἰρήνην καὶ γαληνιῶσαν μετήγαγεν.

38 mense Iul. a. 998 Dalassenus mortuus est. a. 999/1000 expeditio contra Symeonem facta est. Nicephorus Uranus Dalasseno successit

---

ACEVBMNU DFH **20** Βοδινά VBMN: Βοδηνά CEUD: Βοδενά A Glyc. 576, 14 **21** Βοδινὰ VBMND: Βοδηνὰ CEUF: Βοδε νὰA ἀκροτόμου ABM **22** γῆς: γῆν ABU ῥέον: διϊὸν B ἀφανῶς ῥέον CE δὲ post κἀκεῖσε add. E **23** ἑαυτοὺς ACEVB: αὐτοὺς N: αὑτοὺς MUDH **24** τὸν VMNUF: τὸ ACEBDH **25** μετοικίσας U ὀχυρωσάμενος: ἀσφαλισάμενος C **27** Δραξάνης ACE **28** τὴν om. CE **31** ἐντεύξει ACEVBU: ἐντάξει MND ἠλευθερώθη ACEVB: συνεχωρήθη MNUDH **32** ἀποδρὰς — ἀφείθη: ἀποδρὰς ἑάλω καὶ ἀφείθη ὁμοίως U δύο τέκνα EM **35** μάγιστρον: πατρίκιον U **37** μάγιστρον αὐτὸν προσονομάσας Ἀντιοχείας post ἐκπέμπει add. U τῆς: ἐν BU **38** Ἀρειανίτην CMNU: Ἀριανίτην AEVF: Ἀριανήτην B **39** στρατηγὸν B ἔταξε ACEVBUD: ἐπέταξε MN Θεοδωρουκάνου C δὲ post Θεοδωροκ. add. M **40** γεγονὼς A **41** Κιτρινίτῃ ACEVBMN: Κιτρηνίτῃ U: Κιτρινήτῳ D: Κηντρινήτην H **42** ἀρχηγῷ: ἄρχοντι U **43** κατάστασιν ante γαλ. add. B γαληνιῶσαν: γαλήνην A

30. Ὁ δὲ βασιλεὺς κατὰ τὸ ἐπιὸν ἔτος, ἰνδικτιῶνος πεντεκαιδεκάτης, ἐκστρατεύει κατὰ Βιδίνης, καὶ ἐφ' ὅλους ὀκτὼ μῆνας ἐμφιλοχωρήσας τῇ προσεδρείᾳ αἱρεῖ κατὰ κράτος τὴν πόλιν.

ἔνθα καὶ τῶν Βουλγαρικῶν ἀρχόντων διεδείχθη ἡ πολυπειρία. εἰς ἓν γὰρ ἀγγεῖον παμπληθὲς ὁμιλοῦντες τὸ Μηδικὸν πῦρ διὰ τούτου ἐσβέννυον.

ἐν ᾧ δὲ τῇ πολιορκίᾳ οὗτος προσήδρευεν, ὁ Σαμουὴλ εὐζώνῳ χρησάμενος ὁδοιπορίᾳ ἐπιτίθεται ἐξ ἐφόδου τῇ Ἀδριανουπόλει κατ' αὐτὴν τὴν ἡμέραν τῆς | κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου, καὶ τήν τε πανήγυριν, ἥτις εἰώθει ἐτησίως τελεῖσθαι δημοτελής, αἱρεῖ ἐξαίφνης ἐπιπεσών, καὶ λείαν πολλὴν περιποιησάμενος ὑπέστρεψεν εἰς τὰ ἴδια. ὁ δὲ βασιλεὺς τὴν Βιδίνην μάλα καλῶς ὀχυρωσάμενος ἐπανῆλθεν ἀσινὴς εἰς τὴν βασιλίδα, ἐν τῷ διϊέναι πάντα τὰ ἐν ποσὶ Βουλγαρικὰ φρούρια δῃῶν καὶ καταστρεφόμενος. τῇ πόλει δὲ τῶν Σκοπίων ἐγγίσας εὗρε πέραν Ἀξειοῦ τοῦ ποταμοῦ, ὃν νῦν Βαρδάριον ὀνομάζουσι,

Ἀξειοῦ – ὀνομάζουσι] Ναξίου ποταμοῦ τοῦ νῦν Βαρδαρίου ὀνομαζομένου διὰ τὸ ὑπὸ Βάρδα τοῦ Σκληροῦ τῆς παλαιᾶς κοίτης μετοχευθῆναι, ἔνθα νῦν ῥέων φαίνεται

κατεσκηνωμένον ἀμερίμνως τὸν Σαμουήλ. θαρρῶν γὰρ τῇ πλημμύρᾳ τοῦ ποταμοῦ, καὶ ὡς οὐ διαβατὸς τὸ νῦν ἔχον ἔσεται, ηὐλίζετο ἀμελῶς. τινὸς δὲ τῶν στρατιωτῶν πόρον εὑρόντος καὶ δι' αὐτοῦ τὸν βασιλέα διαβιβάσαντος, ὁ μὲν Σαμουὴλ τῷ αἰφνιδίῳ καταπλαγεὶς ἔφυγεν ἀμεταστρεπτί, ἐλήφθη δὲ ἡ τούτου σκηνὴ καὶ τὸ ὅλον στρατόπεδον. ἐνεχείρισε δὲ καὶ τὴν πόλιν τῶν Σκοπίων τῷ βασιλεῖ ταύτης ἄρχειν παρὰ τοῦ Σαμουὴλ τεταγμένος Ῥωμανός, ὁ Πέτρου μὲν τοῦ βασιλέως Βουλγάρων υἱός, τοῦ δὲ Βορίση ἀδελφός, Συμεὼν τῷ τοῦ πάππου ὀνόματι μετονομασθείς· ὃν ὁ βασιλεὺς ἀποδεξάμενος τῆς προαιρέσεως πατρίκιόν τε τιμᾷ καὶ πραιπόσιτον, καὶ στρατηγεῖν ἐκπέμπει Ἀβύδου.

45 mense Mart. vel. Apr. a. 1002 Vidin oppidum circumsederunt 56 vere a. 1003

---

cap. 30: Zon. III, 560, 2—560, 18

ACEVBMNU DH **44** ιέ CEBU **45** Βιδίνης AVMNU: Βιδήνης CE: Βυδίνης B **46** αἱρεῖται E **47/48** interpol. U **50** κατ' αὐτὴν: κατὰ ταύτην A **51** ὑπεραγίας: παναμώμου DH τε om. U **52** εἴωθεν U ἐπεισπεσών A **53** προσποιησάμενος B ὑπέστρεψεν: ἐπανῆλθεν ἀσινὴς U **54** Βιδίνην AVMNU: Βιδήνην CE: Βυδίνην B **55** πάντα dittogr. post φρούρια add. U **56** Ἀξειοῦ AEVBMN: Ἀξίου Bekker: Ἀξιῷ Zon. III, 560, 8: Ναξίου U **58/59** Ναξίου — φαίνεται interpol. U (pro 56/57), διὰ — φαίνεται add. i. m. E **60** κατεσκηνημένον CE **61** διαβατὸν E τὸ: τό γε A ἔσεται ACEVMN: ἐσεῖται B: φαίνεται ἢ ἔσται U αὐλίζετο B **64** δὲ ACEVBD: δ' MNU καὶ ante ἡ add. B **65** ὁ ante ταύτης add. E (suprascr.) BDH ταύτην C ἄρχων B **67** τοῦ ante Βορ. add. E Βορίση AB: Βορίσση CEVU: Βουρίσου M: Βορίσου N: Βορίσσου H: Βιρίσου D τῷ: τοῦτο B τοῦ alt. om. A **68** ἀποδεξάμενος — προαιρέσεως: τῆς προαιρέσεως (προθέσεως U) ἀποδεξάμενος AU προαιρέσεως ACEVB: προθέσεως MNUDH

31. Ἐκεῖθεν ὁ βασιλεὺς διαβὰς ἔρχεται πρὸς τὸν Πέρνικον, οὗ φύλαξ ἦν ὁ Κρακρᾶς, ἀνὴρ ἄριστος τὰ πολεμικά. ἐν ᾧ χρόνον οὐκ ὀλίγον διατρίψας καὶ λαὸν οὐκ ὀλίγον ἐν τῇ πολιορκίᾳ ἀποβαλών, ὡς ἔγνω κρεῖττον ὑπάρχον πολιορκίας τὸ ἔρυμα, καὶ οὐδ' ὁ Κρακρᾶς θωπείαις ἢ ἄλλαις ὑποσχέσεσιν ἐμαλάσσετο καὶ ἐπαγγε|λίαις, μετέβη πρὸς Φιλιππούπολιν. ἐκεῖθέν τε ἀπάρας ἄπεισιν εἰς Κωνσταντινούπολιν.

32. Καὶ τῇ αὐτῇ ἰνδικτιῶνι δόγμα ἐξέθετο, τὰς τῶν ἀπολωλότων ταπεινῶν συντελείας τελεῖσθαι παρὰ τῶν δυνατῶν. κατωνομάσθη δὲ ἡ τοιαύτη σύνταξις ἀλληλέγγυον. τοῦ πατριάρχου δὲ Σεργίου καὶ πολλῶν ἀρχιερέων καὶ ἀσκητῶν ἀνδρῶν οὐκ ὀλίγων δεηθέντων ἐκκοπῆναι τουτὶ τὸ παράλογον ἄχθος, ὁ βασιλεὺς οὐχ ὑπήκουσεν.

ὁ δὲ Σαμουὴλ λόχους θεὶς ἐν τόποις ἐπιτηδείοις, τὸν δοῦκα Θεσσαλονίκης Ἰωάννην πατρίκιον τὸν Χάλδον ἐζώγρησε.

33. Ὀγδόῃ δὲ ἰνδικτιῶνι, ἐν ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ὀκτωκαιδεκάτῳ, ὁ τῆς Αἰγύπτου κατάρχων Ἀζίζιος διὰ μικρὰς αἰτίας καὶ μηδενὸς λόγου προσκρούσματα ἄξια τὰς πρὸς Ῥωμαίους λύσας σπονδὰς τόν τε ἐν Ἱεροσολύμοις ἐν τῷ τάφῳ τοῦ σωτῆρος Χριστοῦ ἀνεγηγερμένον πολυτελῶς θεῖον ναὸν κατεστρέψατο, καὶ τὰ εὐαγῆ ἐλυμήνατο μοναστήρια, καὶ τοὺς ἐν τούτοις ἀσκουμένους ἁπανταχοῦ τῆς γῆς ἐφυγάδευσε.

34. Τῷ δ' ἐπιόντι ἔτει γέγονε χειμὼν ἐπαχθέστατος, ὡς ἀποκρυσταλλωθῆναι πάντα ποταμὸν καὶ λίμνην καὶ αὐτὴν τὴν θάλασσαν. καὶ Ἰαννουαρίῳ μηνὶ τῆς αὐτῆς ἐπινεμήσεως γέγονε σεισμὸς φρικωδέστατος, καὶ διεκράτησε κλονουμένη ἡ γῆ μέχρι τῆς ἐννάτης τοῦ Μαρτίου μηνός. ἐν ταύτῃ δὲ περὶ δεκάτην ὥραν τῆς ἡμέρας γέγονε βρασμὸς καὶ

76 a. 1002 81 a. 995/996

cap. 32: Zon. III, 561, 1–561, 6; Glyc. 576, 19–577, 4 cap. 33: Zon. III, 562, 20–563, 2 cap. 34: Glyc. 577, 5–577, 16

ACEVBMNU DH 71 οὐκ ὀλίγον: ἱκανὸν B οὐκ ὀλίγον post 72 πολιορκίᾳ MNDH 73 ὑπάρχειν NUD πολιορκίας τὸ: πολιορκίᾳ τὸ τὸ B οὐδὲ B Κρακρᾶς AEVBU: Κρακᾶς CMN: Κρακὰς D 74 ἄλλαις om. B ἐμαλάσσατο B 75 ἐκεῖθέν – Κωνσταντινούπολιν om. B 79 ὀλίγων: ὀλίγα A 80 ἄχθος: ἔθος E 81/82 interpol. U et i. m. E 83 η' CE 83/84 ,ςφιη' ACEBMNU 84 Ἀζίζιος ACEVBMNU: Ἀζίξιος H: Ὀζύξιος D 85 ἢ ante προσκρ. add. U προσκρούσματα CEVBMN: προσκρούμματα A: προσκρούματος UH: προσκρούσματος D ἄξια ACEVBMNDH: ἀξίας U 88 ἀσκομένους C 89 τῆς om. CE γῆς om. E 90 δὲ C ἀποκρουσταλλωθῆναι V 91 τὸν ante ποταμὸν add. C 92 αὐτῆς: τοιαύτης A 93 ἐνάτης A: θ' CEU 94 ι' C καὶ om. B

κλόνος φρικτὸς κατά τε τὴν βασιλίδα καὶ ἐν τοῖς θέμασι, καὶ πεπτώκασιν αἱ σφαῖραι τοῦ ναοῦ τῶν ἁγίων τεσσαράκοντα καὶ τῶν ἁγίων πάντων. ἃς ὁ βασιλεὺς εὐθὺς ἀνεκτήσατο. ταῦτα δὲ προεμήνυε τὴν μετὰ ταῦτα γενομένην ἐν Ἰτα|λίᾳ στάσιν. δυνάστης γάρ τις τῶν ἐποίκων τῆς Βάρεως, τοὔνομα Μέλης, παραθήξας τὸν ἐν Λογγιβαρδίᾳ λαὸν ὅπλα κατὰ Ῥωμαίων αἴρει. καὶ ὁ βασιλεὺς Βασίλειον ἐκπέμπει τὸν Ἀργυρὸν στρατηγὸν ὄντα τῆς Σάμου καὶ τὸν λεγόμενον Κοντολέοντα τῆς Κεφαληνίας στρατηγοῦντα ἐπὶ τῷ καταστῆσαι Ῥωμαίοις τὰ πράγματα. οἷς ἀντιπαραταξάμενος ὁ Μέλης τρέπει λαμπρῶς, πολλῶν πεπτωκότων, οὐκ ὀλίγων δὲ ζωγρηθέντων, τῶν δὲ λοιπῶν τὴν διὰ φυγῆς ἀσχήμονα προκρινάντων ζωήν.

35. Ὁ δὲ βασιλεὺς οὐ διέλιπε καθ' ἕκαστον ἐνιαυτὸν εἰσιὼν ἐν Βουλγαρίᾳ καὶ τὰ ἐν ποσὶ κείρων τε καὶ δῃῶν. ὁ Σαμουὴλ δὲ μὴ δυνάμενος τῶν ὑπαίθρων ἀντιποιεῖσθαι, μηδὲ πρὸς ἐμφανῆ μάχην ἀντιστῆναι τῷ βασιλεῖ, ἀλλὰ πάντοθεν θραυόμενος καὶ τὴν οἰκείαν ἀκμὴν ἀποβάλλων, ἔγνω τάφροις καὶ θριγγίοις ἐπιτειχίσαι τούτῳ τὴν εἰς Βουλγαρίαν εἴσοδον. εἰδὼς οὖν, ὡς ἔθος ἀεὶ τῷ βασιλεῖ διὰ τοῦ λεγομένου Κίαβα Λόγγου καὶ τοῦ Κλειδίου ποιεῖσθαι τὰς διελεύσεις, ταύτην ἔγνω τὴν δυσχωρίαν ἐπιτειχίσαι καὶ τῷ βασιλεῖ ἀποκλεῖσαι τὴν εἴσοδον. φραγμὸν οὖν δομησάμενος εἰς εὖρος πολύν, καὶ φύλακας ἐν αὐτῷ ἀξιοπρεπεῖς ἐπιστήσας, προσέμενε τὸν βασιλέα. ἀφικομένου δὲ καὶ τούτου καὶ ἀποπειρασαμένου τῆς εἰσόδου, ἐπείπερ ἀντεῖχον γενναίως οἱ φυλάσσοντες καὶ τοὺς βιαζομένους ἐξ ὑπερδεξίων ἀνῄρουν βάλλοντες καὶ τιτρώσκοντες, καὶ ἤδη ἀπέγνωστο τῷ βασιλεῖ ἡ διάβασις, Νικηφόρος ὁ Ξιφίας τῆς Φιλιππουπόλεως τότε στρατηγῶν τῷ βασιλεῖ συνταξάμενος, καὶ αὐτὸν μὲν προσμένειν καὶ συνεχεῖς προσβολὰς ποιεῖσθαι τῷ | δέματι παρεγγυήσας, αὐτὸς δὲ ἀπιέναι φήσας, εἴ πως καὶ δυνηθείη λυσιτελές τι διαπράξασθαι καὶ σωτήριον, τὸν περὶ αὐτὸν εἰληφὼς

3 a. 1011 28 a. 1014

cap. 35: Zon. III, 563, 3—564, 12; Glyc. 577, 16—578, 14

ACEVBMNU DH 97 εὐθὺς ἀνεκτήσατο: αὖθις ἀνήγειρε B 2 Βάρεος U Μέλις MU 4 Κεφαληνίας ACVBMN: Κεφαλονίας E: Κεφαλονείας U 6 Μέλις MU 8 προκρινάντων ζωήν: ζωὴν ἑλόντων B 9 διέλειπε V 10 καὶ alt. om. M ὁ om. B 12/13 ἀποβάλλων ἀκμήν M 13 ἀποβαλών B θριγγίοις ACEVB Glyc. 577, 8: θρίγγοις UD: θριγκοῖς MN: θριγγοῖς H 14 τὴν ante Βουλγαρίαν add. U 15 Κίαβα ACVB: Κίαμβα E: Κίσβα U: Κίμβα MNH Κιμβαλόγγου D 17 πολύν CEVND: πολύ AMU: om. B 18 ἀξιοπρεπῶς U καὶ om. E 21 ἀπέγνω M 23 μὲν om. M 23/24 ποιεῖσθαι τῷ δέματι ACEVB: τῷ δέματι ποιεῖσθαι (ποιῆσαι U, ποιήσασθαι D) MNUDH 24 δ' B ἐπιέναι A καὶ om. EBMNDH

λαὸν ὑποστρέφει, καὶ περιοδεύσας τὸ πρὸς μεσημβρίαν τοῦ Κλειδίου κείμενον ὑψηλότερον ὄρος, ὃ Βαλασίτζαν κατονομάζουσι, καὶ τραχυπορίαις καὶ ἀνοδίαις χρησάμενος, εἰκοστῇ ἐννάτῃ τοῦ Ἰουλίου μηνός, ἰνδικτιῶνος δωδεκάτης, ἄνωθεν ἐξαίφνης μετ' ἀλαλαγμοῦ καὶ δούπου κατὰ νώτου γίνεται τῶν Βουλγάρων. οἱ δὲ τῷ ἀπροσδοκήτῳ καταπλαγέντες τρέπονται πρὸς φυγήν. καὶ ὁ βασιλεὺς μονωθὲν διαρρήξας τὸ τεῖχος ἐδίωκεν. ἔπεσον οὖν πολλοί, καὶ πολλῷ πλείους ἑάλωσαν, μόλις τοῦ Σαμουὴλ διαφυγεῖν δυνηθέντος τὸν κίνδυνον συνεργίᾳ τοῦ ἰδίου υἱοῦ γενναίως τοὺς ἐπιόντας ὑποδεξαμένου, καὶ ἵππῳ τοῦτον ἐπιβιβάσαντος καὶ ἐς τὸ λεγόμενον Πρίλαπον τὸ φρούριον ἀπαγαγόντος. ὁ δὲ βασιλεὺς τοὺς ἑαλωκότας τῶν Βουλγάρων ἀμφὶ τὰς πεντεκαίδεκα, ὥς φασιν, ὄντας χιλιάδας ἀπετύφλωσε, καὶ ἑκάστην ἑκατοντάδα πεπηρωμένων ὑφ' ἑνὸς μονοφθάλμου ὁδηγεῖσθαι κελεύσας ἐς τὸν Σαμουὴλ ἀποπέμπει. οὓς ἐκεῖνος κατ' ἀριθμὸν καὶ τάξιν θεώμενος ἀφικνουμένους, καὶ τὸ πάθος οὐκ ἐνεγκὼν νεανικῶς καὶ εὐψύχως, λειποθυμίᾳ καὶ σκότῳ βάλλεται καὶ εἰς γῆν πίπτει· ὕδατι δὲ καὶ μύροις οἱ παρόντες τὴν πνοὴν αὐτῷ ἀνακαλεσάμενοι ἀνενεγκεῖν μικρὸν πεποιήκασιν. ἀνενεγκὼν δὲ ὕδωρ πιεῖν ἐπεζήτησε ψυχρόν. λαβὼν δὲ καὶ πιὼν ἐλήφθη καρδιωγμῷ, καὶ μετὰ δύο ἡμέρας θνήσκει

κατὰ τὴν ἕκτην τοῦ Ὀκτωβρίου μηνός.

παραλαμβάνει δὲ τὴν ἀρχὴν τῶν Βουλγάρων ὁ υἱὸς αὐτοῦ Γαβριὴλ ὁ καὶ Ῥωμανός, ῥώμῃ μὲν καὶ ἰσχύϊ τοῦ πατρὸς ὑπερέχων, φρονήσει δὲ καὶ διανοίᾳ πολλῷ λειπόμενος, τεχθεὶς τῷ Σαμουὴλ ἀπό τινος | αἰχμαλώτιδος Λαρισσαίας

ἀπό τινος αἰχμαλώτιδος Λαρισσαίας] ἐξ Ἀγάθης τῆς θυγατρὸς Ἰωάννου τοῦ Χρυσηλίου τοῦ ἐν Δυρραχίῳ πρωτεύοντος.

ἦρξε δὲ κατὰ τὴν πεντεκαιδεκάτην τοῦ Σεπτεμβρίου μηνός, ἰνδικτιῶνος τρισκαιδεκάτης. καὶ μηδ' ὅλον ἀποπληρώσας ἐνιαυτὸν σφάττεται, εἰς

44 die 6. mens. Oct. a. 1014

ACEVBMNU DH 27 κείμενον post 26 μεσημβρίαν MNUDH 27 ὑψηλότερον ACEVB: ὑψηλότατον MNUDH Βαλασίτζαν ACEVMN: Βελάσιτζαν U: Βασίλιτζιν B ταχυπορίαις B 28 κθ' U: εἰκοστῇ θ' C 29 ἰνδικτιῶνος δωδεκάτης: τῆς ιβ' ἰνδ. B ιβ' CBU 30 ἀπροσδοκήτῳ ACEVBUD: ἀδοκήτῳ MN 31 μονωθεὶς B 32 μόλις: μόνου δὲ U 34 τοὺς: τοῦ N 35 ἐς CEVMND: εἰς ABUH Πρινλέαπον U τὸ alt. om. E ἀπαγαγόντας U 36 ιε' CE 36/37 ὥς φασιν om. BMU 37 ὄντας om. MU ἀπετύφλωσε ACEVB: ἀποτυφλώσας MNUDH Glyc. 578, 3 38 εἰς BUH (sed non D) 39 ἀφικνουμένους post ἐκεῖνος MNUH, post τάξιν A 41 δὲ: τε U 43 πιεῖν ὕδωρ U ἐπεζήτησε πιεῖν CE ψυχρὸν post ὕδωρ B 43 καρδιωγμῷ MNUD Zon. III, 564, 7 Glyc. 578, 10: καρδιαγμῷ ACEV: καρδίας δαγμῷ B 45 interpol. U 46 δὲ — Βουλγάρων ACEVB: δὲ τὴν τῶν Βουλγ. ἀρχὴν MNUDH Glyc. 578, 11 47 Ῥωμανός: Ῥοδομιρός U οὗτός ἐστιν ὁ Ῥαδομηρὸς i. m. post Ῥωμανὸς add. N 50/51 interpol. U (pro 48/49) 52 δὲ om. E ιε' ACEBU τοῦ om. AV Σεπτεμβρίου: Ὀκτωβρίου U 53 ιγ' ACEBU πληρώσας M

κυνηγέσιον ἐξελθών, παρὰ Ἰωάννου τοῦ καὶ Βλαδισθλάβου τοῦ υἱοῦ Ἀαρών, ὃν αὐτὸς θνῄσκειν μέλλοντα τοῦ θανάτου ἀπελυτρώσατο.

εἶχε δὲ γυναῖκα ὁ Ῥοδομηρὸς τὴν θυγατέρα τοῦ κράλλη Οὐγγρίας. οὐκ οἶδ' οἷς τισι λόγοις ἐμίσησε ταύτην καὶ ἀπεδίωξεν, ἐγκύμονα ἤδη ἐξ αὐτοῦ γενομένην. ἠγάγετο δὲ Εἰρήνην τὴν πανωραίαν αἰχμαλωτισθεῖσαν ἐν Λαρίσσῃ.

36. Πρὸ τοῦ δὲ ταῦτα γενέσθαι, Θεοφυλάκτου τοῦ Βοτανειάτου ἄρχειν Θεσσαλονίκης μετὰ τὸν Ἀρειανίτην πεμφθέντος Δαβὶδ ὁ Νεστορίτζης, εἷς τῶν παρὰ Βουλγάροις μέγα δυναμένων ὑπάρχων, μετὰ δυνάμεως ἁδρᾶς κατὰ Θεσσαλονίκης ἐκπέμπεται παρὰ τοῦ Σαμουήλ. οἷς συναντήσας ὁ Θεοφύλακτος σὺν τῷ υἱῷ Μιχαὴλ καὶ συμπλακεὶς τρέπει τε κατὰ κράτος, καὶ λείαν πολλὴν καὶ αἰχμαλώτους συχνοὺς προσλαβόμενος διακομίζει τῷ βασιλεῖ πολιορκοῦντι τὸ ἐν τῇ κλεισούρᾳ τοῦ Κλειδίου δέμα. τὸ δέμα δέ, ὡς εἴρηται, διαβὰς ὁ βασιλεὺς κατὰ Στρούμβιτζαν γίνεται. καὶ παρεστήσατο μὲν φρούριον τὸ καλούμενον Ματζούκιν, τῇ Στρουμβίτζῃ δὲ προσεγγίζον, μετὰ δυνάμεως δ' ἐκπέμπει τὸν Βοτανειάτην Θεοφύλακτον τὸν δοῦκα Θεσσαλονίκης, ὑπερβῆναι κελεύσας τοὺς ἐν Στρουμβίτζῃ βουνούς, καὶ τὰ ἐν ταῖς κατ' αὐτοὺς ὁδοῖς πυρπολῆσαι δέματα, καὶ εὐπόρευτον αὐτῷ θεῖναι τὴν πρὸς Θεσσαλονίκην ἄγουσαν ὁδόν. ὁ δὲ ἀπελθὼν συνεχωρήθη μὲν ἐν τῷ εἰσιέναι παρὰ τῶν τοποφυλακούντων Βουλγάρων ἀνεμποδίστως διελθεῖν, μέλλων δὲ πρὸς τὸν βασιλέα πάλιν ὑποστρέφειν μετὰ τὸ τὰ προστεταγμένα πληρῶσαι περιπίπτει λόχοις ἐπ' αὐτῷ τούτῳ προσκαθημένοις καὶ ἐνεδρεύουσιν ἔν τινι ἐπιμήκει στενοχωρίᾳ. ἐν | ᾗ εἰσελθὼν καὶ πάντοθεν περιστοιχισθεὶς καὶ ἄνωθεν ὑπὸ λίθων καὶ τόξων βαλλόμενος, μηδενὸς ἀμύνασθαι δυναμένου διὰ τὴν πύκνωσιν καὶ τὸ τῆς στενοχωρίας ἀδιεξ-

54 a. 1015

cap. 36: Zon. III, 564, 12—564, 16

ACEVBMNU DH 54 Κλααδεσθλάβου U 56—58 interpol. U 59 Θεοφυλάκτου: Θεοφιλέστατος E τοῦ om. CE 60 Ἀριανίτην ACVB 61 Βουλγάροις: Βουλγάρων BU μετὰ om. B 62 πέμπεται B 63 ὁ om. CE 64 τρέπει τε: τρέπεται B 65 προσλαβόμενος: λαβὼν B 65/66 τὸ — δέμα: τῷ ἐν τοῦ Κλειδίου δέμα ἐν τῇ κλεισούρᾳ M 66 δὲ om. B 67 Στρούμβιτζαν CV: Στρούμπιτζαν ABH: Στρουμπίτζαν D: Στρούμιτζαν U: Στρούβιτζαν M: Τζούμμιτζαν E φρούρια C τὸ: τὸν B καλούμενον: λεγόμενον U 68 Ματζούκιν ACVBMND: Ματζούκην EUH Στρουμβίτζῃ EVMN: Στρουμπίτζῃ BD: Στρουμπίτζᾳ H: Στρουμίτζῃ U: Στρομβίτζῃ A: Στρουβίτζῃ C δ' om. BM 69 τὸν alt. om. M 70 Στρουμβίτζῃ ACVMN: Στρουμίτζῃ U: Στρουβίτζῃ BE: Στρουμπίτζῃ D: Στρουμπίτζᾳ H 73 Βουλγάρων: βαρβάρων E 74 πάλιν om. U ἀποστρέφειν B τὸ om. U 75 πάλιν dittogr. ante πληρῶσαι add. CE ἀποπληρῶσαι M προκαθημένοις E 76 ἔν — στενοχωρίᾳ CEVBUD: ἔν τινι στενοχωρίᾳ ἐπιμήκει AMN πάντοθεν: παντὸς U 77 περιστοιχισθεὶς AVBU: περιστοιχηθεὶς MN: περιστοιχιθεὶς D καὶ pr. om. M λίθων καὶ τόξων ACEVBUD: τόξων καὶ λίθων MN

όδευτον, αὐτός τε πίπτει, μηδὲ ταῖς οἰκείαις χερσὶ δυνηθεὶς χρήσασθαι τοῦ Ῥαδομηροῦ τῇ λόγχῃ, ἣν ἐπεφέρετο, τὰ τούτου ἐκχέαντος ἔγκατα καὶ πολὺ μέρος σὺν αὐτῷ ἀπώλετο τοῦ στρατοῦ. ἅπερ μηνυθέντα τῷ βασιλεῖ πολλῆς αὐτὸν ἐνέπλησεν ἀθυμίας. ὅθεν καὶ προσωτέρω χωρεῖν οὐκ ἔκρινεν, ἀλλ' ὑποστρέψας ἦλθεν εἰς τὰ Ζαγόρια, ἔνθα τὸ λίαν ὀχυρώτατον ἵδρυται φρούριον ὁ Μελνῖκος, ἐπί τινος πέτρας ἱδρυμένον κρημνοῖς καὶ φάραγξι βαθυτάταις πάντοθεν ἐστεφανωμένης. ἐν ᾧ οἱ τῆς περιχώρου πάντες καταφυγόντες Βούλγαροι ὀλίγα τῶν Ῥωμαίων ἐφρόντιζον. πρὸς οὓς ὁ βασιλεὺς Σέργιόν τινα ἐκτομίαν, ἕνα τῶν οἰκειοτάτων αὐτῷ θαλαμηπόλων ἐκπέμπει, ἄνδρα φρενήρη τε καὶ δεινὸν εἰπεῖν, ἀποπειρώμενος τῆς γνώμης αὐτῶν. οὗτος δ' ἐκεῖσε γενόμενος καὶ πολλαῖς χρησάμενος πιθανολογίαις μεταδιδάξαι ἴσχυσε τοὺς ἀνθρώπους τὸ δέον, καὶ τὰ ὅπλα καταθεμένους παραδοῦναι τῷ βασιλεῖ ἑαυτοὺς καὶ τὸ φρούριον. οὓς ἀποδεξάμενος ὁ βασιλεὺς καὶ φιλοφρονησάμενος ἀξιοπρεπῶς, καὶ φρουρὰν τῷ φρουρίῳ τὴν ἀρκοῦσαν ἐγκατατάξας, μετέβη πρὸς Μοσυνόπολιν. ἐν ᾗ διάγοντι τούτῳ καὶ ὁ τοῦ Σαμουὴλ ἀγγέλλεται θάνατος κατὰ τὴν εἰκοστὴν τετάρτην τοῦ Ὀκτωβρίου μηνός. καὶ εὐθὺς ὁ βασιλεὺς ἀπάρας ἐκ Μοσυνοπόλεως κάτεισιν εἰς Θεσσαλονίκην, κἀκεῖθεν ἄπεισιν εἰς Πελαγονίαν, μηδὲν λυμηνάμενος τῶν ἐν ποσίν, ἀλλ' ἢ μόνα πυρπολήσας τὰ ἐν Βουτέλῃ βασίλεια τοῦ Γαβριήλ. πέμψας δὲ καὶ στρατιὰν χειροῦται τὸ φρού|ριον Πριλάπου καὶ τοῦ Στυπείου. ἐκεῖθεν καταλαμβάνει τὸν Τζερνᾶν λεγόμενον ποταμόν, ὃν σχεδίαις καὶ θυλάκοις πεφυσημένοις διαπεράσας ἐπάνεισιν εἰς τὰ Βοδηνά, κἀκεῖθεν τῇ ἐννάτῃ τοῦ Ἰαννουαρίου μηνὸς ἦλθεν εἰς Θεσσαλονίκην.

87 post diem 29. mens. Iul. a. 1014

ACEVBMNU DH 79 χερσὶ — χρήσασθαι: δυνηθεὶς χερσὶ χρήσεσθαι A 80 interpol. U 82 αὐτὸν: αὐτῷ B ἀθυμίας ἐνέπλησεν A 84 Μελνῖκος ACEVBN: Μελνίκος M: Μελενῖκος U: Μελένικος Bekker ἱδρυμένον: ἱδρυμένος AVB 85 βαθυτάταις AVU: βαθυτάτοις MND: om. CEB βαθυτ. post ἐστεφαν. A ἐστεφανωμένος U 86 πάντες: πάσης CE κατέφυγον B καὶ ante ὀλίγα add. B 89 ἀποπειρώμενον U αὐτῶν: αὐτοῦ U 90 ἀνθρώπους: ἄνδρας B 91 ἑαυτοὺς: αὐτοὺς B 92 φιλοφρονησάμενος: φροντισάμενος B 93 τῷ φρουρίῳ om. E ἐγκατατάξας ACEVBUD: κατατάξας MN 94 Μοσυνόπολιν ACEVMUD: Μοσυνούπολιν BNZon. III, 564, 14 διάγοντος τούτου E τούτῳ: τοῦτον C 95 δὲ ante τὴν add. ACE κδ' CEMNU 1 καὶ om. ACE ἐκ: ἀπὸ B Μοσυνουπόλεως VNUD 2 εἰς Πελαγονίαν ACEVB: μέχρι Πελαγονίας MN: ἄχρι Πελαγονίας UDH 2/3 λυμηνάμενος (λυμαινόμενος MNUD) — ποσίν CEVMNU: μηδὲν τοῖς ἐν ποσὶ λυμηνάμενος A: μηδὲν τῶν ἐν ποσὶ λυμηνάμενος B 3 μόνον B Βουτέλῃ ACEVBNUD: Βουτέλει M: Βουτελίῳ H 4 Γαβριήλ: Σαμουήλ U στρατιὰν: στρατὸν U Πριλεάπους U 5 Στυπείου ACEVMN: Στυπίου B: Στουπ' U ἐκεῖθεν: ἐκεῖ M 7 Βοδηνά CEVU: Βοδινά BMNDH: Βοδενά A τῇ ἐννάτῃ: κατὰ τὴν θ' B θ' CEB 7/8 εἰς Θεσσ. ἦλθεν B

37. Ἔαρος δ' ἐπιστάντος ὑπέστρεψε πάλιν εἰς Βουλγαρίαν καὶ τῷ φρουρίῳ τῶν Βοδηνῶν προσίσχει. ἔφθασαν γὰρ οὗτοι, τὴν πρὸς βασιλέα πίστιν ἀπαρνησάμενοι, ἄραι κατὰ Ῥωμαίων ὅπλα. καρτερὰν οὖν ἐνστησάμενοι πολιορκίαν ἠνάγκασε πίστεις λαβόντας ἑαυτοὺς ἐγχειρίσαι τοὺς ἔνδον. οὓς πάλιν ἐν τῷ Βολερῷ μετοικίσας, καὶ ἕτερα φρούρια ἀνεγείρας δύο ἐν τῷ μέσῳ τῆς δυσχωρίας, ὧν τὸ μὲν Καρδίαν ὠνόμασε, τὸ δ' ἕτερον Ἅγιον Ἠλίαν, ὑπέστρεψεν εἰς Θεσσαλονίκην.

ἐπιστάντος – εἰς Θεσσαλονίκην] ἐπιστάντος κατ' αὐτὴν τὴν ἡμέραν τοῦ μεγάλου σαββάτου ἐξ ἐφόδου ἐλθὼν παρέλαβε τὰ Βοδηνὰ καὶ τοὺς οἰκήτορας ταύτης εἰς τὸ Βολερὸν μετῴκησεν, Ῥωμαίους δὲ ἀντ' αὐτῶν τῇ πόλει οἰκήτορας ἐναφῆκε τοὺς καλουμένους Κονταράτους, θηριώδεις ἀνθρώπους καὶ φονικούς, ἀνελεήμονάς τε καὶ ὁδοστάτας. ἀνήγειρε δὲ καὶ ἕτερα δύο φρούρια ἐν τῷ μέσῳ τῆς δυσχωρίας, ὧν τὸ μὲν Καρδίαν ὠνόμασεν, τὸ ἕτερον τὸν Ἅγιον Ἠλίαν, καὶ ὑπέστρεψεν εἰς Θεσσαλονίκην.

ἐν ᾗ Ῥωμανὸς ὁ καὶ Γαβριὴλ διά τινος Ῥωμαίου τετμημένην ἔχοντος τὴν χεῖρα δούλωσιν καὶ ὑποταγὴν ὑπισχνεῖτο. ὁ δὲ ὑποπτεύσας τὰ γράμματα, τὸν πατρίκιον Νικηφόρον τὸν Ξιφίαν καὶ Κωνσταντῖνον τὸν Διογένην, μετὰ τὸν Βοτανειάτην στρατηγὸν γεγονότα Θεσσαλονίκης, μετὰ δυνάμεως ἐκπέμπει ἐν τῇ χώρᾳ τῶν Μογλένων. ὧν τὴν πᾶσαν ληϊσαμένων ἐκείνην γῆν καὶ τὴν πόλιν πολιορκούντων, ἔφθασε καὶ ὁ βασιλεύς, καὶ τὴν παραρρέοντα τῇ πόλει μετοχετεύσας ποταμὸν καὶ τὰ θεμέλια τῶν τειχῶν ὑπορύξας καὶ ξύλα καὶ εὔπρηστον ὕλην ὑποβαλὼν τοῖς ὀρύγμασι καὶ πῦρ ἐμβαλών, τῆς ὕλης καταπρησθείσης κατέστρεψε τὸ τεῖχος. ὅπερ ἰδόντες οἱ ἔνδον πρὸς ἱκεσίαν μετ' ὀλοφυρμῶν ἐτράποντο καὶ ἑαυτοὺς παρεδίδουν σὺν τῷ φρουρίῳ. | ἐλήφθη οὖν Δομετιανὸς ὁ Καυκάνος, ἀνὴρ δυνάστης καὶ τῷ Γαβριὴλ συμπάρεδρος, καὶ Ἠλίτζης ὁ ἄρχων Μογλένων, καὶ ἕτεροι δυνάσται πολλοὶ καὶ λαὸς πολεμιστὴς οὐκ ὀλίγος. τοὺς μὲν οὖν ὅπλα δυναμένους κινεῖν εἰς Ἀσπρακανίαν ἐκπέμπει ὁ βασιλεύς, τὸν δὲ λοιπὸν συρφετώδη λαὸν διαρπαγῆναι προσέταξεν, ἐμπρησθῆναι δὲ καὶ τὸ φρούριον. ἑάλω δὲ καὶ ἕτερον φρούριον Ἐνώτια κεκλημένον, γειτονοῦν τοῖς Μογλένοις.

9 a. 1015 35 aestate a. 1015

ACEVBMNU DH 9 ἐπιστάντος: ἐπιόντος CE 10 Βοδηνῶν CEV: Βοδινῶν BMNDH: Βοδενῶν A 12 ἐνστησάμενοι CEVB: ἐνστησάμενος AMNDH πίστιν CE 12/13 λαβόντας — ἔνδον: λαβ. τοὺς ἔνδ. ἑαυτ. ἐγχειρ. B 13 τοὺς: τοῖς A 14 δύο ἀνεγείρας M 15 ὠνόμασε ACEVB: ὠνόμασαν M: ὠνόμασ N δὲ B 16–21 pro 9 ἐπιστάντος — 15 habet U 22 ᾗ Ῥωμανὸς: ᾧ Ῥαδομηρὸς U ὁ om. M τοῦ et lac. unius vocis post Γαβριὴλ habet U 22/23 τετμ. ἔχ. τὴν χ.: χειροτμήτου DH 23 ὑπισχνεῖται B 26 Μογλένων AVMN: Μογλαίνων CEU: Μολγένων B 27 ἐκείνην: ἐκείνων, post 26 πᾶσαν, M 29 ὑπορρήξας U ἄλλην ante ὕλην add. NUDH 30 ἐμβαλών: βαλὼν U δὲ post ὕλης add. U 32 δ' ante οὖν add. U 33 Καυκάνος: Πχάνος U Ἠλίτζης: ὁ Λίτζης U 34 Μογλένων AVMN: Μογλαίνων CEU: Μογλάνων B πολεμιστὴς: πολεμικὸς U 35 Ἀσπρακανίαν ACEVMN: Ἀπρακανίαν B: Βαασπρακανίαν U 37 ἐμπρησθῆναι — φρούριον: καὶ τὸ φρούριον ἐμπρησθῆναι A δὲ alt. om. CE ἕτερον: ἄλλο B 38 Ἐνώτια: Νούτια U γειτονοῦν: γειτονοῦντος E Μογλαίνοις CEU

38. Ἡμέρᾳ δὲ πέμπτῃ ἧκεν ὁ χειρότμητος Ῥωμαῖος, ἔχων καὶ θεράποντα Ἰωάννου τοῦ καὶ Βλαδισθλάβου, υἱοῦ Ἀαρών, ἐπαγόμενος καὶ γράμματα δηλοῦντα φονευθῆναι

ἐν τῷ Πετερισκῷ (Πετρισκῷ U)

ὑπ' αὐτοῦ τὸν Γαβριὴλ καὶ τὴν πᾶσαν ἐξουσίαν εἰς ἑαυτὸν μετενεχθῆναι, ὑπισχνουμενά τε τὴν πρέπουσαν ὑποταγὴν καὶ δούλωσιν ἐνδείξασθαι πρὸς τὸν βασιλέα. ἅπερ ἀναγνοὺς ὁ βασιλεὺς καὶ χρυσοβούλλοις γράμμασι τὰ δοκοῦντα πιστωσάμενος ἀπέστειλε πρὸς τὸν Ἰωάννην. καὶ μετ' ὀλίγας πάλιν ἡμέρας ἐπανῆκεν ὁ τετμημένος τὴν χεῖρα Ῥωμαῖος, γραφὰς κομίζων Ἰωάννου τε καὶ τῶν ἀρχόντων Βουλγαρίας ὑπηκόους ὁμολογούντων γενέσθαι καὶ δούλους τοῦ βασιλέως. προσερρύη δὲ τῷ βασιλεῖ καὶ Καυκάνος Καυκάνος] Θεόδωρος ὁ Κπαχάνης

ὁ ἀδελφὸς Δομετιανοῦ καὶ Μελίτωνος

τοῦ ἐν Μογλένοις ἁλόντος. ὃν φιλοτιμησάμενος διὰ τιμῆς ἦγεν.

ὃς καὶ ὑπέσχετο τῷ βασιλεῖ ἀνελεῖν τὸν Βλαδισθλάβον. ἀπιὼν δὲ ἐπὶ Βουλγαρίαν σὺν τῷ θεράποντι τοῦ Ἰωάννου καὶ τὴν σφαγὴν αὐτουργῆσαι ὀφείλοντι, δώροις ὑποκλαπέντι, παρ' αὐτοῦ σφάττεται κατὰ τὸ Στούπιον οἰκητήριον. Διάβολις ὁ τόπος ἐκαλεῖτο ἀνέκαθεν, ἔνθα ἡ τοῦ Θεοδώρου ἐτελέσθη σφαγή.

ἐπεὶ δὲ ἔγνω τὸν Ἰωάννην δόλῳ καὶ περινοίᾳ γράψαντα τὰ γραφέντα καὶ τἀναντία, ὧν ὑπισχνεῖτο, διανοούμενον, ἐπανέστρεψε πάλιν πρὸς Βουλγαρίαν, καὶ λεηλατήσας τὴν περίχωρον Ὀστροβοῦ καὶ τοῦ Σωσκοῦ καὶ τὴν πεδιάδα Πελαγονίας τοὺς ἁλισκομένους πάντας ἀπετύφλου Βουλγάρους. ἄπεισιν οὖν ἄχρι τῆς πόλεως Ἀχρίδος, ἐν ᾗ τὰ βασίλεια τῶν βασιλέων ἵδρυντο | Βουλγαρίας. καὶ τὴν πόλιν παραλαβὼν καὶ πάντα καλῶς διαθεὶς ἔμελλε καὶ προσωτέρω βαδίζειν καὶ τῆς πρὸς τὸ Δυρράχιον ἅψασθαι. ἐδεῖτο γὰρ τῆς ἐπιδημίας αὐτοῦ τὰ ἐκεῖσε. ἕως μὲν γὰρ Τριβαλίας καὶ τῶν ἀγχοτάτω Σερβίας μερῶν ἦρχε Βλαδιμηρὸς ὁ ἐπὶ θυγατρὶ τοῦ Σαμουὴλ κηδεστής, ἀνὴρ ἐπιεικὴς καὶ εἰρηνικὸς καὶ

41 a. 1015, 1016 sec. Dölger

cap. 38: Zon. III, 564, 17–565, 6

ACEVBMNU DH **39** δὲ om. U ε' E: τρίτῃ B Ῥωμαῖος: Ῥωμανός U ἔχων: ἔχοντα CB **40** Βλασθλάβου B τοῦ ante υἱοῦ add. U ἐπαγόμενον U **41** ὑπ' αὐτοῦ ante φονευθῆναι add. M **42** post **41** φονευθῆναι interpol. EU, post **43** Γαβριὴλ C **45** γράμμασι: γραφαῖς B **47** ἐπανῆλθεν B αὖθις post ἐπανῆκεν add. U **49** ὁμολογούντων ACEVBND: ὁμολογοῦντας U: om. M γενέσθαι post δούλους NUDH **50** Καυκάνος: Θεόδ. ὁ Κ. U **51** καὶ Μελ. interpol. U **52** Μογλαίνοις CEU **53–56** interpol. U **57** ὁ βασιλεὺς post ἔγνω add. U **58** ἐπανέστρεψε: ἐπανέπεμψε B πρὸς ACEVB: εἰς MNUD **59** τοῦ om. MNUDH Σοσκοῦ BM **60** πάντας om. U **61** ἄπεισιν οὖν CEVMNU: καὶ ἄπεισι A: ἄπεισι δὲ B Ἀχρίδος ACEVMN: Ἀχριδῶν U: Ἀχρίδης B **62** ἵδρυνται CE **63** διαθείς: διασωθεὶς B καὶ pr. om. U βαδίζειν ACEVBUD: χωρεῖν MN **65** Τριβαλλίας U ἀγχοτάτων BU τῆς ante Σερβίας add. CE **66** Θεοδωρίτου post θυγατρὶ add. U ἀλλὰ post εἰρηνικός add. A

ἀρετῆς ἀντεχόμενος, ἠρεμίαν εἶχε τὰ ἐν Δυρραχίῳ. ἐπεὶ δὲ ὁ Γαβριὴλ παρὰ τοῦ Ἰωάννου ἀπώλετο, καὶ οὗτος παρασπονδηθεὶς καὶ τοῖς ὅρκοις πιστεύσας παρὰ Ἰωάννου δοθεῖσιν αὐτῷ διὰ Δαβὶδ τοῦ ἀρχιεπισκόπου Βουλγαρίας ἑαυτὸν ἐνεχείρισε καὶ μετὰ μικρὸν ἀπεσφάγη, πολὺν εἶχε τάραχον καὶ κλόνον τὰ ἐκεῖσε πράγματα, ἐγκειμένου καθ' ἑκάστην καὶ διὰ στρατηγῶν πολλάκις τοῦ Ἰωάννου καὶ δι' ἑαυτοῦ πάλιν ἑλεῖν τὴν πόλιν. καὶ διὰ τοῦτο ἐβούλετο μὲν ὁ βασιλεὺς ἀπελθεῖν καὶ βοηθῆσαι, ἐκωλύθη δὲ δι' αἰτίαν οὐκ ἄλογον. ἀπερχόμενος γὰρ πρὸς Ἀχρίδας κατέλιπε κατόπιν μετὰ πλήθους στρατιωτῶν Γεώργιον στρατηγὸν τὸν Γονιτζιάτην καὶ Ὀρέστην πρωτοσπαθάριον τὸν αἰχμάλωτον, κατατρέχειν κελεύσας τὰ πεδία Πελαγονίας. οὓς ἐλλοχήσαντες Βούλγαροι ἔχοντες στρατηγὸν τὸν Ἰβάτζην, φανερώτατον ἄνδρα καὶ δεδοκιμασμένον, ἀναιροῦσι πάντας. ὧν τῇ λύπῃ συγχυθεὶς ὁ βασιλεὺς ἐπανέστρεψεν εἰς Πελαγονίαν, καὶ τὸν Ἰβάτζην καταδραμὼν καὶ διώξας ἀπῆλθεν ἐν Θεσσαλονίκῃ. κἀκεῖθεν διέβη εἰς Μοσυνούπολιν, λαὸν κατὰ Στρουμβίτζης πεπομφὼς ἡγεμόνα ἔχοντα τὸν πατρίκιον Δαβὶδ τὸν Ἀρειανίτην. ὃς αἰφνίδιος ἐπιφανεὶς εἷλε τὸ φρούριον, ὃ Θερμίτζα κατονομάζεται. καὶ | ἕτερον πάλιν λαὸν κατὰ τῶν ἐν Τριαδίτζῃ φρουρίων, ἔξαρχον ἔχοντα τὸν Ξιφίαν, ἐκπέμπει. καὶ οὗτος δὲ τὰ ἐν τοῖς ὑπαίθροις πάντα καταστρεψάμενος εἷλε πολιορκίᾳ τὸ ἔρυμα, ὃ Βοιὼ καλεῖται.

39. Ὁ δὲ βασιλεὺς ἀπελθὼν ἐν Κωνσταντινουπόλει, κατὰ τὸν Ἰαννουάριον μῆνα τοῦ ἑξακισχιλιοστοῦ πεντακοσιοστοῦ εἰκοστοῦ τετάρτου ἔτους, στόλον εἰς Χαζαρίαν ἐκπέμπει, ἔξαρχον ἔχοντα τὸν Μογγόν, υἱὸν Ἀνδρονίκου δουκὸς τοῦ Λυδοῦ· καὶ τῇ συνεργίᾳ Σφέγγου τοῦ ἀδελφοῦ Βλαδιμηροῦ, τοῦ γαμβροῦ τοῦ βασιλέως, ὑπέταξε τὴν χώραν, τοῦ ἄρχοντος αὐτῆς Γεωργίου τοῦ Τζούλη ἐν τῇ πρώτῃ προσβολῇ συλληφθέντος. τότε καὶ Σεναχηρεὶμ ὁ τῆς ἄνω Μηδίας ἄρχων,

89 a. 1016   94 a. 1021/1022

ACEVBMNU DH   67 τῷ ante Δυρρ. add. B   καὶ ante ὁ add. E   68 τοῖς ante παρὰ add. BM   τοῦ ante Ἰωάννου add. B   Δαβίδ: Ἰωάννου U   69 ἀρχιεπισκόπου ACEVND: ἀρχιερέως BU: ἄρχοντος ἐπισκόπου M   71 πολλὴν εἶχε ταραχὴν B   ἐκκειμένου C   72 τοῦ Ἰ. πολλάκις U   ἑαυτοῦ: αὐτοῦ B   73 πάλιν: αὖθις U   75 πρὸς: εἰς A   Ἀχρι^δ EB   76 Γωνιτζιάτην ACEU σπαθάριον B   77 ἐλλοχήσαντες AVBMNU: ἐκλοχήσαντες C: ἐλοχήσαντο E   78 ἄνδρα φανερώτατον U   79 συγχυθεὶς: συσχεθεὶς B   80 Βάτζιν B   81 εἰς (ἐς M) Θεσσαλονίκην BM   Μοσυνόπολιν ABDH   82 Στρουμβίτζης EN: Στρομβίτζης A: Στρουμίτζης BU: Στρουβίτζη CM: Στρουμπίτζης VDH   83 Ἀριανίτην ACEVBDH   Θέρμιτζα AM   84 τῇ ante Τριαδ. add. B   89/90 ,ςφκδ' CEBMNU: ,ςφτετάρτου A   91 Μογγόν: Μουτόν B: Βάρδα τὸν Μαννόν U   υἱόν: Ἰωάννην C   δουκὸς: δοῦκα A   Σφάγγου AU   92 γαμβροῦ: ἀδελφοῦ Poppe, Le prince   93 Τζούλου MND   94 προσβολῇ: συμβολῇ A   Σεναχηρεὶμ ACVBNU: Συναχηρεὶμ E: Σενναχειρεὶμ M   Μηδείας CBU

ἣν Ἀσπρακανίαν ὀνομάζουσι σήμερον τῷ βασιλεῖ παγγενεὶ προσέδραμε, τὴν ὑπείκουσαν αὐτῷ παραδεδωκὼς ἅπασαν χώραν, πατρίκιος τιμηθεὶς καὶ στρατηγὸς Καππαδοκίας, καὶ κτήσεις ἀντιλαβὼν τάσδε τὰς πόλεις, τὴν Σεβάστειαν, τὴν Λάρισσαν, τὴν Ἄβαραν, καὶ ἄλλας κτήσεις πολλάς. στενοχωρούμενος γὰρ οὗτος ὑπὸ τῶν προσοίκων Ἀγαρηνῶν καὶ μὴ οἷος ὢν ἀντέχειν προσέδραμε τῷ βασιλεῖ, παραδοὺς τὴν ἑαυτοῦ χώραν. ἧς ἄρχειν ἀποσταλεὶς Βασίλειος πατρίκιος ὁ Ἀργυρὸς καὶ τοῖς ὅλοις πταίσας παραλύεται τῆς ἀρχῆς. καὶ διάδοχος αὐτοῦ πέμπεται Νικηφόρος πρωτοσπαθάριος ὁ Κομνηνός, ὃς κατὰ χώραν γενόμενος καὶ τὰ μὲν πειθοῖ, τὰ δὲ βίᾳ χρώμενος ὑπήκοον τῷ βασιλεῖ τὴν χώραν ἐποίησεν.

40. Ἑξακισχιλιοστῷ δὲ πεντακοσιοστῷ εἰκοστῷ τετάρτῳ ἔτει, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, ἀπάρας τῆς βασιλίδος ὁ | βασιλεὺς ἄπεισιν εἰς Τριάδιτζαν, καὶ τὸ φρούριον Πέρνικον περικαθίσας ἐπολιόρκει, τῶν ἔνδον δὲ καρτερῶς καὶ ἐκθύμως ἀγωνιζομένων, καὶ πολλῶν Ῥωμαίων πιπτόντων. ἐφ' ὅλας ὀγδοήκοντα καὶ ὀκτὼ ἡμέρας προσλιπαρήσας τῇ πολιορκίᾳ, ὡς ἔγνω ἀδυνάτοις ἐπιχειρῶν, ἄπρακτος ὑπεχώρησεν καὶ εἰς Μοσυνούπολιν κατῆλθεν. ἐν ᾗ τὸν λαὸν διαναπαύσας, ἔαρος ἐπιστάντος ἄρας ἐκ Μοσυνουπόλεως εἴσεισιν εἰς Βουλγαρίαν καὶ περικαθίσας φρούριον τὸ λεγόμενον Λογγᾶν εἷλε πολιορκίᾳ. Δαβὶδ δὲ τὸν Ἀριανίτην καὶ Κωνσταντῖνον τὸν Διογένην εἰς τὰς κατὰ Πελαγονίαν πεδιάδας ἐκπέμψας ζῴων πολλῶν καὶ αἰχμαλώτων ἐγένετο κύριος. τὸ δὲ ληφθὲν φρούριον ἐμπρήσας ὁ βασιλεύς, καὶ τριχῇ τοὺς ἁλόντας μερισάμενος, καὶ μίαν μὲν μερίδα τοῖς συμμαχοῦσι παρεσχηκὼς Ῥῶς, ἑτέραν δὲ Ῥωμαίοις, καὶ ἄλλην ἑαυτῷ παρακατασχών, ἐχώρει προσωτέρω. καὶ μέχρι Καστορίας ἐλθὼν καὶ τῆς πόλεως ἀποπειραθείς, ὡς ᾔσθετο ἀνεπιχείρητον αὐτὴν οὖσαν, ὑπέστρεψεν. ἐδέξατο γὰρ καὶ γράμμα τοῦ

cap. 40: Zon. III, 565, 10—565, 13

ACEVBMNU DH 95 καὶ post ἣν add. U κατονομάζουσι M παγγενεὶ C: παγγενεῖ D: παγγενῆ AEVBMNU προσέδραμον U 1 ἅπασαν: πᾶσαν B καὶ ante πατρίκιος add. BU 4 προσοίκων: προσόντων CE 8 πέμπεται om. CE σπαθάριος B 9 πειθῶ U 11 Ἑξακισχιλιοστῷ — ἔτει AV: Τῷ δὲ ,ϛφκδ' ἔτει BDH: ,ϛ δὲ φκδ' ἔτει CMN: ,ϛφκδ' ἔτει U: ,ϛφκδ' δὲ ἔτει E 12 ιδ' CEBNU: δ' M κάτεισιν ante ἀπάρας add. A 13 Τριαδίτζαν UDH 14 ἔνδον δὲ: δ' ἔνδον B: ἔνδον τε H: ἔνδον D 15 π' καὶ η' CE 16 ἐπιχειρεῖν BU 17 Μοσυνόπολιν ABUDH 18 Μοσυνουπόλεως CEVMNUD: Μοσυνοπόλεως ABH ἐν Βουλγαρίᾳ U 19 Λογγᾶν ACEVMND: Λογκᾶν U: Λογγῶν B: Λογγὰν H δὲ: τε MU 20 Ἀριανίτην MNUDH 21 ἐγένετο: γέγονε M 22 ἐνεμπρήσας B 23 μὲν om. MND Ῥῶς AEM 25 ἀποπειρασθεὶς B 26 ἀνεπιχείρωτον B αὐτὴν ἀνεπιχ. M οὖσαν αὐτὴν U γάρ: δὲ M γράμμα CEVN: γράμματα ABMUDH τοῦ om. A

στρατηγοῦντος ἐν Δοροστόλῳ Τζοτζικίου, τοῦ υἱοῦ τοῦ πατρικίου Θευδάτου τοῦ Ἴβηρος, ὡς ὁ Κρακρᾶς λαὸν ὅτι πλεῖστον ἀθροίσας καὶ τῷ Ἰωάννῃ ἑνωθείς, προσλαβόμενοι δὲ καὶ Πατζινάκας, μέλλουσιν εἰσβολὴν κατὰ Ῥωμανίας ποιήσασθαι. τούτῳ τῷ γράμματι θορυβηθεὶς ἐπανῄει διὰ ταχέων. ἐν τῷ παριέναι δὲ τό τε φρούριον εἷλε τὰ Βοσόγραδα καὶ ἐνέπρησε, καὶ τὴν Βέρροιαν ἐπικτήσας, δῃώσας δὲ καὶ κατερειπώσας τὰ πέριξ Ὀστροβοῦ καὶ Μολισκοῦ, ἔστη τοῦ προσωτέρω ἰέναι. ἀπηγγέλη γὰρ αὐτῷ, ὡς ἡ μελετωμένη τῷ Κρακρᾷ καὶ τῷ | Ἰωάννῃ κατὰ Ῥωμαίων ἔφοδος ἐνεποδίσθη, τῶν Πατζινάκων μὴ δόντων συμμαχίαν αὐτοῖς. διὸ καὶ ὑποστρέψας πολιορκεῖ φρούριον ἄλλο τὴν Σέτεναν, ἐν ᾗ βασίλεια ἦσαν τοῦ Σαμουὴλ καὶ σῖτος ἀπέκειτο πολύς, ὃν τῷ λαῷ διαρπάσαι κελεύσας, τἄλλα πάντα κατέφλεξεν. ἐξέπεμψε δὲ καὶ κατὰ Ἰωάννου οὐ μακρὰν ἀπέχοντος τὸ τάγμα τῶν σχολῶν τῆς δύσεως καὶ τὸ τῆς Θεσσαλονίκης, ἡγεμόνα ἔχοντα Κωνσταντῖνον τὸν Διογένην. τούτοις ἀπιοῦσιν ἐνήδρευσεν ὁ Ἰωάννης. μαθὼν δὲ τοῦτο ὁ βασιλεὺς ἐξιππασάμενος, καὶ μηδὲν ἄλλο εἰπών, ἀλλ' ἢ 'ὅστις πολεμιστής, ἀκολουθείτω μοι,' ἀπῄει κατὰ σπουδήν. τοῦτο γνόντες οἱ τοῦ Ἰωάννου σκοποὶ μετὰ φόβου πρὸς τὸ τοῦ Ἰωάννου στρατόπεδον ἔρχονται,καὶ δειλίας καὶ ταραχῆς τοῦτο ἐνέπλησαν, μηδὲν ἄλλο βοῶντες, ἀλλ' ἢ 'βεζεῖτε, ὁ τζέσαρ.' πάντων οὖν φευγόντων ἀκόσμως σὺν τῷ Ἰωάννῃ, οἱ περὶ τὸν Διογένην ἀναθαρρήσαντες κατόπιν ἐδίωκον. καὶ κτείνουσι μὲν πολλούς, συλλαμβάνουσι δὲ καὶ διακοσίους πανοπλίτας καὶ τοὺς ἵππους καὶ τὴν ἀποσκευὴν Ἰωάννου καὶ τὸν τούτου ἀνεψιόν· ὃν καὶ παραυτίκα στερεῖ τῶν ὀφθαλμῶν. ταῦτα δράσας ἐπάνεισι πρὸς τὰ Βοδηνά, καὶ πάντα τὰ ἐκεῖσε καταστησάμενος ἐπαναζευγνύει πρὸς τὸ Βυζάντιον, κατὰ τὴν ἐννάτην τοῦ Ἰαννουαρίου μηνός, ἰνδικτιῶνος πεντεκαιδεκάτης, ἔτους ἑξακισχιλιοστοῦ πεντακοσιοστοῦ εἰκοστοῦ ἕκτου.

ACEVBMNU DH 27 τῷ post ἐν add. MNUD Δοροστόλῳ AVMNU: Δωροστόλῳ CE: Ῥοδοστόλῳ B τοῦ ante Τζοτζ. add. A Τζιτζικίου MNUDH τοῦ ante υἱοῦ om. A τοῦ ante πατρικίου om. MNU (sed non D) 28 Θευδατ' EU Ἴβερος M ἀθροίσας: ἀγείρας U 29 προσλαβόμενοι VBMNU: προσλαβόμενος ACE Πατζινάκους BU καὶ ante μέλλουσιν add. V μέλλει A 30 εἰσβολὴν — ποιήσασθαι: κατὰ Ῥωμ. εἰσβολὴν ποιήσεσθαι A Ῥωμανίας ACEVBU: Ῥωμανίαν D: Ῥωμαίων MN θορυβηθεὶς: φοβηθεὶς U 31 τε om. A τὰ Βοσόγραδα ACEVMN: τὰ Βοώγραδα B: Βισέγραδον U 32 δὲ om. B 33 Βολισκοῦ B 34 ἀπηγγέλθη B Κρακᾷ CB 35 κατὰ Ῥωμαίων om. U Πατζινακῶν A 36 αὐτοῖς om. U 37 Σέτεναν ACEVMN: Σέτενα B: Σέταιναν U τοῦ: τῷ C πολὺς ἀπέκειτο A 38 τὰ ἄλλα BU 39 οὐ ACEVNU: τοῦ B: om. M 40 καὶ om. B 41 ἐνήδρευσεν ACEVB: ἐνήδρευεν MNUDH 42 ὁ βασιλεὺς om. B καὶ μή τι πάθοι (πάθῃ ND) φοιβηθεὶς παρὰ (περὶ U) τοῦ λαοῦ post βασιλεὺς add. MNUDH μόνον post ἢ add. MNUDH ὅστις ACEVB: εἴ τις MNUDH 43 τοῦτο: τοῦτον AB 46 ἀλλ': εἰ μὴ DH βεζεῖτε ACEVND: βεζεῖτε, βεζεῖτε U: βετζῆτε B: βεζῖτε M ὁ om. U τζέσαρ CMN: τζέσερ A: τζέαρ EV: τζέερ B: τζασάρ U 50 ὃν—ὀφθ. interpol. U 51 Βοδηνά CEVU: Βοδινά BMNDH: Βοδενά A καταστησάμενος: καταστρεψάμενος B 52 θ' ACEBU τῆς ιε' ἰνδ. DH ιε' ACEBNUDH: ε' M 53 ,ςφκς' ACEBMNU

41. Ἀδείας δὲ λαβόμενος ὁ Ἰωάννης ἄπεισι πολιορκήσων τὸ Δυρράχιον μετὰ φρυάγματος καὶ ὄγκου βαρβαρικοῦ. ἔνθα πολιορκίας συστάσης καὶ συμπλοκῆς γενομένης πίπτει,

πίπτει – καταβεβλ. αὐτόν] μετὰ τοῦ στρατηγοῦ καὶ πατρικίου Νικήτα τοῦ Πηγωνίτου, ἀπὸ τῶν ἵππων μαχομένων, πίπτει, ὑπὸ δύο πεζῶν ἐπιδραμόντων ἐν τῇ συμπλοκῇ κατὰ τῶν σπλάγχνων καιρίαν τυπείς,

μηδενὸς δήλου | γενομένου τοῦ καταβεβληκότος αὐτόν, ἄρξας Βουλγάρων ἐπ' ἐνιαυτοὺς δύο καὶ μῆνας πέντε. μηνυθέντος δὲ τῷ βασιλεῖ τοῦ θανάτου τοῦ Ἰωάννου διὰ τοῦ στρατηγοῦντος Δυρραχίου Νικήτα πατρικίου τοῦ Πηγονίτου, ἔξεισι παραυτίκα ὁ βασιλεύς. γενομένῳ δ' αὐτῷ κατὰ τὴν Ἀδριανούπολιν ὑπαντῶσιν ὁ ἀδελφὸς τοῦ περιφήμου Κρακρᾶ καὶ ὁ υἱός, προσχωρεῖν εὐαγγελιζόμενοι τό τε περίπυστον φρούριον τὸν Πέρνικον, καὶ ἕτερα πέντε ἐπὶ τριάκοντα. οὓς τιμήσας ἀξίως καὶ τὸν Κρακρᾶν ἐς τὸν τῶν πατρικίων θρόνον ἀναβιβάσας ἦλθεν εἰς Μοσυνούπολιν. ἐνταῦθα δὲ καὶ πρέσβεις ἧκον ἐκ Πελαγονίας καὶ Μωροβίσδου καὶ Λιπενίου, παραδιδόντων τῷ βασιλεῖ τὰς πόλεις. ἐκεῖθεν ἄρας ἦλθεν ἐν Σέρραις, αἷς ἀφίκετο ὁ Κρακρᾶς μετὰ τῶν ἀρχόντων τῶν προσρυέντων τριακονταπέντε κάστρων, καὶ καλῶς ὑπεδέχθη. προσερρύη δὲ καὶ Δραγομοῦζος, τὰ ἐν τῇ Στρουμβίτζῃ παρεσχηκὼς καὶ πατρίκιος τιμηθείς, ἄγων μεθ' ἑαυτοῦ καὶ τὸν πατρίκιον Ἰωάννην τὸν Χάλδον, τότε τῆς χρονίας ἀπολυθέντα καθείρξεως. ἔτυχε γὰρ ἁλοὺς παρὰ τοῦ Σαμουὴλ καὶ ἐπὶ εἴκοσι καὶ δύο χρόνους ὢν ἐν τῇ φυλακῇ. ἄρτι δὲ τῇ Στρουμβίτζῃ προσήγγισεν ὁ βασιλεύς, καὶ ἧκεν ὁ ἀρχιεπίσκοπος Βουλγαρίας Δαβὶδ μετὰ γραμμάτων Μαρίας τῆς Ἰωάννου γυναικός, ὑπισχνουμένης ἐκστῆναι Βουλγαρίας, εἰ τεύξεται τῶν κατὰ σκοπόν. ὑπήντησε δὲ καὶ Βογδάνος ὁ τῶν ἐνδοτέρω κάστρων τοπάρχης,

56 mense Febr. a. 1018

cap. 41: Zon. III, 565, 12—566, 11; Glyc. 578, 14—578, 20

ACEVBO (a 76 ἄρτι — 18 αὐτὸν) MNU DH 54 δὲ om. E 55 συστάσης: στησάσης C 57—59 pro 57 πίπτει — 61 αὐτόν habet U 60 γενομένου: γεγονότος CE 61 ἐπ' CEVMNU: πρὸς A: om. B ε' M 62 τοῦ pr. om. U 63 Πηγονίτου VMN: Πηγωνίτου ACUD: Πηγωνιάτου E: Πηγονάτου H 65 ὁ om. N περίπτυστον U 66 λ' CE 67 εἰς B τὸν om. MDH τῶν om. N θρόνον: θῶκον B 68 Μοσυνούπολιν CVMND: Μοσυνόπολιν AEBUH ἐνταῦθα δέ: ἔνθα B ἧκον: ἦλθον B 69 Μωροβίσδου ACEVMN: Μοροβισδ' U: Βοροβίσδου B παραδιδόντες U 70 ἐν ante αἷς add. BMNUDH 72 Δραγομόζης U τῇ om. MNUDH Στρουμβίτζῃ CEVMN: Στρουμπίτζῃ BH: Στρουμπίτζᾳ D: Στρομβίτζῃ A: Στρουμίτζῃ U 74 Χάλδην B 74/75 ἁλοὺς — Σαμουήλ: παρὰ τοῦ Σ. ἁλοὺς A 75 κ' καὶ δύο C: κ' καὶ β' E χρόνοις AU 76 Στρουμβίτζῃ VOMN: Στρουμπίτζῃ BDH: Στρομβίτζῃ A: Στρουβίτζῃ CE: Στρουμίτζῃ U προσήγγισεν CEMNU: προσήγγιζεν AVBO 77 Δαβίδ: Ἰωάννης U γραμμάτων om. MN (sed non D) 78 ὑπισχνούμενος E τῆς ante Βουλγ. add. M 79 ἐνδοτέρω ACEN: ἐνδοτέρων BOMUDH κάστρων: τόπων O

καὶ τιμᾶται καὶ οὗτος πατρίκιος, ὡς καὶ πάλαι τὰ βασιλέως φρονῶν καὶ τὸν ἑαυτοῦ πενθερὸν ἀνελὼν Ματτθαΐτζην. ἐκεῖθεν ἄπεισιν εἰς τὰ Σκόπια,

ἔνθα συνήντησεν αὐτῷ καὶ ὁ νέος Νικολιτζᾶς, τὴν πρώτην καὶ μαχιμωτάτην σύνταξιν τοῦ Σαμουὴλ ἐπαγόμενος, καὶ ἐτιμήθη πρωτοσπαθάριος καὶ στρατηγός

καὶ στρατηγὸν αὐτοκράτορα λιπὼν ἐν τῇ πόλει | Δαβὶδ πατρίκιον τὸν Ἀριανίτην

κατεπάνω Βουλγαρίας προσονομάσας αὐτόν,

ὑπέστρεψε διὰ τῶν φρουρίων Στυπείου τε καὶ Προσάκου, μετὰ λιτῶν καὶ ὕμνων εὐφημούμενος καὶ τιμώμενος. αὖθις δὲ πάλιν πρὸς τὰ δεξιὰ νεανικῶς ἄπεισιν εἰς Ἀχρίδας, κἀκεῖσε στρατοπεδείαν ἐπήξατο, τοῦ λαοῦ παντὸς μετὰ παιάνων καὶ κρότων καὶ εὐφημιῶν προσυπαντῶντος αὐτῷ. πόλις δὲ ἡ Ἀχρὶς ἐπὶ λόφου κειμένη ὑψηλοῦ, ἔγγιστα λίμνης μεγίστης,

Λυχνιδοῦ (ΛυχινδὸνU) καλουμένης. ἀφ' ἧς καὶ ἡ πόλις Λυχνιδὸς ἐπικαλεῖται (καλεῖται B) ὁμωνύμως τῇ λίμνῃ, Δασσαρίτης (Δασαρίτης B, Δασσαρίτις O) ἔκπαλαι καλουμένη. ἀπὸ δὲ τῆς λίμνης ταύτης ἀγρεύεται ἰχθύων εὐχρήστων (ἀχρίστων E) πλῆθος (πλῆθος εὐχρήστων U) ἀμύθητον (ἀμύθ.] πολύ E) (ἀπὸ δε τῆς λίμνης – ἀμύθητον om. B)

ἐξ ἧς ποιεῖται τὰς ἐκβολὰς ὁ Δρῖνος ὁ ποταμὸς πρὸς ἄρκτον ἰών,

ἀπὸ μὲν τῶν νοτιωτέρων μερῶν τῶν πρὸς τὴν (τὴν] τὸν E, τὴν om. C) Διάβολιν ἐκρέων, διαιρῶν δὲ τὴν εἰρημένην λίμνην, οἷον (ὁ add. O) Ἀλφειὸς λέγεται τὸ πέλαγος διαιρεῖν (διαιρῶν U) καὶ πρὸς τὴν Ἀρέθουσαν ἀπιὼν καὶ κατὰ τὸ βόρειον μέρος ἰών. πρὸς δὲ (δὲ om. O) τὸ τέρμα τῆς λίμνης τὰς ἐγχωρίως λεγομένας Στρούγας (Στρούδας (CE, Στρούβας O) εὑρηκὼς καὶ ταύταις ἑνωθεὶς μέγιστός τε γίνεται ποταμῶν,

εἶτα νεύων πρὸς δύσιν καὶ εἰσβάλλων εἰς τὸν Ὅρινον περὶ τὸν Εἰλισσὸν τὸ φρούριον,

καλεῖται δὲ Λυχνιδὸς ἡ λίμνη, ἀφ' ἧς καὶ ἡ πόλις Λυχνιδὸς ἐπικαλεῖται ὁμωνύμως τῇ λίμνῃ, Δασαρίτις ἔκπαλαι καλουμένη. ἀπὸ δὲ τῆς λίμνης ταύτης ἀγρεύεται ἰχθύων εὐχρήστων πλῆθος ἀμύθητον

μητρόπολις οὖσα πάσης τῆς Βουλγαρίας, ἐν ᾗ καὶ τὰ βασίλεια τῶν

ACEVBOMNU DH **80** καὶ pr. om. B ὁ τοπάρχης post οὗτος add. E πάλαι τὰ βασιλέως: τὰ βασιλέως ἔκπαλαι U **81** Ματτθ. interpol. U **83/84** interpol. U **85** καὶ στρατηγὸν: στρατ. δὲ U αὐτοκράτορα: ὁ αὐτοκράτωρ B τὸν μάγιστρον ante Δαβὶδ add. A **86** Ἀριανίτην ACEVBD: Ἀρειανίτην OMNU **87** interpol. CV (man. rec.) OU **88** Στυπείου ACVOMN: Στυπίου EB: Στουπίου U Προσάπου A **89** δὲ ACEVBO: τε MNUDH πάλιν om. B πρός: εἰς CE **90** νεανικῶς ACEVO: νενευκὼς BMNUH Ἀχρίδα BU **91** προσυπαντῶντος ABOMNU: προσυπαντώντων CE: προσυπαντῶντες V **92** λόφου — ὑψηλοῦ: λόφων κειμ. ὑψηλῶν δύο U **94–2** interpol. CEBOU **3** ἐξ — ἰών: ἀφ' ἧς καὶ ὁ Δρῖνος ποταμὸς τὰς ἐκβολὰς πεποίηται U ὁ alt. om. ACEBUDH **4–8** interpol. ACEOU **9** τὸν Ὅρινον ACEVO: τὰ Ὀρινὰ B: τὸν Ἰόνιον MN: τὸ Ἰόνιον UDH περὶ: παρὰ U **10** τὸ om. M **11–13** interpol. A **14** μητρόπολις — Βουλγαρίας (τῆς πάσης MND: τῆς πάλαι H) CEVBOMNDH: αὕτη ἡ Ἀχρὶς μητρόπολίς ἐστι πάσης τῆς Βουλγαρίας A: μητρόπολις ἡ Ἀχρὶς ἁπάσης τῆς Βουλγαρίας U **14/15** καὶ — Βουλγαρίας om. B

βασιλέων ἵδρυντο Βουλγαρίας καὶ τὰ χρήματα ἀποτεθησαύριστο. ἅπερ ἀνοίξας ὁ βασιλεὺς εὗρε χρήματα πολλὰ καὶ στέμματα ἐκ μαργάρων καὶ χρυσοϋφεῖς ἐσθῆτας καὶ χρυσοῦ ἐπισήμου κεντηνάρια ἑκατόν, ἅτινα πάντα εἰς ῥόγας ἐκένωσε τῆς περὶ αὐτὸν στρατιᾶς. ἐπιστήσας οὖν ἄρχοντα τῇ πόλει Εὐστάθιον πατρίκιον τὸν Δαφνομήλην, καὶ φρουρὰν ἀξιόλογον αὐτῷ δούς, ἐξῆλθεν εἰς τὴν παρεμβολὴν καὶ ἀχθεῖσαν ὡς αὐτὸν ἐδέξατο τὴν γυναῖκα Ἰωάννου τοῦ καὶ Βλαδισθλάβου, σὺν τρισὶν υἱοῖς καὶ θυγατράσιν ἓξ ἐπαγομένην καὶ νοθογενῆ υἱὸν τοῦ Σαμουὴλ καὶ δύο θυγατέρας Ῥαδομηροῦ τοῦ υἱοῦ τοῦ Σαμουὴλ | καὶ πέντε υἱούς, ὧν ὁ εἷς πεπήρωτο τοὺς ὀφθαλμοὺς παρὰ τοῦ Ἰωάννου λωβηθείς, ὅτε τὸν Ῥαδομηρὸν τὸν υἱὸν Σαμουὴλ σὺν τῇ αὐτοῦ γυναικὶ καὶ Βλαδιμηρὸν τὸν τούτου γαμβρὸν ἀνεῖλεν. ἦσαν δὲ καὶ ἕτεροι τρεῖς υἱοὶ τῇ Μαρίᾳ ἀπὸ τοῦ Ἰωάννου τεχθέντες, ἀλλ' ἔφθασαν ἀποδρᾶσαι εἰς τὸ ὄρος τὸν Τμόρον, κορυφὴν ὑπάρχοντα τῶν Κεραυνίων ὀρῶν. ἣν ἠπίως καὶ φιλοφρόνως δεξάμενος φυλάττεσθαι προσέταξε μετὰ τῶν ἄλλων. προσῆλθον δὲ τῷ βασιλεῖ καὶ ἕτεροι μεγιστᾶνες τῶν Βουλγάρων, ὁ Νεστορίτζης, ὁ Λαζαρίτζης καὶ ὁ νέος Δοβρομηρός, μετὰ τῶν οἰκείων ἕκαστος ταγμάτων, καὶ ἐδέχθησαν εὐμενῶς καὶ βασιλικῶς ἐτιμήθησαν. τότε καὶ Προυσιάνος καὶ οἱ τούτου δύο ἀδελφοί, Ἀλουσιάνος καὶ Ἀαρών, οἱ τοῦ Βλαδισθλάβου παῖδες οἱ εἰς τὸν Τμόρον φυγόντες, ὡς ἔμπροσθεν εἴρηται, καὶ χρονίᾳ | κατασχεθέντες πολιορκίᾳ (στρατιῶται γὰρ προσταχθὲν ἐκ βασιλέως προσεδρεύοντες ἐτήρουν τὰς καθόδους τοῦ ὄρους) διακηρυκεύονται πρὸς τὸν βασιλέα πίστεις αἰτοῦντες καὶ ἑαυτοὺς ἐγχειρίσαι ἐπαγγελλόμενοι. καὶ πρὸς μὲν τούτους ὁ βασιλεὺς φιλανθρώπους ἔδωκεν ἀποκρίσεις, ἄρας δ' ἐξ Ἀχρίδος ἔρχεται εἰς τὴν λίμνην τὴν λεγομένην Πρέσπαν, ἐν τῷ διϊέναι τὸ μεταξὺ ὄρος φρούριον οἰκοδομήσας ἄνωθεν τούτου καὶ Βασιλίδα ἐπονομάσας, καὶ ἕτερον ἐν τῇ λεχθείσῃ λίμνῃ
τῇ βραχυτέρᾳ, ὃ καὶ αὐτὸ Κωνστάντιον ἐπωνόμασεν.

ACEVBO (usque 18 αὐτὸν) MNU DH
17 χρυσίου B ἐπισήμου om. MNUDH 15 ἵδρυνται E ἀποτεθησαύρισται U
19 Δαφνομήλην AEVB: Δαφνομίλην CMND: Δαφνομαλ' U: Δαφνομάλην H 18 ῥόγαν U 19 τῇ πόλει ἄρχοντα U
εἰς BU 21 καὶ om. BU Βλαδισθλάβου BMNU: Βαδισθλάβου CEV: Βοδισθλάβου A 20 ὡς:
22 ἐπαγομένην AMNU: ἐπαγομένων CEVB υἱόν: υἱῶν C 23 Ῥαδομηροῦ CEVMNU:
Ῥοδομηροῦ A: Ῥαβδομηροῦ B τοῦ — Σαμουὴλ ACEVBN: τοῦ υἱοῦ Σαμουὴλ U:
τοῦ υἱοῦ τοῦ υἱοῦ τοῦ Σαμουὴλ M 24 εἷς: πρῶτος U
om. AB λωβηθείς: πηρωθείς U πεπήρωται M τοῦ
26 υἱοὶ τρεῖς B τὸν om. B 25 τοῦ ante Σαμουὴλ add. B
31 Λαζαρίτζης ACEVB: Ἀζαρίτζης MNUH 27 Τμόρον CEVB: Τμῶρον AMND: Τμῶλον U: Ταύρον H
Βλαδομηρός B μετὰ — ταγμάτων: ἕκαστος μετὰ τῶν ἰδίων ταγμάτων A καὶ om. M Δοβρομηρός:
σιάνος ACEVMN: Πρεασιάνος U: Τρουσιάνος B 32 Πρου-
Ἀλ. — Ἀαρ. interpol. U Βλαδοσθλάβου B 33 δύο ἀδελφοί: ἀδελφοὶ οἱ δύο B
Τμόλον U: Ταῦρον VB: Ταύρον H 34 Τμόρον CE: Τμῶρον AMND:
κακωθέντες MNUDH φυγόντες: σφαγέντες V 35 κατασχεθέντες ACEVB:
36 τοῦ ante βασιλέως add. B προσταχθὲν ACEVN: προσταχθέντες BUDH: ταχθέντες M
40 δὲ post διϊέναι add. U διακηρυκεύοντες C 39 δὲ BMU τὴν pr. om. U
41 Βασιλειάδα U καὶ — λίμνῃ om. CE 42 interpol. U

ἐκ δὲ Πρέσπης ἄπεισιν εἰς τὴν λεγομένην Διάβολιν, ἐν ᾗ βήματος ἀρθέντος ὑψηλοῦ εἰσιόντας ἐδέξατο τοὺς περὶ τὸν Προυσιάνον ἀδελφούς, καὶ λόγοις ἐπιεικέσι καὶ φιλανθρώποις παραμυθησάμενος τοῦτον μὲν μάγιστρον, τοὺς δὲ λοιποὺς πατρικίους ἐτίμησεν. ἤχθη δὲ καὶ ὁ | Ἰβάτζης πεπηρωμένας ἔχων τὰς ὄψεις. ἀλλ' ἄξιον εἰπεῖν καὶ τὸν τρόπον τῆς ἐκτυφλώσεως. ἔχει γὰρ ἡδύ τι καὶ θαυμαστὸν ἡ διήγησις.

42. Μετὰ γὰρ τὸν τοῦ Βλαδισθλάβου τοῦ καὶ Ἰωάννου θάνατον καὶ τὴν τῆς γυναικὸς αὐτοῦ Μαρίας καὶ τῶν ταύτης παίδων προσχώρησιν
Πρεασιάνου, Ἀλουσιάνου, Ἀαρών, Τραϊανοῦ καὶ Ῥοδομηροῦ (καὶ Κλίμεν] add. E)
καὶ τὴν τῶν ἄλλων δυναστῶν ἁπάσης τῆς Βουλγαρίας ὑπακοὴν ὁ Ἰβάτζης οὗτος φυγὼν καὶ ἔν τινι δυσβάτῳ γενόμενος ὄρει (Βροχωτὸς κλῆσις αὐτῷ) βασίλειά τε ἔχοντι περικαλλῆ (Προνίσταν ταῦτα καλοῦσι) καὶ παραδείσους καὶ ἀπολαύσεις οὐκ ἀπρεπεῖς, ὑπεῖξαι τοῖς θελήμασιν οὐκ ἐβούλετο τοῦ θεοῦ, ἀλλὰ δύναμιν ἐκ τοῦ κατὰ μικρὸν συνεγείρων ἀνεστάτου τὰ παρακείμενα καὶ ἀποστασίαν ἐμελέτα καὶ τὴν Βουλγαρικὴν ὠνειροπόλει ἀρχήν. τοῦτο οὐ μικρῶς ἐλύπει τὸν βασιλέα, καὶ διὰ τοῦτο τοῦ κατ' εὐθεῖαν ἀφέμενος πορεύεσθαι ἀπέκλινε πρὸς μεσημβρίαν, καὶ κατὰ τὴν εἰρημένην ἐγένετο Διάβολιν, ὡς ἢ καταναγκάσων πάντως τὸν ἀποστάτην καταθεῖναι τὰ ὅπλα, ἢ πολέμῳ τοῦτον κατεργασόμενος. καὶ ὁ μὲν βασιλεὺς ἐν τῷ ῥηθέντι τόπῳ φιλοχωρῶν γράμμασιν ἐνουθέτει τὸν Ἰβάτζην, μὴ τῆς Βουλγαρίας ὑποταγείσης μόνον χεῖρας ἀνταίρειν αὐτόν, μηδὲ φαντάζεσθαι τὰ ἀτέλεστα, γινώσκοντα, ὡς οὐκ εἰς ὄνησιν αὐτῷ τὸ ἐγχείρημα τελευτήσει. ὁ δὲ τὰ γράμματα δεχόμενος καὶ ἑτέροις ἀμειβόμενος, καὶ παντοίας προτιθεὶς ἀφορμάς, παρεῖλκε καὶ ἀνεδύετο, ὡς ἀναγκασθῆναι τὸν βασιλέα ἐπὶ πέντε καὶ πεντήκοντα ἡμέρας ἐνδιατρῖψαι τῷ τόπῳ, ταῖς ὑποσχέσεσι δελεαζόμενον. ἐγνώσθη

63 ante diem 15. mens. Aug. a. 1018

ACEVBMNU DH **43** τῆς ante Πρέσπης add. BU Δεάβολην B ἥτις Σελάσφορος ἐπίκληται post Διάβ. add. U **44** Περασίανον U **46** ὁ om. U **47** καὶ om. U **48** γὰρ om. B **49** τοῦ pr. om. U Βλαδισθλάβου CMNU: Βλαδοσθλάβου B: Βαδισθλάβου EV: Βοδισθλάβου A τοῦ alt. om. B τοῦ καί: καὶ τοῦ E **50** τὴν om. AH (sed non D) **51** interpol. U et i. m. E **52** τὴν om. BU τῆς om. A ὁ om. U **53** δυσβάτῳ post ὄρει U Βροχοτὸς BU **54** ἔχοντα U ἡ δὲ (οἱ δὲ MUD) ante Προν. add. MNUDH Προνίσταν: Κοπρινίστραν U **55** ἀπρεπεῖς: ἀτερπεῖς AB θελήμασιν: βουλήμασιν CE **56** ἠβούλετο CEVB συνεγείρων CEVD: συναγείρων ABMNUH **58** καὶ om. B **58/59** καὶ διὰ τοῦτο: διὸ καὶ A **59** τοῦ om. B τοῦ: οὐ U **60** Διάβολιν ἐγένετο A Δεάβολην B ὡς post πάντως add. B **61** καταθέσθαι B κατεργασόμενος AB: κατεργασάμενος CEVMNUDH **63** πάσης post Βουλγαρίας add. CE **63/64** μόνον—ἀνταίρειν CEVBDH: χεῖρας αἴρειν μόνον A: μόνον ἀνταίρειν χεῖρας MNU **65** τελευτήσει: τελέσει E **66** ἀφορμὰς προτιθεὶς A **67** πέντε καὶ ν' C

τὰ τοῦ πράγματος τῷ | τῆς Ἀχρίδος ἄρχοντι Εὐσταθίῳ τῷ Δαφνομήλῃ, ὅτι μέλει τῷ βασιλεῖ ἡ τοῦ Ἰβάτζη καθαίρεσις. καὶ δῆτα καιρὸν ἐπιτήδειον εὑρηκώς, καὶ δυσὶ θεράπουσι τῶν πιστικωτάτων κοινολογησάμενος καὶ τὸ βούλευμα φανερώσας, ἐγχειρεῖ τῇ πράξει. δημοτελὴς ἤγετο ἑορτὴ τῷ Ἰβάτζῃ, ἡ κοίμησις τῆς πανάγνου καὶ θεομήτορος. κατὰ ταύτην τὴν ἡμέραν εἰώθει συγκαλεῖν εἰς εὐωχίαν οὐ τοὺς ἀγρογείτονας μόνον καὶ ἀγχιτέρμονας, ἀλλὰ καὶ τῶν ὡς πορρωτάτω πολλούς. ἄπεισι γοῦν ὁ Εὐστάθιος αὐτόκλητος εἰς τὴν ἑορτήν, καὶ τοῖς φυλάττουσιν ἐντυχὼν τὰς διόδους ἀπαγγέλλειν ἐκέλευεν, ὅστις εἴη, καὶ ὅτι πάρεστι τῷ ἄρχοντι συνευφρανθησόμενος. ἀπαγγειλάντων δὲ τούτων, ἐν θαύματι ὁ Ἰβάτζης ἐτίθει, εἰ δυσμενὴς ἄνθρωπος αὐθαίρετος ἥκει καὶ χερσὶν ἑαυτὸν ἐκδίδωσι πολεμίαις. ὅμως ἀφικέσθαι κελεύει, καὶ ἐλθόντα ἐδέξατό τε περιχαρῶς καὶ ἠσπάσατο. ἄρτι δὲ τελεσθέντος τοῦ ἑωθινοῦ ὕμνου, καὶ πάντων τῶν συνειλεγμένων εἰς τὰς ἰδίας διασκεδασθέντων καταγωγάς, ὁ Εὐστάθιος πρόσεισι τῷ Ἰβάτζῃ καὶ ἀξιοῖ τοὺς ἄλλους πρὸς μικρὸν ἐκστῆναι ὡς τάχα μέλλων αὐτὸς διαλέξασθαι κατ' ἰδίαν περί τινος ἀναγκαιοτάτου καὶ λυσιτελοῦντος αὐτῷ. ὁ δὲ τὸν δόλον καὶ τὴν ἀπάτην μὴ κατανοήσας, ἀλλὰ τῷ ὄντι ὑπολαβών, ὡς βούλεται καὶ αὐτὸς εἷς γενέσθαι τῶν συνιστώντων αὐτῷ τὴν ἀποστασίαν, τοὺς θεράποντας μικρὸν ἀποστῆναι κελεύσας, τῆς χειρὸς ἐκείνου λαβόμενος ἔν τινι παραδείσῳ εἰσάγει συνηρεφεῖ δένδροις καὶ κοιλότητα ἔχοντι, ὡς μηδὲ φωνὴν ἐξηχεῖσθαι δύνασθαι διὰ τὴν συνδενδρίαν. οὗ ἐντὸς γενόμενος ὁ | Εὐστάθιος καὶ μεμονωμένου λαβόμενος τοῦ Ἰβάτζη, εἰς γῆν τε αὐτὸν εὐθὺς καταβάλλει καὶ τὸ γόνυ προσερείσας τῷ στήθει (ἦν γὰρ κατὰ χεῖρα γενναῖος) τοῦτον κατῆγχε, καὶ τοῖς δυσὶν ὑπηρέταις ἐνεκελεύετο βοηθεῖν τὴν ταχίστην. οἱ δέ, καθάπερ συντεθειμένον ἦν, ἱστάμενοι καὶ καραδοκοῦντες τὸ μέλλον, ὡς ἤκουσαν τῆς φωνῆς τοῦ κυρίου, ἔδραμόν τε εὐθέως καὶ τὸν Ἰβάτζην περισχόντες καὶ τῷ χιτῶνι ἀποφράξαντες αὐτοῦ τὸ στόμα, ὡς μὴ βοήσας περιστήσῃ πλῆθος αὐτοῖς καὶ ἄπρακτον ἀποτελέσῃ τὸ ἔργον, ἀποτυφλοῦσι, τυφλωθέντα δὲ ἐκβάλλουσι τοῦ παραδείσου εἰς τὴν αὐλήν. αὐτοὶ δὲ εἴς

ACEVBMNU DH 69 πράγματος: γράμματος E Δαφνομήλῃ AEVB: Δαφνομίλῃ CMND: Δαφνομάλλῃ U 70/71 εὑρηκὼς ἐπιτήδειον M 71 θεράπουσι: θεραπόντων, post πιστικ. A πιστοτάτων U 73 πανάγνου CEVBMN: ὑπεράγνου A: παναχράντου U 74 εἰς εὐωχίαν om. A οὐ om. M 75 πορροτέρω A γοῦν: οὖν U 76/77 καὶ — εἴη: καὶ τοῖς τὰς δρόμους φυλάττουσιν ἐντυχὼν ἀπαγγέλλειν, ὅστις εἴη, ἐκέλευε A 77 ἐκέλευσεν EU 78/79 ὁ — ἐτίθει: ἐποιεῖτο ὁ Ἰβ. U 79 ἑαυτὸν ἐκδίδωσι ACEVB: ἐκδίδωσιν ἑαυτὸν MNUDH 80 εἰσελθόντα U τε om. BMU 81 τῶν om. M 82 διασκεδασθέντων ACEVB: σκεδασθέντων MNUDH ὁ om. BU 84 διαλέξασθαι CEVM: διαλέξεσθαι ABNUDH κατ' ἰδίαν om. A ἀναγκαίου A 87 τὴν om. MNDH ἀποστασίας D 88/89 δένδροις συνηρεφεῖ A 89 κοιλότητας U 91 τοῦ Ἰβ. λαβόμενος A τε om. BU εὐθὺς αὐτὸν B 92 κατῆγχε: κατεῖχε BU 93 τοῖς: ταῖς B 2 αὐτοῖς: αὐτῷ U ἀποτελέσειε A 3 τυφλωθέντος B ἐκβάλλουσι — αὐλήν om. B ἐς CE 3/4 αὐτοὶ — οἴκημα: αὐτοὶ εἴς τι οἴκημα ὑπερῷον B

τι ὑπερῷον οἴκημα ὑψηλὸν ἀναδραμόντες καὶ τὰ ξίφη ἑλκύσαντες ἐξεδέχοντο τοὺς μέλλοντας προσιέναι. γνωσθέντος δὲ τοῦ δράματος συνέρρει πλῆθος ἀμύθητον. οἱ μὲν γὰρ ξίφη κατέχοντες ἐν χερσίν, οἱ δὲ δόρατα, οἱ δὲ τόξα, οἱ δὲ λίθους, οἱ δὲ ξύλα, οἱ δὲ δαλοὺς καιομένους, ἄλλοι δὲ ὕλην εὔπρηστον, ἔθεον βοηδρομοῦντες καὶ κεκραγότες· 'σφαττέσθωσαν, καιέσθωσαν, μεληδὸν κατατεμνέσθωσαν, λίθοις καταχωννύσθωσαν οἱ παλαμναῖοι καὶ ἀλιτήριοι· μή τις φειδὼ γενέσθω τῶν ἀλαστόρων.' συνδρομὴν δὲ θεασάμενος ὁ Εὐστάθιος καὶ τῆς ἑαυτοῦ ἀπεγνωκὼς σωτηρίας παρεκάλει τέως τοὺς ἀμφ' αὐτὸν ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ μὴ μαλακισθῆναι, μηδ' ἑαυτοὺς προδοῦναι καὶ εἰς ἐξουσίαν πεσεῖν τῶν ἐπιζητούντων τὴν αὐτῶν ἀπώλειαν καὶ παρ' ἐκείνων τὴν σωτηρίαν ἐκδέχεσθαι, ἢ θάνατον οἰκτρὸν καὶ ἐπώδυνον. πρὸς δὲ τὸ πλῆθος ἀπό τινος θυρίδος προκύψας καὶ τῇ χειρὶ κατασιγάσας τὸν ὄχλον τοιῶνδε λόγων | ἀπήρξατο· 'ὅτι μέν, ὦ ἄνδρες οἱ συνειλεγμένοι, οὐδεμία τις προαπέκειτό μοι ἀπέχθεια πρὸς τὸν ὑμέτερον δυνάστην, καὶ ὑμεῖς αὐτοὶ πάντως ἐρεῖτε, ὡς Βούλγαρος μὲν αὐτός, Ῥωμαῖος δ' ἐγώ, καὶ Ῥωμαῖος οὐ τῶν ἐπὶ Θρᾴκης καὶ Μακεδονίας οἰκούντων, ἀλλ' ἐκ τῆς Μικρᾶς Ἀσίας, ἥτις ὅσον ἀπέχει ὑμῶν, ἴσασιν οἱ γινώσκοντες. ὅτι δὲ καὶ αὐτὸς τῷ τοιούτῳ ἐπεχείρησα ἔργῳ οὐκ εἰκῇ καὶ μάτην, ἀλλά τίς με κατήπειξεν ἀνάγκη, λογιεῖσθε οἱ φρονιμώτεροι. οὐ γὰρ ἂν οὕτω μανιωδῶς εἰς προὖπτον ἐμαυτὸν ἐνέρριψα κίνδυνον καὶ τῆς ἐμαυτοῦ ζωῆς κατεφρόνησα, εἰ μή τις ἦν ἄλλη αἰτία ἡ βιασαμένη με πρὸς τὴν πρᾶξιν ἐλθεῖν. ἴστε οὖν, ὡς τὸ γενόμενον ἔργον πρόσταγμα βασιλέως ἐστίν, ᾧ πειθαρχῶν ἐγὼ ὡς ὄργανον διηκόνησα. καὶ νῦν, εἰ βούλεσθέ με διαχειρίσασθαι, ἰδοὺ ὑφ' ὑμῶν ἐγὼ περιειλημμένος. πλὴν οὐκ εὐκόλως, οὐδὲ ῥᾳδίως ἀποθανοῦμαι, οὐδὲ καταθεὶς τὰ ὅπλα ἐμαυτὸν παραδώσω ὑμῖν ὡς βούλεσθε χρήσασθαι, ἀλλ' ἀγωνιοῦμαι περὶ τῆς οἰκείας ζωῆς καὶ μέχρι θανάτου ἀμυνοῦμαι τοὺς ἐπιόντας ἅμα τοῖς σὺν ἐμοί. εἰ δὲ καὶ θανούμεθα, ὅπερ ἀνάγκη παθεῖν τοὺς ὑπὸ πλειόνων περιστοιχηθέντας, εὐδαίμονα καὶ μακάριον

ACEVBMNU DH 4 ὑψηλὸν ACEVBUD: om. MN 6 γὰρ om. U ἐν ACEVBUD: ταῖς MN 7/8 οἱ δὲ ξύλα — εὔπρηστον: ἄλλοι δὲ ξύλα, ἕτεροι καιομένους δαυλούς, οἱ δ' ἄλλοι εὔπρηστον B 7 τόξα καὶ dittogr. ante ξύλα add. A δαλοὺς ACEMNU: δαυλοὺς VB 8 ὕλην om. B 9 καιέσθωσαν om. B 10 καὶ: οἱ B ἀχαρίστων καὶ ante ἀλαστόρων add. U 11 δὲ om. E 11/12 τῆς … σωτηρίας: τὴν … σωτηρίαν AB 12/13 καὶ μὴ: μηδὲ B 13 μηδ' CEVNU: μηδὲ BMD: καὶ A ἐμπεσεῖν M 15 οἰκτρὸν καὶ ἐπώδυνον: καὶ ἀπώλειαν M 16 προκύψας ACEVBUD: παρακύψας MN κατασιγήσας B 17 οἱ om. A 18 ἡμέτερον A 19 ἀκριβῶς εἰδότες post ἐρεῖτε add. MNUDH ὡς om. B γὰρ ante αὐτός add. A Ῥωμαῖος — Ῥωμαῖος: ἐγὼ δὲ Ῥωμαῖος B 20 τῶν: τὰ B Μικρᾶς BMNU: Μακρᾶς ACEV 21 τῷ ACEVBUD: om. MN 23 ἔργῳ ἐπεχείρησα CE κατήπειγεν U 24 οὐ: οὐδὲ B ἐμαυτὸν: ἑαυτὸν B ἐνέρριψα ACEVNU: ἀπέρριψα M: ἔρριψα B 27 διαχειρίσεσθαι A 28 ἐγὼ post 27 ἰδοὺ M 29 χρήσασθαι CEVB: χρήσεσθαι A: χρῆσθαι MNU: χρῆσθε D: χρᾶσθαι H 30 ἀλλὰ A ' ἀγωνιοῦμαι post οἰκείας A 31 θανοῦμαι U 32 ὑπό: ὑπὲρ U περιστοιχισθέντες B

τὸν θάνατον λογιζόμεθα, ἔχοντες καὶ τὸν μέλλοντα τὸ ἡμέτερον ἐκζητῆσαι καὶ ἐκδικῆσαι αἷμα, πρὸς ὃν βουλεύσασθε, εἰ δυνατὸν ἄχρι πολλοῦ ἀνθίστασθαι.' τούτων ἀκούσαντες οἱ συνειλεγμένοι τῶν λόγων, καὶ τῷ ἐκ βασιλέως δέει καταπλαγέντες, κατὰ μικρὸν ὑπορρέοντες ἄλλος ἀλλαχῇ διεσκεδάσθησαν, οἱ γη|ραιότεροι δὲ καὶ φρονιμώτεροι καὶ τὸν βασιλέα εὐφημήσαντες ὑπετάγησαν. ὁ δ' Εὐστάθιος κατὰ πολλὴν ἄδειαν τὸν Ἰβάτζην εἰληφὼς τῷ βασιλεῖ διεκόμισεν. ὃν οὗτος ἀποδεξάμενος τῆς ἀνδραγαθίας στρατηγόν τε εὐθὺς προὐβάλλετο Δυρραχίου καὶ τὴν ἅπασαν κινητὴν ὕπαρξιν ἐδωρήσατο τοῦ Ἰβάτζη. τοῦτον δὲ παρέδωκε φυλακῇ.

43. Τότε καὶ Νικολιτζᾶς, ὁ πολλάκις ληφθεὶς καὶ πολλάκις ἀφεθείς, ἔν τισιν ὄρεσι κρυπτόμενος, ὡς ἐπέμφθη δύναμις κατ' αὐτοῦ καὶ τῶν οἱ συνόντων οἱ μὲν προσεχώρησαν ἐθελοντί, οἱ δὲ καὶ ἡλίσκοντο, αὐτόμολος κάτεισιν εἰς τὸ στρατόπεδον καὶ τῇ χειρὶ κρούσας τὴν θύραν προσήγγειλεν ἑαυτόν, ὅστις εἴη, καὶ ὅτι παραδίδωσιν ἑκουσίως τὸ σῶμα τῷ βασιλεῖ. ἀλλὰ τοῦτον μὲν ὁ βασιλεὺς οὐδὲ ἰδεῖν ἠνέσχετο, ἀλλ' εἰς Θεσσαλονίκην ἐξέπεμψε φρουρεῖσθαι κελεύσας. αὐτὸς δὲ τὰ τοῦ Δυρραχίου καὶ Κολωνείας καὶ Δρυϊνουπόλεως, ὥς πῃ ἐδόκει αὐτῷ βέλτιστα, καταστησάμενος, καὶ φύλακας τοῖς θέμασι καὶ στρατηγοὺς ἐπιστήσας, καὶ τῶν αἰχμαλώτων Ῥωμαίων τοὺς βουλομένους κατὰ χώραν μένειν κελεύσας, τοὺς δὲ λοιποὺς ἕπεσθαι προστάξας,

καὶ τῶν ἁλόντων ποτὲ στρατιωτῶν· ἦσαν γὰρ πολλοὶ ἔκ τε Ῥωμαίων καὶ Ἀρμενίων ἔν τε Πελαγονίᾳ καὶ Πρέσπᾳ καὶ τῇ Ἀχρίδι ὑπὸ Σαμουὴλ κατῳκισάμενοι, ὧν ἐπισημότατοι οἱ Βασιλείου τοῦ Ἀποκαπ' παῖδες Γρηγορᾶς καὶ (sequ. lac. unius vocis)

ἦλθεν εἰς Καστορίαν. ἔνθα προσήχθησαν αὐτῷ θυγατέρες δύο τοῦ Σαμουήλ, αἵτινες θεασάμεναι

θεασάμεναι — διαχειρισόμεναι] πυθόμεναι τὴν τιμήν, ἣν τετίμηται Μαρία ἡ τοῦ Βλαδισθλάβου σύζυγος, ἠπείλησαν αὐτὴν διαχειρίσασθαι

cap. 43: Zon. III, 566, 11—567, 9; Glyc. 578, 20—579, 9

ACEVBMNU DH **33** καὶ om. B καὶ post μέλλοντα add. AV **33/34** ἐκζητῆσαι καὶ om. B **35** συνειλεγμένοι ACEVB: συνηθροισμένοι NUDH: συναθροισμένοι M τῶν λόγων post τούτων A **36** ἀλλαχοῦ B **37** αὐτῶν post δὲ add. CE **38** δὲ BMUD **39/40** τῆς ἀνδραγαθίας ἀποδεξάμενος A **40** προὐβάλλεται U **41** αὐτῷ post ὕπαρξιν add. B ἐδωρήσατο: ἐχαρίσατο U ἐδωρήσατο — Ἰβάτζη: ἐδωρήσατο τῷ Εὐσταθίῳ τὴν τῷ Ἰβάτζῃ προσοῦσαν A **43** Νικουλιτζᾶς B πολλάκις alt. ACEVB: τοσαυτάκις MNUDH **45** συνόντων ACEVUD: συνόντες MN: συντεινόντων B ἐθελοντί CEVBUD: ἐθελονταί AMN **46** κάτεισιν ACEVB: κάτεισι νυκτὸς MNUDH προσήγγελλεν V **47** ἀκουσίως V **48/49** ἀλλ' — ἐξέπεμψε: εἰς Θεσσ. δὲ ἐκπέμψας B **49** κελεύσας: ἐκέλευσεν B **49** τά: τὸν U **50** ὥς πῃ: ὥσπερ B βέλτιστα CVMND: βέλτιστον ABU: βέλτιον E **52** κελεύσας: ἐάσας CE **54—56** interpol. U **59/60** interpol. U pro **58—63**

τὴν Ἰωάννου γυναῖκα παρισταμένην τῷ βασιλεῖ ὥρμησαν κατ' αὐτῆς ὡς διαχειρισόμεναι Μαρίαν. ἀλλὰ ταύταις μὲν ὁ βασιλεὺς τὸν θυμὸν κατεκοίμισεν, ὑποσχόμενος τιμῆσαι καὶ ὑπερπλουτίσαι αὐτάς, τὴν δὲ Μαρίαν τῷ τῆς ζωστῆς πατρικίου ἀξιώματι τιμήσας εἰς τὴν βασιλίδα μετὰ τῶν υἱῶν ἐκπέμπει. |

καὶ τῶν συγγενῶν ἁπάντων σὺν τῷ τοῦ Σαμουὴλ νοθογενεῖ βραχυτάτῳ.

καθαιρεῖ δὲ καὶ τὰ ἐν Σερβίοις καὶ τῷ Σωσκῷ φρούρια πάντα διὰ τοῦ Ξιφίου καὶ εἰς ἔδαφος καταστρέφει. καὶ εἰς τὸ φρούριον Σταγοὺς ἔρχεται, ἔνθα κατέλαβεν ὁ τῶν Βελεγράδων ἄρχων μετὰ δουλικοῦ τοῦ σχήματος Ἐλεμάγος

ἄρχων – Ἐλεμάγος] ἄρχων Ἐλίναγος ὁ Φραντζῆς μετὰ δουλικοῦ τοῦ σχήματος

μετὰ τῶν συναρχόντων αὐτοῦ.

τὰ δὲ Βελάγραδα φρούριον δύσβατον καὶ τοῖς ἐχθροῖς ἀνεπίβατον. πρὸς μεσημβρίαν γὰρ κρημνοῖς στεφανοῦται, ἐν οἷς καὶ ποταμὸς ῥεῖ· Ἀσῶνα κλῆσις αὐτῷ. καὶ μία εἴσοδός ἐστι τῷ φρουρίῳ. ἀλλὰ δὴ καὶ τῆς Ῥάκοβας ὁ κρατῶν εἰς τὸν βασιλέα κατέλαβεν.

ἐκεῖθεν ἄρας ἄπεισιν εἰς Ἀθήνας. ἐν δὲ τῷ διϊέναι τὸ Ζητούνιον τὰ ὀστᾶ τῶν πεσόντων ἐκεῖσε Βουλγάρων, ὁπηνίκα ὁ μάγιστρος Νικηφόρος ὁ Οὐρανὸς τὸν Σαμουὴλ ἐτρέψατο, θεασάμενος ἐθαύμασεν. ὑπερηγάσθη δὲ καὶ τὸ ἐν Θερμοπύλαις γενόμενον τεῖχος, ὃ Σκέλος ἄρτι κατονομάζεται, εἰς ἀποτροπὴν τῶν Βουλγάρων παρὰ τοῦ Ῥουπενίου. ἐν Ἀθήναις δὲ γενόμενος, καὶ τῇ θεοτόκῳ τὰ τῆς νίκης εὐχαριστήρια δοὺς καὶ ἀναθήμασι λαμπροῖς καὶ πολυτελέσι κοσμήσας τὸν ναόν, ὑπέστρεψεν εἰς Κωνσταντινούπολιν.

ἐν Θεσσαλονίκῃ δὲ διαγνωσθείσης τῶν δυοῖν ἀρχόντων καὶ πατρικίων Ἑλινάγου καὶ Γαβρᾶ τῆς ἐπιβουλῆς, ὡς δὴ τὸ Βουλγαρικὸν ἀναδεξαμένων καὶ αὖθις κράτος, ὁ μὲν Γαβρᾶς ἤδη ἀποδρὰς εἰς τὴν ἰδίαν χώραν καὶ ἁλοὺς πηροῦται τοὺς ὀφθαλμούς, ὁ δὲ Ἑλινάγος ἐτασθεὶς καὶ πρὸς πᾶν ἔξαρνος μείνας εἰς τὴν ἰδίαν ἀπεκατέστη τιμήν. εἰσιὼν δὲ εἰς Κωνσταντινούπολιν

καὶ διὰ τῶν μεγάλων πυλῶν τῆς Χρυσῆς πόρτης χρυσῷ στεφάνῳ λόφον

ACEVBMNU DH 62 Μαρίαν interpol. MNH (sed non D) ὁ βασιλεὺς τὸν θυμὸν ACEVBUD: τὸν θυμὸν ὁ βασιλεὺς MN 63 κατεκοίμισεν AEVN: κατεκοίμησεν CBMD: καταπράϋνεν U 64 καὶ ante πατρικίου add. B πατρικίου CEVB: πατρικίας AMNDH: om. U 66 interpol. U 67 Σοσκῷ BU πάντα om. B 68 Ξιφείου U Σταγοὺς ACEVBMND: Σταγοῦς UH 69 Βελεγράδων AVMN: Βελαγράδων CEBD: Βελογράδων H: Βεαλαγράδων U 70 Ἐλεμάγος ACVMN: Ἐλέμαγος D: Ἐλεμάτος E: Ἐλεμάττε B: Ἐλίναγος U 71 habet U pro 69 ἄρχων – 70 Ἐλ. 72 αὐτοῦ: αὐτῷ A 73—75 interpol. B 76 ἄρας: δὲ ἄρας ὁ βασιλεὺς B Ζιτούνιον A 77 τῶν ἐκεῖσε πεσόντων M 77/78 ὁ Οὐρανὸς om. MNDH 78 ὑπερεθαύμασεν B 79 γινόμενον M 80 Σουπενίου U 81 γενόμενος – δοὺς ACEVB: γενόμενος καὶ τὰ τῆς νίκης εὐχαρ. (χαριστήρια H) τῇ θεοτόκῳ δοὺς MNUDH: γενόμενος καὶ τὰ τῆς νίκης εὐχαριστήρια τῇ θεοτόκῳ ἀποδοὺς Glyc. 578, 21 82 πολλοῖς καὶ ante λαμπροῖς add. UD, πολλοῖς add. MNH Glyc. 578, 22 κατακοσμήσας B εἰς Κωνσταντινούπολιν: ἐν Κωνσταντινουπόλει B 84—88 interpol. U 89 καὶ om. U πυλῶν post πόρτης U

ἐφύπερθεν ἔχοντι ἐθριάμβευσεν ἐστεφανωμένος, προηγουμένης Μαρίας τῆς τοῦ Βλαδισθλάβου γυναικὸς καὶ τῶν τοῦ Σαμουὴλ θυγατέρων.

καὶ τῶν λοιπῶν Βουλγάρων καὶ τοῦ ἀρχιερέως Βουλγάρων.

ἰνδικτιὼν ἦν δευτέρα, ἔτος ἑξακισχιλιοστὸν πεντακοσιοστὸν εἰκοστὸν ἕβδομον. καὶ οὕτω μετὰ τροπαίων καὶ νίκης ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ εἰσελθὼν καὶ τῷ θεῷ εὐχαριστηρίους ᾄσας ᾠδὰς ἀπῆλθεν εἰς τὰ βασίλεια. ὃν ὁ πατριάρχης Σέργιος μετὰ νίκης εἰσελθόντα πολλὰ κατελιπάρει σβέσαι τὸ ἀλληλέγγυον (ἦν γὰρ ὑποσχόμενος ποιῆσαι τοῦτο, εἰ τῶν Βουλγάρων ὑπερισχύσειεν), ἀλλ' οὐκ ἔπεισεν. ὃς ἐπὶ εἴκοσιν ὅλους ἐνιαυτοὺς τὴν τοῦ θεοῦ ποιμάνας ἐκκλησίαν Ἰουλίῳ μηνί, ἰνδικτιῶνος δευτέρας, ἐν ἔτει τῷ | ἑξακισχιλιοστῷ πεντακοσιοστῷ εἰκοστῷ ἑβδόμῳ, πρὸς κύριον ἐξεδήμησε. καὶ προεβλήθη πατριάρχης Εὐστάθιος, πρῶτος ὢν τῶν πρεσβυτέρων τοῦ ἐν τῷ παλατίῳ ναοῦ.

ὁ δὲ βασιλεὺς ἐκύρωσε καὶ αὖθις τὴν ἐπισκοπὴν (ἀρχιεπισκοπὴν E) Βουλγαρίας αὐτοκέφαλον, καθὰ καὶ παλ' (πάλιν E) ἐπὶ τοῦ γέροντος Ῥωμανοῦ, πληροφορηθεὶς ἀπὸ τῶν διατάξεων Ἰουστινιανοῦ τοῦ βασιλέως αὐτὴν εἶναι τὴν πρώτην Ἰουστινιανήν, ἣν ἐκεῖνος πατρίδα ἑαυτοῦ φησιν (ἔφησεν E), ἔχουσαν τηνικαῦτα ἐπίσκοπον Καστελλίωνα.

44. Τῷ δὲ βασιλεῖ προσερρύησαν, τῆς Βουλγαρίας δουλωθείσης αὐτῷ, καὶ τὰ ὅμορα ἔθνη τῶν Χορβάτων, ἄρχοντας ἔχοντα δύο ἀδελφούς, ὧν προσρυέντων καὶ ἀξιώματα λαβόντων ὑπήκοα γέγονε καὶ τὰ ἔθνη. μόνος δὲ ὁ τοῦ Σιρμίου κρατῶν ἀδελφὸς τοῦ Νεστόγγου Σέρμων πιθῆσαι οὐκ ἠθέλησε. πρὸς ὃν Κωνσταντῖνος ὁ Διογένης, τῶν ἐκεῖσε μερῶν ἄρχων, φιλίαν ὑποκρινόμενος πρεσβευτὴν ἐκπέμπει, δηλῶν μεθ' ὅρκων ἐπιθυμίαν ἔχειν ἑνωθῆναι αὐτῷ καὶ περὶ ἀναγκαίων κοινολογήσασθαι. εἰ δέ τις αὐτὸν ὑποτρέχει φόβος, τρεῖς ὑπηρέτας εἰληφέναι μόνους, καὶ κατὰ τὸ μέσον τοῦ παραρρέοντος μεταξὺ ποταμοῦ συμμῖξαι αὐτῷ

93 a. 1019 **5** a. 1019

cap. 44: Zon. III, 567, 10—567, 12

ACEVBMNU DH **90** ὕπερθεν U ἐστεφανωμένος om. U Μαρίας AVBMNUD: om. CEH **91** Βλαδισθλάβου CEVMNU: Βλαδοσθλάβου B: Βοδισθλάβου A τοῦ alt. om. U καὶ τῶν λοιπῶν Βουλγάρων post θυγατέρων add. MN **92** interpol. U **93** ἰνδικτιὼν — δευτέρα: ἰνδικτιῶνι δὲ ἦν β' E β' CE ἔτους U **93/94** ,ςφκζ' ACEMNU: ,ςφιζ' B **94** οὕτως CE τῶν ante τροπαίων add. E καὶ νίκης om. E **1** κατελιπάρησε BU **2** τοῦτο ποιῆσαι U **3** περιϊσχύσειεν A ἐπὶ ὅλους κ' ἐν. E ὅλοις ἐνιαυτοῖς A **4** Ἰουλίῳ μηνὶ V: Ἰουλίου μηνός M: Ἰουλ' μη' CEBNU β' ACEBNU **5** τῷ om. E ,ςφκζ' ACEBMNU **7** τῷ παλατίῳ ACEVB: τοῖς βασιλείοις MNUDH **8—11** interpol. U et i. m. E **13** αὐτῷ om. U Χορβάτων ACEVMN: Χορβατῶν B: Χροβάτων U ἀδελφούς om. U **14** καὶ κτήσεις ἱκανὰς post λαβόντων add. MNUDH **15** Σιρμίου ACEVN: Σιρμείου U: Συρμίου B: Σερμίου M: Σειρμίου D Νεστόπου B Σέρβων BU **16** πεισθῆσαι E ἠθέλησε ACEVBD: ἤθελε MNU ὁ ante Κωνστ. add. M ἐκεῖσε: ἐκείνου E **18** κοινολογήσεσθαι A **20** τὸ om. U μεταξὺ om. MNUDH καὶ ante συμμῖξαι add. E

μετὰ τριῶν ὑπηρετῶν ὁμοίως ἀφίξεσθαι μέλλοντι. πεισθεὶς οὖν ἐκεῖνος ἔρχεται πρὸς τὸν ποταμὸν καὶ τῷ Διογένει ἑνοῦται. ἐν ᾧ δὲ ἔμελλον διαλέγεσθαι, ὁ Διογένης ἐγκόλπιον φέρων μάχαιραν καὶ ταύτην αἰφνιδίως ἑλκύσας παίει τοῦτον κατὰ τῆς πλευρᾶς καὶ εὐθὺς ἀναιρεῖ. τῶν δὲ μετ' αὐτοῦ φυγῇ χρησαμένων, τοὺς πλησιάζοντας συναθροίσας ὁ Διογένης στρατοὺς μετὰ χειρὸς ἱκανῆς ἔρχεται πρὸς τὸ Σίρμιον, καὶ τὴν γυναῖκα τοῦ τεθνεῶτος καταπληξάμενος καὶ ὑποσχέσεσι μεγάλαις καταμαλάξας ἔπεισε προσχωρῆσαι καὶ τὸ Σίρμιον παραδοῦναι τῷ βασιλεῖ. ἥτις καὶ εἰς τὸ Βυζάντιον ἀνεπέμφθη, καὶ ἀνδρὶ συνεζεύχθη ἑνὶ τῶν ἐν τῇ βασιλίδι μεγιστάνων, καὶ ὁ Διογένης ἄρχειν ἐτάχθη τῆς νεοκτήτου χώρας. |

45. Ἀνεκαίνισε δὲ ὁ βασιλεὺς καὶ τὸν ἀγωγὸν Οὐαλεντινιανοῦ τοῦ βασιλέως, ὡς ἂν ἔχοιεν οἱ ἀστοὶ ἀφθονίαν ὕδατος. Γεωργίου δὲ τοῦ ἄρχοντος Ἀβασγίας τὰς πρὸς Ῥωμαίους ἀθετήσαντος συνθήκας καὶ τὰ ὅμορα κατατρέχοντος, ἔξεισι κατ' αὐτοῦ ὁ βασιλεὺς πανστρατί, κατόπιν λιπὼν Νικηφόρον πατρίκιον τὸν Ξιφίαν καὶ Νικηφόρον πατρίκιον τὸν υἱὸν Βάρδα τοῦ Φωκᾶ. οἱ δὲ διὰ τὸ τῆς στρατείας ἀπολελεῖφθαι δεινοπαθήσαντες οὐ μικρῶς, λαόν, ὡς ἔτυχεν, ἠθροικότες ἀπό τε Καππαδοκίας καὶ Ῥοδαντοῦ καὶ τῶν πέριξ χωρίων, ἀποστασίαν κινοῦσιν. οὗπερ ἀγγελθέντος τῷ βασιλεῖ ταραχὴ κατεῖχε τὴν παρεμβολὴν καὶ ἀγωνία, δεδοικυῖαν, μή πως ἐν μέσῳ Ἀβασγῶν τε καὶ τῶν ἀποστατῶν συνειλημμένοι (διεδέδοτο γὰρ καὶ λόγος, ὡς οἱ περὶ τὸν Ξιφίαν διεκηρυκεύσαντο περὶ τούτου πρὸς τὸν ἄρχοντα Ἀβασγίας) ἀνήκεστόν τι πάθωσιν. ὁ δὲ βασιλεὺς γράμματα πρός τε τὸν Ξιφίαν καὶ τὸν Φωκᾶν γράψας ἐξέπεμψε, παραγγείλας τῷ λαβόντι σπουδάσαι πάντα τρόπον λαθεῖν καὶ ἑκάστῳ ἀσυγγνώστως δεδωκέναι τὸ γράμμα. τοῦ δέ, ὡς ἐκελεύσθη, ποιήσαντος καὶ τὰς ἐπιστολὰς ἐγχειρίσαντος λεληθότως, ὁ μὲν Φωκᾶς εὐθὺς ὑπανέγνω τὴν ἑαυτοῦ τῷ Ξιφίᾳ, ἐκεῖνος δὲ τὴν ἑαυτοῦ ἀποκρύψας καὶ γράμμα δέξασθαι ὅλως ἀπαρνησάμενος ἐν μιᾷ τῶν ἡμερῶν καλεῖ τοῦτον ἐπὶ

34 a. 1021 **43** vere a. 1022

---

cap. 45: Zon. III, 567, 12—568,8

ACEVBMNU DH **21** ὁμοίως ὑπηρετῶν ACE **22** Διογένῃ BMU δ' B **23** ὁ — αἰφνιδίως om. M, sed suppl. man. rec. **24** τῆς om. C δὲ om. U **24/25** μετ' αὐτοῦ: μετὰ τούτου B **25** δὲ post τοὺς add. U **26** στρατούς: στρατιώτας U τὸ om. A **29** ἐπέμφθη U συνεζύγη A **31** καὶ om. U Οὐαλεντινιανοῦ ACEVMND: Οὐαλεντιανοῦ BH: Οὐάλεντος U **32** ἀστοὶ AEVBU: αὐτοὶ CMNDH **33** συνθήκας: δίκας U **35** Ξιφείαν U **36** στρατείας ACEVD: στρατιᾶς BMNUH **37** Καππαδοκίαν U **38** Ῥοδαντοῦ AEVMN: Ῥοδοντοῦ B: Ῥοδάντων U: Ῥογανγοῦ C **39** ἀναγγελθέντος B **40** τε om. B συνειλημμένοι ACEVMN: συνειλεγμένοι B: εἰλημμένην U **41** καί: ὁ B **43** τε om. B Ξιφείαν U γράψας post Ξιφ. MNUDH **45** ἀγνώστως B τὸ γράμμα ACEVMN: τὸ ἴδιον B: τὰ γράμματα U ἐκελεύσθη: ἐκέλευσε U **47** γράμματα EB **48** ἐκαλεῖτο M

κοινολογίαν καὶ ἐλθόντα, λόχους ἔχων προευτρεπισμένους, ἀποκτίννυσι. καὶ ἡ ἐπισύστασις τῶν ἀποστατῶν εὐθὺς διεσκεδάσθη. τοῦ δὲ θανάτου τοῦ Φωκᾶ γνωσθέντος τῷ βασιλεῖ πέμπεται Θεοφύλακτος ὁ Δαμιανοῦ τοῦ Δαλασσηνοῦ υἱός, καὶ τὸν Ξιφίαν συλλαβὼν ἐκπέμπει | δέσμιον εἰς τὴν βασιλίδα πρὸς Ἰωάννην τὸν πρωτονοτάριον, ὃς ἐν τῇ νήσῳ τοῦ Ἀντιγόνου μοναχὸν αὐτὸν ἀποκείρει. ὁ δὲ βασιλεὺς τοῦ τῶν ἀποστατῶν ἀπολυθεὶς δέους συμβάλλει τοῖς Ἀβασγοῖς, καὶ πίπτουσι πολλοὶ τῶν Ῥωμαίων. ὅμως διελύθησαν ἄμφω τὰ στρατεύματα, καὶ ἡ νίκη ἀμφίβολος ἦν. μετὰ δὲ ταῦτα δευτέρας συμπλοκῆς γενομένης, τῇ ἑνδεκάτῃ τοῦ Σεπτεμβρίου μηνός, ἰνδικτιῶνος ἕκτης, κατὰ τὸ ἑξακισχιλιοστὸν πεντακοσιοστὸν τριακοστὸν πρῶτον ἔτος, πίπτει μὲν ὁ Λιπαρίτης (οὗτος γὰρ ἦν ἀρχιστράτηγος τῷ Γεωργίῳ) καὶ σὺν αὐτῷ πᾶν τὸ κρατιστεῦον ἐν Ἀβασγοῖς, φεύγει δὲ καὶ ὁ Γεώργιος εἰς τὰ ἐνδότερα ὄρη τῆς Ἰβηρίας. μετ' ὀλίγον δὲ πρεσβευσάμενος καὶ τῷ βασιλεῖ ἐκστὰς χώρας ὁπόσης ἐβούλετο, σπένδεται, ὅμηρον δοὺς τὸν υἱὸν αὐτοῦ Παγκράτιον. ὃν μάγιστρον ὁ βασιλεὺς ποιήσας ὑπέστρεψε. τοὺς μὲν οὖν ἄλλους τῶν τῷ Ξιφίᾳ συνηραμένων καὶ τῷ Φωκᾷ τῶν ὑπαρχόντων γυμνώσας καθεῖρξε, μόνον δὲ τὸν πατρίκιον Φέρσην ἀπέκτεινε, πρὸ πάντων τε προσρυέντα τοῖς ἀποστάταις, καὶ τέσσαρας ἀρχόντων γειτόνων κουράτωρας ἀποκτείναντα, καὶ ἐκτομίαν τινὰ βασιλικὸν αὐτοχείρως καρατομήσαντα. ἐδόθη δὲ καὶ λέουσι βασιλικός τις θαλαμηπόλος βρῶμα, ἐλεγχθεὶς φαρμάκοις ἐπιβουλεύων τῷ βασιλεῖ διὰ τὸν Ξιφίαν.

46. Καὶ Ἄννης δὲ τῆς τοῦ βασιλέως ἀδελφῆς ἐν Ῥωσίᾳ ἀποθανούσης, καὶ πρὸ αὐτῆς τοῦ ἀνδρὸς αὐτῆς Βλαδιμηροῦ, Χρυσόχειρ τις συγγενὴς ὢν τοῦ τελευτήσαντος, ἄνδρας ὀκτακοσίους προσεταιρισάμενος καὶ πλοίοις ἐμβιβάσας, ἦλθεν εἰς Κωνσταντινούπολιν | ὡς τάχα μισθοφορήσων,

57/58 a. 1022

ACEVBMNU DH **49** κοινολογίᾳ BU προηυτρεπισμένους AB ἀποκτίννυσι ACEMNU: ἀποκτείνουσι VB **50** εὐθὺς om. MNUDH διεσκεδάσθη ACEVBU: ἐσκεδάσθη MNDH **52** Θαλασσηνοῦ B **52/53** εἰς τὴν βασιλίδα ACEVB: πρὸς τὴν βασιλίδα MNDH: πρὸς τὸν βασιλέα U: εἰς τὴν τῶν πόλεων βασιλεύουσαν Zon. III, 567, 17 **53** ὁ δὲ ante πρὸς add. U **54** αὐτὸν om. M **55** δέους ἀπολυθεὶς U πίπτουσι πολλοὶ ACEVB: πολλοὶ πίπτουσι MNUDH **57** ια' ACEBU **58** ς ACEBMU τὸ om. U **58/59** ,ςφλα' ACEBMNU **60** Γεωργίῳ; γένει U κρατιστεῦον: στρατεῦον E **61** καὶ om. A ὁ om. MU ὁ post Γεώργ. add. M ὄρη: μέρη BU **62** πρεσβευσάμενος ACEVBN: διαπρεσβευσάμενος MUDH ὁπόσης CEVMNU: ὅσης A: ὁπόσαι B **63** ἠβούλετο CU καὶ ante ὅμηρον add. E **64** ποιήσας ὁ βασιλεὺς A ποιήσας: τιμήσας MU οὖν om. CBM **67** γειτόνων — ἀποκτείναντα: κουράτωρας γειτόνων ἀποκτείναντες U κουράτωρας AEVU: κουράτορας MNH: κουρατρ' D: κουρατωρίας B: κράτορας C **68** βασιλικὸν om. B δὲ om. MU **69** λέουσι — βρῶμα ACEVB: λέουσι βρῶμα (βρῶσιν H) βασιλικός τις θαλαμηπόλος MNUDH **71** Καὶ om. B ἀποθανούσης VMNU: τελευτησάσης ACEB **74** ἐμβιβάσας ACEVNU: ἐπιβιβάσας M: ἐμβαλὼν B

τοῦ δὲ βασιλέως καταθεῖναι τὰ ὅπλα κελεύσαντος, καὶ οὕτω ποιήσασθαι τὴν ἐντυχίαν, μὴ θελήσας διῆλθε τὴν Προποντίδα. ἐν Ἀβύδῳ δὲ γενόμενος καὶ τῷ στρατηγοῦντι ταύτης συρράξας ὑπερμαχοῦντι τῶν παραλίων, καὶ τοῦτον ῥᾳδίως τρεψάμενος, κατῆλθεν εἰς Λῆμνον. ἐκεῖσε δὲ παρὰ τοῦ στόλου τῶν Κιβυρραιωτῶν, καὶ Δαβὶδ τοῦ ἀπὸ Ἀχριδῶν στρατηγοῦντος Σάμου, καὶ Νικηφόρου τοῦ Καβάσιλα, δουκὸς ὄντος Θεσσαλονίκης, παρασπονδηθέντες ἅπαντες ἀπεσφάγησαν.

47. Βουλόμενος δὲ ὁ βασιλεὺς ἐκστρατεῦσαι κατὰ τῆς Σικελίας Ὀρέστην προέπεμψε μετὰ δυνάμεως ἁδρᾶς, ἕνα ὄντα τῶν πιστοτάτων εὐνούχων, αὐτὸς δὲ ἐκωλύθη φθάσαντος τοῦ χρεών. Δεκεμβρίῳ γὰρ μηνί, ἰνδικτιῶνος ἐννάτης, ἔτους ἑξακισχιλιοστοῦ πεντακοσιοστοῦ τριακοστοῦ τετάρτου, αἰφνιδίῳ νόσῳ ληφθεὶς ἀπεβίω, πρό τινων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς καὶ Εὐσταθίου τοῦ πατριάρχου ἀποθανόντος,

περὶ οὗ λέγεται, ὅτι ἐν μιᾷ τῶν ἐπισήμων ἑορτῶν τῆς ἱερουργίας τελουμένης – τοῦτο μὲν [γὰρ add. C] διὰ τὸ γῆρας· ἔξωρος γὰρ (γὰρ om. C) ἦν, τοῦτο δὲ διὰ μαλακίαν σωματικήν· ἐνοσηλεύετο γάρ – τῆς εἰσόδου τῶν ἁγίων ἀργῶς τε καὶ σχολαίως πλεῖον (πλείω EU) τοῦ (τοῦ] τῆς E) συνήθους τελουμένης (τελωμένης C), μετὰ τὸ τελέσαι τὴν εὐχὴν μὴ δυνάμενος ἵστασθαι, δόξαν αὐτῷ ἤχθη θρόνος, ἐφ' ᾧ ἀναπαύεσθαι (ἀναπεπαῦσθαι A) εἴθιστο. κεκαθικὼς οὖν ἐξεδέχετο τὴν τῶν ἁγίων ἄφιξιν (κεκαθ. – ἄφιξιν] καὶ δὴ καθίσας τὴν τῶν ἁγίων ἐξεδέχετο ἄφιξιν A). καθήμενος δὲ ἀφύπνωσε, καὶ ὁρᾷ θέαμα φρικτόν, ὕπαρ, οὐκ ὄναρ. ἑώρα γὰρ εἰσοδεύοντα θηρία ἱερατικὰς ἠμφιεσμένα (ἠμφιεσμένας CU) στολάς, τὰ μὲν ἄλλα σώματα ἀνθρωπίνως πεπλασμένα, μόνας δὲ τὰς κεφαλὰς θηριομόρφους ἔχοντα. ἐν τοσούτῳ δὲ τοῦ διακόνου ὑπομνήσαντος τὴν τῶν ἁγίων παρουσίαν, πολλὰ (πολὺ E) αὐτὸν κατεμέμφετο τῆς ὑπομνήσεως, ὡς (ὡς om. U) στερήσαντα αὐτὸν (αὐτῷ U) φρικωδεστάτου θεάματος. ἕνδεκα γὰρ ἔλεγεν ἰδεῖν τοιούτους τερατομόρφους (τετραμόρφους U) ἀρχιερεῖς, ἔτι ἐπὶ τούτοις καὶ ἄλλων εἰσιόντων, περικοπείσης τῆς αὐτῶν εἰσόδου διὰ τὴν τοῦ (τοῦ om. A) διακόνου ὑπόμνησιν. τὰ δὲ θηρία εἶναι ἔλεγεν ὄνους, λέοντας, παρδάλεις, κατοικιδίους αἰλούρους (αἰρούλους U), οὓς ἡμεῖς συνήθως γάττας (γόητας C) καλοῦμεν (οὓς ἡμεῖς – καλοῦμεν om. A), λύκους, ἄρκους (ἄρκους, λύκους A), καὶ ἕτερα τοιαῦτα. ἀλλὰ (ἀλλὰ] καὶ A) τοῦτο μὲν τοιοῦτον.

οὗ διάδοχον ὁ βασιλεὺς ἐποιήσατο Ἀλέξιον μοναχὸν καὶ καθηγούμενον

87 die 15. mens. Dec. a. 1025

---

cap. 47: Zon. III, 568, 9–569, 7; Glyc. 579, 10–579, 16 95 ὕπαρ, οὐκ ὄναρ: Hom. τ 547. υ 90

ACEVBMNU DH 75 κελεύσαντος ACEVBD: κελεύοντος MNU ποιεῖσθαι E 77 ταύτης: ταύτῃ B ὑπερμαχούντων CE 78 ῥᾳδίως: ταχέως B τρεψάμενος ACEVB: καταστρεψάμενος MNUDH τὴν ante Λῆμνον add. B ἐκεῖσε ACEVBUD: ἐκεῖ MN 79 Ἀχριδῶν CEVBMN: Ἀχρίδων A: Ἀχριδ' U 80 καὶ τοῦ Καβάσιλα Νικηφόρου A 81 ἀπεσφάγησαν ACEVB: κατεσφάγησαν MNUDH 82 τῆς om. U 84 γὰρ: δὲ B ιβ' post μηνὶ add. E, ιε' add. C 85 θ' ACEBU ἔτει AE 85/86 ,ςφλδ' ACEBMNU 86 αἰφνιδίως U 87 θανόντος B 88–10 interpol. ACE (E solum i. m., sed bis) U 11 οὗ: τούτου δὲ θανόντος A 11/12 οὗ – Στουδίου: διάδοχον δὲ τοῦ Εὐσταθίου ὁ βασιλεὺς Ἀλέξιον μοναχὸν ἐποιήσατο, ἐκκλησιάρχην ὄντα, ἐν τῇ τοῦ Στουδίου μονῇ U

τῆς μονῆς τοῦ | Στουδίου, εἰς ἐπίσκεψιν αὐτοῦ πεφοιτηκότα μετὰ τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου. ὃν καὶ πέμψας ἐνθρονίζει διὰ τοῦ πρωτονοταρίου Ἰωάννου, ᾧ συνεργῷ ἐχρῆτο πρὸς τὴν τῶν κοινῶν διοίκησιν. καὶ τῇ ἑσπέρᾳ ἐτελεύτησε, ζήσας μὲν ἔτη ἑβδομήκοντα, καὶ τὰ πάντα βασιλεύσας, ἐπὶ χρόνους δὲ πεντήκοντα τὴν αὐτοκράτορα διϊθύνας ἀρχήν. ταφῆναι δὲ παρεκάλεσε τὸν ἑαυτοῦ ἀδελφόν, ὃν καὶ διάδοχον κατέλιπε τῆς ἀρχῆς, ἐν τῷ κατὰ τὸ Ἕβδομον ναῷ τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου. ὃ δὴ καὶ γέγονεν.

ACEVBMNU DH 12 τοῦ Στουδίου ACEVMNUD: τῶν Στουδίων BH 15 ο′ C τὰ om. B 16 χρόνοις AB ν′ C μ. θ′ καὶ ἡμ. ια′ supra πεντήκοντα add. E αὐτοκρατορίας B 17 ἑαυτοῦ: αὐτοῦ U 19 Ἰωάννου post θεολόγου add. A

ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΑΔΕΛΦΟΣ ΒΑΣΙΛΕΙΟΥ

1. Ἀναζωσάμενος δὲ τὴν πᾶσαν δυναστείαν ὁ Κωνσταντῖνος καὶ πράττειν, ὅ τι καὶ βούλεται ἐξουσίαν λαβών, καὶ ταῖς ἐκδεδιῃτημέναις χαίρων τῶν πράξεων, πολλῶν κακῶν αἴτιος ὑπῆρξε τῷ πολιτεύματι, αὐτὸς μὲν πράττων οὐδὲν ἢ βουλευόμενος τῶν δεόντων, ἱπποδρομίαις δὲ χαίρων καὶ μίμοις καὶ γελωτοποιοῖς, καὶ κοττάβοις ἐννυκτερεύων, ἄρχοντας καθιστὰς ἔν τε πολιταρχίαις καὶ στρατηγίαις οὐ τοὺς ἔργῳ καὶ λόγῳ τὸ δόκιμον ἑαυτῶν παρεχομένους, ἀλλ' οἰνόληπτα ἐκτετμημένα ἀνδράποδα καὶ πάσης μιαρίας καὶ βδελυρίας ἐμπεπλησμένα, ἀνάγων αὐτοὺς εἰς τὰς τῶν ἀξιωμάτων ὑψηλοτάτας περιωπάς, τοὺς δὲ γένει καὶ ἀρετῇ καὶ πείρᾳ προέχοντας παρατρέχων. Νικόλαον γὰρ τὸν πρῶτον τῶν αὐτοῦ θαλαμηπόλων δομέστικον προεβάλλετο τῶν σχολῶν καὶ παρακοιμώμενον, Νικηφόρον δὲ τὸν μετ' ἐκεῖνον τὰ δευτερεῖα φέροντα πρωτοβεστιάριον, Συμεὼν τὸν κατὰ τάξιν τρίτον δρουγγάριον τῆς βίγλας, προέδρους τοὺς πάντας τιμήσας, | Εὐστράτιον τὸν μετ' ἐκείνους πολλοστὸν μέγαν ἑταιρειάρχην. προεβάλλετο δὲ καὶ δοῦκα Ἀντιοχείας εὐνοῦχόν τινα Σπονδύλην λεγόμενον, καὶ Ἰβηρίας Νικήταν τὸν ἐκ Πισσιδίας, καὶ ἄμφω ἐπιρρήτους ἀνθρώπους καὶ πονηρούς. οἵτινες ταραχῆς καὶ συγχύσεως τὰ πάντα πληρώσαντες μικροῦ τὴν βασιλείαν ἀνέτρεψαν,

21 die 16. mens. Dec. a. 1025

cap. 1: Zon. III, 569, 8—571, 8; Glyc. 579, 17—580, 2

ACEVBMNU DH 20 Κωνσταντῖνος — Βασιλείου (ὁ om. C) ACE: Κωνσταντῖνος VN: Βασιλεία Κωνσταντίνου (βασιλέως add. M) (τοῦ add. BM) ἀδελφοῦ τοῦ Βασιλείου BMU 21 πᾶσαν ACEVB: ἅπασαν MNUDH ἐξουσίαν καὶ ante δυναστείαν add. U 22 καὶ pr. om. U λαβὼν ἐξουσίαν B 23 κακῶν πολλῶν A 24 αὐτὸς om. B μέν: δὲ E πράττων μὲν B βουλόμενος B ἱπποδρομίᾳ B 25 καὶ κύβοις post γελωτοποιοῖς add. VB 26 καθιστὰς ACEVMN: προϊστὰς U: δὲ καθίστα B 27 δόκιμον ACEV: δοκίμιον BMNUDH Zon. III, 569, 14 ἑαυτῶν BMNU: ἑαυτοῖς V: om. ACE παρεχομένους VMNU: παρασχομένους B: ἔχοντας ACE 28 μιαρίας καὶ om. B ἐμπεπλησμένα: μεστὰ A 29 τῶν om. B ὑψηλοτάτας CVBMNU: μεγίστας A: om. E ἀξιώμασιν ἐμπρέποντας post καὶ add. A 30 καὶ πείρᾳ om. ACE παρατρέχειν U 31 τῶν αὐτοῦ ACEVBD: αὐτοῦ τῶν U: αὐτοῦ MN θαλαμηπόλον MN προεβάλλετο VBMN: προβάλλεται U: προβάλετο ACE τῶν σχολῶν προεβάλετο A 31/32 καὶ παρακοιμώμενον om. U 32 Νικηφόρον post φέροντα A δὲ τόν: τὸν δὲ A τὰ om. U δευτερέα N 33 τὴν ante τάξιν add. B 34 βίγλης C 34/35 Εὐστράτιον — πολλοστὸν ACEVB: Εὐστράτιόν τε (τε om. D) τὸν πολλοστὸν μετ' ἐκείνους MNUDH 35 προεβάλετο AC 36 Πονδήλην B 37 Πισιδίας ABU

ἤδη καλῶς ἀγομένην ἀπό τε τῆς αὐτοκρατορίας Ῥωμανοῦ τοῦ τοῖν βασιλέοιν πατρός, Νικηφόρου τε καὶ Ἰωάννου καὶ Βασιλείου τῶν κατὰ διαδοχὰς διαδεξαμένων τὰ σκῆπτρα καὶ φοβερὰν καθισταμένην τοῖς πλησιάζουσι ἔθνεσι. καὶ οὐ μόνον ἀδιάφορον εἶχε τὴν γνώμην ἐν ταῖς τῶν ἀρχῶν προβολαῖς, ὡς ἔτυχε ταύτας καθιστάς, ἀλλὰ καὶ τοὺς ἀξιολογωτέρους καὶ δοκιμωτέρους ἐδίωκε διὰ παντός, τοῖς εὐδοκίμοις ἐπιβουλεύων. ἀπετύφλωσε μὲν γὰρ καὶ Κωνσταντῖνον πατρίκιον τὸν υἱὸν Μιχαὴλ μαγίστρου τοῦ Βούρτζη, πρὸ τῆς αὐτοκρατορίας αὐτοῦ προσκρούοντα καὶ τὰς ἀκολάστους αὐτοῦ πράξεις Βασιλείῳ τῷ βασιλεῖ μηνύοντα, καὶ ἄλλους ἀγαθοὺς ἄνδρας οὐκ ὀλίγους ἠφάνισεν, ὡς προϊὼν ἐξείποι ὁ λόγος. καὶ τὰ μὲν προοίμια τῆς αὐτοκρατορίας αὐτοῦ τοιαῦτα. τὰ δὲ μετὰ ταῦτα ποία ἂν καὶ κατ' ἀξίαν παραστήσηται ἱστορία; μόνων γάρ, ὡς ἐρρέθη, ἐξεχόμενος γελωτοποιῶν καὶ μίμων, καὶ περὶ τὰς ἱπποδρομίας, εἴπερ τις ἄλλος κεχηνώς, ἔργον μόνον ἀναγκαῖον ταύτας ἡγεῖτο, τὰ λοιπὰ μηδενὸς ἀξιῶν λόγου, ἀλλὰ δεύτερα λογιζόμενος πάντα τῶν αὐτοῦ ἀκολάστων ἔργων. Νικηφόρον γὰρ τὸν Κομνηνόν, ἄνδρα συνετὸν καὶ ἐπ' ἀρετῇ καὶ ἀνδρείᾳ διαβεβοημένον, Μηδίας ἄρχοντα τῆς | καὶ Βαασπρακανίας, καὶ τὰ πρόσχωρα ὑποτάξαντα ἔθνη, δι' αἰτίαν μὲν εὔλογον οὐδεμίαν, τῆς δὲ ἀρετῆς φθονήσας ἀπετύφλωσεν, ἔγκλημα τούτῳ καθοσιώσεως ἐπενεγκών. οὗτος γὰρ πολλάκις συμπλεκόμενος τοῖς γείτοσιν ἐν Μηδίᾳ Σαρακηνοῖς, καὶ τοὺς ἑαυτοῦ στρατιώτας μαλακιζομένους ὁρῶν καὶ τὰ νῶτα στρέφοντας ἀκόσμως καὶ φεύγοντας, καὶ τὰ μὲν ὀνειδίζων, τὰ δὲ καὶ παρακαλῶν μὴ οὕτω φεύγειν αἰσχρῶς, ἀλλ' ἵστασθαι κατὰ τῶν ἀντιπάλων γενναίως, ἔπεισε συγκαταθέσθαι. ὡς δὲ καὶ ἐνωμότως βεβαιῶσαι τὴν κατάθεσιν οὗτος ἀπῄτει, ὅτι σὺν αὐτῷ θανοῦνται μαχόμενοι πρὸς τοὺς πολεμίους, ἔγγραφον ἐκδεδώκασι

39/40 ab a. 940

ACEVBMNU DH 39 ἤδη om. A 39/40 τῶν βασιλέων U 41 διαδοχὴν B διαδεξαμένων ACEV: δεξαμένων BMNUDH φοβερῶν καθισταμένων U 42 τὴν γνώμην om. U 43 προβολαῖς ACVBND: προσβολαῖς EMUH ἔτυχε ταύτας ACEVB: ἔτυχεν αὐτὰς MNUDH 45 καὶ om. B 46 μαγίστρου om. B αὐτοῦ ACEVN: αὐτῷ BMU: αὐτ̄ D προσκρούοντας C 48 ἄλλους — ὀλίγους (ἄνδρας ἀγαθοὺς A) ACEVB: *ἄλλους οὐκ ὀλίγους ἄνδρας ἀγαθοὺς* (*ἀγαθοὺς ἄνδρας* M) MNUDH ἐξείποι post 49 λόγος E 49 τῆς αὐτοκρατορίας αὐτοῦ VBMNU: τῆς αὐτοῦ βασιλείας ACE 50 καὶ om. BU παραστήσηται VMNU: παραστήσειεν ACE: παραστήσεται B 51 ὡς — ἐξεχόμενος: ἐξεχόμενος, ὡς ἐρρέθη A 53 δὲ ante λοιπὰ add. E, post λοιπὰ U 54 αὐτοῦ VBMNU: ἑαυτοῦ ACE 55 ἐπ' om. U ἐπ' ante ἀνδρ. add. CE ἀνδρίᾳ ACE διαβεβοημένον ACEVB: βεβοημένον MNUDH τῆς om. U καὶ om. B 56 Βαασπρακανίας ACVNUD: Ἀσπρακανίας BMH: Βασπρακανίας E λοιπὰ ante πρόσχωρα add. U πρόσχωρα: πρόσοικα A 58 ὑπενεγκών B πολλάκις om. U 60 τὰ pr:. τοὺς B 61 οὕτως EMNUD 63 καὶ om. E 64 θανοῦνται VBU: πεσοῦνται A: μαχοῦνται CE: θανεῖται MNDH μαχόμενοι (post πολεμίους ACE) ACEVBU: μαχόμενος MNDH πολέμους B ἐκδεδώκασι VBMNU: ἐκδιδόασι ACE

γραμματεῖον, παλαμναιοτάταις ἀραῖς καὶ φρικωδεστάτοις ὅρκοις ἐμπεδωσάμενοι στῆναι ῥωμαλέως ἐν τῇ παρατάξει καὶ ἀποθανεῖν σὺν τῷ στρατηγῷ. τοῦτο ὡς ἦλθεν εἰς ὦτα τῷ Κωνσταντίνῳ, παραλύεται μὲν εὐθὺς τῆς ἀρχῆς ὁ Νικηφόρος καὶ εἰς τὴν βασιλίδα εἰσάγεται, κριτήριόν τε καὶ βῆμα ἤρτο, καὶ καταδικάζεται ὡς συνομοσάμενος κατὰ τῆς βασιλείας, καὶ τὰς ὄψεις πηροῦται. ἐγκοτῶν δὲ καὶ Βάρδᾳ πατρικίῳ τῷ ἐγγόνῳ τοῦ μαγίστρου Βάρδα τοῦ Φωκᾶ καί τισιν ἄλλοις, ῥάπτει διά τινος τῶν παρατρεφομένων συκοφαντῶν τυραννίδος ἐπίθεσιν κατ' αὐτοῦ, καὶ εὐθὺς ἀποτυφλοῖ τοῦτον καὶ τοὺς συνδιαβληθέντας αὐτῷ. καὶ στάσεως δὲ γενομένης ἐν τῇ Ναυπάκτῳ κατὰ Γεωργίου τοῦ στρατηγοῦντος αὐτῆς, ὃν καὶ Μωρογεώργιον διὰ τὸ ἄστατον τῆς γνώμης ἐκάλουν, ἀναιρεῖται μὲν ὁ στρατηγός, διαρπάζουσι δὲ καὶ τὰ προσ|όντα πάντα αὐτῷ, κακῶς διατιθέμενος περὶ τοὺς ἐγχωρίους καὶ εἰσπράξεσι σεσοφισμέναις καὶ συνεχέσι τούτους συντρίβων. ὁ βασιλεὺς δὲ οὐ μόνον τοὺς αἰτίους ἀπηνῶς ἐκόλασε τοῦ φόνου, ἀλλὰ καὶ αὐτὸν τὸν ἀρχιερέα τῆς Ναυπάκτου ἐτύφλωσε. Βασίλειος δὲ πατρίκιος ὁ Ῥωμανοῦ τοῦ Σκληροῦ υἱὸς προσκρούων τῷ μαγίστρῳ Προυσιάνῳ τῷ Βουλγάρῳ στρατηγοῦντι Βουκελλαρίων, ἐς τοσοῦτον προήχθη τόλμης, ὡς καὶ διὰ μάχης τούτῳ ἐλθεῖν. τούτων τὴν διένεξιν Κωνσταντῖνος ὁ βασιλεὺς ἀναισχυντίαν κρίνων κατὰ τῆς βασιλείας ἄμφω ὑπερορίζει, τὸν μὲν ἐν τῇ Ὀξείᾳ νήσῳ, τὸν δὲ ἐν τῇ Πλάτῃ. μετὰ μικρὸν δὲ τὸν μὲν Βασίλειον, κατηγορηθέντα, ὡς εἴη ἀπόδρασιν μελετῶν, ἀπετύφλωσε, τὸν δὲ Προυσιάνον μικροῦ δεῖν τοῦτο αὐτὸ πείσεσθαι κινδυνεύοντα ἠλευθέρωσεν. ἐτύφλωσε δὲ καὶ Ῥωμανὸν τὸν Κουρκούαν, ἐπ' ἀδελφῇ ὄντα γαμβρὸν τοῦ Προυσιάνου καὶ τὸν Βογδάνον καὶ τὸν Γλαβᾶν καὶ τὸν Γουδέλιον. ἐγλωσσοτόμησε δὲ καὶ τὸν μοναχὸν Ζαχαρίαν τὸν συγγενῆ τοῦ βέστου Θευδάτου, συσκευάζεσθαι τούτους πλασάμενος κατ' αὐτοῦ.

ACEVBMNU DH **67** τοῦ Κωνσταντίνου ACB **67/68** μὲν — εἰσάγεται: μὲν τῆς ἀρχῆς εὐθὺς ὁ Νικηφ. καὶ εἰσάγεται εἰς τὴν βασ. U **68** εὐθὺς om. B Κομνηνὸς ante Νικηφ. add. A **69** καὶ ante βῆμα om. B συνομοσάμενος post βασιλείας B **70** ἐκγόνῳ CE **71** τοῦ μαγίστρου om. ACE τοῦ Φωκᾶ om. CE **73** δὲ om. C **75** ἐκάλουν post Μωρογεώργιον MNUDH **76** διαρπάζουσι — αὐτῷ om. B (vide infra) **77** διατιθέμενος EVBMN: διατιθέμενοι U: διατιθεμένῳ A: διαθεμεν' C διατιθέμενος — ἐγχωρίους: κακῶς πρὸς τοὺς ἐγχωρ. διατιθ. B περὶ om. U **78** συντρίβοντι A διαρπάζουσι δὲ καὶ τὰ προσόντα πάντα αὐτῷ post συντρίβων add. B ἀπηνῶς ACEVBUD: om. MN **79** τῆς Ναυπάκτου ἀρχιερέα B **80/81** ἐτύφλωσε — προσκρούων ACEVB: ἐτύφλωσεν. ὁ δὲ τοῦ Σκληροῦ Ῥωμανοῦ (Ῥωμανὸς M) υἱὸς Βασίλειος πατρίκιος προσκρούων MNUDH **81** Πρεασιάνῳ U Βουλγάρῳ: Βουλγαρίας BU Βουκελλαρίας B **82** εἰς B δὲ post τούτων add. M **93** Κωνσταντῖνος om. A **84** καὶ ante ἄμφω add. MNUDH περιορίζει B **85** μὲν om. U **86** Πρεασιάνον U τοῦτο: τὸ U **87** ἐτύφλωσε δὲ: ἀπετύφλωσε U **88** ἀδελφὴν B ὄντα γαμβρὸν CEMNU: γαμβρὸν ὄντα AVB Πρεασιάνου U **89** Γουδέλιον AVMND: Γουδέλλιον CE: Γουδελλ' U: Γουδέλην B **90** συσκευάζεσθαι ACVMNU: συσκευάσασθαι E: συγκευάσθαι B τούτοις E **90/91** τούτους — αὐτοῦ: κατ' αὐτοῦ πλασάμενος U

2. Τούτῳ τῷ ἔτει καὶ Πατζινάκαι εἰσβολὴν ἐποιήσαντο κατὰ Βουλγαρίας, καὶ πλεῖστον λαὸν καὶ στρατηγοὺς καὶ ταγματάρχας ἔσφαξαν καὶ ἐζώγρησαν. διὸ ὁ βασιλεὺς Κωνσταντῖνος τὸν Διογένην ἄρχοντα Σιρμίου τυγχάνοντα καὶ δοῦκα τῆς Βουλγαρίας ἐποίησεν, ὃς συμπλακεὶς πολλάκις αὐτοῖς διεσπαρμένοις ἐτρέψατο καὶ ἠνάγκασε περαιωθέντας τὸν Ἴστρον ἡσυχίαν ἄγειν. ἐγένετο δὲ | καὶ ἐφ᾽ ὅλους τοὺς τῆς βασιλείας αὐτοῦ χρόνους αὐχμὸς μέγιστος, ὡς ἀποξηρανθῆναι τὰς ἀεννάους πηγὰς καὶ τοὺς ποταμούς. τοῦ βασιλέως δὲ Βασιλείου φειδοῖ τῶν πενήτων μὴ ἐγκαίρως τὰς δημοσίας εἰσπραττομένου συντελείας, ἀλλὰ ἀνακωχὴν καὶ ὑπερημερίαν δίδοντος ταῖς ἀπαιτήσεσι, συνέβη τελευτήσαντος ἐκείνου δύο ἐνιαυτῶν φόρους ἔτι ἠρτῆσθαι. οὓς ὁ Κωνσταντῖνος εὐθὺς εἰσεπράξατο. εἰσεπράξατο δὲ καὶ τῶν ἑτέρων τριῶν ἐνιαυτῶν (ἐς τοσοῦτον γὰρ χρόνον αὐτῷ ἡ ἀρχὴ ἐξετάθη), καὶ συνετρίβησαν οὐχ οἱ πένητες μόνον καὶ ἄποροι, ἀλλὰ καὶ οἱ εὐπόρως ἔχοντες, ἐν τρισὶ χρόνοις πέντε παρασχόντες δασμοφορίας. ἐξῆλθεν οὖν καὶ στόλος Ἀγαρηνῶν κατὰ τῶν Κυκλάδων νήσων. οἷς συμπλακεὶς ὁ στρατηγὸς Σάμου Γεώργιος ὁ Θεοδωροκάνος ἅμα Βεριβόῃ τῷ στρατηγοῦντι τῆς Χίου ἐτρέψατο, καὶ δώδεκα μὲν αὔτανδρα εἷλε, τὰ δὲ λοιπὰ διεσκέδασεν.

3. Ἐννάτῃ δὲ Νοεμβρίου μηνός, τῆς δωδεκάτης ἰνδικτιῶνος, ἐν ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ τριακοστῷ ἑβδόμῳ, αἰφνιδίῳ νόσῳ ληφθεὶς ὁ Κωνσταντῖνος καὶ παρὰ τῶν ἰατρῶν ἀπαγορευθεὶς ἐσκέπτετο, τίνα ἂν καταλίποι διάδοχον τῆς βασιλείας. ἔδοξεν οὖν αὐτῷ τὸν πατρίκιον Κωνσταντῖνον τὸν Δαλασσηνὸν μεταστείλασθαι, κατὰ τὸν Ἀρμενιακὸν ἐν τῷ ἰδίῳ οἴκῳ σχολάζοντα, γαμβρόν τε ποιήσασθαι ἐπὶ μιᾷ τῶν θυγατέρων καὶ ἀναγορεῦσαι βασιλέα. καὶ δὴ πέμπεται ἄξων αὐτὸν

8 a. 1025 19 mense Nov. a. 1028

cap. 2: Zon. III, 571, 9—572, 5; Glyc. 580, 2—580, 5 cap. 3: Zon. III, 572, 6—573, 14; Glyc. 580, 5—580, 18

ACEVBMNU DH 92/93 ἔτει — Βουλγαρίας: ἔτει εἰσβολὴν ἐποιήσαντο οἱ Πατζινάκοι κατὰ Βουλγάρων B 92 Πατζινάκοι BMNUD 93 λαὸν — ταγματάρχας: λαὸν καὶ ταξιάρχας καὶ στρατηγοὺς A ταγματάρχας VBMNU: ταξιάρχας ACE 94 Κωνσταντῖνον M 1 πολλάκις αὐτοῖς (αὐτοὺς B) VBNUD: αὐτοῖς πολλάκις ACEM διεσπαρμένους B 2 καὶ om. B 3 αὐτοῦ om. B τε post πηγάς add. U 4 πενήτων: ὑπηκόων καὶ U 5 δημοσίους A ἀλλ᾽ ADH καὶ post ἀλλὰ add. E 6 ὑπερημερίαν ACEVBND: ὑπερημερίας U: παρημερίαν M ἀπατήσεσι C 8 τῶν om. B εἰς U 9/10 καὶ ἄποροι om. A 11 ἐξῆλθεν οὖν: ἐξῆλθε δὲ U Ἀγαρηνῶν ACEVBUD: Ἀγαρηνὸς τῶν MN 13 Βεριβόῃ AEVMN: Βεριβώῃ C: Βεβόῃ U: Βεροίβῃ B τῆς: τῷ Ἀχριδιώτῃ U 15 θ' CE Ἐννάτῳ δὲ Νοεμβρίῳ D τοῦ ante Νοεμβρίου add. ABMNH ιβ' ACBMU 16 ,ϛφλζ' ACEBMNU 18 ἂν om. M καταλείπει U διάδοχον καταλίποι C 19 καὶ ante κατὰ add. B 20 ποιήσεσθαι A 21 ἄξων: ἔξων B

εὐνοῦχός τις τῶν πιστικωτάτων, ὁ λεγόμενος Ἐργοδότης. σπουδῇ δὲ τοῦ Συμεὼν φιλίως διακειμένου πρὸς τὸν πατρίκιον Ῥωμανὸν τὸν Ἀργυρόν, αὕτη μὲν παρωράθη ἡ γνώμη, καὶ στέλλεταί τις τάχα ἐκ | βασιλέως ἐς τὸν Δαλασσηνόν, ἐκεῖσε προσμένειν κελεύοντος αὐτόν, ὅπῃ ἂν ἡ γραφὴ καταλήψηται, ἄγεται δὲ ὁ Ῥωμανὸς ἐς τὰ βασίλεια. ἀχθέντι δὲ δύο προτίθενται γνῶμαι, ἢ διαζυγῆναι τῆς νομίμου γυναικὸς τῇ βασιλέως τε θυγατρὶ συναφθῆναι καὶ βασιλέα ἀναγορευθῆναι, ἢ πηρωθῆναι τοὺς ὀφθαλμούς. τοῦ δὲ ἰλιγγιῶντος καὶ ἀναδυομένου πρὸς τούτων ἑκάτερον, ἡ σύνοικος δείσασα περὶ τἀνδρός, μή τι καὶ πάθῃ φλαῦρον, τὴν κοσμικὴν ἑκουσίως ἀπέθετο τρίχα καὶ τῷ συζύγῳ πρὸς τῇ ὄψει ἐχαρίσατο καὶ τὴν βασιλείαν. οὐσῶν δὲ τῷ Κωνσταντίνῳ θυγατέρων τριῶν ἐκ τῆς θυγατρὸς τοῦ πατρικίου Ἀλυπίου, ἣν ἔτι ζῶντος τοῦ Βασιλείου ἡρμόσατο, ἡ μὲν καθ' ἡλικίαν πρωτεύουσα Εὐδοκία ἀπεκείρατο, ἡ τρίτη δὲ Θεοδώρα ἀπηνήνατο συζυγῆναι τῷ Ῥωμανῷ, ἢ διὰ τὸ συγγενές, ὥς φασιν, ἢ διὰ τὸ ἔτι τὴν ἐκείνου σύζυγον ζῆν. ἡ δὲ τῷ χρόνῳ δευτέρα Ζωὴ τὸν περὶ τῆς συνοικίας λόγον προσενεχθέντα ἀσπασίως ἐδέξατο. λόγου δὲ περὶ τῆς συγγενείας κινηθέντος, καὶ τῆς ἐκκλησίας σὺν τῷ πατριάρχῃ λυσάντων τὸ ἀμφίβολον, ἱερολογεῖται ὁ Ῥωμανὸς τῇ Ζωῇ καὶ αὐτοκράτωρ ἀναγορεύεται βασιλεύς. καὶ μετὰ τρεῖς ἡμέρας Κωνσταντῖνος ἀπέθανε, ζήσας μὲν τὸν ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον ἑβδομήκοντα ἔτη, ἐπὶ τρεῖς δὲ ἑνὸς δέοντος μηνὸς βεβασιλευκώς.

39 die 12. mens. Nov. a. 1028 **41** die 14./15. mens. Nov. a. 1028

ACEVBMNU DH **22** πιστοτάτων BU ὁ — Ἐργοδότης: Ἐργοδότης λεγόμενος A σπονδῇ E **25** ἐς ACEVMNUD: εἰς H: πρὸς B κελεύοντος ACEVBU: κελεύοντα D: κελεύσαντος N: κελεύσαντα M ὅπου B **26** καταλήψηται ACEV: καταλήψεται BMNUDH ὁ om. B εἰς BUDH τὰ βασίλεια: τὸν βασιλέα U **27/28** τῇ — συναφθῆναι ACEVMN: τῇ θυγ. τε βασ. συναφθ. U: τῇ δὲ τοῦ βασ. θυγ. συναφθ. B **28** βασιλέα ACEVBU: βασιλεὺς MNDH **29/30** πρὸς — ἑκάτερον ACEVB: πρὸς αὐτῶν ἑκάτερον MNDH Glyc. 580, 13: πρὸς ἑκάτερον αὐτῶν U **30** τἀνδρὸς EVBMND: τοῦ ἀνδρὸς ACUH Glyc. 580, 14 πάθοι U **31** ταῖς ὄψεσι A **32** ἐχαρίσατο post **31** συζύγῳ ACE τῷ: τῶν B **34** Βασιλείου: βασιλέως M Εὐδοκία om. A **35** συζυγῆναι ACEVBUD: συζευχθῆναι MN **36** σύζυγον ACEVBU: σύνοικον MNDH **37/38** ἐδέξατο ἀσπασίως A **38** τῆς pr.: τοῦ C **41** μὲν om. B αὐτοῦ om. A **42** χρόνους ante ἑνὸς add. A, post μηνὸς U

ΡΩΜΑΝΟΣ Ο ΑΡΓΥΡΟΣ

1. Οὕτω δὲ παρὰ πᾶσαν ἐλπίδα καὶ προσδοκίαν τὸν τῆς πηρώσεως κίνδυνον διαδρὰς ὁ Ῥωμανὸς τὸ τῆς βασιλείας περιζώννυται κράτος, καὶ βασιλεὺς αὐτοκράτωρ ἅμα Ζωῇ τῇ τοῦ Κωνσταντίνου ἀναγορεύεται θυγατρί. ἅμα τε οὖν ἐπὶ τὸν βασίλειον ἐκάθισε θρόνον, καὶ ἅμα προοιμίοις ἀγαθοῖς καὶ ἐπιβατηρίοις ἐπαινετοῖς | ἐδεξιοῦτο τοὺς ὑπὸ χεῖρα, ἀπὸ τῆς εὐσεβείας πρότερον ἀρξάμενος ἀγαθοεργεῖν. ἐνδέουσαν γὰρ τὴν πρόσοδον τῆς μεγάλης εἰδὼς ἐκκλησίας, ἅτε οἰκονόμος ταύτης γενόμενος ἐν τοῖς ἔμπροσθεν χρόνοις, καὶ τῶν ἄλλων, ὁπόσαις ὑπηρετεῖσθαι ἔθος παρὰ τοῦ ταύτης κλήρου, ὀγδοήκοντα ἀνὰ πᾶν ἔτος χρυσίου λίτρας χορηγεῖσθαι τούτοις τετύπωκεν εἰς προσθήκην ἀπὸ τοῦ βασιλικοῦ ταμιείου. ἐξέκοψε δὲ καὶ τέλεον ἀπερρίζωσε τὸ ἀλληλέγγυον, ὅπερ ἐμελέτα μὲν ὁ Κωνσταντῖνος ποιῆσαι, οὐκ ἔφθασε δέ. ἐκένωσε δὲ καὶ τὰς φυλακὰς τῶν καθειργμένων διά τινας εὐθύνας, τὰ μὲν δημόσια χρέα χαριζόμενος, ἀποτιννὺς δὲ τὰ ἰδιωτικά. ἀπελυτρώσατο δὲ καὶ τοὺς κατεχομένους αἰχμαλώτους ἐν Πατζινακίᾳ. ἐτίμησε δὲ καὶ συγκέλλους μητροπολίτας τρεῖς, τὸν Ἐφέσου Κυριακὸν ὡς τοῦ πατριάρχου ὁμαίμονα, Δημήτριον τὸν Κυζίκου ὡς λίαν αὐτῷ καὶ πρὸ τῆς βασιλείας πεφιλημένον, καὶ Μιχαὴλ τὸν Εὐχαΐτων καθ' αἷμα τούτῳ ἐγγίζοντα διὰ τὸ ἀναφέρειν τὸ γένος εἰς τοὺς λεγομένους Ῥαδηνούς. Ἰωάννην δὲ τὸν τοῦ Βασιλείου τοῦ βασιλέως πρωτονοτάριον, ἤδη τὴν κοσμικὴν κειράμενον τρίχα, μεταπεμψάμενος καὶ σύγκελλον τιμήσας τῇ τῆς ἑαυτοῦ συζύγου ἀδελφῇ Θεοδώρᾳ φρουρὸν κατέστησε. πολλοὺς δὲ καὶ τῶν λειτουργῶν τοῦ θεοῦ ἐκ τῶν ἀλληλεγγύων εἰς ἐσχάτην

45 die 15. mens. Nov. a. 1028   50 non multum post diem 15. mens. Nov. a. 1028   54 non multum post diem 15. mens. Nov. a. 1028

cap. 1: Zon. III, 573, 15—574, 13; Glyc. 580, 19—581, 2

ACEVBMNU DH   43 Ῥωμανὸς ὁ Ἀργυρός ACE: Ῥωμανός VN: Βασιλεία Ῥωμανοῦ τοῦ Ἀργυροπώλου U: Ἀρχὴ βασιλείας τοῦ Ἀργυροῦ M: om. B   46 τῇ ante Ζωῇ add. EMND   47 οὖν om. M   βασίλειον: βασιλικὸν B   θρόνον: θῶκον B   ἅμα om. A   48 ἀγαθοῖς om. B   49 πρότερον: πρῶτον U   50 εἰδὼς post πρόσοδον ACE, post ἐκκλησίας U   οὖν post ἅτε add. U   52/53 ὀγδοήκοντα — χορηγεῖσθαι ACEVB: ὀγδ. χρυσ. λίτρ. ἀνὰ πᾶν ἔτος χορ. MNUDH   54 καὶ post ἀπερρίζωσε add. ABU   55 ἐκένωσε om. B   57 καὶ ante τὰ add. B   καὶ ante ἀπελυτρ. add. U   58 ἐν Πατζινάκοις B   59 Ἐφέσιον U   61 τὸν: τῶν E   62 Ῥαδηνούς AMND: Ῥαδινούς CE: Ῥοδινούς U: Ῥωδινούς B   63 τοῦ pr. om. CU   τοῦ alt. om. B   66 καὶ om. M   66/67 εἰς — πενίαν CEVMN: εἰς ἐσχ. πεν. ἐλθ. ἀνεκτ. A: εἰς ἐσχ. ἐλθ. (ἐληλακότας U) πεν. ἀνεκτ. BU

ἐλθόντας ἀνεκτήσατο πενίαν, καὶ τοὺς ἄλλους δυσφοροῦντας καὶ πιεζομένους ἀπορίαις παραμυθίας ἠξίωσε. παρέσχε δὲ καὶ χρημάτων πλῆθος ἀριθμοῦ κρεῖττον ὑπὲρ σωτηρίας ψυχῆς τοῦ ἑαυτοῦ πενθεροῦ. ἠξίωσε δὲ παραπλησίως καὶ τοὺς ὅσοι κακῶς ἔπαθον ὑπ' αὐτοῦ, τοὺς μὲν εἰς ἀξιώματα προβιβάσας, τοὺς δὲ ἐν κτήμασι καὶ ἄλλους ἐν χρήμασι | παραμυθησάμενος. ἀνήγαγε δὲ καὶ εἰς τὸ λαμπρὸν τῶν μαγίστρων ἀξίωμα τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ Ῥωμανὸν τὸν Σκληρόν, ὃν ὁ Κωνσταντῖνος, ὡς εἴπομεν, ἀπετύφλωσεν. ἀνεκαλέσατο δὲ καὶ τῆς χρονίας ὑπερορίας Νικηφόρον τὸν Ξιφίαν, ὃς ἐθελοντὴς ἐν τῇ μονῇ τῶν Στουδίου τὸ τῶν μοναχῶν ἠμφιέσατο σχῆμα.

2. Κατὰ τοῦτον τὸν χρόνον ὕσεν ὁ θεὸς ὑετὸν σύμμετρον καὶ εὐφορία γέγονε τῶν καρπῶν, κατ' ἐξαίρετον δὲ τῆς ἐλαίας. ἐγένετο δὲ κατὰ τὴν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς ταραχὴ διὰ τὴν καθέδραν ἐν τῇ λειτουργίᾳ, μὴ καταδεξαμένων τῶν μητροπολιτῶν προκαθίσαι αὐτῶν τοὺς συγκέλλους ἐν τῷ συνθρόνῳ.

3. Κατὰ τοῦτον τὸν χρόνον διαβληθεὶς ὁ μάγιστρος Προυσιάνος ὁ Βούλγαρος κοινοπραγεῖν Θεοδώρᾳ τῇ τῆς βασιλίδος ἀδελφῇ καὶ τῆς βασιλείας ἀντιποιεῖσθαι εἰς τὸ τοῦ Μανουὴλ μοναστήριον φρουρεῖται. ἐπικρατησάσης δὲ τῆς κατηγορίας αὐτὸς μὲν ἀποτυφλοῦται, ἡ δὲ μήτηρ αὐτοῦ ἡ ζωστὴ τῆς πόλεως ἐκβάλλεται. καὶ Κωνσταντῖνος ὁ Διογένης, γαμβρὸς ὢν τοῦ βασιλέως ἐπὶ θυγατρὶ τοῦ ἀδελφοῦ αὐτοῦ Βασιλείου, ἀπὸ Σιρμίου μετατεθεὶς εἰς Θεσσαλονίκην γίνεται δούξ, κατηγορηθεὶς δὲ παρὰ Ὀρέστου τοῦ θεράποντος Βασιλείου τοῦ βασιλέως ὡς μελετῶν ἀποστασίαν, στρατηγὸς εἰς Θρᾳκησίους στέλλεται. φανερᾶς δὲ τῆς κατηγορίας γενομένης ἄγεται δέσμιος ἐν τῇ βασιλίδι καὶ ἐν πύργῳ βάλλεται. οἱ δὲ τούτου συνωμόται, ὁ πρωτονοτάριος Ἰωάννης καὶ σύγκελλος, ὁ πατρίκιος Εὐστάθιος καὶ στρατηγὸς ὁ Δαφνο- |

cap. 3: Zon. III, 574, 13—575, 7 ; Glyc. 581, 3—581, 12

ACEVBMNU DH 67 ἄλλους: ἄλλως U 68 παραμυθίαις E καὶ om. E 69 τοῦ ἑαυτοῦ πενθεροῦ ACEVBD: τῷ ἑαυτοῦ πενθερῷ MNU 70 καὶ post δὲ add. U παραπλησίως ACEVB: παρακλήσεως MNUDH ἐλέους post παραπλησίως add. B εἰς om. M 73 αὐτοῦ: αὐτῷ U 75 τῶν AVMNDH: τοῦ CEU 76 Στουδίου ACEVMNUD: Στουδίων BH 76 ἠμφιέσατο CVMN: ἠμφιάσατο ABUDH: ἠμφίεστο E 77 γοῦν ante τοῦτον add. B ἐμφορία E 78 καὶ post δὲ add. U 79 ἁγίας ACEVBNUD: om. MH πεντηκοστῆς: ἰνδικτιῶνος C 80 ἁγίᾳ ante λειτουργίᾳ add. U 82 Πρεασιάνος U 83 Βουλγαρίας B Θεοδώρᾳ post ἀδελφῇ A 84 σὺν αὐτῇ post βασιλείας add. MNUD 85 ἐπικρατησάσης — ἀποτυφλοῦται om. B τυφλοῦται A 86 ἡ om. M 87/88 ἐπὶ — Βασιλείου om. D 87 αὐτοῦ: τοῦ MN 88 Βασιλείου om. ACE τοῦ ante Σιρμίου add. A Σερμίου C εἰς Θεσσαλονίκην: τῆς Θεσσαλονίκης B γίνεται om. U 92 τούτου: τούτῳ B 93 Εὐστράτιος A Δαφνομήλης ACEVB: Δαφνομίλης MND: Δαφνομέλις U

μήλης, Μιχαὴλ Θεόγνωστος καὶ Σαμουὴλ οἱ τοῦ μαγίστρου Μιχαὴλ τοῦ Βούρτζη ἔκγονοι, Γεώργιός τε καὶ Βαρασβατζὲ ὁ ἐν τῷ ὄρει τῷ Ἄθῳ τὴν τῶν Ἰβήρων μονὴν συστησάμενος, οἱ τοῦ πατρικίου Θευδάτου ἀνεψιοί, δεινῶς τυφθέντες καὶ διὰ μέσης τῆς λεωφόρου παραπεμφθέντες ἐξορίᾳ παρεπέμφθησαν. κατηνέχθη δὲ καὶ Θεοδώρα τῶν ἀνακτόρων, καὶ εἰς τὸ λεγόμενον περιωρίσθη Πετρίον. Ὀκτωβρίῳ δὲ μηνὶ κατὰ τὴν τριακοστὴν πρώτην ἡμέραν τοῦ μηνὸς χύσις ἀστέρος ἐγένετο, ἐκ δυσμῶν πρὸς ἀνατολὴν τὴν πορείαν ποιοῦντος. καὶ κατ' αὐτὴν τὴν ἡμέραν πτῶσις οὐ μικρὰ γέγονε τοῦ Ῥωμαϊκοῦ στρατοῦ ἐν Συρίᾳ, στρατηγοῦντος τῆς μεγάλης Ἀντιοχείας Μιχαὴλ τοῦ Σπονδύλη. ἐγένετο δὲ καὶ ὄμβρων ἐπίκλυσις, ἐπικρατήσασα ἕως τοῦ Μαρτίου μηνός, τῶν ποταμῶν ὑπερχυθέντων καὶ τῶν κοίλων πελαγισάντων, ὡς ἀποπνιγῆναι σχεδὸν πάντα τὰ ζῷα καὶ τοὺς καταβληθέντας καρποὺς τῇ γῇ καὶ διὰ τοῦτο λιμὸν κατὰ τὸν ἐπιόντα χρόνον ἐπακολουθῆσαι δεινόν. βουλόμενος δὲ ὁ βασιλεὺς τὸ γεγονὸς ἐν Συρίᾳ ἀτύχημα ἐξιάσασθαι, ὥρμητο κατὰ τῆς Βερροίας ἐκστρατεῦσαι. ἐκπέμπει γοῦν μετ' εὐζώνου δυνάμεως Κωνσταντῖνον πατρίκιον τὸν Καραντηνὸν τὸν ἐπ' ἀδελφῇ τούτου γαμβρόν, ἀπελθεῖν ἐπισκήψας καὶ κατασκοπῆσαι τὰς εἰσόδους καὶ κατὰ τὸ δυνατὸν πημαίνεσθαι τοὺς ἐχθρούς, παρατάξεως δὲ καθολικῆς ἀπέχεσθαι μέχρι τῆς αὐτοῦ παρουσίας. ἐν ὅσῳ δὲ ὁ στρατὸς αὐτῷ συνηθροίζετο, ὁ μὲν τῆς Ἀβασγίας ἄρχων Γεώργιος νόσῳ τελευτᾷ, ἡ δὲ τούτου σύνοικος πρέσβεις ἐς βασιλέα στείλασα μετὰ δώρων | σπονδάς τε εἰρηνικὰς ἐζήτει καὶ τῷ ταύτης υἱῷ τῷ Παγκρατίῳ τὴν συνοικήσουσαν. ἧς τὴν πρεσβείαν ἀποδεξάμενος ὁ βασιλεὺς τάς τε σπονδὰς ἐκύρωσε καὶ Ἑλένην τὴν ἑαυτοῦ ἀνεψιάν, τὴν θυγατέρα τοῦ ἀδελφοῦ αὐτοῦ Βασιλείου, νύμφην ἐς Ἀβασγίαν ἀπέστειλε, τὸν νυμφίον Παγράτιον ἐς τῶν κουροπαλατῶν ἀναβιβάσας τὸ ὕψος.

4. Κατὰ τοῦτον τὸν χρόνον γέγονέ τι τεράστιον παράδοξον ἐν τῷ θέματι τῶν Θρᾳκησίων, περὶ τὰς ὑπωρείας τοῦ ὄρους Κουζηνᾶ, ἐν ᾧ

4 a. 1029 **14** a. 1030 **23** ante mens. Aug. a. 1030

cap. 4: Zon. III, 575, 8—576, 7; Glyc. 581, 12—582, 16

ACEVBMNU DH **95** ἔγγονοι B **2** παραπεμφθέντες ACEVMND: πεμφθέντες U: πομπευθέντες B **3** ἐξορίᾳ ACEVB: ἐξορίαις MNUDH παρεπέμφθησαν: παρεδόθησαν A **4** Πετρίον περιωρίσθη M **5** λα' CMNU: λ' B ἡμέραν om. ACEDH **6** ἀνατολὰς B κατ' αὐτὴν: κατὰ ταύτην B **7** γέγονεν οὐ μικρὰ A ἐν Συρίᾳ om. MNUDH **10** ὑπερχυθέντων ACEVB: ἐκχυθέντων MNUDH Glyc. 581, 8 καὶ τῶν κοίλων: κἀν ταῖς κοιλάσι B **11** τι post σχεδόν add. MNU τὰ ζῷα: ζῷον D **12** κατὰ om. M **13** τὸ ἐν Συρ. γεγ. U **14** γοῦν: οὖν B **15** Καραντινὸν BU **16** ἐπελθεῖν U **20** ἐς ACEVB: εἰς DH: ὡς MNU **21** τῷ alt. om. AMNUDH **22** δεξάμενος CB **23** ἑαυτοῦ: ἰδίαν A **24** αὐτοῦ ACEVBU: τοῦ MNDH εἰς BUDH **25** ἐς — ὕψος: εἰς τὸ τῶν κουρ. ἀναβ. ὕψος (ἀξίωμα B) BU κουροπαλάτων V **27** ὑπερορείας B τοῦ ante Κουζ. add. MNUDH Glyc. 581, 14 Κουζινᾶ BU

πηγὴ ἦν καλλίστου καὶ διειδοῦς ὕδατος. φωνή τις ἐξηκούετο μετὰ ὀδυρμοῦ καὶ οὐαὶ καὶ θρήνων, παρεμφερὴς ὀλοφυρμῷ γυναικός. καὶ οὐχ ἅπαξ ἢ δὶς τοῦτο, ἀλλ' ἀπὸ Μαρτίου μηνὸς ἄχρις Ἰουνίου αὐτοῦ καθ' ἡμέραν καὶ νύκτα. ἀπιόντων δέ τινων ἐπὶ κατασκοπῇ πρὸς τὸν τόπον, ἔνθα ἡ φωνὴ ἐξηχεῖτο, ἀλλαχοῦ μετέπιπτεν ἡ ὀλολυγή. τοῦτο δέ, ὡς ἔοικε, προεμήνυε τὴν φθάσασαν ῥηθῆναι ἀτυχίαν τῶν Ῥωμαίων ἐν τῇ Κοίλῃ Συρίᾳ. τοῦ γὰρ βασιλέως Νικηφόρου τὰς πλείστας Συρίας καὶ Φοινίκης πόλεις παραστησαμένου, καὶ τοῦ μετ' αὐτὸν Ἰωάννου τὰ ἑαλωκότα κρατυναμένου καὶ μέχρι Δαμασκοῦ τὴν ἐπικράτειαν παρατείναντος, ἐπείπερ ὁ μετ' αὐτοὺς Βασίλειος πρότερον μὲν ὑπὸ τῶν ἐμφυλίων ἀσχολούμενος πολέμων, ὕστερον δὲ καὶ τοῖς κατὰ τοῦ Σαμουὴλ ἔργοις προσλιπαρῶν οὐκ ἔσχεν εὐκαιρίαν καλῶς καὶ ὡς ἐνεδέχετο τὰ ἐν τῇ ἑῴᾳ κατασφαλίσασθαι, ἀλλ' ὅσον ἐν φαντασίᾳ γενόμενος ἐκεῖσε, καὶ ὡς ὁ καιρὸς ἀπῄτει ταῦτα καταστησάμενος, εἶθ' ὑποστρέψας καὶ ἀσχολίαν ἔμμονον ἔχων καὶ φροντίδα τὸ τῶν | Βουλγάρων ὑποτάξαι γένος, ἀφορμὴ γέγονε τοῦ τὸν ζυγὸν ἀπορρῖψαι τὰς δυνατωτέρας τῶν πόλεων καὶ τὴν ἑαυτῶν ἀναζητεῖν ἐλευθερίαν. ἀλλ' ἕως μὲν οὗτος περιῆν, ἐμελετᾶτο μὲν ἡ ἀπόστασις, κρύβδην δὲ καὶ οὐ φανερῶς. τούτου δὲ τὸ χρεὼν ἀποτίσαντος, καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Κωνσταντίνου ἀμελῶς βασιλεύοντος καὶ ῥαθύμως, καὶ ἐπ' ἐκείνοις ἔχοντος τὸν σκοπόν, ἅπερ ὁ λόγος φθάσας ἐστηλογράφησε, τῶν δ' ἄλλων ὀλιγωρίαν κατασκεδάσαντος οὐ τὴν τυχοῦσαν, ἀδείας οἱ Σαρακηνοὶ λαβόμενοι τάς τε ἐν ταῖς πόλεσι φρουρὰς ἐξεπόρθησαν, ἀνελόντες καὶ τοὺς φρουρούς, κατ' ἐξαίρετον δὲ ὁ τῆς Βερροίας ἀρχηγός, ἣν καὶ Χάλεπ καλοῦσιν. ἐκδρομάς τε γὰρ ἐποίει συνεχεῖς, καὶ τὴν Ἀντιόχειαν ἐκάκου καὶ τὰ ὁμοροῦντα ἔθνη καὶ πρόσοικα τὰ τοῖς Ῥωμαίοις ὑπήκοα. πρὸς ὃν Σπονδύλης, τῆς Ἀντιοχείας, ὡς εἴρηται, κατάρχων ἐκστρατεύει ἔτι περιόντος τοῦ Κωνσταντίνου, βουλόμενος τάχα νεανικόν τι καὶ γενναῖον ἐνδείξασθαι. καὶ συμ-

ACEVBMNU DH 28 ἦν ACEVB: ἐστι MNUDH Glyc. 581, 15 γὰρ post φωνὴ add. B οἰκτρὰ post ἐξηκούετο add. MNUH Glyc. 581, 15 ὀδυρμῶν MNUDH Glyc. 581, 16 30 ἢ: καὶ C ἀλλὰ U ἄχρι CB αὐτοῦ om. B 31 ἐπὶ — τόπον ACEVB: ἐπὶ τῷ (τὸ D) κατασκοπῆσαι τὸν τόπον MNUDH Glyc. 581, 19 32 ὀλυγή MN 34 τῆς ante Συρίας add. U 35/36 καὶ — κρατυναμένου om. M 37 πρότερον: πρῶτον B 38 ἀσχολούμενος: ἐνοχλούμενος B καὶ om. B 38/39 τοῖς ... ἔργοις: ταῖς ... μάχαις A 38 τοῦ AEVMN: τὸν CB: om. U 39 προσλιπαρῶν: προσταλαιπωρῶν A εὐκαιρίαν: εὐχέρειαν B ἐνεδέχετο: ἔδει AB 40 ἑῴᾳ ACEB: ἑῴῳ MN: ἕῳ VUDH καὶ om. U 43 τὰς τῶν δυνατωτέρων πόλεων V 44 ἑαυτοῦ C ἀναζητεῖν ACEVB: ἀναζητῆσαι MNUDH 45 ἀποστασία BU δὲ: μὲν U φανερά B τὸ ACEVBN: τοῦ M: τῷ U 46 ἀποτίσαντος: λειτουργήσαντος U αὐτοῦ om. U 47 βασιλεύσαντος U 48 ἐδηλογράφησε E κατασκεδάσαντος post 49 τυχοῦσαν B 49/50 τάς ... φρουρὰς: τούς ... φρουρούς C 49 τε om. B 50 κατ' ἐξαίρετον: ἐξαιρέτως B 51 ὁ: καὶ C ἀρχηγός: ἄρχων M 52 γὰρ om. M τὴν Ἀντιόχου U ὁμηροῦντα B 53 τοῖς om. MNUDH Ῥωμαίοις ACEVBMN: Ῥωμαίων UDH ὁ ante Σπονδ. add. BMNUDH 53/54 τῆς Ἀντιόχου U

βαλὼν τῷ τῆς Βερροίας ἐξηγουμένῳ ἡττᾶται, καὶ πολὺς μὲν γίνεται τῶν σὺν αὐτῷ φθόρος, αὐτὸς δὲ αἴσχιστα εἰς Ἀντιόχειαν διασῴζεται. κατεστρατήγησε δ' αὐτόν καί τις Ἄραψ, Μουσάραφ τὴν προσηγορίαν, τρόπῳ τοιῷδε. οὗτος γὰρ ὁ Μουσάραφ δορυάλωτος κατεχόμενος ἐν Ἀντιοχείᾳ (ἦν γὰρ κατασχεθεὶς ὑπὸ Πόθου τοῦ Ἀργυροῦ), ἐπείπερ αἱ τῆς ἡγεμονίας ἡνίαι εἰς τὸν Σπονδύλην μετέπεσον, κατανενοηκὼς τὸν ἄνθρωπον εὐρίπιστον, ὑπέσχετο μεγάλα χρησιμεῦσαι Ῥωμαίοις, εἰ ἀνεθείη τῶν δεσμῶν, καὶ πάντα ἐπιτελέσειε τὰ κατὰ σκοπόν. τά τε γὰρ ὁμόφυλα κακῶσαι κατεπ|ηγγέλλετο, καὶ τόπον ὑποδεικνύς, εἰ φρούριον ἐν αὐτῷ δομηθείη καὶ αὐτῷ παραδοθείη, οὐ μικρὸν ὄφελος ἔσεσθαι Ῥωμαίοις. οὗ τὰς ῥᾳδιουργίας μὴ συνεὶς ὁ Σπονδύλης τῶν τε κλοιῶν ἀφῆκεν αὐτόν, καὶ τὸ φρούριον, ὡς ἐκέλευεν, ἐδομήσατο, καὶ αὐτῷ τὴν φυλακὴν ἐπετρέψατο, χιλίους φρουροὺς ἐγκαταστήσας ἐν τούτῳ Ῥωμαίους. ὁ δὲ Μουσάραφ τυχών, οὗπερ ηὔχετο καιροῦ, λάθρᾳ τῷ Τριπόλεως ἀμηρᾷ καὶ Τούσβερ τῷ ἀρχιστρατήγῳ τοῦ Αἰγυπτίου προσδιαλεχθείς, λαὸν ὑπ' αὐτῶν πεμφθέντα δεξάμενος τούς τε χιλίους ἀναιρεῖ καὶ τὸ φρούριον αὐτοῖς παραδίδωσι. καὶ οὐ διέλιπον ἐξ ἐκείνου ἐξ ὑπερδεξίων φερόμενοι οἱ Σαρακηνοὶ διαφθείρειν τὰ ἐν Συρίᾳ Ῥωμαίοις ὑπήκοα καὶ λυμαίνεσθαι.

5. Ἀλλὰ τοῦτον μὲν ὁ Ῥωμανὸς μεθίστησι τῆς ἀρχῆς, διάδοχον αὐτοῦ πέμψας Κωνσταντῖνον τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ τὸν Καραντηνόν, ηὐτρεπίζετο δὲ καὶ αὐτὸς κατόπιν ἀπελθεῖν κατὰ τῶν Σαρακηνῶν. ἤδη δὲ τὸ Φιλομίλιον καταλαβόντος αὐτοῦ ἦλθον πρέσβεις ἐκ Βερροίας μετὰ δώρων ὅτι πολλῶν, παρακαλοῦντες συμπαθείας τυχεῖν καὶ τὴν πρὶν δουλείαν ἐπαναδέξασθαι καὶ τοὺς ἐτησίους εὐγνωμόνως προσφέρειν φόρους. πολλῶν δὲ κἀγαθῶν στρατιωτῶν τῶν συστρατευομένων αὐτῷ παρακαλούντων τὴν πρόκλησιν δέξασθαι, ὧν εἷς ἦν καὶ ὁ πατρίκιος Ἰωάννης ὁ Χάλδος, καὶ μὴ ἐκστρατεῦσαι κατὰ Συρίας

cap. 5: Zon. III, 576, 8–578, 4; Glyc. 582, 17–583, 9

ACEVBMNU DH   **56** γίνεται μὲν V   γίνεται post **57** φθόρος A   **57** δ' U   αἴσχιστα post Ἀντιόχειαν A   τὴν post εἰς add. U   **58** δ' αὐτόν: δὲ τοῦτον A   **59** γὰρ om. B   ὁ om. ACE   **62** ὡς ante εὐρίπιστον add. MNUD   μεγάλως B   **63** ἀνεθῇ B   **64** ὑποδεικνύς CEVMNU: ὑπεδείκνυ λέγων A: ἐπιδεικνὺς ἔλεγεν, ὡς B   **65** ἔσεσθαι: ἔσεται B   **67** ἐκέλευεν CVMNU: ἐκέλευσεν AEBDH   **68** ἐν om. B   **68/69** Ῥωμαίους ἐν τούτῳ U   **69** Τριπόλεως ACVBMND: Τριπολίτῃ EUH   **71** αὐτῶν ACEVB: αὐτοῦ MNUDH   **72** αὐτοῖς ACEVBU: αὐτῷ MNDH   **73** Συρίᾳ om. M   **75** ὁ Ῥωμανός post ἀρχῆς B   **77** ἀπελθεῖν: ἐλθεῖν AB   κατὰ om. CEU   **78/79** αὐτοῦ — Βερροίας: αὐτοῦ ἐκ Βερρ. ἧκον πρέσβεις A   **80–82** ἐπαναδέξασθαι – πρόκλησιν: ἐπαναδέξασθαι καὶ οὐκ ὀλίγοι τῶν ἐν ὑπεροχαῖς τῷ βασιλεῖ συνεβούλευον τὴν πρεσβείαν B   **80** ἐτησίους: ἐτησίως διδομένους αὖθις A   **81** φόρους post **80** ἐτησίους U   **81** κἀγαθῶν: ἀγαθῶν M   τῶν om. MNUDH   **82** καὶ ante παρακαλούντων add. U

ἐν καιρῷ θέρους, ὁπότε τό τε ὕδωρ ἐν αὐτῇ σπανίζει καὶ τὸ τῶν Ἀράβων ἔθνος ἀνυπόστατόν ἐστιν, οἷα | ἐνειθισμένον φέρειν γενναίως τὰ ἐγχώρια θάλπη καὶ τοὺς φλογμοὺς καὶ τοὺς καύσωνας, οἱ δὲ Ῥωμαῖοι πανοπλῖται τυγχάνοντες οὐ τληπαθῶς ἔχουσι πρὸς τὴν ὥραν, μηδενὸς ἐπιστροφὴν ποιησάμενος, ἀλλ' ἐξ ὑπογύου τὰ τῶν πρὸ αὐτοῦ βασιλέων ἔχων ἀνδραγαθήματα, καὶ σπεύδων ἀνδρῷόν τι καὶ αὐτὸς ἐπιδείξασθαι, ἄπεισιν ἐν Συρίᾳ. καὶ στρατοπεδείαν πηξάμενος ἔν τινι φρουρίῳ δύο ἡμερῶν ὁδὸν Βερροίας ἀπέχοντι (Ἀζάζιον ὄνομα τῷ φρουρίῳ) ἐσκόπει τὸ μέλλον. ἐν ᾧ κατεσκηνωμένος τὸν τῶν ἐξκουβίτων ἄρχοντα τὸν πατρίκιον Λέοντα τὸν Χοιροσφάκτην μετὰ τοῦ οἰκείου τάγματος ἐπὶ κατασκοπῇ στέλλει, εἴ τινές τε ἐπίοιεν κατοψόμενον Ἄραβες, καὶ ὅπῃ δὴ λυσιτελὲς μεταθεῖναι τὴν στρατοπεδείαν. ἀλλὰ τοῦτον οἱ ἐνεδρεύοντες καὶ τὰ ἐν μεταξὺ πεδία φυλάσσοντες Ἄραβες καιροσκοπήσαντες καὶ αἰφνίδιον ἐπιθέμενοι κατέσχον, τὸν δὲ μετ' αὐτοῦ λαὸν διεσκέδασαν. ἐς τοσοῦτον δὲ προῆλθον τόλμης καὶ ἀναιδείας, ὡς καὶ ἀναφανδὸν ἐπικόπτειν Ῥωμαίοις τὴν χορτολογίαν καὶ τὴν τῶν ἄλλων ἀναγκαίων συλλογήν. πλέον δ' αὐτοὺς ἐκάκουν ἐν τοῖς ὕδασι· πιεζόμενοι γὰρ οἱ Ῥωμαῖοι καὶ ἡ τούτων ἵππος καὶ τὰ ὑποζύγια, ὑπὸ τῆς ἀνάγκης τοῦ δίψους εἰς προφανῆ ἑαυτοὺς συνώθουν τὸν κίνδυνον, καὶ ἁλισκόμενοι ἀπώλλυντο. τότε δὴ καὶ Κωνσταντῖνος πατρίκιος ὁ Δαλασσηνὸς ἐκπεμφθεὶς ἀνακόψαι τοὺς ἐπεμβαίνοντας καὶ ἀνδρικόν τι καὶ γενναῖον διαπράξασθαι, καὶ τούτοις συμπλακεὶς καὶ ἀκόσμως φυγὼν μεγάλης συγχύσεως καὶ ταραχῆς τὰ Ῥωμαίων | ἐνέπλησε καὶ τὸν βασιλέα αὐτόν. ἐπανελθόντος γὰρ αὐτοῦ τεθορυβημένου καὶ τὸ στρατόπεδον ἅπαν ταραχῆς ἐμφορήσαντος καὶ ἀκοσμίας, οὐκέτι τοῦ λοιποῦ λόγος μάχης ἐτύγχανεν, ἀλλ' ἕκαστος, ὥς πῃ δυνατὸν ἦν, τὴν ἑαυτοῦ ἐπραγματεύετο σωτηρίαν. βουλῆς οὖν προτεθείσης, ἔδοξεν ἕωθεν δια-

12 aestate a. 1030

ACEVBMNU DH **84** τε om. C τὸ ante ὕδωρ add. E σπανίζοι U **85** ἔθνος: γένος U **86** τοὺς pr. om. B **87** οὐ om. B ὁ δὲ ante μηδενὸς add. B **89** ἀνδρῷόν τι ACEUH: ἀνδρῷά τι VMND: ἀνδρῶδές τι B ἀνδρῷόν (vel ἀνδρῷά vel ἀνδρῶδές) — αὐτὸς ACEVB: καὶ αὐτὸς ἀνδρῷόν τι UH: καὶ αὐτὸς ἀνδρῷά τι MND **91/92** δύο — φρουρίῳ om. BM **91** ὁδὸν om. EN **92** ἐξκουβιτῶν AH (sed non D) **94** κατασκοπῇ ACEVBND: κατασκοπὴν U: κατασκοπῆσαι M τε om. U **95** ὅποι U **1** ἐνεδρεύοντες ACEVB: προσεδρεύοντες MNUDH ἐν ACEVBUD: om. MN τῷ ante μεταξὺ add. BU **2** τὸν δὲ: καὶ τὸν U **3** εἰς U **4** καὶ om. VUDH ἐπισκώπτειν VU Ῥωμαίους U **6** ἡ τούτων ἵππος: οἱ τούτων ἵπποι A **8** ἀπώλλυντο ACVB: ἀπώλοντο E: προσαπώλλυντο MNUH: προσαπώλοντο D ὁ ante Κωνστ. add. B **9** ἐπιβαίνοντας BU Ἄραβας ante καὶ add. MNUDH **10** καὶ ante τούτοις om. U **11** συγχύσεως καὶ ταραχῆς ACEVB: ταραχῆς καὶ συγχύσεως MNUDH **12** ἐπελθόντος U αὐτοῦ BMNU: τοῦ V: om. ACE **13** ἐμφορήσαντος post ἀκοσμίας A **14** λόγος μάχης VBMNU: μάχης λόγος ACE ὥς πῃ: ὥσπερ B **15** διαλύσαντες U

λύσαντας τὴν τάφρον ἐπαναζευγνύειν εἰς Ἀντιόχειαν. καὶ δὴ κατὰ τὴν δευτέραν τοῦ Αὐγούστου μηνός, ἰνδικτιῶνος τρισκαιδεκάτης, ἔτους ἑξακισχιλιοστοῦ πεντακοσιοστοῦ τριακοστοῦ ὀγδόου, κατὰ τὰ βεβουλευμένα τὰς τῆς στρατοπεδείας ἀνοίξαντες πύλας ἁπανταχῇ τῆς ἐπ' Ἀντιόχειαν εἴχοντο, οἱ πλείους μὲν κοιλιακῷ κατειργασμένοι νοσήματι, οἱ πλείους δὲ καὶ ὑπὸ τῆς ἀνάγκης τοῦ δίψους κατειργασμένοι. οἷς ἐξελθοῦσι τῆς παρεμβολῆς μετὰ ῥύμης οἱ Ἄραβες ἐπιτίθενται. τῶν δὲ μηδ' ὅλως ὑποστάντων τὴν ὁρμήν, γίνεται τροπὴ φρικωδεστάτη, καὶ οἱ μὲν ὑπ' ἀλλήλων ἐπατοῦντο καὶ διεφθείροντο, οἱ δὲ ζωγρίαι ἡλίσκοντο. ἔνθα τι καὶ συνέβη χαρίεν γενέσθαι. τῶν γὰρ στρατηγῶν, οἷς ἐπ' ἀνδρείᾳ ὄνομα ἦν, καὶ τῶν στρατιωτῶν μηδενὸς ὑποστῆναι τολμῶντος τὸν κίνδυνον, ἀλλ' ἀκλεῶς ἀποδιδρασκόντων, εὐνοῦχός τις τῶν θαλαμηπόλων τὴν ἑαυτοῦ φερομένην ἰδὼν ἀποσκευὴν καὶ τοὺς ὑπηρέτας, καὶ μὴ ἐνεγκὼν μετρίως τὸ πάθος, τὸν ἵππον τῇδε κἀκεῖσε συνταράξας ἔπεισι μετὰ σφοδρᾶς ὁρμῆς κατὰ τῶν Σαρακηνῶν, καὶ τόξον ἐντείνας βάλλει μὲν ἕνα, τρέπει δὲ τοὺς ἄλλους, καὶ τὰ ἑαυτοῦ ἑλὼν ὑπέστρεψε γεγηθώς

οὐκ ἐμπειρίᾳ πολεμικῇ, ἀλλ' ἔρωτι χρημάτων τῆς ἑαυτοῦ ἀλογίσας ζωῆς ὁ ταλαίπωρος τομίας, τοῦ χρημάτων ἔρωτος τὸν τῆς ζωῆς κίνδυνον ἐξώσαντος ὡς πορρωτέρω.

ὁ δὲ βασιλεὺς ἐγγὺς ἐλθὼν τοῦ ἁλῶναι περισῴζεται εἰς Ἀντιόχειαν, ἐκθύμως ἀγωνισαμένων τῶν βασιλικῶν ἑταίρων καὶ διασωσάντων ἑαυτούς τε καὶ τὸν βασιλέα. |

6. Τότε δὴ Γεωργίου τοῦ Μανιάκη τοῦ θέματος στρατηγοῦντος Τελούχ, Ἄραβες ὀκτακόσιοι μετὰ γαύρου τοῦ φρονήματος ὑποστρέψαντες ἀπὸ τῆς τροπῆς καὶ πρὸς αὐτὸν παραγενόμενοι εἴκειν τὴν ταχίστην ἐκέλευον καὶ τὴν πόλιν καταλιπεῖν τοῦ βασιλέως ἑαλωκότος καὶ παντὸς τοῦ Ῥωμαϊκοῦ στρατεύματος ἄρδην ἀπολωλότος, καὶ μὴ ἑαυτὸν προφανεῖ κινδύνῳ ἐκδεδωκέναι. ἡμέρας γὰρ διαλαμπούσης οἰκτρῶς αὐτός τε καὶ οἱ σὺν αὐτῷ ἀπολοῦνται περιστοιχηθέντες. ὁ δὲ δέχεσθαι

ACEVBMNU DH **17** δευτέραν VB: β' ACE: δεκάτην MNUD: ι' H ιγ' ACEBMNU ἔτει E **18** ,ςφλη' ACEBMNU **19** τὰς om. E ἀνοίξαντες — ἁπανταχῇ (ἁπανταχῇ: ἅπαντες U) VBMNU: πύλας ἀνοίξ. ἁπανταχοῦ ACE **20** οἱ πλείους ACEVD: πολλοὶ B: οἱ λοιποὶ U: οἱ ὑπόλοιποι MN **21** τῆς τοῦ δίψους ἀνάγκης B κατειργασμένοι ACEVD: καταπεπονημένοι U: ἐκτετηγμένοι B: τεταριχευμένοι MN **23** τὴν ὁρμὴν ὑποστάντων B **24** ὑπ' ἀλλήλων om. E **25** ἔνθα — γενέσθαι om. U γενέσθαι χαρίεν B **26** μεγάλῃ post ἀνδρείᾳ add. U, μέγα add. MNDH τολμῶντος ACEBM: τολμώντων VNUDH **27** ἀκλεῶς VBMNU: ἀγεννῶς ACE βασιλικῶν ante θαλαμηπ. add. MNUDH **31** ἑλών: λαβὼν M **33/34** interpol. U **35** βασιλεὺς om. V **36** ἑταιρειῶν U **38** καὶ ante Γεωργίου add. E Μανιάκη VBMN: Μανιακ' E: Μανιαξ' C: Μανιάκου A: Μανιακοῦ U **41** καταλιμπάνειν B καὶ alt. om. C **42** στρατεύματος: στρατοῦ BM ἄρδην om. ACE ἀπολωλότος om. A **43** δεδωκέναι U οἰκτρῶς post **44** αὐτῷ U **44** περιστοιχισθέντες AB

τάχα τὴν παραίνεσιν δόξας καὶ ποιήσειν τὸ κελευόμενον ὑποπτευθείς, σῖτά τε καὶ ποτὰ τούτοις ἀποχρώντως ἐκπέμψας διαναπαύειν ἐκέλευεν ἑαυτούς, ὡς ἅμ' ἡμέρᾳ αὐτὸς μὲν σὺν τοῖς συνοῦσιν αὐτῷ ἀπαλλαγήσεται, αὐτοὺς δὲ κυρίους καταστήσει τῆς πόλεως Τελοὺχ καὶ πάντων τῶν Ῥωμαϊκῶν χρημάτων. οἱ δὲ τοῖς τε λόγοις καὶ τοῖς ἔργοις φενακισθέντες, καὶ ὡς αὔριον τάχα ἀπολήψεσθαι τὰ πάντα ὑπειληφότες, πρὸς πότους καὶ μέθας ἐτράπησαν καὶ ἐν πάσῃ ἀδείᾳ καὶ ἀμεριμνίᾳ διενυκτέρευον. ὁ δὲ περὶ μέσας νύκτας οἰνωμένοις αὐτοῖς καὶ ἀφροντίστως ἐπιτίθεται κοιμωμένοις, καὶ τούτους μὲν πάντας ἀπέσφαξεν, ὑφείλετο δὲ καὶ διακοσίας ὀγδοήκοντα καμήλους πεφορτωμένας καὶ πλήρεις ἀγαθῶν παντοίων Ῥωμαϊκῶν. τὰς δὲ ῥῖνας καὶ τὰ ὦτα τῶν πεσόντων ἀποτεμὼν διεκόμισεν ἐν Καππαδοκίᾳ τῷ βασιλεῖ, ἤδη ἀπὸ τῆς φυγῆς κατειληφότι τὸν τοῦ Φωκᾶ οἶκον καὶ ἐν αὐτῷ διατρίβοντι. ὃν ὁ βασιλεὺς τοῦ ἔργου ἀποδεξάμενος κατεπάνω τῆς κάτω Μηδίας ἀποδείκνυσιν. |

7. Ἀπαίρων δὲ τῆς Συρίας δομέστικον μὲν τῶν σχολῶν ἀποδείκνυσι Συμεὼν τὸν τοῦ πενθεροῦ αὐτοῦ Κωνσταντίνου θεράποντα, ἡγεμόνα δὲ Ἀντιοχείας Νικήταν τὸν ἐκ Μισθείας. τούτοις ἐνετείλατο κατὰ τὸ δυνατὸν ἀποπειρᾶσθαι τοῦ παρὰ τοῦ Μουσάραφ κτισθέντος φρουρίου, ᾧ Μενῖκος ὄνομα, μή πως δυνηθεῖεν ἀπαλλάξαι Συρίαν τῶν ἐκ τοῦ Μουσάραφ ἐπιδρομῶν. ἀφυῶς δὲ τούτων καὶ ἀμαθῶς ἐπιχειρησάντων τῇ πολιορκίᾳ, νυκτὸς ὁ Μουσάραφ ὑπεκδραμὼν τοῦ φρουρίου τάς τε ἑλεπόλεις ἐνέπρησε καὶ τούτους ἐκεῖθεν αἰσχρῶς ἀπεδίωξεν. ὅπερ πυθόμενος ὁ βασιλεύς, καὶ μὴ φέρων τὴν ὕβριν, Θεόκτιστον πρωτοσπαθάριον, ἕνα τῶν πιστικωτάτων αὐτῷ ὑπάρχοντα διακόνων καὶ μέγαν ἑταιρειάρχην τῷ τότε χρηματίζοντα, μετὰ δυνάμεως ἁδρᾶς Ῥωμαίων τε καὶ ἐθνικῶν κατὰ Συρίας ἐκπέμπει, στρατηγὸν αὐτοκράτορα τοῦτον προχειρισάμενος, καὶ ἐπισκήψας τῷ Τριπόλεως συμμῖξαι ἀμηρᾷ Πινζαρὰχ

59 a. 1030

ACEVBMNU DH **45** ὑποπτευθείς ACEVMN: ἐλπισθείς B: om. U **46** σῖτόν A **47** ἑαυτούς: αὐτούς U ἅμα BU ἀπαλλαγησόμενος B **48** αὐτοὺς VBMNU: τοὺς ACE καταστήσων B **50** ὑπειληφότες AEVMNU: ὑπειληφότος C: προσδοκῶντες B **53** ἀφείλατο B καὶ alt. om. M διακοσίους BMU **54** πεφορτωμένας CVMNU: πεφορτισμένας AB: πεφορτημένους E καὶ om. MN (sed non D) παντοίων ἀγαθῶν M **54/55** Ῥωμαϊκῶν παντοίων A **55** τῶν πεσόντων post ῥῖνας A διατεμὼν U **56** διασωθεὶς post φυγῆς add. MN (sed non D) **57** τοῦ pr. om. E διατρίβοντα C **59** μὲν om. U **60** τοῦ πενθεροῦ: αὐτοῦ πενθερὸν V αὐτοῦ ACEBUD: τοῦ MN **63** Μενῖκος CEVMN: Μένικος AU: Μενίκος B **63/64** Συρίαν — ἐπιδρομῶν ACEVMN: Συρ. τῆς ἐκ τοῦ Μουσ. ἐπιδρομῆς B: Συρ. ἐκ τῶν τοῦ Μουσ. ἐπιδρομῶν U **64** ἀμαθῶς post **65** πολιορκίᾳ A **65** ὑπεκδραμὼν MNUD: ὑποδραμὼν CEV: ἐκδραμὼν B: ἐπιδραμὼν A ἐκ ante τοῦ add. A τε om. U **66** ἐκεῖθεν αἰσχρῶς CEVBUD: αἰσχρῶς ἐκεῖθεν AMN ἐδίωξεν A **67** καὶ om. B **68** πιστοτάτων U **69** τῷ om. ACE **71** Τριπολίτῃ E

καὶ μετ' αὐτοῦ τὰ τῶν Ἀράβων λυμαίνεσθαι. ἔτυχε γὰρ οὗτος ὁ Πινζαρὰχ διά τι πρόσκρουσμα πρὸ μικροῦ ἀποστατῆσαι τοῦ Αἰγυπτίων ἀμερμουμνῆ καὶ ὅπλα κινῆσαι κατ' αὐτοῦ. καὶ τοῦ Αἰγυπτίου τὸν Τοῦρκον Τοῦσπερ, ἄρχοντα τυγχάνοντα τῶν αὐτοῦ ταγμάτων, μετὰ χειρὸς ἀξιολόγου ἐπὶ καθαιρέσει τοῦ Πινζαρὰχ πεπομφότος, ὡς οὗτος ᾔσθετο μὴ ἀξιόμαχος εἶναι αὐτὸς καθ' αὐτὸν τῇ τῶν Αἰγυπτίων συμπλακῆναι δυνάμει, τῷ βασιλεῖ Ῥωμαίων προσρύεται καὶ ὁμαιχμίαν αἰτεῖ. οὗ τὴν αἴτησιν μὴ παριδὼν ὁ Ῥωμανὸς τὸν Θεόκτιστον μετὰ πλήθους ἀξιολόγου ἐξέπεμψε, συμμαχίαν τε παρασχεῖν τῷ Πινζαρὰχ | κελεύσας, καὶ ἐκ παρόδου τοῦ φρουρίου Μενίκου ἀντιποιεῖσθαι. ὃς ἀπελθὼν καὶ συμμίξας τῷ Πινζαρὰχ ἔργου εἴχετο. καὶ ὁ μὲν Αἰγυπτίων ἀρχιστράτηγος Τοῦσπερ τῷ αἰφνιδίῳ τῆς ἐφόδου καὶ τῷ πλήθει καταπλαγεὶς οἴκαδε ὑπενόστησεν. οὐκ ἤνεγκε δὲ οὐδ' ὁ Μουσάραφ τὴν ἐπέλευσιν τῶν πολεμίων, ἀλλὰ τὸν Μενῖκον ἀφεὶς ἔφυγε καὶ περὶ τὰ ὅρια Τριπόλεως συσχεθεὶς ἀνῃρέθη. παρειλήφασι δὲ οἱ περὶ τὸν Θεόκτιστον αὐτό τε τὸ φρούριον τὸν Μενῖκον, παραδοθέντα αὐτοῖς ὑπὸ ἀδελφόπαιδος τοῦ Μουσάραφ, καὶ ἕτερον φρούριον ἐπί τινος ἀποτόμου κείμενον πέτρας, τὸ λεγόμενον Ἀργυρόκαστρον. ταῦτα δὲ οὕτω καταστησάμενος ὁ Θεόκτιστος εἰσῆλθεν εἰς τὴν βασιλίδα, ἐπαγόμενος μεθ' ἑαυτοῦ καὶ Ἀλὰχ τὸν τοῦ Πινζαρὰχ υἱόν, ὃν καὶ πατρικιότητος ὁ αὐτοκράτωρ ἠξίωσε. κατόπιν δὲ ἦλθε καὶ ὁ Πινζαράχ, προπεμπόμενος καὶ δυροφορούμενος παρὰ τοῦ χρηματίσαντος ἄρχοντος Ἀντιοχείας Νικήτα τοῦ ἐκ Μισθείας. ὃν ὁ βασιλεὺς φιλοφρόνως ἀποδεξάμενος καὶ δώροις καὶ εὐεργεσίαις δεξιωσάμενος οὐ μικραῖς οἴκαδε χαίροντα ἐξαπέστειλεν. ἐλυτρώσατο δὲ καὶ τῆς αἰχμαλωσίας τὸν Χοιροσφάκτην καὶ τοῖς οἰκείοις ἀπέδωκε.

8. Τοῦ πρωτοσπαθαρίου δὲ Ὀρέστου, ὃν ὑπὸ Βασιλείου τοῦ βασιλέως ἐν Σικελίᾳ πεμφθῆναι ὁ λόγος ἐδήλωσεν ἄνωθεν, ἀπείρως ἔχοντος περὶ τὰ πολεμικὰ καὶ ἀτέχνως ἐπιχειροῦντος τοῖς πράγμασιν, οἱ ἐκ

90 a. 1030 exeunte

cap. 8: Zon. III, 578, 14—579, 1; Glyc. 583, 10—583, 15

ACEVBMNU DH **73** πρόσκρουμα U πρὸ μικροῦ om. B ἀποστῆσαι E **75** Τούσπερ BM **76** ἀξιολόγου: ἀξιομάχου B **77** ἑαυτὸν U **78** ὁμαιχμίας CE **79** ἀξιολόγων C **80** Πιντζαρὰχ N **81** Μενίκου om. M **82** τῶν ante Αἰγ. add. U Αἰγυπτίου A **83** Τούσπερ BMDH ἀφόδου C **84** οὐδ' VBMN: οὐδὲ ACE: om. U Μουσάραφ ACEMNU: Μοσάραφ B: Μουσάφαρ V **85** Μενῖκον CEVMN: Μένικον AU: Μενίκον B **86** τὸν om. CE **87** Μένικον παραδοθέντα VBMNU: παραδοθὲν ACE Μοσάραφ B **88** κείμενον om. B **90** βασιλίδα VBMNU: βασιλεύουσαν ACE **91** πατρικιότητι U **93** τοῦ: τὸν C Μισθίας A **94** ὑποδεξάμενος M **95** μικρῶς B χαίρειν U καὶ om. B **1** ἐκ ante τῆς add. ACE οἰκείοις: ἰδίοις U **3** πεμφθῆναι — ἄνωθεν: πεμφθέντα, ὡς εἴρηται ἄνωθεν M ἔχοντα CE **4** ἀτεχνῶς B ἐπιχειροῦντα E

Σικελίας Σαρακηνοὶ καιροφυλακήσαντες καὶ αἰφνίδιον ἐπιθέμενοι τοῖς Ῥωμαίοις, ἤδη καὶ κοιλιακῷ νοσήματι ἀπὸ τρυφῆς κατασχεθεῖσιν, ὄλεθρον οὐκ ὀλίγον εἰργάσαντο, ἀνα|κτώμενος δὲ τὸ γεγονὸς ἀτύχημα ὁ βασιλεὺς δύναμιν ἀξιόμαχον ἔκ τε Ἑλλάδος καὶ Μακεδονίας ἀθροίσας ἐν Ἰταλίᾳ ἐκπέμπει, κἂν οὐδέν τι γενναῖον δρᾶσαι ἴσχυσεν ἀφελείᾳ καὶ κακότητι τοῦ στρατηγοῦ. τούτῳ τῷ ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ τριακοστῷ ἐννάτῳ τυγχάνοντι, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, καὶ ὁ Προυσιάνος ἑκουσίως ἀποκείρεται μοναχός, καὶ ἡ μήτηρ αὐτοῦ ἐκ Μαντινείου τῆς ἐν Βουκελλαρίῳ μονῆς εἰς Θρᾳκησίους μεταβιβάζεται, καὶ Κωνσταντῖνος πατρίκιος ὁ Διογένης ἐκβληθεὶς τοῦ πύργου ἐν τῇ μονῇ τῶν Στουδίου ἀποκείρεται μοναχός. ὁ δὲ βασιλεὺς Ῥωμανὸς τὸν οἶκον τοῦ Τριακονταφύλλου ἐξωνησάμενος εἰς μοναστήριον μετεσκεύασεν ἐπ' ὀνόματι τῆς δεσποίνης ἡμῶν θεοτόκου, μηδεμιᾶς πολυτελείας φεισάμενος, συντρίψας μέντοι τῇ προφάσει ταύτῃ οὐ μικρῶς τὸ ὑπήκοον καὶ κακώσας ἔν τε ταῖς τῶν λίθων καὶ τῶν ἄλλων εἰδῶν διακομιδαῖς. καταλαμπρύνει δὲ καὶ τὰ κιονόκρανα τῆς μεγάλης ἐκκλησίας καὶ τῆς ὑπεραγίας θεοτόκου τῶν Βλαχερνῶν ἀργύρῳ καὶ χρυσῷ. μέλλων δὲ καὶ τὸ θυσιαστήριον ἐπιποιεῖσθαι τῶν Βλαχερνῶν εὗρε κρεμαμένην εἰκόνα παλαιάν, ἣν ἀνακαινισθῆναι προσέταξεν. ἐξηργυρωμένον δὲ τὸ χρίσμα τοῦ τοίχου ἰδὼν καθαιρεθῆναι προσέταξε καὶ νέον γενέσθαι. καθαιρεθέντος δὲ τοῦ χρίσματος εὑρέθη εἰκὼν ὑλογραφική, σανίδιον ἐπιστήθιον κρατούσης τῆς θεοτόκου τὸν κύριον καὶ θεὸν ἡμῶν, ἀμόλυντος διαμείνασα ἀπὸ τῶν ἡμερῶν τοῦ Κοπρωνύμου ἕως τῆσδε τῆς ἡμέρας, ἐτῶν διελθόντων τριακοσίων. |

9. Τῷ δὲ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ τετρακοστῷ ἔτει, ἰνδικτιῶνος πεντεκαιδεκάτης, μηνὶ Σεπτεμβρίῳ, ἦλθε πρὸς τὸν βασιλέα Ῥω-

31 a. 1031

cap. 9: Zon. III, 579, 6—579, 14; Glyc. 583, 16—583, 20

ACEVBMNU DH 6 καὶ om. B τρυφῆς: τῆς τροφῆς U 7 εἰργάσατο A 10 ἔτει om. B 10/11 ,ϛφλθ' ACEBMNU 11 τυγχάνοντος U ιδ' ACEBMNU 12 Πρεασιάνος U 13 ἐκ Μαντινείου AVBND: ἐκ Μαντανείου M: ἐκ Τινείου U: ἐν Μαντινείᾳ CE 15 τῶν Στουδίου VMNU: τῶν Στουδίων B: τοῦ Στουδίου ACE 16 ὠνησάμενος B 17 δεσποίνης — θεοτόκου: ὑπεραγίας ἡμῶν δεσποίνης καὶ θεοτόκου A 18 ταύτῃ om. E 19 ταῖς ante τῶν ἄλλων add. U εἰδῶν VBMNU: ὑλῶν ACE Glyc. 583, 13 20 τοῦ θεοῦ ante μεγάλης add. B 21 μέλλων: μᾶλλον CE ἐν τῷ ante τὸ add. E 23 ἐξηργυρωμένον C: ἐξωγυρωμένον AEVMNUDH: om. B: ἐξαργυρωμένον Fabrot Bekker 23/24 ἐξωγυρωμένον — προσέταξε om. B 24 νέαν B 25 ὑλογραφική: ὑλογραφικῇ U σανίδιον ACEVMN: σανίδι U: ἐπὶ σανίδος B ἐπιστῆθον E 26 ὑπεραγίας ante θεοτόκου add. A καὶ θεὸν ἡμῶν: ἡμῶν Ἰησοῦν Χριστόν A 27 ἡμερῶν: καιρῶν CE τῆσδε om. C τῆσδε τῆς ἡμέρας: τῆς ἡμέρας ἐκείνης B 29 ,ϛφμ' BMNUDH: ,ϛφ' et spatium unius litterae ACE τετρακοστῷ om. V 30 ιε' ACEBMNU Ῥωμανὸν om. U

μανὸν μετὰ δώρων πολλῶν ὁ τοῦ Χαλεπίτου υἱὸς Ἄμερ, ἐξαιτῶν ἀνανεῶσαι τὴν εἰρήνην καὶ τοὺς πρόσθεν παρέχειν φόρους. καὶ δὴ στέλλεται Θεοφύλακτος πρωτοσπαθάριος ὁ Ἀθηναῖος, καὶ τάς τε σπονδὰς ἐβεβαίωσε καὶ κοινοπραγίαν μετὰ τῶν Χαλεπιτῶν ἔθετο. Ζωὴ δὲ ἡ βασιλὶς μετὰ τὴν ὕψωσιν τοῦ τιμίου σταυροῦ αἰφνίδιον ἀπελθοῦσα εἰς τὸ Πετρίου τὴν ἑαυτῆς ἀδελφὴν Θεοδώραν ἀπέκειρε μοναχήν, ἀδύνατον ἄλλως εἶναι φήσασα παυθῆναι τὰς ἐπιβουλὰς καὶ τὰ σκάνδαλα. δέδωκε δὲ καὶ τὴν οἰκείαν ἀνεψιὰν ὁ βασιλεὺς Ῥωμανὸς μετὰ πολλῶν ἕδνων εἰς εὐνὴν τῷ τῆς μεγάλης Ἀρμενίας ἐξουσιάρχῃ. μέλλων δὲ δευτέραν εἰσβολὴν τάχα ποιήσασθαι κατὰ Συρίας ὁ βασιλεὺς ἐξῆλθεν εἰς τὰ Μεσάνακτα. ἐκεῖσε δὲ τούτου ἐνδιατρίβοντος μηνύεται τῇ βασιλίδι Ζωῇ διὰ Θεοφάνους τοῦ Θεσσαλονικέως, ὡς Κωνσταντῖνος ὁ Διογένης κοινολογησάμενος τῇ ταύτης ἀδελφῇ Θεοδώρᾳ ἀπόδρασιν πρὸς τὸ Ἰλλυρικὸν μελετᾷ, εἰδήσει τοῦ μητροπολίτου Δυρραχίου καὶ τοῦ ἐπισκόπου Περιθεωρίου. καὶ εὐθὺς ἀνάρπαστοι οἵ τε ἐπίσκοποι καὶ ὁ Διογένης γίνονται. καὶ ὁ μὲν Κωνσταντῖνος ἐταζόμενος ἐν τῷ παλατίῳ τῶν Βλαχερνῶν διὰ Ἰωάννου πραιποσίτου, τοῦ μετὰ ταῦτα ὀρφανοτρόφου καὶ ἀδελφοῦ τοῦ βεβασιλευκότος Μιχαήλ, ἑαυτὸν ἀποκρημνίσας τοῦ τείχους καὶ ἐκτραχηλισθεὶς ἀπέθανε ῥιφεὶς μετὰ τῶν αὐτοφόνων, οἱ δὲ ἐπίσκοποι ὡς | τὸν βασιλέα πρὸς τὰ Μεσάνακτα ἐξεπέμφθησαν κἀκεῖθεν ἠλευθερώθησαν.

10. Εἰκάδι δὲ ὀγδόῃ Ἰουλίου μηνός, ἡμέρᾳ ἕκτῃ, ὥρᾳ δευτέρᾳ τῆς νυκτός, ἀστέρος ἐγένετο χύσις ἐκ μεσημβρίας πρὸς ἄρκτον, πᾶσαν περιαστράψαντος τὴν γῆν. καὶ μετὰ μικρὸν ἀγγέλλονται τὰ κατασχόντα τὴν Ῥωμαίων ἀτυχήματα, Ἄραβες μὲν ληϊσάμενοι Μεσοποταμίαν ἄχρι Μελιτηνῆς, Πατζινάκαι δὲ τὸν Ἴστρον διαβάντες καὶ τὴν Μυσίαν κακῶς διαθέμενοι, Σαρακηνοὶ δὲ τὴν παράλιον καταδραμόντες τοῦ Ἰλλυρικοῦ μέχρι Κερκύρας καὶ αὐτὴν πυρπολήσαντες. ἀλλ' οἱ μὲν ἄλλοι

37/38 a. 1030 **56** a. 1033 Patzinacae Danubium transgress sunt

cap. 10: Zon. III, 579, 14—580, 2; Glyc. 583, 20—584, 5

ACEVBMNU DH **32** ἔμπροσθεν U **33** ὁ om. B **35** ἐπελθοῦσα B **36** Θεοδώραν om. U **37** δὲ om. B **38** Ῥωμανὸς om. B **39** ἄρχοντι καὶ post Ἀρμενίας add. A **40** ποιήσεσθαι A τῆς ante Συρίας add. E τὸ Μεσάνακτον B **41** ἐκεῖ E μηνύεται post Ζωῇ B **42** Θεοφανίου E τοῦ om. E ὡς ὁ Διογ. Κωνστ. B **45** εὐθὺς: ἅμα τῷ λόγῳ B γίνονται post ἐπίσκοποι B **47** καὶ ante μετὰ add. U **48** εἰς ἔπειτα ante βεβασιλευκότος add. B **50** ὡς — ἐξεπέμφθησαν: πρὸς τὸν βασ. ἐπέμφθησαν εἰς τὸ Μεσάνακτον B ἠλευθερώθη CE **52** η' C τοῦ ante Ἰουλίου add. CE Ἰουλίου: Ἰουνίου U ϛ' CEU β' CE **53** πρὸς ἄρκτον ἐκ μεσημβρίας EB τε post πᾶσάν add. CE **54** καὶ — ἀγγέλλονται: καὶ ἀγγέλλοντος κατὰ μικρὸν B ἀγγέλλονται AVMNU: ἀγγέλλοντα CE: ἀγγέλλοντος B **55** τὴν: τῶν B **56** Πατζινάκοι BU **57/58** δὲ — Ἰλλυρικοῦ: τὴν παραλίαν τοῦ Ἰλλυρ. καταδραμόντες B **57** καταδραμόντες: καταλαβόντες U

ἀπήμονες κακῶν οἴκαδε ὑπενόστησαν, Σαρακηνοὶ δὲ ὑπό τε Ῥαουσαίων καὶ τοῦ στρατηγοῦντος ἐν Ναυπλίῳ Νικηφόρου πατρικίου τοῦ Καραντηνοῦ κακῶς ἔπαθον, καταπολεμηθέντες καὶ τὰ πλείω ἀποβαλόντες τῶν σκαφῶν. οἱ δὲ περισωθέντες, οὓς εἶχον Ῥωμαίους αἰχμαλώτους ἀποκτείναντες, ἐν τῷ οἴκαδε ὑποστρέφειν ναυαγίῳ περιπεσόντες περὶ τὸ Σικελικὸν πέλαγος διεφθάρησαν.

11. Τούτῳ τῷ ἔτει καὶ λιμὸς καὶ λοιμὸς ἐπέδραμε Καππαδοκίαν, Παφλαγονίαν, Ἀρμενιακόν, καὶ Ὀνωριάδα, ὡς καὶ αὐτοὺς τοὺς τῶν θεμάτων ἐποίκους τὰς πατρίδας καταλιπόντας μετοικίαν ζητεῖν. οἷς ὁ βασιλεὺς ἐν τῷ ἀπὸ τῶν Μεσανάκτων εἰσιέναι πρὸς τὴν βασιλίδα συνηντηκὼς καὶ τὴν αἰτίαν τῆς ἀπαναστάσεως μὴ ἀγνοήσας, ὑποστρέφειν οἴκαδε κατηνάγκαζε, χρυσίῳ ἀναλαμβάνων καὶ τοῖς ἄλλοις τοῖς πρὸς τὸ ζῆν ἀναγκαίοις. καὶ Μιχαὴλ δὲ | ὁ τῆς Ἀγκύρας τότε τὴν ἐκκλησίαν πηδαλιουχῶν ἔργα ἀρετῆς ἐπεδείξατο ἄξια, μηδενὸς φεισάμενος τῶν τεινόντων εἰς σωτηρίαν τῶν τοῦ λιμοῦ καὶ λοιμοῦ τραυματιῶν.

12. Τῇ δὲ τρισκαιδεκάτῃ τοῦ Αὐγούστου μηνός, ἡμέρᾳ κυριακῇ, ὥρᾳ πρώτῃ τῆς νυκτός, ἐν ἔτει τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ σαρακοστῷ, γέγονε σεισμὸς μέγας. εἰσῆλθε δὲ καὶ ὁ βασιλεὺς ἐν τῇ βασιλίδι, καὶ τῆς προτέρας αὐτοῦ γυναικὸς Ἑλένης ἀποθανούσης μεγάλας διαδόσεις ὑπὲρ αὐτῆς ἐποιήσατο. τούτῳ τῷ ἔτει κατὰ τὴν εἰκοστὴν τοῦ Φεβρουαρίου μηνὸς καὶ ἀστὴρ διῆξεν ἀπὸ βορρᾶ πρὸς μεσημβρίαν μετ' ἤχου καὶ κτύπου. ἐφαίνετο δὲ ἄχρι τῆς πεντεκαιδεκάτης Μαρτίου, τόξον ὕπερθεν ἔχων. Μαρτίου δὲ ἕκτῃ, ἡμέρᾳ τρίτῃ, γέγονε σεισμός.

13. Ἐγένετο δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ ἐκδρομὴ Ἄφρων Σαρακηνῶν πλοίων χιλίων, πολεμιστὰς ἐχόντων μυρίους, οἵτινες πολλὰ τὰς νήσους καὶ τὰς παραλίους ἐκάκωσαν. ὧν μέρει τινὶ συμπλακεὶς

cap. 13: Zon. III, 580, 2—580, 10; Glyc. 584, 5—584, 7

ACEVBMNU DH **59** Ῥαουσαίων VBMNU: Ῥασαίων AE: Ῥαοσίων C **60** τοῦ (τοῦ om. D) υἱοῦ post πατρικίου add. MNUDH **65** καὶ λοιμὸς om. U τὴν ante Καππ. add. B **66** Ὀνωριάδα ACEVB: Ὀνωρίδα MNH: Ὀναρίδα D: Ἐνωριάδα U τῶν om. B **68** Μεσάκτων C **72** μηδενὸς: μηδὲν U **73** τῶν: τὴν U λοιμοῦ καὶ λιμοῦ C **74** Τῇ: Τῆς AE ιγ' CEU **75** τῷ om. U **75/76** ,ϛφμ' ACEBNUD: ,ϛφμα' M **76** καὶ om. U **77** βασιλίδι: πρώτῃ καὶ βασιλίδι τῶν πόλεων A **78** διαδόσεις — ἐποιήσατο: διαδόσεις ὁ βασιλεὺς ἐποιήσατο ὑπὲρ αὐτῆς A εἰκοστὴν AVB: κ' CE: κε' U: κη' NDH: εἰκοστὴν ὀγδόην M **80** ιε' CEBU τοῦ ante Μαρτίου add. ACE μηνὸς post Μαρτίου add. B **81** Μαρτίου ACEVBNU: Μαρτίῳ MH: Μαρτ' D ϛ CE γ' CE **83** χιλίων πλοίων B ἐχόντων ACEBU: ἔχοντα V: ἔχων MND **83/84** οἵτινες — ἐκάκωσαν om. B **83** πολλά: πολλὰς E

Νικηφόρος ὁ Καραντηνὸς ἐτρέψατο, καὶ πεντακοσίους πεπεδημένους Σαρακηνοὺς τῷ βασιλεῖ ἐξαπέστειλε. τούτῳ τῷ ἔτει καὶ Γεώργιος πρωτοσπαθάριος ὁ Μανιάκης, ὁ Γουδελίου τοῦ Μανιάκη υἱός, τῶν παρευφρατιδίων στρατηγῶν πόλεων καὶ ἐν Σαμοσάτῳ τὰς οἰκήσεις ἔχων τῆς παρὰ τῇ Ὀσροηνῇ πόλεως ἀπεπειράθη Ἐδέσσης. ταύτης γὰρ τὴν ἐπιστασίαν Σαλαμάνης ἔχων ὁ Τοῦρκος, παρὰ τοῦ ἀμηρᾶ Μαρτυρουπόλεως ἤτοι Μιεφερκεὶμ ἐπιτετραμμένην αὐτῷ, καὶ δώροις καὶ ὑποσχέσεσι καὶ τιμαῖς διαφθαρεὶς παραδίδωσι τῷ Μανιάκῃ ἀωρὶ τῶν νυκτῶν, ὃς τρεῖς | πύργους λίαν ὀχυρωτάτους κατασχὼν εὐψύχως τοὺς πολιορκοῦντας ἠμύνετο, βοήθειαν ἔξωθεν ἐπικαλούμενος. Ἀπομερβάνης δὲ ὁ τοῦ Μιεφερκεὶμ ἀμηρᾶς τὴν ἅλωσιν μαθὼν καὶ ὀξὺς ἐπιφανεὶς μετὰ δυνάμεως οὐκ ὀλίγης ἐπεχείρησε μὲν τῇ πολιορκίᾳ τῶν πύργων, γενναίως δὲ ὑποστάντος τοῦ Γεωργίου ἀποκρουσθεὶς καὶ μὴ ἔχων, ὅ τι καὶ δράσειεν, ἀποκείρας τὰ κάλλιστα τῶν οἰκημάτων καὶ διαφθείρας τὸν τῆς πόλεως κόσμον καὶ αὐτῆς τῆς μεγάλης ἐκκλησίας, καὶ καμήλοις ἐπιθεὶς τὰ κάλλιστα καὶ τὰ περίλοιπα τῆς πόλεως πυρὶ παραδούς, ὑπεχώρησεν εἰς Μαρτυρούπολιν. ἀδείας δὲ τυχὼν ὁ Μανιάκης, τὸ ἐν μέσῳ τῆς πόλεως κείμενον φρούριον ἐν λοφώδει [κείμενον] πέτρᾳ κατασχών, δύναμίν τε ἔξωθεν προσκαλεσάμενος, ἀσφαλῶς τὴν πόλιν κατέσχεν. εὑρὼν δὲ καὶ τὴν ἰδιόγραφον ἐπιστολὴν τοῦ δεσπότου καὶ κυρίου Ἰησοῦ Χριστοῦ, τὴν πρὸς Αὔγαρον πεμφθεῖσαν, τῷ βασιλεῖ ἐν Βυζαντίῳ ἀπέστειλεν.

14. Ἀζίου δὲ τοῦ Αἰγυπτίου μανέντος καὶ πολλὰ κακὰ εἰς Χριστιανοὺς ἐνδειξαμένου, καταστρέψαντος δὲ καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἶτα καὶ αὐτοῦ αἴσχιστα καταλύσαντος τὴν ζωήν, ὁ υἱὸς αὐτοῦ, ἀπό τινος Ῥωμαίας γυναικὸς

92 a. 1032 **13** a. 1023 patriarcha Hierosolymitanus propter reaedificandas ecclesias Constantinopoli versatus est

ACEVBMNU DH **85** φ' C **85/86** Σαρ. πεπεδ: MN (sed non D) **86** τῷ βασιλεῖ ἐξαπέστειλε: ἐξαπέστειλε πρὸς βασιλέα A **87** σπαθάριος B Μαρινάκης V Γουδελίου ACEVMN: Γουδελλ' U: Γουδέλι B Μανιάκου A **88** παρευφρατιδίων ACEBD: παρευφρατιδείων VU: παρευφρατιδειῶν MN πόλεων στρατ. B Σαμοσάτοις AU **89** τῇ: τῷ U Ἐδέσης ABU Zon. III, 580, 8 **90** ἐπιστασίαν BMNU: προστασίαν ACE: ἀποστασίαν V Σαλαμάνης ACEVMN: Σαλαμάνος B: Σουλαμάνης U **91** Μιεφερκεὶμ ACVMNU: Μιεφερκεῖν E: Μιφερκιεὶμ B **92** προδίδωσι C **93** λίαν om. ACE κατασχὼν: κατειληφὼς U **94** ἠμύνατο B Ἀποβερβάνης CB **95** Μιεφερκιεὶμ B **4** ἐκεῖ ante μεγάλης add. B **5** παράλοιπα A ἀποδούς B **6** εἰς Μαρτυρούπ. om. B **7** κείμενον alt. ACEVMNU: καθιδρυμένον, post πέτρᾳ B: om. DH **8** τὴν πόλιν κατέσχεν ACEVBDH: κατέσχε τὴν πόλιν MNU **9** τοῦ κυρίου καὶ δεσπότου B **10** ἡμῶν ante Ἰησοῦ add. BMNUDH ἐν Βυζαντίῳ om. ACE **12** Ἀζιζίου BU ἐς ACE **13** καὶ om. U **14** καὶ θεοῦ post κυρίου add. A **15** τὴν ζωὴν καταλύσαντος B γυναικὸς om. MN (sed non D)

αἰχμαλώτου τεχθεὶς αὐτῷ, ἐπέτρεψε τοῖς βουλομένοις οἰκοδομεῖν τὸν ναόν, ὃν ἀποστείλας ὁ βασιλεὺς φιλοτίμως οἰκοδομῆσαι ἠπείγετο. ἀλλὰ φθάσαν τὸ χρεὼν ἐνεπόδισε, καὶ ὁ μετ' αὐτὸν Μιχαὴλ ἐκπληρωτὴς τοῦ ἔργου ἐγένετο.

15. Καὶ ὁ μάγιστρος δὲ Βασίλειος, ὁ ἐπ' ἀδελφῇ τοῦ βασιλέως γαμβρός, ὁ Σκληρός, παρὰ Κωνσταντίνου ἐκτυφλωθείς, ἄστα | τον γνώμην ἔχων καὶ ἀλλοπρόσαλλον, εἰ καὶ μάγιστρος ἐτετίμητο καὶ πολλῶν ἠξίωτο εὐεργεσιῶν παρὰ τοῦ Ῥωμανοῦ, ὅμως ἐπιβουλὴν μελετᾷ κατ' αὐτοῦ. ἀλλὰ φωραθεὶς τῆς πόλεως ἐκβάλλεται σὺν τῇ γυναικί.

16. Ἀπέστειλε δὲ καὶ ἐξ Ἐδέσσης ὁ Μανιάκης τῷ βασιλεῖ ἐνιαύσιον φόρον, λίτρας πεντήκοντα. καὶ ὁ τῆς Τριπόλεως δὲ ἀμηρᾶς ὁ Πινζαράχ, κατισχυόμενος παρὰ τῶν Αἰγυπτίων, φυγὰς τὴν βασιλίδα κατέλαβεν. ὃν ὁ βασιλεὺς πάλιν μετὰ πλείστης δυνάμεως σὺν τῷ ἑταιρειάρχῃ Θεοκτίστῳ εἰς Συρίαν ἐκπέπομφεν. ἐξέπεμψε δὲ καὶ μετὰ στόλου τὸν πρωτοσπαθάριον Τεκνέαν τὸν ἐξ Ἀβύδου εἰς Αἴγυπτον, τὰ τοῦ Νείλου στόματα, ὅπῃ παρείκοι, κακώσοντα καὶ αὐτὴν Ἀλεξάνδρειαν. ὃς εὐθυπλοήσας καὶ μέχρις αὐτῆς ἐλάσας Ἀλεξανδρείας πλοῖά τε πάμπλειστα ἐχειρώσατο καὶ λείαν ὅτι πολλὴν περιβαλλόμενος ὑπέστρεψεν ἀσινής. παρέδωκε δὲ καὶ τὸ φρούριον τὸ λεγόμενον Περκρὶν ὁ κατέχων αὐτὸ Σαρακηνὸς Ἀλείμ, ἔγγιστα Βαβυλῶνος διακείμενον, τῷ βασιλεῖ Ῥωμαίων, ἐλπίσας πατρικιότητός τε καὶ πλείστων ἄλλων ἀμοιβῶν ἀξιωθῆναι, διὰ τοῦ υἱοῦ αὐτοῦ τὴν πρὸς τὸν βασιλέα ποιησάμενος ἔντευξιν. καὶ τὸ μὲν φρούριον παρειλήφει ὁ πατρίκιος Νικόλαος ὁ Βούλγαρος, ᾧ Χρυσήλιος τὸ ἐπώνυμον, ὁ δὲ τοῦ Σαρακηνοῦ υἱὸς εἰσελθὼν ἐν Βυζαντίῳ καὶ διὰ τὸ τὸν βασιλέα συνέχεσθαι ἀρρωστήματι μηδεμιᾶς τυχὼν ἐπιστροφῆς καὶ μετὰ θυμοῦ ὑποστρέψας ἀνέπεισε τὸν γεννήσαντα ἀντιλαβέσθαι τοῦ οἰκείου | φρουρίου, ὅστις λάθρᾳ τοῖς ὁμόροις Πέρσαις κοινοπραγήσας νυκτός τε τὸ φρούριον ἀπέκλεψε καὶ ἑξακισχιλίους ἄνδρας Ῥωμαίους πολεμιστὰς ἀπέκτεινε ῥᾳστώνῃ καὶ ἀμελείᾳ τοῦ κατέχοντος τοῦτο Χρυσηλίου. ἀλλὰ μετὰ μικρὸν ὁ πατρίκιος Νικήτας ὁ Πηγονίτης ἄρχειν ἐκεῖσε πεμφθεὶς καὶ ἐπιμόνῳ

ACEVBMNU DH **16** αἰχμαλώτου om. B **16/17** οἰκοδομεῖν — φιλοτίμως om. U **17** οἰκοδομήσειν B **18** φθάσαν: φθάσαντος B **20/21** τοῦ βασιλέως γαμβρός ACEVB: γαμβρὸς τοῦ βασιλέως (Βασιλείου U) MNUDH **21** τοῦ ante Κωνστ. add. U **22** ἐτετίμητο ACEVB: τετίμηται MUDH: τετίμητο N **23** ἠξίωτο (ἠξίωται B) εὐεργεσιῶν ACEVB: εὐεργεσιῶν ἠξίωτο MNUDH **23/24** κατ' αὐτοῦ μελετᾷ A **24** καὶ om. U Ἐδέσσης CEVMN: Ἐδέσης AB: Αἰδέσης U **25** ν' CE **26** παρὰ: πρὸς B **28** πάλιν post δυνάμεως B **29** εἰς Συρίαν om. ACE ἐξέπεμψε: ἀπέστειλε B τὸν om. B **31** κακώσονται CM **32** πάμπολλα U **33** πολλὴν: πλείστην U **36/37** αὐτοῦ τὴν: αὐτὴν E **38** Νικόλαος: Νικηφόρος B ᾧ τὸ ἐπών. Χρυσ. U **39** υἱὸς εἰσελθὼν ACEMNU: εἰσελθὼν υἱὸς VB **42** τε τό: τό τε B **43** ,ς CE: ἑξακοσίους B πολεμιστὰς Ῥωμαίους U ἀπέκτειναν MN (sed non D) **44** τοῦτο: αὐτὸ U **45** Πηγωνίτης ACEU

χρησάμενος πολιορκίᾳ μετὰ Ῥῶς καὶ λοιπῆς ἄλλης Ῥωμαϊκῆς δυνάμεως, τό τε φρούριον κατὰ κράτος εἷλε πολιορκίᾳ καὶ τὸν Ἀλεὶμ σὺν τῷ υἱῷ ἀπέκτεινε. τότε δὴ καὶ Ἀλδὴ ἡ Γεωργίου τοῦ Ἀβασγοῦ γυνή, τοῦ γένους οὖσα τῶν Ἀλανῶν, προσερρύη τῷ βασιλεῖ, παραδοῦσα καὶ τὸ ὀχυρώτατον φρούριον τὴν Ἀνακουφίαν. ἧς τὸν υἱὸν Δημήτριον ὁ βασιλεὺς τῷ τῶν μαγίστρων τετίμηκεν ἀξιώματι. ἔστησε δὲ πάλιν τρόπαιον κατὰ τῶν Σαρακηνῶν ὁ Καραντηνός, ἐξελθόντων ἐπὶ λεηλασίᾳ καὶ δεσμίους Σαρακηνοὺς ἑξακοσίους πέπομφε τῷ βασιλεῖ.

17. Τούτῳ τῷ ,ϛφμζ' ἔτει, ἑπτακαιδεκάτῃ Φεβρουαρίου μηνός, σεισμοῦ γεγονότος κακῶς ἔπαθον αἱ ἐν Συρίᾳ πόλεις. καὶ τοῦ Ὀρέστου δὲ παραλυθέντος τῆς ἀρχῆς Λέων μὲν ὁ λεγόμενος Ὦπος τοῦ πεζικοῦ στρατοῦ κατάρχειν ἐκπέμπεται ἐν Ἰταλίᾳ, τοῦ δὲ πλωΐμου Ἰωάννης, εἷς ὢν τῶν θαλαμηπόλων Βασιλείου τοῦ βασιλέως. τῆς δὲ ἀκρίδος τὰ ἑῷα ἐπὶ πολὺν χρόνον διαφθειρούσης θέματα, ἠναγκάσθησαν οἱ ἔποικοι τούτων καὶ τέκνα πωλῆσαι καὶ ἐν Θρᾴκῃ ἀποικισθῆναι. οἷς ἅπασιν ἀνὰ τρία διδοὺς νομίσματα ὁ βασιλεὺς ὑποστρέφειν οἴκαδε παρεσκεύαζεν, ἕως ἡ ἀκρὶς ἀνέμῳ | ἀρθεῖσα βιαίῳ εἰς τὸ τῆς Ἑλλησπόντου πεσοῦσα διεφθάρη πέλαγος καὶ ἐκβρασθεῖσα πρὸς τὸν αἰγιαλὸν τὴν παράλιον ψάμμον ἐκάλυψεν. ὁ δὲ βασιλεὺς τούς τε τῶν ὑδάτων ὁλκοὺς ἐπεποιήσατο τοὺς τὸ ὕδωρ τῇ πόλει εἰσάγοντας, καὶ τὰς δεχομένας τοῦτο καστέλλους καὶ τὸ λωβοτροφεῖον καὶ πάντας τοὺς κακῶς παθόντας ξενῶνας ὑπὸ τοῦ σεισμοῦ, καὶ ἁπλῶς πάντων ἐπεμελεῖτο τῶν ἀγαθῶν ἔργων. νόσῳ δὲ χρονίᾳ βάλλεται καὶ τριχορρυεῖ γένυν τε καὶ τὴν κόμην, κατεργασθείς, ὥς φασιν, ὑπὸ Ἰωάννου τοῦ μετὰ ταῦτα ὀρφανοτρόφου. οὗτος γὰρ ὁ

54 a. 1034

cap. 17: Zon. III, 580, 10—586, 9; Glyc. 584, 7—585, 19

ACEVBMNU DH **46** Ῥῶς AE λοιπῆς — Ῥωμαϊκῆς: Βουλγάρων καὶ Ῥωμαϊκῆς ἄλλης δυνάμεως U **48** Γεωργία C **49** Ἀλανῶν: Ἀβασγῶν A τὸ om. U **51** πάλιν τρόπαιον ACE: τρόπαιον πάλιν VB: τρόπαιον post **52** Σαρακηνῶν MNUDH **52** Καραντηνός ACEVMN: Καραντινός U: Σαραντινός B **52/53** καὶ — βασιλεῖ om. U **53** ἑξακοσίους ante **52** δεσμίους ACE πέπομφε τῷ βασιλεῖ ACEVB: τῷ βασιλεῖ πέπομφε MNDH: om. U **54** ,ϛφμζ' (ϛφμβ' MNDH) ἔτει ACEVMNDH: ἔτει ,ϛφμβ' U: ἔτει τῷ ,ϛφμβ' B ἑπτακαιδεκάτῃ — μηνός: Φεβρ. μηνὸς ιζ' B ιζ' CEBMN τοῦ ante Φεβρ. add. A **56** παραλυθέντος: παρελθόντος B **57** ἐκπέμπεται ἐν Ἰταλίᾳ: προτρέπεται σταλεὶς A τῶν δὲ πλωΐμων B **57/58** εἷς ὢν: ἑνὸς ὄντος E **58/59** τὰ ἑῷα ἐπὶ πολὺν χρόνον ACEVB: ἐπὶ πολὺν χρόνον τὰ ἕω MNUDH **61** διδοὺς (δοὺς ACE) νομίσματα ACEVNU: νομίσματα δοὺς B: νομίσματα διδοὺς M παρεσκεύασεν B **62/63** ἀρθεῖσα — πέλαγος: φθαρεῖσα βιαίῳ ἤρθη καὶ εἰς τὸ τοῦ Ἑλλησπ. ACEB **63** ἐμβρασθεῖσα C **65** τὸ — πόλει: εἰς τὴν πόλιν τὸ ὕδωρ U **66** καὶ τὸ ὀρφανοτροφεῖον post λωβοτροφεῖον add. MNUDH ὑπό: ἀπὸ E **67** καὶ om. U ἐπεμελεῖτο post ἔργων B

Ἰωάννης καὶ πρὸ τῆς βασιλείας ὑπηρετῶν τῷ Ῥωμανῷ, ἄρτι τοῦ κράτους ἐπιβάντος αὐτοῦ μεγάλην δύναμιν ἔσχεν. ἦσαν δὲ αὐτῷ καὶ ἕτεροι ἀδελφοί, Μιχαήλ, Νικήτας, Κωνσταντῖνός τε καὶ Γεώργιος. ἀλλ' αὐτὸς μὲν ὁ Ἰωάννης καὶ Κωνσταντῖνος καὶ Γεώργιος ὑπῆρχον εὐνοῦχοι, ἀγυρτικὴν μετιόντες τέχνην, ὁ δὲ Νικήτας εἶχε μὲν τὰ παιδογόνα καὶ τὸν πρῶτον ἤδη ἐπήνθει ἴουλον, ὁ δὲ Μιχαὴλ τῆς ἀνδρικῆς ἤδη ἡλικίας ἁπτόμενος εὐπρεπέστατος ἦν τὴν ὄψιν. ἄμφω δὲ τὴν ἀργυραμοιβὴν μετῄεσαν ἐπιστήμην καὶ τὰ ἀργύρια ἐκιβδήλευον. τούτους οἰκειωθέντας ἅπαντας τῷ βασιλεῖ διὰ τοῦ Ἰωάννου ἡ τύχη, τὴν μέλλουσαν καταλήψεσθαι δυναστείαν αὐτοὺς ὑποδηλοῦσα, ἐπὶ μέγα διὰ παντὸς ἐξῆρε δυνάμεως. οἵ τε γὰρ ἄλλοι ἐν διαφόροις ἀρχαῖς ἐξητάζοντο, καὶ ὁ Μιχαὴλ ὑπὸ τοῦ βασιλέως ἄρχων προὐβέβλητο τοῦ πανθέου. πρὸς τοῦτον ἡ βασιλὶς ἔρωτα δαιμονιώδη σχοῦσα καὶ μανικόν, καὶ κρυφίους ἐντυ|χίας ποιησαμένη, σκοτίως ἐπεμίγνυτο. διὸ καί φασι χρονίοις φαρμάκοις κατεργασθεὶς ὁ βασιλεὺς θυμαλγέσι νόσοις ἐσφακελίζετο, καιρὸν ἐπιζητούσης τῆς βασιλίδος τοῦ τὸν μὲν βασιλέα ἀποσκευάσασθαι ἀνυπονοήτως, τὸν Μιχαὴλ δὲ εἰς τὸν βασίλειον θρόνον ἀναγαγεῖν. ὅθεν καὶ φαρμάκοις, ὡς εἴρηται, οὐκ ὠκυμόροις, ἀλλὰ σχολαίτατον καὶ βραδὺν ἐπάγουσι θάνατον καταπραχθεὶς οἰκτρὸν καὶ ἐπώδυνον διήντλει τὸν βίον, κλινοπετὴς ὢν καὶ ὅλῃ ψυχῇ τὸν θάνατον ἐκκαλούμενος. διήρκεσεν οὖν ἄχρι τῆς ἑνδεκάτης τοῦ Ἀπριλλίου μηνός, τῆς δευτέρας ἰνδικτιῶνος, τοῦ ,ϛφμβ' ἔτους. τότε δὲ κατὰ τὴν ἡμέραν τῆς ἁγίας μεγάλης πέμπτης τὴν διανομὴν τῆς τῶν συγκλητικῶν ποιησάμενος ῥόγας, καὶ ἐπιθυμήσας λούσασθαι κατὰ τὸ ἐν τῷ μεγάλῳ παλατίῳ βαλανεῖον καὶ εἰσελθὼν οἰκτρῶς ἀποπνίγεται ὑπὸ τῶν περὶ τὸν Μιχαὴλ ἐν τῇ κολυμβήθρᾳ τοῦ λοετροῦ, βασιλεύσας ἐπ' ἔτη πέντε καὶ μῆνας ἕξ. καὶ ταύτῃ τῇ νυκτὶ τῶν ἁγίων παθῶν ψαλλομένων μηνύεται ὁ πατριάρχης Ἀλέξιος ὑπὸ τοῦ βασιλέως Ῥωμανοῦ τάχα

89/90 die 11./12. mens. Apr. a. 1034

ACEVBMNU DH **70** καὶ om. B **71** δὲ om. M αὐτῷ om. MNUDH **72** τε om. B **73** καὶ Κωνσταντῖνος VMNU: Κωνσταντῖνός τε ACEB **74** εἶχε μὲν: εἶχεν B **75** ἤδη om. B ἐπήνθει ἤδη M ὁ Μιχ. δὲ B **76** ἀργυραμοιβὴν CEV: ἀργυραμοιβὸν A: ἀργυραμοιβικὴν BMNUD **79** αὐτοὺς post **78** μέλλουσαν A: αὐτοὺς om. M **79** διὰ — δυνάμεως: δυνάμεως ἐξῆρε διὰ παντός A ἐξῆρε: ἐξῆγε U οἵ: ὅς B **81** προὐβέβλητο post πανθέου A προβέβληται U **81/82** ἡ — σχοῦσα: τῆς βασιλίδος ἔρ. δαιμ. σχούσης B **81** ἔρωτι C **82** δαιμόνιον A **82** ποιησαμένης B **83** σκοτίως — φασι om. B ἐπιμίγνυτο C **84** ἐπιζητοῦσα E **85** τοῦ τὸν: τοῦτον B τὸν βασ. μὲν VDH **86** δὲ Μιχ. U **87** σχολαίτατον ACEVB: σχολαιότατον MNUDH **88** καταπραχθείς: κατασχεθεὶς U ἐπήντλει A τὸν om. B **89** οὖν ACEVBNU: om. MH: γὰρ D ια' CEBMNU **90** β' CEBMU **91** δὲ: δὴ M καὶ post δὲ add. B τῆς alt. om. E **92** ποιησάμενος (ποιούμενος A) ῥόγας ACEVB: ῥόγας ποιησ. MNUD: λόγων ποιησ. H **93** καὶ εἰσελθὼν om. U **94** περὶ: παρὰ U λοετροῦ CVMND: λουτροῦ AEB Glyc. 585, 10: λουετροῦ UH ἐπ' om. MN (sed non D) **95** ε' E **1** ὡς ante τάχα add. U

ἀνελθεῖν ἐν τοῖς ἀνακτόροις καὶ ἀνελθὼν εὑρίσκει μὲν νεκρὸν τὸν ἄνακτα Ῥωμανόν, τοῦ χρυσοτρικλίνου δὲ κοσμηθέντος ἐπὶ βήματος καθίσασα ἡ Ζωὴ ἐξάγει τὸν Μιχαήλ, καὶ τὸν πατριάρχην καταναγκάζει ἱερολογῆσαι τοῦτον αὐτῇ. ὁ δὲ τῷ λόγῳ ἐκθαμβηθεὶς ἵστατο ἐννεὸς καὶ πρὸς τὴν ἱερολογίαν ἐνεδοίαζεν. ἀλλ' ὁ Ἰωάννης σὺν τῇ Ζωῇ πεντήκοντα μὲν χρυσίου λίτρας τῷ πατριάρχῃ, πεντήκοντα δὲ τῷ κλήρῳ δοὺς ἔπεισεν ἱεροτελεστίας αὐτοὺς ἀξιῶσαι.

ACEVBMNU DH 3 δὲ om. E βήματι E καθίσας B 5 ἵσταται B ἐννεὼς C πρὸς om. MNUDH Glyc. 585, 16 6 ἀνεδύαζεν M ν' E μὲν om. B 7 λίτρας χρυσίου BU ν' E πεντήκοντα — δοὺς: δοὺς καὶ τῷ κλήρῳ πεντήκοντα B 8 ἱεροτελεσίας E αὐτοὺς ἀξιῶσαι CEVB: ἀξιῶσαι αὐτούς A Glyc. 585, 19: καταξιῶσαι αὐτούς MNUDH

ΜΙΧΑΗΛ Ο ΠΑΦΛΑΓΩΝ

1. Τὸν ῥηθέντα δὲ τρόπον ἀναιρεθεὶς Ῥωμανὸς ὁ βασιλεὺς θάπτεται ἐν τῇ παρ' | αὐτοῦ νεουργηθείσῃ τῆς περιβλέπτου μονῇ, κατ' αὐτὴν τὴν ἁγίαν μεγάλην παρασκευήν.

2. Ἡ Ζωὴ δὲ τὸν Μιχαὴλ ἐπὶ τὸν βασίλειον ἐνιδρύσασα θρόνον ᾠήθη μὲν ἀντὶ ἀνδρὸς καὶ βασιλέως δοῦλον καὶ διάκονον ἕξειν, καὶ ἤδη τοὺς πατρῴους εὐνούχους εἰσαγαγοῦσα εἰς τὰ ἀνάκτορα γενναιότερον ἥπτετο τῶν πραγμάτων. ἀλλ' ἀπέβη πάντα ταύτῃ εἰς τοὐναντίον λαμπρῶς. ὁ γὰρ τοῦ βασιλέως ἀδελφὸς Ἰωάννης, πρακτικὸς ἄνθρωπος ὢν καὶ δραστήριος, ἅμα τε ἐπέβη τῶν βασιλείων, καὶ δεδιὼς περὶ τἀδελφοῦ (ἑώρα γὰρ ὡς εἰς παράδειγμα τὸν Ῥωμανόν), μή τι καὶ πάθῃ δεινόν, τοὺς μὲν εὐνούχους τῆς βασιλίδος καταβιβάζει τοῦ παλατίου καὶ τὰς πιστικωτάτας τῶν θεραπαινίδων αὐτῇ ἀποσκευάζεται, γυναῖκας δὲ τῶν κατὰ γένος αὐτῷ προσηκόντων φρουροὺς ἐφίστησι τῇ βασιλίδι καὶ φύλακας. καὶ οὐδὲ μικρὸν ἢ μέγα ἦν, ὃ μὴ μετὰ γνώμης αὐτοῦ διεπράττετο. περιπάτων τε γὰρ ἐκωλύετο καὶ βαλανείων οὐ μετεῖχε, μὴ αὐτοῦ ἐπιτρέψαντος, καὶ ὅλως περιῄρητο αὐτῇ πᾶσα ψυχαγωγία. πάντα δὲ τὰ ἔνδον καταστησάμενος γράμματα κατὰ πάσης ἐκπέμπει τῆς οἰκουμένης, γνωρίζοντα τοῖς πᾶσιν, ὡς εἴη μὲν Ῥωμανὸς ὁ βασιλεὺς τὸ φυσικὸν ἀποδεδωκὼς χρέος, ἀνηγόρευται δὲ ὁ Μιχαὴλ ἔτι ζῶντος ἐκείνου καὶ ἐπιτρέποντος, καὶ τῇ βασιλίδι συζεύγνυται. πρὸς ἅπερ πάντες μὲν ὑπεκλίνοντο οἱ ἄλλοι, καὶ δι' εὐφήμου φωνῆς τὸν νέον ἐμεγάλυνον

13 die 12. mens. Apr. a. 1034

---

cap. 1: Glyc. 585, 19/20 cap. 2: Zon. III, 586, 9—588, 10; Glyc. 585, 21—586, 18

ACEVBMNU DH **9** Μιχαὴλ ὁ Παφλαγών ACEVN: Βασιλεία Μιχ. τοῦ Παφλαγῶνος U et i. m. B: om. in textu M **10** Ῥωμανὸς ὁ βασιλεὺς VMNU: ὁ βασιλεὺς Ῥωμανὸς A: ὁ βασιλεὺς CE: ὁ Ῥωμανὸς B **11** νεουργηθείσᾳ E ἁγίας θεοτόκου post περιβλέπτου add. B μονῇ: μονῆς U μονῇ post νεουργηθείσῃ BMN (sed non D) **12** καὶ post ἁγίαν add. VBH (sed non D) **16** ταῦτα ante πάντα add. B ταύτῃ πάντα M **17** δὴ post γὰρ add. ACE **17/18** ὢν ἄνθρωπος ACE **18** τἀδελφοῦ ACEVBND: τοῦ ἀδελφοῦ MUH Glyc. 586, 3 **19** ὡς om. BMNUDH πάθοι A **22** προσηκουσῶν B **23** οὐδὲ ACEVB: οὐδὲν MNUD μετά: κατὰ E αὐτοῦ ACEVMN: αὐτῷ U: ἑαυτοῦ B **24** περιπάτων CVBNU: περὶ πάντων AEMDH αὐτοῦ: ἑαυτοῦ B **25** περιῄρηται E **27** τοῖς om. B **28** ἀνηγόρευται VMNU: ἀναγορεύεται ACE: ἀνηγορεύεται B ὁ om. ACE βασιλεὺς post Μιχαὴλ add. MNUDH **29** καὶ om. A μὲν om. U **30** ἀπεκλίνοντο C οἱ om. U καὶ διευφήμουν φωναῖς B

βασιλέα. μόνος δὲ Κωνσταντῖνος πατρίκιος ὁ Δαλασσηνός, οἴκαδε διατρίβων, οὐκ | ἤνεγκε πράως τὴν ἀκοήν, ἀλλὰ καὶ ἀπεδυσπέτησε πρὸς τὰ φημιζόμενα καὶ διὰ θαύματος ἦγε, πῶς πλείστων ἀγαθῶν ὄντων ἀνδρῶν ἐξ οἴκων λαμπρῶν καὶ ἐπισήμου γένους χυδαῖος καὶ τριωβολιμαῖος ἄνθρωπος τῶν ἄλλων προτετίμητο πάντων καὶ δεσπότης καὶ βασιλεὺς ἀνηγόρευτο. τοῦτο δὲ πυθόμενος ὁ Ἰωάννης ἐπλήσθη μέν, ὡς εἰκός, θορύβου καὶ ταραχῆς, ἐμελέτα δὲ καὶ ἐσκέπτετο, πῶς ἂν καὶ τόνδε τὸν ἄνδρα ὑπὸ τὴν ἑαυτοῦ θεῖτο σαγήνην. καὶ δὴ στέλλεται πρὸς αὐτὸν εἷς τῶν εὐνούχων ὁ λεγόμενος Ἐργοδότης, ἐπιτήδειος ὑπηρετεῖν εἰς τὰ τοιοῦτα, ἐφ' ᾧ ὅρκους δοῦναί τε καὶ λαβεῖν καὶ ἀγαγεῖν τὸν ἄνδρα ἐς βασιλέα. καὶ ὁ μὲν ἄπεισιν εἰς τὸν Δαλασσηνόν, ὁ Ἰωάννης δὲ τήν τε σύγκλητον ὑπεποιεῖτο καὶ τὸ κοινὸν καὶ τὴν τῶν πολλῶν ἐπεσπᾶτο εὔνοιαν, βαθμοῖς μὲν τοὺς τῆς συγκλήτου προὔχοντας ἀξιωμάτων ὑψῶν, δωρεῶν δὲ διανομαῖς καὶ χάρισι μειλισσόμενος τὸ κοινόν, καὶ καθάπαξ οἰκειούμενος τὸ ὑπήκοον. ὅτι δὲ μὴ ἀρεστὰ τὰ γεγονότα ἦν τῷ θεῷ, διεδείχθη τρανῶς ἐκ προοιμίων αὐτῶν. κατὰ γὰρ τὴν ἑνδεκάτην ὥραν τῆς ἁγίας καὶ μεγάλης κυριακῆς χάλαζα κατηνέχθη ἀφόρητος καὶ ῥαγδαία, ὡς συντριβῆναι μὴ μόνον τὰ δένδρα κάρπιμά τε καὶ ἄκαρπα, ἀλλὰ δῆτα καὶ οἰκίας πεσεῖν καὶ ναοὺς καὶ τὰ λήϊα καὶ τὰς ἀμπέλους μέχρις ἐδάφους, ὡς ἐπισυμβῆναι κατὰ τοῦτον τὸν χρόνον παντοίων καρπῶν ἀφορίαν γενέσθαι. γέγονε δὲ καὶ χύσις ἀστέρος κατὰ τὴν κυριακὴν τὴν μετὰ τὸ πάσχα, περὶ ὥραν τρίτην τῆς νυκτός, τῇ μαρμαρυγῇ τῆς λαμπρότητος τοὺς ἀστέρας πάντας ἀποκαλύψαντος, ὡς καὶ δόκησιν παρασχεῖν τοῖς πολλοῖς ἡλίου ἀνατολῆς. ἐλήφθη δὲ καὶ ὁ βασιλεὺς δαιμονίῳ. ὃ | σεμνολογοῦντες οἱ περὶ τοῦτον μανικὸν ἀπεκάλουν νόσημα, καὶ παρέμεινεν ἄχρι τέλους τῆς αὐτοῦ βιοτῆς, μηθ' ὑπὸ θείας δυνάμεως, μηθ' ὑπὸ ἰατρῶν θεραπείαν λαβών, ἀλλ' ἐλεεινῶς κατατεινόμενος καὶ βασανιζόμενος.

3. Ἄρτι δὲ τοῦ Ἐργοδότου πρὸς τὸν Δαλασσηνὸν ἀφικομένου,

56 die 10. mens. Dec. a. 1041

cap. 3: Zon. III, 588, 10—588, 12

ACEVBMNU DH 31 Κωνσταντῖνος — Δαλασσηνός: ὁ πατρ. Κωνστ. ὁ Δαλ. B 33 ἦγε: εἶχε B καὶ post πλείστων add. U ἀγαθῶν ACEVBU: κἀγαθῶν MNDH ὄντων om. MNDH 34 τριβολιμαῖος U 35 προτετίμητο CVBMNU: προτετίμηται AEH: προτετίμητ D 36 ἀνηγόρευται AB 37 καὶ ἐσκέπτετο om. U 41 ἐς N τε om. B 42 ὑπεποιήσατο U 43 αὖ post μὲν add MN, ἂν add. H (sed non D) 44 δὲ ACEVUD: τε B: om. MN τὸ κοινὸν μειλισσ. M 44/45 καθάπερ ἐξοικειούμενος B 45 οἱ ante οἰκειούμ. add. MN (sed non D) ἦν: ἐν B 46 τὴν om. B ια' CEBU ὥραν om. B 48 συντριβῆναι — μόνον: καὶ B τὰ om. AB δῆτα VBMN: δὴ ACEBU 49 πεσεῖν ACEVBD: καταπεσεῖν MNUH Glyc. 586, 12 51 κατὰ τὴν κυριακὴν τὴν: τῇ κυριακῇ τῇ U 55 ἐκάλουν U 56 αὐτοῦ: ἑαυτοῦ A μηδ'... μηδ' B ἰατροῦ E

πιστεῦσαι μὲν οὗτος τοῖς ὅρκοις καὶ σὺν αὐτῷ ἀπελθεῖν ἐν τῷ Βυζαντίῳ οὐκ ἠθέλησεν, τῶν τινὰ δὲ πέμψας πιστοτάτων αὐτῷ ὅρκους τε ἀπήτησε μείζονας τοῦ μή τι παθεῖν χαλεπόν, καὶ ἀπελθεῖν ἐπηγγείλατο. πέμπεται τοίνυν Κωνσταντῖνος ὁ Φαγίτζης εὐνοῦχος, ἄνθρωπος Παφλαγὼν καὶ συνήθης τῷ βασιλεῖ, τά τε τίμια ἐπαγόμενος ξύλα καὶ τὸ ἅγιον ἐκμαγεῖον καὶ τὴν πρὸς Αὔγαρον ἰδιόγραφον ἐπιστολὴν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰκόνα τῆς ὑπεραγίας θεοτόκου. ὃς ἀπελθὼν καὶ ὅρκους τῷ Κωνσταντίνῳ δοὺς καὶ λαβών, ἔρχεται μετ' αὐτοῦ εἰς τὸ Βυζάντιον. ἐλθόντα δὲ τοῦτον φιλοφρόνως ὁ βασιλεὺς ὑπεδέξατο, καὶ ἀνθύπατον τιμήσας καὶ δώροις μεγίστοις δεξιωσάμενος ἀνέτως καὶ ἀδεῶς προσέταξε διάγειν ἐν τῷ ὄντι κατὰ τὰ Κύρου οἴκῳ αὐτοῦ.

4. Τούτῳ τῷ χρόνῳ καὶ ἄλλο τι συνέβη ἀξιαφήγητον. τῶν εἰς παραχειμασίαν ἐν τῷ θέματι τῶν Θρᾳκησίων διεσπαρμένων Βαράγγων γυναῖκά τις ἐγχωρίαν εὑρὼν ἐπ' ἐρημίας ἀπεπειρᾶτο τῆς σωφροσύνης αὐτῆς. ὡς δ' οὐκ ἔπειθε, καὶ βίαν ἤδη ἐπῆγεν, ἡ δὲ τὸν ἀκινάκην σπασαμένη τἀνδρὸς παίει κατὰ καρδίας τὸν βάρβα|ρον καὶ εὐθὺς ἀναιρεῖ. τοῦ δὲ ἔργου διαδοθέντος ἐν τῇ περιχώρῳ συναθροισθέντες οἱ Βάραγγοι τήν τε γυναῖκα στεφανοῦσι, δόντες αὐτῇ καὶ τὴν ἅπασαν οὐσίαν τοῦ βιαστοῦ, κἀκεῖνον ἄταφον ῥιπτοῦσι κατὰ τῶν βιοθανάτων τὸν νόμον. τὰ δὲ τῆς ἀκρίδος στρατόπεδα, ὡς ἤδη φθάσαντες εἴπομεν, κατὰ τὴν Ἑλλησπόντου αἰγιαλῖτιν ψάμμον διαφθαρέντα αὖθις ἀνεφύη αὐτομάτως καὶ τὴν παράλιον πάλιν τοῦ Ἑλλησπόντου κατέμαρπτε, καὶ ἐπὶ τριετίαν ὅλην διετέλεσε κεραΐζοντα τὸ θέμα τῶν Θρᾳκησίων, καὶ ἐν Περγάμῳ γενόμενα διεφθάρη, θεασαμένου τινὸς πρότερον τῶν ὑπηρετουμένων τῷ ἐπισκόπῳ

cap. 4: Glyc. 586, 19—587, 6

ACEVBMNU DH 59 καὶ σὺν αὐτῷ om. B 59/60 σὺν — ἠθέλησεν VB: εἰς τὴν βασιλεύουσαν σὺν αὐτῷ εἰσελθεῖν οὐκ ἠθέλησεν A: σὺν αὐτῷ ἀπελθεῖν εἰς τὴν βασιλεύουσαν οὐκ ἠθέλησεν CE: σὺν αὐτῷ ἀπελθεῖν οὐκ ἠθέλησεν ἐν τῷ (τῷ add. UD) Βυζαντίῳ MNUDH 60 πέμψας post αὐτῷ A πιστικωτάτων M 61 τοῦ om. U 63 βασιλεῖ: Κωνσταντίνῳ B 64 ἰδιόγραφον om. B ἐπιστ. ἰδιόγρ. C καὶ θεοῦ post κυρίου add. A καὶ σωτῆρος om. E 65 καὶ ante ὃς add. MN (sed non D) 69 τὰ om. EB αὐτοῦ: αὐτῷ E 70 δὲ post Τούτῳ add. B τι om. VB 71 Βαράγγων ACEVBUD: Φράγγων MN 73 δ' ACEVB: δὲ MNUDH Glyc. 587, 1 ἐπῆγεν ἤδη U ἐπῆγεν ACEVNU: ἐπήγαγεν M: ἔπεισεν B 74 τἀνδρὸς ACEVBMND: τοῦ ἀνδρὸς UH Glyc. 587, 2 βάρβαρον: Βάραγγον U 75 τῇ: τῷ B 76 δόντες ACEVB: διδόντες MNUDH 77 ἄταφον VBMN: ἄθαπτον ACEU ῥιπτοῦσι ACEVMNUD: ῥίπτουσι BH Glyc. 587, 16 κατὰ — νόμον (βιαιθανάτων B τὸν om. B) CEVBMN: κατὰ τὸν νόμον τῶν βιοθαν. A: κατὰ τὸν τῶν βιοθανόντων νόμον U 78 Ἑλλησπόντου CEV: Ἑλλησπόντιον AB: Ἑλλησπόντων M: ἐν Ἑλλησπόντῳ NUD 79 αἰγιαλοῦ D 80 παράλιον — Ἑλλησπόντου ACEVB: παράλιον τοῦ Ἑλλησπόντου πάλιν MNUDH κατέμαρπε C ὅλην dittogr. E 81 κεραΐζοντα MNU: κεραΐζουσα (post Θρᾳκ. A) ACEVB γενομένη B οὐκέτι ἦν, ἀλλὰ post γενόμενα add. A 82 διεφθάρησαν U

θέαμα οὐκ ὄναρ, ἀλλ' ὕπαρ. ἐδόκει γὰρ ὁρᾶν εὐνοῦχόν τινα λευχείμονα, ἐξαστράπτοντα τὴν μορφήν. καὶ ὃς τριῶν παρακειμένων ἔμπροσθεν αὐτοῦ σάκκων, λῦσαι προσετετάχει καὶ κενῶσαι τὸν ἕνα, εἶτα τὸν δεύτερον, καὶ ἐφεξῆς τὸν τρίτον. τοῦ δέ, ὡς ἐκελεύσθη, ποιήσαντος, ὁ μὲν πρῶτος ὄφεις καὶ ἐχίδνας καὶ σκορπίους ἐξέβρασεν, ὁ δὲ δεύτερος φρύνους καὶ ἀσπίδας καὶ βασιλίσκους καὶ κεράστας καὶ ἕτερα ἰοβόλα, ὁ δὲ τρίτος κανθάρους καὶ σκνίπας καὶ σφῆκας καί τινα ἄλλα τῶν ὀπισθοκέντρων ζῴων. καὶ ὁ μὲν ἐπὶ τῷ θεάματι ἵστατο ἐννεός, ὁ δὲ φαιδρὸς ἐκεῖνος ἀνὴρ ἔγγιστα παραστησάμενος αὐτόν· 'ταῦτα', ἔφη, 'ἐπῆλθέ τε καὶ ἐπελεύσεται ἐφ' ὑμᾶς διὰ τὴν παράβασιν τῶν τοῦ θεοῦ ἐντολῶν καὶ τὸ γενόμενον ἀνόσιον εἴς τε τὸν βασιλέα 'Ρωμανὸν καὶ εἰς τὴν αὐτοῦ κοίτην.' καὶ ταῦτα μὲν συνηνέχθη τῇδε. |

5. Μιχαὴλ δὲ ὁ βασιλεὺς ὑπό τε τῆς δαιμονίου νόσου εἰργόμενος, καὶ ἄλλως πρὸς μεταχείρησιν πραγμάτων νωθρός τις ὢν καὶ ἀμβλύς, σχῆμα μὲν εἶχε τῆς βασιλείας καὶ ὄνομα, ἡ δὲ τῶν πραγμάτων ἐνέργεια ἅπασα πολιτικῶν τε καὶ στρατιωτικῶν ἐν ταῖς χερσὶν ἦν τοῦ 'Ιωάννου. εὐθὺς οὖν προχειρίζεται Νικήταν τὸν ἑαυτοῦ ἀδελφὸν δοῦκα 'Αντιοχείας, ὃν ἀπελθόντα εἰσελθεῖν ἐν τῇ πόλει οὐ συνεχώρησαν οἱ 'Αντιοχεῖς. πρὸ μικροῦ γὰρ φορολόγος τις, Σαλίβας τὴν προσηγορίαν, τὰ κατ' αὐτοὺς ἐπιτετραμμένος καὶ βαρέως τοῖς ἀνθρώποις ἐπενηνεγμένος κτείνεται παρὰ τοῦ δήμου τῶν 'Αντιοχέων. διὰ οὖν τὸν τούτου φόνον, ἵνα μή τι καὶ ἀνήκεστον πάθωσι δεδιότες οἱ 'Αντιοχεῖς, ἀπέκλεισαν τῷ Νικήτᾳ τὴν εἴσοδον. ὅρκοις δὲ τούτου πιστωσαμένου, ὡς ἀμνηστία κακῶν αὐτοῖς ἔσεται, καὶ οὐδὲν οὐδεὶς πείσεται ἄχαρι διὰ τὸν τοῦ Σαλίβα φόνον, συγχωροῦσι τὴν εἴσοδον. ὁ δὲ τῆς πόλεως ἐπειλημμένος καὶ κύριος τῶν πραγμάτων γενόμενος, ὀλίγα ἢ οὐδὲν τῶν ὅρκων φροντίσας, ἀμφὶ μὲν τοὺς ἑκατὸν ἄνδρας ἀπέκτεινεν ἀποτεμών τε καὶ ἀνασκολοπίσας, ἕνδεκα δὲ τοὺς προὔχοντας ζαπλούτους ἄνδρας καὶ γένει περιφανεῖς δεσμεύσας, ὧν κορυφαῖος ἦν ὁ πατρίκιος 'Ελπίδιος, δεσμίους ἐκπέμπει πρὸς τὸ Βυζάντιον, γράψας τῷ

cap. 5: Zon. III, 588, 13—589, 11

ACEVBMNU DH 83 θέαμα — ὕπαρ: θέαμα ξένον ὕπαρ, οὐκ ὄναρ A τινα om. B λευχειμονοῦντα U 85 προσετετάχει VMNU: προσετάχθη ACEB καὶ — ἕνα (τὸν om. U) VBMNU: τὸν ἕνα καὶ (καὶ om. E) κενῶσαι ACE 88 καὶ βασιλίσκους om. B 89 σκανθάρους CE σκίπας CE 90 θεάματι: θαύματι B 91 τε om. MND 92 ἐπελεύσεται ACEVB: ἐλεύσεται MNUD 93 ἔργον post ἀνόσιον add. MNUDH 95 δ' M δαιμονίου ACEVB: δαιμονίας MNUDH 1 τις om. ACE 2 πᾶσα B 3 πολιτικῶν — στρατιωτικῶν AVBMNU: πολιτικοῖς τε καὶ στρατιωτικοῖς E: πολιτική τε καὶ στρατιωτική C 4 ἑαυτοῦ: ἴδιον A 7 ἐπενηνεγμένος ACEVBD: προσενηνεγμένος MNUH: προσενηνεγμένον Zon. III, 588, 16 τοῦ δήμου ACEVBUD: τῶν δήμων MN 8 οὖν: γοῦν U καὶ om. U 10 αὐτοῖς om. M 13 ὀλίγα om. U τῶν om. B φροντίσας ὅρκων U 15 δεσμεύσας ACEV: δημεύσας MNUDH: om. B ὁ om. E

ἀδελφῷ Ἰωάννῃ, μὴ διὰ τὸν τοῦ Σαλίβα φόνον κωλυθῆναι αὐτῷ τὴν εἰς τὴν πόλιν εἴσοδον, ἀλλὰ διὰ τὴν εἰς τὸν Δαλασσηνὸν εὔνοιαν. τοῦτο τῆς προαποκειμένης ὑπονοίας κατὰ τοῦ Δαλασσηνοῦ τῷ Ἰωάννῃ ζώπυρον ἐγεγόνει καὶ εἰς πυρσὸν ἀνήπτετο. καὶ εὐθὺς ἄγεται εἰς τὰ βασίλεια, καὶ κατὰ τὴν τρίτην | τοῦ Αὐγούστου μηνὸς τῆς δευτέρας ἰνδικτιῶνος ἐν τῇ νήσῳ Πλάτῃ περιορίζεται. βάλλεται δὲ καὶ ἔν τινι πύργῳ ὁ ἐπὶ θυγατρὶ γαμβρὸς αὐτοῦ Κωνσταντῖνος ὁ Δοῦκας, ὅτιπερ ἐπεβοᾶτο τὴν ἀδικίαν καὶ τὴν παράβασιν τῶν ὅρκων ἐξήλεγχε καὶ τὸν θεὸν ἐμαρτύρετο. ἔπαθον δὲ δι' αὐτὸν καὶ ἄνδρες τρεῖς τῶν ἐκ τῆς Μικρᾶς Ἀσίας εὐγενεῖς καὶ πλούσιοι, ὁ Γουδέλης, ὁ Βαϊανὸς καὶ ὁ λεγόμενος Προβατᾶς, δημευθείσης τῆς οὐσίας αὐτῶν καὶ Κωνσταντίνῳ τῷ τοῦ βασιλέως ἀφορισθείσης ἀδελφῷ. τότε καὶ Συμεὼν πρωτοβεστιάριος, ὁ τῶν θεραπόντων τοῦ βασιλέως εἰς Κωνσταντίνου, ὅτι μὴ ἠρέσκετο τοῖς δρωμένοις, ἀλλὰ τὴν εἰς τὸν Δαλασσηνὸν ἀδικίαν ἐπεβοᾶτο καὶ τὴν τῶν ὅρκων ἀθέτησιν τῶν βασιλείων, διώκεται καὶ τῆς πόλεως, κἀν τῷ Ὀλύμπῳ γενόμενος τὴν κοσμικὴν ἀπέθετο τρίχα, καρεὶς ἐν τῷ παρ' αὐτοῦ νεουργηθέντι μοναστηρίῳ.

6. Τῷ δ' αὐτῷ ἔτει καὶ σεισμοῦ γενομένου, κακῶς ἔπαθον τὰ Ἱεροσόλυμα, τεθνηκότων ἀνθρώπων πολλῶν ἐν τοῖς τῶν οἰκιῶν καὶ τῶν ἐκκλησιῶν συμπτώμασι, σειομένης τῆς γῆς ἄχρι τεσσαράκοντα ἡμερῶν. τῷ δὲ Σεπτεμβρίῳ μηνὶ τοῦ ,ϛφμγʹ ἔτους, στῦλος πυρὸς ἐφαίνετο κατὰ τὴν ἑῴαν, τὴν κορυφὴν κεκλιμένην φέρων πρὸς μεσημβρίαν. καθ' ἃς ἡμέρας καὶ οἱ Σαρακηνοὶ ἦραν τὰ Μύρα. ἐξεδίωξαν δὲ καὶ Βερροιαῖοι οἱ καὶ Χαλεπῖται τὸν παρὰ τοῦ βασιλέως Ῥωμανοῦ πεμφθέντα αὐτοῖς ἁρμοστήν. καὶ Παγκράτιος δὲ ὁ σεβαστός, Ῥωμανὸν τὸν βασιλέα δῆθεν ἐκδικῶν ὡς θεῖον τῆς γυναικὸς αὐτοῦ, τήν τε πρὸς Ῥω|μαίους εἰρήνην ἀπείπατο καὶ τὰ πρῴην δοθέντα φρούρια καὶ κάστρα ἅπαντα ἀνεκτήσατο.

21/22 a. 1034 **35** a. 1034

cap. 6: Zon. III, 589, 11/12. 590, 1—590, 6; Glyc. 587, 7—587, 14

ACEVBMNU DH **17** αὐτῷ ACVBMN: αὐτοῖς U: αὐτὸν E **17/18** τὴν — εἴσοδον: τῆς εἰσόδου τῆς πόλεως E **19/20** τῷ — ἐγεγόνει: ζώπυρον ἐγεγόνει τῷ Ἰωάννῃ B **20** τὰ βασίλεια: τὸν βασιλέα U **21** γʹ CE βʹ CE **22** δὲ ante ἐπὶ add. E **23** Δοῦκας CEMUD: Δούκας AVBN **25** τῶν om. E τε post εὐγενεῖς add. A **26** Γουδέλλιος U Βαϊανὸς: Βριάνος B δημευθευθείσης M **27** ἀδελφῷ ἀφορισθ. U **28** εἰς om. CB **28/29** Κωνστ. εἰς U **29/30** ἀλλὰ — ἀδικίαν: ἀλλὰ καὶ εἰς τὸν Δαλ. τὴν γενομένην ἀδικίαν U **31** ἐδιώκετο B **33** καὶ om. U **34** τῶν pr. om. B τῶν ἐκκλησιῶν καὶ τῶν (τῶν om. Glyc.) οἰκιῶν DH Glyc. 587, 8 **36** ἰνδικτιῶνος τρίτης post ἔτους add. MNUDH Glyc. 587, 10 στῦλος — ἐφαίνετο ACEVB: πυρὸς ἐφαίνετο στῦλος MNUDH Glyc. 587, 11 **37** φέρων VBMN: ἔχων ACEU **38** οἱ ante Βερρ. add. B **40** σεβαστός ACEV: Ἀβασγός MNUDH: Βασγός B: (Παγκράτιος δὲ ὁ ἄρχων Ἀβασγίας Zon. III, 590, 1) Ῥωμανόν post βασιλέα MN

περαιωθέντες δὲ καὶ τὸν Ἴστρον οἱ Πατζινάκαι πᾶσαν ἐληΐσαντο τὴν Μυσίαν ἄχρι Θεσσαλονίκης, καὶ τὰ τῶν Ἄφρων πλοῖα τὰς Κυκλάδας οὐ μικρῶς ἐλυμήναντο. ὧν οὐδεμία φροντὶς ἦν τῷ Ἰωάννῃ, μόνην δ' ἔμμονον ἀσχολίαν εἶχεν, ὅπως ἂν ὁ Δαλασσηνὸς ἀσφαλῶς τηροῖτο, καὶ μὴ τὰς αὐτοῦ λάθοι διαδρὰς πλεκτάνας. καὶ δῆτα μεταγαγὼν ἀπὸ τῆς νήσου Πλάτης αὐτὸν πύργῳ καθείργνυσιν ἀσφαλεῖ, ἐπιστήσας αὐτῷ φρουροὺς οὐκ ἀγεννεῖς. μεταστέλλεται δὲ ἐξ Ἐδέσσης καὶ Γεώργιον πατρίκιον τὸν Μανιάκην, καὶ τοῦτον μὲν ἄρχειν ἐκπέμπει τῆς ἄνω Μηδίας τῆς καὶ Βαασπρακανίας, ἐν Ἐδέσσῃ δὲ πέμπει Λέοντα τὸν Λεπενδρηνόν. ἕλκους δὲ διανεμομένου τὸ τοῦ ὀρφανοτρόφου στόμα καὶ πάσης ἰατρικῆς τέχνης ἀπειρηκυίας, ὄναρ αὐτῷ ἐπιστὰς ὁ μέγας ἐν θαύμασι Νικόλαος ἥκειν ἐν Μύροις τὴν ταχίστην ἐκέλευεν, ὡς ἐκεῖσε τευξόμενος θεραπείας. ὁ δὲ θᾶττον, ἢ λόγος ἐκεῖσε φοιτήσας, καὶ μύροις καὶ ἄλλαις πολυτελείαις τὸν τοῦ μεγάλου θεῖον δεξιωσάμενος ναόν, καὶ τείχει περικλείσας τὴν τῶν Μυρέων πόλιν ὀχυρωτάτῳ, θεραπείας τυχὼν ἐπάνεισιν ὑγιής.

7. Νικήτα δὲ τοῦ στρατηγοῦντος Ἀντιοχείας τῆς ἐν Συρίᾳ καταστρέψαντος τὴν ζωήν, ἅτερος τῶν ἀδελφῶν ὁ Κωνσταντῖνος καθίσταται τούτου διάδοχος, καὶ Γεώργιος ὁ λοιπὸς πρωτοβεστιάριος γίνεται, τοῦ Συμεών, ὡς εἴπομεν, τὸ μοναχικὸν ἐνδυσαμένου σχῆμα. ἐλευθεροῖ δὲ καὶ τοὺς καθειργμένους Ἀντιοχεῖς | τῆς χρονίου καθείρξεως ὁ βασιλεύς, ἀναγαγὼν καὶ πρὸς τὸ τοῦ καίσαρος περίοπτον ὕψος Μιχαὴλ τὸν τῆς ἑαυτοῦ ἀδελφῆς Μαρίας υἱόν. ἀποκλαιόμενος δὲ καὶ τὴν εἰς τὸν βασιλέα Ῥωμανὸν ἄχρι τέλους διετέλεσεν ἁμαρτάδα, τὸν θεὸν ἱλασκόμενος δι' ἀγαθοεργιῶν καὶ τῶν εἰς τοὺς πένητας μεταδόσεων, μοναστήριά τε ἐκ καινῆς ἀνεγείρων καὶ μοναχοὺς ἐγκατοικίζων, καὶ ἄλλας πράξεις ἐπιτελῶν οὐ μεμπτάς. αὗται δ' ἂν ἦσαν ἀνύσιμοι, εἰ τήν τε βασιλείαν ἀπέρριψε, δι' ἣν τὰ τοιαῦτα κακά, καὶ τὴν μοιχαλίδα ἀπώσατο, καὶ καθ' ἑαυτὸν

cap. 7: Zon. III, 587, 14—587, 16; Glyc. 587, 14—588, 2

ACEVBMNU DH 43 δὲ — Πατζινάκαι: δὲ (δὲ om. B) καὶ οἱ Πατζινάκοι τὸν Ἴστρον BU 45 ἐλυμαίνοντο B 46/47 ἀσχολίαν — μή: ἀσχολίαν εἶχε τοῦ ἀσφαλῶς τηρεῖσθαι τὸν Δαλασσηνόν, μὴ B 46 ἂν om. ACE 47 λάθῃ U καὶ δῆτα: ἐν μιᾷ δὲ B 49 δ' VN Ἐδέσης A 49/50 πατρ. Γεώργ. M 51 τῆς καὶ ACEVBU: καὶ τῆς MNDH Ἐδέσῃ AB Λεπενδρηνόν CEVBMN: Λεπεδρηνόν A: Λεπενδρόν U 54 ταχίστην: τέχνην E τευξομένῳ B σωτηρίας καὶ post τευξ. add. U 55 ἐκεῖσε om. B 56 θεῖον ante ναὸν B περικλείσας: περιζώσας B 57 Μυρέων ACEMNU: Μυραίων V: Μύρων B ὀχυρωτάτῳ AVBMNU: ὀχυροτάτως CE: ὀχυρότατα, post 56 περικλείσας, DH 58 Ἀντιοχείας τῆς (τῆς om. C) ACEVB: ἐν Ἀντιοχείᾳ τῆς MNUDH Κοίλῃ ante Συρίᾳ add. B ἐν Συρίᾳ: τῆς Συρίας DH 59 ὁ Κωνσταντῖνος: Κωνσταντίνου B 60 τούτου: τούτῳ V τούτου διάδοχος: ἀντὶ τούτου U 61 μοναδικὸν ABD σχῆμα ἐνδυσ. B καὶ om. B 62 χρονίου ACVB: χρονίας EMNUDH 64 καὶ om. B ἣν ante εἰς add. U 67 διεγείρων E 68 αὗται: αἳ U τε om. B 69 τοιαῦτα VBMNU: τοσαῦτα ACE μοιχαλίδα ACEVBU: μοιχάδα MNDH Glyc. 587, 19

ἀπεκλαίετο τὴν ἁμαρτίαν. τούτων δὲ μηδὲν πεπραχώς, ἀλλ᾽ ἐκείνῃ τε συνὼν καὶ τῆς βασιλείας ὁλοσχερῶς ἀντεχόμενος, κἀκ τῶν δημοσίων καὶ κοινῶν τὰς δοκούσας εὐποιΐας ἀποπληρῶν, εἶθ᾽ ὑπολαμβάνων συγχωρήσεως τυχεῖν, ἀνόητον ἐλογίζετο τὸ θεῖον καὶ ἄδικον, ἀλλοτρίοις χρήμασιν ὠνούμενον τὴν μετάνοιαν.

8. Τῷ δὲ ‚ϛφμγ᾽ ἔτει, ἰνδικτιῶνος τρίτης, Μαΐῳ μηνί, Ἄφροι καὶ Σικελοὶ καταδραμόντες τὰς Κυκλάδας καὶ τὰ τοῦ Θρᾳκησίου παράλια, τελευταῖον κατεπολεμήθησαν ὑπὸ τῶν ἐκεῖσε φυλαττόντων, καὶ πεντακόσιοι μὲν ζῶντες ὡς βασιλέα ἤχθησαν, οἱ δὲ λοιποὶ πάντες ἀνεσκολοπίσθησαν ἐν τῇ παραλίῳ ἀπὸ Ἀτραμυτίου καὶ μέχρι Στροβίλου. πέμπει δὲ καὶ πρεσβευτὴν εἰς Σικελίαν ὁ Ἰωάννης Γεώργιον τὸν Προβατᾶν, περὶ εἰρήνης διαλεξόμενον τῷ ταύτης ἀμηρεύοντι. ὃς ἀπελθὼν καὶ δεξιῶς διαλεχθείς, εἰληφὼς τὸν τοῦ ἀμηρᾶ υἱὸν ἤγαγεν εἰς τὴν βασιλεύουσαν. κατὰ τοῦτον τὸν χρόνον | σεισμοῦ γεγονότος χάσματα γέγονεν ἐν Βουκελλαρίοις, καὶ κατεπόθησαν ὁλόκληρα χωρία πέντε. ἔνθα συνέβη καὶ Νικηφόρον πρόεδρον τὸν Κωνσταντίνου τοῦ βασιλέως εὐνοῦχον ἐνδιατρίβοντα μικροῦ δεῖν κινδυνεῦσαι, διαφυγόντα δὲ παρ᾽ ἐλπίδα τὸν κίνδυνον ἀποκαρῆναι μοναχὸν ἐν τῇ μονῇ τῶν Στουδίου.

9. Ἀπολάφαρ δὲ Μουχούμετ ὁ Σικελίας ἄρχων, ὁμαιχμίαν μετὰ τοῦ βασιλέως θέμενος, ἐτιμήθη μάγιστρος. τοῦ δὲ ἀδελφοῦ αὐτοῦ Ἀπόχαψ ἀντάραντος αὐτῷ κατισχυόμενος ἐς τὴν βασιλέως βοήθειαν καταφεύγει. καὶ δὴ στέλλεται μετὰ δυνάμεως ἐν Λογγιβαρδίᾳ Γεώργιος πατρίκιος ὁ Μανιάκης στρατηγὸς αὐτοκράτωρ, σὺν αὐτῷ δὲ καὶ ἄρχων τοῦ στόλου Στέφανος πατρίκιος, ὁ ἐπ᾽ ἀδελφῇ τοῦ βασιλέως γαμβρός. Σαρακηνῶν δὲ Ἄφρων καὶ Σικελῶν μετὰ σκαφῶν οὐκ ὀλίγων ἐπιδραμόντων τὰς νήσους καὶ τὴν παράλιον, ὁ Κιβυρραιωτῶν ἀρχηγὸς Κωνσταντῖνος ὁ Χαγὲ

79/80 post mens. Maii a. 1035 **88** post mens. Maii a. 1035

cap. 8: Zon. III, 589, 16—590, 1; Glyc. 588, 3—588, 8

ACEVBMNU DH **71** κἀκ: καὶ U **72/73** συγχωρήσεως τυχεῖν ACEVB: τυχεῖν συγχωρήσεως MNUDH Glyc. 587, 23 **73** ἀνόητον ACEMNU: ἀνόνητον VB **74** ὠνούμενος BU **75** ἰνδ. τρίτης om. U γ᾽ CEVBM Μαΐου μηνός B **77** φ᾽ C **78** ὡς ACVMNU: ἐς E: εἰς B πάντες om. U **79** ἐν τῇ παραλίῳ VB: ἐν παραλίᾳ ACE: om. MNUDH καὶ pr. om. U **80** εἰς Σικελίαν VB: ἐν Σικελίᾳ ACED: ἐς Σικελίαν MNU **81** διαλεξόμενον VBMNU: πρεσβευσόμενον ACE ἀμηρεύοντι VBMNU: ὁμηρεύοντι ACE **83** χάσμα EU **84** Βουκελλαρίᾳ U **85** ἐνδιατρίβοντα ACEVMNU: ἐνδιάγοντα B: διατρίβοντα Glyc. 588, 6 **86** ἐλπίδα ACEBUD: ἐλπίδας VMN τοῦ κινδύνου U **87** τῶν VBMNU: τοῦ ACE Στουδίων B **88** τοῦ ante Μουχούμετ add. U Μουσχούμετ B **89** Ἀπόχαρ B **90** ἐς BDH (sed non F) **91** μετὰ δυνάμεως ἐν Λογγιβαρδίᾳ VBMNU: ἐν Λογγ. μετὰ δυν. ACE **94** ἐπιδραμόντων ACEVBUD: καταδραμόντων MN **95** τῶν ante Κιβ. add. U ἀρχηγὸς VBMNU: ἄρχων ACE: στρατηγὸς DH Χαχὲ V

συμπλακεὶς αὐτοῖς μετὰ τοῦ ἐγχωρίου στόλου ἐτρέψατο κατὰ κράτος, καὶ πεντακοσίους μὲν αἰχμαλώτους πέμπει τῷ βασιλεῖ, τοὺς δὲ λοιποὺς κατεπόντισεν. ἀφορήτου δὲ παγετοῦ γενομένου καὶ τοῦ Ἴστρου κρυσταλλωθέντος, οἱ Πατζινάκαι περαιωθέντες οὐ μικρῶς τὴν Μυσίαν καὶ Θρᾴκην μέχρι Μακεδονίας ἐκάκωσαν. ἐπῆλθε δὲ πάλιν ἀκρὶς τοῖς Θρᾳκησίοις, καὶ κακῶς διέθετο τοὺς καρπούς.

10. Τῷ δὲ ,ϛφμδ' ἔτει, ἰνδικτιῶνος τετάρτης, διὰ τοῦ ἔαρος τρεῖς εἰσβολὰς οἱ Πατζινάκαι ποιησάμενοι κατὰ Ῥωμαίων ἄρδην τὰ παρα-|τυχόντα ἠφάνισαν, ἡβηδὸν τοὺς ἁλισκομένους ἀναιροῦντες καὶ τιμωρίαις τοὺς αἰχμαλώτους ὑποβάλλοντες ἀνεκδιηγήτοις. εἷλον δὲ καὶ στρατηγοὺς πέντε ζωγρίας, Ἰωάννην τὸν Δερμοκαΐτην, Βάρδαν τὸν Πίτζην, Λέοντα τὸν Χαλκούτζην, Κωνσταντῖνον τὸν Πτερωτὸν καὶ Μιχαὴλ τὸν Στραβοτριχάρην. ἐτελεύτησαν δὲ καὶ οἱ τῶν Ῥῶς ἄρχοντες, Νεσισθλάβος καὶ Ἱεροσθλάβος, καὶ ἄρχειν προεκρίθη τῶν Ῥῶς συγγενὴς τῶν τελευτησάντων Ζινίσθλαβος. καὶ ἡ Σερβία Ῥωμαίων ἀφηνιάσασα μετὰ θάνατον Ῥωμανοῦ τοῦ βασιλέως αὖθις ἐσπείσατο. Ἄμερ δὲ τοῦ τῆς Αἰγύπτου ἀμερμουμνῆ τελευτήσαντος, ἡ γυνὴ αὐτοῦ Χριστιανὴ οὖσα διαπρεσβεύεται ἅμα τῷ υἱῷ πρὸς βασιλέα περὶ εἰρήνης. ἧς ἀποδεξάμενος τὴν προαίρεσιν ὁ βασιλεὺς σπονδὰς τριακοντούτεις ἔθετο μετ' αὐτῆς. Δεκεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος πέμπτης, ἔτους ,ϛφμε', κατὰ τὴν ὀκτωκαιδεκάτην τοῦ μηνός, περὶ τετάρτην ὥραν τῆς νυκτός, γεγόνασι σεισμοὶ τρεῖς, δύο μικροὶ καὶ εἷς μέγας. Γεωργίου δὲ πατρικίου τοῦ Μανιάκη, ὡς εἴπομεν, ἐξ Ἐδέσσης μετατεθέντος καὶ τοῦ Λεπενδρηνοῦ ἄρχειν ἐν αὐτῇ ταχθέντος, οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν Ἄραβες κοινοπραγίαν θέμενοι

7 a. 1036 **15** a. 1036 **16/17** post diem 13. mens. Iun. a. 1036 **20** a. 1036

cap. 10: Zon. III, 590, 6—590, 16; Glyc. 588, 8—588, 15

ACEVBMNU DH **2** φ' C **3** γενομένου παγετοῦ E **4** Πατζινάκοι BU **5** δὲ om. BM **7** δ' AEBMU: ιδ' C **8** οἱ Πατζινάκαι (Πατζινάκοι B) ποιησάμενοι ACEVB: ποιησάμενοι οἱ Πατζινάκαι (Πατζινάκοι U) MNUDH τὰ παρατυχόντα ACEVBUD: τοὺς παρατυχόντας MN **9** τοῖς ἁλισκομένοις ἀναιροῦντος E **10** τοὺς αἰχμαλώτους om. ACE **11** πέντε om. B Πιτζᾶν B **11/12** Λέοντα τὸν Χαλκούτζην om. B **12** Χαλκούτζην ACEVB: Χαλκοτούβην NDH: Χαλκοτούβιν MU τὸν Στραβοτριχάρην (Στραβοτριχάριν MUH, ut B, Στραβοτριχ' D) ante Μιχαὴλ MNUDH **13** καὶ pr. om. EU οἱ om. B Νεστιλάβος U **14** Ἱεροσλάβος U προεκρίθη — τελευτησάντων: ἄρχειν αὐτῶν προεκρίθη τῶν τελευτ. A Ῥὼς E **15** Ζινίσθλαβος CEVBMNH: Ζινισθλάβος AD: Ζινίσλαβος U **18** περὶ εἰρήνης πρὸς βασιλέα MU **18/19** ὁ βασ. τὴν προαίρ. A **19** δὲ om. U **20** ε' ACEBMNU ἔτει EU ,ϛφμε' ἔτει U ιη' C: ὀγδόην U **21** δ' C τῆς νυκτὸς om. A τρεῖς σεισμοὶ U **22** πατρικίου om. U τοῦ Μανιάκη om. B Μανιάκου A **22/23** ὡς εἴπομεν, ἐξ Ἐδέσσης (Ἐδέσης AB) ACEVB: ἐξ Ἐδέσσης, ὡς εἴπομεν MNUDH **23** καὶ — ταχθέντος om. U ἀντ' ἐκείνου ante ἄρχειν add. VB ἄρχειν ἐν αὐτῇ VBMN: ἐν αὐτῇ ἄρχειν ACE: om. U

ἐπῆλθον τῇ Ἐδέσσῃ καὶ ἐπολιόρκουν τὴν πόλιν. καὶ μικροῦ δ' ἂν ἑάλω, εἰ μὴ Κωνσταντῖνος ὁ τοῦ βασιλέως ἀδελφὸς βοήθειαν ἀποχρῶσαν ἐξ Ἀντιοχείας πεπομφὼς ταύτην παρ' ἐλπίδας ἐρρύσατο. ὃν ὁ βασιλεὺς τοῦ ἔργου ἀποδεξάμενος δομέστικον προβάλλεται τῶν σχολῶν τῆς ἀνα|τολῆς. προχειρίζεται δὲ καὶ Νικομηδείας ἐπίσκοπος Ἀντώνιος ὁ Πάχης εὐνοῦχος, κατὰ γένος προσήκων τῷ βασιλεῖ, μηδὲν ἄξιον ἔχων ἐπισκόπου, ἀλλὰ βοῦν ἀφωνίας ἐπὶ τῇ γλώσσῃ φέρων.

καὶ Ἰωάννου δὲ τοῦ Βουλγαρίας ἀρχιεπισκόπου κοιμηθέντος, ἕτερον ὁ βασιλεὺς προχειρίζεται, Παφλαγονίας μὲν ὁρμώμενον, κἂν τῇ μεγάλῃ δὲ ἐκκλησίᾳ διαπρέψαντα, καὶ τὸ τοῦ χαρτοφυλάκου διακόνημα ἐν πολλοῖς ἔτεσιν διανύσαντα, ἔρωτι δὲ ἡσυχίας καὶ τῷ (τὸ U) μὴ καλῶς τὰ θεῖα οἰκονομεῖσθαι παραιτησάμενον τοὺς ἐν μέσῳ θορύβους, καὶ διὰ τὸ μὴ θέλειν τῷ πατριάρχῃ προσκρούειν ἡσυχάζοντα καὶ ἰδιοπραγοῦντα. οὗτος Λέων μὲν ἐκαλεῖτο, πᾶσαν δὲ παιδείαν ἐξήσκητο τήν τε θύραθεν καὶ τὴν ἡμετέραν, ἐπιστὰς δὲ τῇ Βουλγαρίᾳ πολλὰ μνημεῖα τῆς αὐτοῦ ἀρετῆς καταλέλοιπεν.

αὐχμοῦ δὲ γενομένου, ὡς ἐπὶ μῆνας ὅλους ἓξ μὴ καταρραγῆναι ὑετόν, λιτανείαν ἐποιήσαντο οἱ τοῦ βασιλέως ἀδελφοί, ὁ μὲν Ἰωάννης βαστάζων τὸ ἅγιον μανδύλιον, ὁ μέγας δομέστικος τὴν πρὸς Αὔγαρον ἐπιστολὴν τοῦ Χριστοῦ καὶ ὁ πρωτοβεστιάριος Γεώργιος τὰ ἅγια σπάργανα. καὶ πεζῇ ὁδεύσαντες ἀπὸ τοῦ μεγάλου παλατίου ἀφίκοντο ἄχρι τοῦ ναοῦ τῆς ὑπεραγίας θεοτόκου τῶν Βλαχερνῶν. ἐποίησε δὲ καὶ ἑτέραν λιτὴν ὁ πατριάρχης σὺν τῷ κλήρῳ. οὐ μόνον δὲ οὐκ ἔβρεξεν, ἀλλὰ καὶ χάλαζα παμμεγέθης καταρραγεῖσα συνέτριψε τὰ δένδρα καὶ τὰς κεράμους τῆς πόλεως. σιτοδείας δὲ κατασχούσης τὴν πόλιν, ὁ Ἰωάννης ἐξωνήσατο ἀπὸ Πελοποννήσου καὶ Ἑλλάδος σίτου χιλιάδας ἑκατόν, καὶ δι' αὐτῶν τοὺς πολίτας παρεμυθήσατο.

11. Ἐν δὲ Σικελίᾳ, ὡς εἴρηται, τῶν δύο ἀδελφῶν στασιαζόντων καὶ τοῦ Ἀπολάφαρ ὑπερισχύοντος, ἅτερος τῶν ἀδελφῶν τὸν τῆς Ἀφρικῆς ἄρχοντα Οὔμερ εἰς συνεργίαν καλεῖ. καὶ ὃς ὑπισχνεῖται συμμαχήσειν, εἰ κατάσχεσιν ἐν τῇ νήσῳ λάβῃ τινά. προθύμως δὲ τοῦ Σικελοῦ κατανεύσαντος εἰς τοῦτο ἀφικνεῖται, καὶ συμπλακεὶς τῷ Ἀπολάφαρ ἔτι δυνάμεως

31 βοῦν ... ἐπὶ τῇ γλώσσῃ: prov., cf. Zenob. 2, 70; Diogen. 3, 48; Greg. Cypr. M 2, 49; Mac. 2, 88; Apost. 5, 7 cap. 11: Zon. III, 590, 16—591, 6

ACEVBMNU DH **25** Ἐδέσῃ AB καὶ pr. — πόλιν om. B δ' ἂν VMNU: δεῖν ACEB **26/27** ἐξ Ἀντιοχείας ante **26** βοήθειαν A **27** ἐλπίδας AEVMN: ἐλπίδα CBUDH **31** τῇ om. AB γλώσσης B **32—35** interpol. U et man. rec. in scheda in E **39** ὅλους: ἄλλους B καταρρηγνύναι U **40** τοῦ om. B **41** καὶ τὸ ἅγιον κεραμίδιον post μανδύλιον add. U δὲ ante μέγας add. BU **43** πεζῇ VMND: πεζοὶ ACEBUH Glyc. 588, 12 **45** ἐξέβρεξε B **46** τὰς A VBMN: τοὺς CEUDH Glyc. 588, 15 **47** ἀποστείλας post πόλιν add. MNUDH **50** ὡς — ἀδελφῶν ACVB: τῶν δύο ἀδελφῶν, ὡς εἴρηται MNUDH **50/51** ὡς — ὑπερισχύοντος: ὡσεὶ E στασιαζόντων — ἀδελφῶν om. B **52** Οὔμερ CE (man. rec.) VBMN: Οὔμμερ U: Οὖμερ A: Ἄμερ E καὶ ὅς: ὅς καὶ B **53** εἰ: εἰς E λάβῃ ACVBD: λάβοι EU: λάβει MN **54** τῆς ante δυνάμεως add. B

τῆς μετὰ τοῦ πατρικίου Γεωργίου τοῦ Μανιάκη ὑστερούσης τῆς εἰς συμμαχίαν τούτου πεμφθείσης | τρέπεται τοῦτον κατὰ κράτος. ὁ δὲ πρὸς τὸν ἄρχοντα Λογγιβαρδίας καταφυγὼν Λέοντα τὸν Ὦπον ᾔτει βοήθειαν. καὶ ὅς, ἣν εἶχε δύναμιν ἐκ τοῦ παρείκοντος συναθροίσας περαιοῦται εἰς Σικελίαν, καὶ πολλάκις συμβαλὼν τῷ τῶν Ἄφρων ἀρχηγῷ καὶ ὑπερτερήσας ἀνέκοψε τοῦτον τῆς ἀσχέτου ὁρμῆς. εἶτα μαθών, ὡς οἱ ἀδελφοὶ σπένδονται καὶ μέλλουσιν ἑνωθέντες ἐπιθέσθαι Ῥωμαίοις, διαπεροῦται πάλιν εἰς Ἰταλίαν, αἰχμαλώτων Ῥωμαίων ἀμφὶ τὰς πεντεκαίδεκα χιλιάδας συνεισελθόντων ἐν τοῖς πλοίοις αὐτῷ καὶ διασωθέντων ἐν Ἰταλίᾳ καὶ αὖθις οἴκαδε διαπερασάντων. ἀδείας οὖν δραξάμενος ὁ Καρχηδόνιος ἐπέκειτο τῇ Σικελίᾳ καὶ κατὰ πολλὴν ἄδειαν αὐτὴν ἐκεράϊζε. καὶ τὰ μὲν κατὰ Σικελίαν εἶχεν οὕτως.

12. Ἐκτόπως δὲ τοῦ Ἰωάννου τοῦ θρόνου Κωνσταντινουπόλεως ἐρῶντος, κοινοπραγήσαντες ὁ τῆς Κυζίκου Δημήτριος, Ἀντώνιος ὁ Νικομηδείας, ὁ τῆς Σίδης καὶ Ἀγκύρας οἱ αὐτάδελφοι σὺν ἄλλοις μητροπολίταις ἐβουλεύσαντο τοῦ θρόνου καταγαγεῖν τὸν Ἀλέξιον καὶ ἀντ' αὐτοῦ Ἰωάννην τῷ θρόνῳ ἐγκαταστῆσαι. πρὸς οὓς Ἀλέξιος ὁ πατριάρχης μετὰ τοῦ λοιποῦ μέρους τῆς ἐκκλησίας μηνύματα ἐκπέμπει, δηλοῦντα· 'ἐπειδή, ὥς φατε, οὐ ψήφῳ ἀρχιερέων, ἀλλὰ προστάξει Βασιλείου τοῦ βασιλέως ἐπέβην τοῦ θρόνου ἀκανονίστως, καθαιρεθήτωσαν, οὓς ἐχειροτόνησα μητροπολίτας ἐπὶ ἕνδεκα πρὸς τῷ ἡμίσει χρόνους τὴν ἐκκλησίαν ἰθύνας, ἀναθεματισθήτωσαν δὲ καί, οὓς ἔστεψα τρεῖς βασι|λεῖς, καὶ ἐξίσταμαι τοῦ θρόνου τῷ βουλομένῳ.' ταύτην δεξάμενοι τὴν ἀγγελίαν οἱ περὶ τὸν Δημήτριον, καὶ αἰσχύνης καὶ δέους πλησθέντες (ἦσαν γὰρ οἱ πλείους ὑπ' αὐτοῦ χειροτονηθέντες), ἠσπάσαντο σιωπήν, καὶ λοιπὸν ὁ Ἰωάννης ἐπέσχε τὴν ἐπὶ τῇ κατασχέσει τοῦ θρόνου ὄρεξιν.

cap. 12: Zon. III, 594, 7—594, 16

ACEVBMNU DFH **55** τῆς pr. — Γεωργ. om. B Γεωργ. πατρ. MN (sed non D) Μανιάκου A **56** τούτου ACEVBD: τούτῳ MNU **58** ἣν om. M παρείκοντος CEM: παρήκοντος AVBNUD ἀθροίσας E **59** ἀρχηγῷ VBMNU: στρατηγῷ ACE **60** ἐνέκοψε C ἀσχέτου ACEVNU: ἀνασχέτου M: ἐσχάτου B **61** ἐπιθέσθαι ACEVBU: ἐπιθήσεσθαι MNDH Ῥωμαίοις: Ῥώμης U **62** διαπεραιοῦνται U πάλιν: αὖθις, post Ἰταλίαν A ιε' CBU: δεκαπέντε E **63** συνεισελθόντων (post πλοίοις AC) ACVBMN: συνελθόντων (post πλοίοις E) EU αὐτῷ ACEV: αὐτῶν BMNDH: αὐτοῦ U **64** δραξάμενος ACEVBUD: δεξάμενος MN **65** ἐκεράϊζεν αὐτήν B **68** τῆς: τοῦ E **69** ὁ: οἱ V οἱ om. M **70** συνεβουλεύσαντο E **71** τὸν ante Ἰωάννην add. MNDH (sed non F) **72** λοιποῦ om. MN (sed non D) **73** Βασιλείου τοῦ om. MDH **74** τοῦ θρόνου ACEVBNUD: τῷ θρόνῳ M **75** χρόνους ACEVMN: χρόνοι B: χρόνῳ U τῆς ἐκκλησίας CE **76** ἀναθεματίσθωσαν M δὲ om. B **77** ἐξίσταμαι — βουλομένῳ (τοῦ βουλομένου B) ACEVB: ἐξίστ. τῷ βουλ. τοῦ θρόνου MNUDH ἀπαγγελίαν B **78** αἰσχ. πλησθ. καὶ δέους C **78/79** ἦσαν — χειροτονηθέντες om. B **79** χειροτονηθέντες ACEV: κεχειροτονημένοι MNUDH τὴν ante σιωπὴν add. E **80** τῇ om. AB ὄρεξιν VBUMN: ὁρμήν ACE

13. Τῷ δὲ ,ϛφμϛʹ ἔτει, ἰνδικτιῶνος ἕκτης, Νοεμβρίου δευτέρᾳ, γέγονε σεισμὸς περὶ ὥραν δεκάτην τῆς ἡμέρας, καὶ διετέλεσεν ἡ γῆ σειομένη ἄχρι ὅλου τοῦ Ἰαννουαρίου μηνός. γέγονε δὲ καὶ λιμὸς κατά τε Θρᾴκην καὶ Μακεδονίαν, Στρυμόνα καὶ Θεσσαλονίκην, καὶ μέχρι Θετταλίας. καταβοησάντων δὲ τῶν κληρικῶν Θεσσαλονίκης Θεοφάνους τοῦ μητροπολίτου, ὡς ἀποκρατοῦντος τὰς συνήθεις σιτήσεις αὐτῶν, ὁ βασιλεὺς τῇ Θεσσαλονίκῃ ἐνδιατρίβων λόγοις παραινετικοῖς ἐκέχρητο πρὸς αὐτόν, καὶ παρῄνει μὴ ἀποστερεῖν τὸν τῆς ἐκκλησίας λαὸν τῶν ἀπὸ νόμου σιτηρεσίων. τοῦ δὲ τραχυνομένου καὶ μὴ ὑπείκοντος, ἔγνω δεῖν ὁ βασιλεὺς ἀπάτῃ περιελθεῖν αὐτὸν καὶ κολάσαι τὴν ἀπληστίαν αὐτοῦ. πέμπει οὖν τινα τῶν ὑπηρετούντων αὐτῷ, ἐξαιτῶν ἐκδανεῖσαί οἱ κεντηνάριον ἕν, μέχρις ἂν ἐκ Βυζαντίου χρυσίον διακομισθείη. ὁ δὲ ἐνωμότως ἀπηρνήσατο μὴ ἔχειν πλὴν τριάκοντα λιτρῶν. καὶ τοῦτον μὲν ἐκποδὼν μεθίστησιν ὁ βασιλεύς, ἀποστείλας δὲ καὶ τὰ ταμιεῖα αὐτοῦ διερευνησάμενος εὗρε χρυσίου κεντηνάρια τριάκοντα καὶ τρία. ἐξ ὧν δίδωσι μὲν τοῖς κληρικοῖς τὰ ὀφειλόμενα ἀπὸ πρώτου ἔτους τῆς ἀρχιερωσύνης τοῦ Θεοφάνους ἕως τῆς ἐνεστώσης ὥρας, | τὰ δὲ λοιπὰ πένησι διανέμει, καὶ τὸν μητροπολίτην ἐξωθεῖ τῆς ἐκκλησίας καὶ ἔν τινι κτήματι περιορίζει. ἐφίστησι δὲ Προμηθέα τῇ μητροπόλει, παρ' οὗ καὶ οὗτος σιτηρέσια λαμβάνειν τετύπωτο καὶ καθ' ἑαυτὸν διάγειν.

14. Παγκρατίου δὲ τοῦ ἐξουσιαστοῦ Ἀβασγίας σφοδρῶς ἐπικειμένου τῷ κατεπάνω Ἰβηρίας τῷ Ἰασίτῃ, ὁ Ἰωάννης μετὰ τῶν στρατευμάτων πάντων τὸν δομέστικον Κωνσταντῖνον τῶν σχολῶν, τὸν αὐτοῦ ἀδελφόν, ἐκπέμπει, καθυποσχόμενος συνεκπέμψαι τούτῳ καὶ τὸν Δαλασσηνόν, ὡς ἂν ἔχῃ τοῦτον σύμβουλον καὶ παραστάτην ἐν τοῖς πολέμοις. τοῦτο δὲ οὐκ ἐποίησε, καὶ λοιπὸν ἄπρακτος ὁ δομέστικος ὑπενόστησε.

81 a. 1037

ACEVBMNU DH **81** δὲ om. E ἰνδ. ἕκτης om. C ϛ AEBMNU Νοεμβρίῳ BUD μηνὸς post Νοεμβρ. add. ACE βʹ CE **82** τῆς om. ACE **83** ἄχρις BUDH τοῦ om. M καὶ λιμός: λιμὸς μέγας B **84** Θεσσαλίας U **86** ὑποκρατοῦντας B **87** ἐνδιατρίβων ACEVMN: διατρίβων B: ἐνδημῶν U **88** καὶ — νόμου: καὶ μὴ ἀποστερεῖν τὸν τῆς ἐκκλησίας λαὸν παρῄνει τῶν ἀπὸ νόμου U ἀπὸ νόμου: ἐξ ἔθους B **90** ἀπάτην E περιελθεῖν: τε διελθεῖν B αὐτοῦ om. M **91** ἐκδανεῖσαί CEVMNU: ἐνδανεῖσαί A: δανεῖσαί B **92** αὐτῷ post διακομισθείη add. A ἐνωμότως: μεθ' ὅρκων B **93** πλὴν: πλεῖον M **94** ὁ βασιλεὺς μεθίστησιν U διερευνήσας A **95** λʹ καὶ τρία CE: τριάκοντα τρία ABU **1** τοῦ om. B **2** ἐνεστώσης: τότε B **4** σιτησέσιον BU **6** τῆς ante Ἀβασγ. add. B **7** Ἰασσίτῃ CEV **8** τῆς ἕω post στρατευμάτων add. MNUDH Κωνσταντῖνον post πάντων B, post σχολῶν A Κωνσταντῖνον om. E τῶν σχολῶν om. U σχολῶν, τὸν om. B **9** καθυποσχόμενος — Δαλασσηνόν om. U **10** καὶ ante σύμβουλον U **11** τοῦτο — ὑπενόστησε U

15. Μέλλοντος δὲ τοῦ Ἰωάννου καθαρσίου μετασχεῖν φαρμάκου, γνοῦσα τοῦτο Ζωὴ ἡ βασιλὶς διά τινος τῶν οἰκειοτάτων αὐτῇ εὐνούχων τοῦ λεγομένου Σγουρίτζη δώροις ὑποφθείρει τὸν ἰατρὸν οὐκ ὀλίγοις, ὑποσχομένη ἐς βίου τε περιφάνειαν ἄξειν αὐτὸν καὶ πλούτου ὑπεροχήν, εἰ κεράσει τῷ φαρμάκῳ καὶ δηλητήριον. παιδαρίου δέ τινος τῶν ὑπηρετούντων τῷ ἰατρῷ μηνύσαντος τὸ σκευώρημα τῷ Ἰωάννῃ, καὶ τῆς ἐπιβουλῆς ἐλεγχθείσης, ὁ μὲν ἰατρὸς εἰς Ἀντιόχειαν τὴν ἑαυτοῦ ἐξορίζεται πατρίδα, ὁ δὲ τὸ δηλητήριον συσκευασάμενος Κωνσταντῖνος πρωτοσπαθάριος ὁ Μουκουπέλης ἐξωθεῖται τῆς πόλεως, καὶ ἡ βασιλὶς ἐν ὑποψίαις ἔκειτο μείζοσιν. |

16. Ἄρτι δὲ καὶ Γεωργίου πατρικίου τοῦ Μανιάκη τὴν Σικελίαν καταλαβόντος, οἱ ταύτης ἄρχοντες καὶ αὐτάδελφοι σπεισάμενοι πρὸς ἀλλήλους ἔσπευδον ἀπελάσαι τοῦτον τῆς νήσου. διὸ καὶ συμμαχίαν ἐξ Ἀφρικῆς μετεπέμψαντο χιλιάδας πεντήκοντα. ἧς ἐλθούσης γίνεται συμβολὴ κραταιὰ κατὰ τὰ λεγόμενα Ῥήματα, καὶ τρέπεται κατὰ κράτος τοὺς Καρχηδονίους ὁ Μανιάκης, τοσούτου γενομένου φόνου, ὡς τὸν παραρρέοντα ποταμὸν πλημμυρῆσαι τῷ αἵματι. μετὰ δὲ ταῦτα εἷλε πόλεις Σικελικὰς τρισκαίδεκα, καὶ κατὰ μικρὸν προϊὼν πᾶσαν ἐχειρώσατο τὴν νῆσον.

17. Τῷ δὲ ,ϛφμϛ´ ἔτει, ἰνδικτιῶνος ἕκτης, γέγονεν ἐπιβουλὴ κατὰ τῆς πόλεως Ἐδέσσης· καὶ μικροῦ ἂν ἑάλω, εἰ μὴ θεὸς διεσώσατο. στρατηγοῦντος γὰρ ἐν αὐτῇ τοῦ πρωτοσπαθαρίου Βαρασβατζὲ τοῦ Ἴβηρος, ἄρχοντες τῶν Ἀράβων δώδεκα, ἱππεῖς ἔχοντες πεντακοσίους καὶ καμήλους πεντακοσίας, κιβώτια φερούσας χίλια ἔνδοθεν ἔχοντα χιλίους

28/29 a. 1037 31 a. 1038

cap. 15: Zon. III, 595, 8—595, 12 cap. 16: Zon. III, 591, 4—591, 11 cap. 17: Zon. III, 591, 12—592, 13

ACEVBMNU DH 12 φαρμάκου μετασχεῖν U 13 ἡ βασ. Ζωὴ B εὐνούχων αὐτῇ U 15 ἐς: εἰς B ἄξειν: αὔξειν C κεράσοι U 16 καὶ δηλητήριον: δηλητήριον συσκευασάμενος B ὑπηρετούντων ACEVB: ὑπηρετουμένων MNUDH 17 τὸ σκευώρημα: τὸ σκαιώρημα AU: τὰ σκαιωρήματα B 18 ἐξορίζεται πατρίδα AEVBMNUD: πατρ. ἐξορ. CH 19 συσκευασάμενος ACEVB: σκευασάμενος MNDH: κερασάμενος U 20 ἡ βασιλὶς: ὁ βασιλεὺς U 23 δὲ om. M καὶ om. B Μανιάκου A 24 ἔσπευδον ACEVBUD: ἔσπευσαν MN τῆς νήσου τοῦτον B 25 μετεπέμψατο U ν´ C 26 κραταιὰ συμβολὴ A κραταιὰ om. MNUDH 27 δὲ post τοσούτου add. E 31 ἰνδ. ἕκτης om. EU ϛ´ AVBM: γ´ C ἐπιβουλὴ VBMNU: ἐπιβολὴ ACE 32 Ἐδέσης AB ἂν VBMNU: δεῖν ACE 33 γὰρ om. BU Βαρασβατζὲ EVMNU: Βαρασβατζὰν A: Βαρασβατζὰ C: Βαρασβατζὴ B 34 γὰρ post ἄρχοντες add. B ιβ´ E φ´ CE 34/35 καμ. πεντακοσίους V 35 φ´ CE: πεντακοσίους V ἔνδοθεν: ἔνδον B ἔχοντα ἔνδοθεν U ἔχοντες V χιλίους ACEVB: δισχιλίους MNUDH

ὁπλίτας, τὴν Ἔδεσσαν κατειλήφασι, φάσκοντες, ὡς βασιλέα ἀπιέναι δῶρα κομίζοντες. ἦν δὲ αὐτοῖς ἡ ὁρμὴ ἔνδον τῆς πόλεως εἰσαγαγεῖν τὰ κιβώτια καὶ νύκτωρ τοὺς ὁπλίτας ἐκβαλεῖν καὶ κατασχεῖν τὴν πόλιν. ὁ δὲ στρατηγὸς τοὺς μὲν ἄρχοντας φιλοφρόνως ἐδέξατο καὶ εἱστία, τοὺς δὲ ἱππεῖς καὶ τὴν ἀποσκευὴν ἔξωθεν διαιτᾶσθαι ἐκέλευσε. πένης δέ τις Ἀρμένιος μεταιτῶν ἔνθα ηὐλίζοντο γενόμενος οἱ Σαρακηνοί, ἤκουσέ τινος τῶν ἐν τῷ κιβωτίῳ (ᾔδει γὰρ καὶ τὴν τῶν Σαρακηνῶν διάλεκτον) διερωτῶντός τινος, ὅποι πάρεισι, καὶ δραμὼν ἀπήγγειλε τῷ στρατηγῷ. ὁ | δὲ τοὺς ἄρχοντας ἐσθίειν ἐάσας ἐξῆλθε μεθ' ὁπλιτῶν, καὶ διαρρήξας τὰ κιβώτια καὶ τοὺς ὁπλίτας ἔνδον εὑρὼν ἅπαντας ἄρδην ἀπέσφαξε σὺν τοῖς ἱππεῦσι καὶ τοῖς καμηλοκόμοις. εἶτα πρὸς τὴν πόλιν ὑποστρέψας τοὺς ἕνδεκα τῶν ἀρχόντων ἀπέκτεινεν, ἕνα δὲ τὸν κρείττονα ἄγγελον τῶν γεγονότων ἐπ' οἴκου ἀπέστειλεν, ἀποτεμὼν χεῖρας αὐτοῦ καὶ ὦτα καὶ ῥῖνα.

18. Τῷ δὲ ‚ςφμζ' ἔτει, ἰνδικτιῶνος ἑβδόμης, ἐπιτείνων τὸ πρὸς τὸν Δαλασσηνὸν ἔχθος ὁ Ἰωάννης ὑπερορίζει καὶ Θεοφύλακτον πατρίκιον τὸν αὐτοῦ ἀδελφόν, καὶ τὸν ἕτερον ἀδελφὸν αὐτοῦ τὸν πατρίκιον Ῥωμανόν, καὶ Ἀδριανὸν τὸν ἀνεψιὸν αὐτῶν καὶ τοὺς λοιποὺς τοὺς κατὰ γένος αὐτῷ ἐγγίζοντας. ἔσπευδε γὰρ ἀφανίσαι τὸ γένος αὐτοῦ. ποριμώτατος δὲ ὢν πρὸς ἣν ἄν τις εἴποι κακίαν, πᾶσαν ἐφεῦρεν ὁδὸν ἀδικίας, προσθεὶς ἐπέκεινα τῶν δημοσίων τελεσμάτων διδόναι ἕκαστον τῶν χωρίων ὑπὲρ ἀερικοῦ κατὰ τὴν ποιότητα καὶ ἰσχὺν αὐτῶν, τὸ μὲν νομίσματα τέσσαρα, τὸ δὲ ἕξ, καὶ ἄχρι τῶν εἴκοσι, καὶ ἄλλους πόρους αἰσχροὺς τοῦ κερδαλέου χάριν, οὓς καὶ λέγειν αἰσχύνη.

φασὶ δέ, ὅτι καὶ (τοῦ Μανιάκη eras.) τοῦ μανῆναι τὴν βασιλίδα ἐπὶ τῷ αὐτοῦ ἀδελφῷ αὐτὸς ἐγένετο αἴτιος. κατανοήσας γὰρ αὐτὴν παιδοποιῆσαι ὀρεγομένην, γυναῖκάς τινας παρεσκεύασε προσιούσας τῇ δεσποίνῃ καταβοᾶν αὐτῆς, ὡς ἂν ἀναγκάσῃ αὐτὸν διὰ προσταγμάτων τρέφειν, ἃ ἐξ αὐτοῦ ἔτεκον. ὅθεν ὑποτοπήσασα εἶπε· 'συμφθαρήσε-

50 a. 1038/1039 **57** a. circiter 1039

cap. 18: Glyc. 588, 15—588, 19

ACEVBMNU DH **36** δὲ post τὴν add. V Ἔδεσαν AB **37** ἔνδον: ἔνδοθεν M **40** ἔξωθεν: ἔνδοθεν A ἐκέλευεν B **41** μεταιτῶν EVU: προσαίτης τις Zon. III, 592, 3: μετ' αὐτῶν ACMNDH: μετὰ τῶν B γενόμενος: γεσάρενος C **42** τοῖς κιβωτίοις B **43** τινος om. B ὅπῃ A **46** ὑποστρέψας: ὑπέστρεψε καὶ AU **47** μὲν ante ἕνδεκα add. MNUDH: (τοὺς μὲν λοιποὺς Zon. III, 592, 11) **48** ἐς οἶκον A **48/49** ὦτα καὶ ῥῖνα VBMNU: ῥῖνα καὶ ὦτα A: ῥῖνας καὶ ὦτα CE **50** ἑξακισχιλιοστῷ φμζ' V ἰνδ. ἑβδ. om. C ζ' AEBMU τὸν om. M **52** αὐτοῦ om. E αὐτοῦ ἀδελφόν: ἐκείνου αὐτάδελφον B τὸν ante ἕτερον om. U τὸν ult. om. A **53** αὐτῶν: αὐτοῦ U τοὺς pr. om. A **54** ἐγγίζοντας: προσήκοντας U ἄρδην ante ἀφανίσαι add. MNUDH **57** τὴν om. E αὐτῶν ACEVU: αὐτοῦ BMN: αὐτ̄ D **58** δ' M κ' C **59** λέγειν ACEVB: καταλέγειν MNUDH **60—66** interpol. U

ται αὐτῷ, τέξεται, καὶ ἡ βασιλεία ἕξει διάδοχον.' ᾠκειώσατό τε αὐτόν, ὡς προλέλεκται, καὶ σκοτίως ἐν παραβύστῳ ἐμίγνυτο, οὐ τοσοῦτον ἡττωμένη τῆς ὥρας αὐτοῦ, ὅσον ἐπιθυμοῦσα γονῆς εὐμοιρῆσαι ἐξ αὐτοῦ.

ὁ δὲ βασιλεὺς κατατεινόμενος ὑπὸ τοῦ δαίμονος καὶ μὴ εὑρίσκων ἐλευθερίαν, ἔπεμψεν ἐν πᾶσι τοῖς θέμασι καὶ ἐν ταῖς νήσοις τοῖς μὲν πρεσβυτέροις ἀνὰ νομίσματα δύο, τοῖς δὲ μοναχοῖς ἀνὰ νόμισμα ἕν. ἐβάπτιζε δὲ καὶ παῖδας ἀρτιγενεῖς, διδοὺς ἀνὰ νόμισμα ἓν καὶ μιλιαρίσια τέσσαρα. ἀλλ' οὐδὲν τούτων ὤνησεν αὐτόν. μᾶλλον γὰρ ἐπετείνετο τὸ κακόν, συνεπιλαβομένης καὶ νόσου ὑδρωπικῆς. κατὰ τοῦτον τὸν χρόνον καὶ σεισμοὶ γεγόνασι | συνεχεῖς καὶ ὄμβρων ἐπίκλυσις σφοδρά. ἐπεκράτησε δὲ καὶ ἔν τισι τῶν θεμάτων τὸ τῆς κυνάγχης νόσημα, ὡς ἀδυνατεῖν τοὺς ζῶντας ἐκφέρειν τοὺς τεθνεῶτας.

19. Φεβρουαρίου δὲ μηνὸς δευτέρᾳ, ἰνδικτιῶνος ὀγδόης, ἔτους ,ϛφμη', γέγονε σεισμὸς φρικώδης, καὶ ἔπαθον μὲν καὶ ἄλλοι τόποι καὶ πόλεις, ἐγένετο δὲ ἡ Σμύρνα ἐλεεινὸν θέαμα, καταπεσόντων τῶν καλλίστων οἰκοδομημάτων αὐτῆς καὶ πολλοὺς τῶν οἰκητόρων ἀναλωσάντων.

20. Ἐν δὲ Σικελίᾳ ἀναλαβὼν πάλιν ἑαυτὸν ὁ Καρχηδόνιος, καὶ δύναμιν πολλῷ μείζονα τῆς προτέρας ἀθροίσας, ἔρχεται πρὸς Σικελίαν τὸν Μανιάκην ἐκεῖθεν ἐξωθήσων. καὶ στρατοπεδευσάμενος ἔν τινι πεδιάδι ὑπτίᾳ καὶ ἀναπεπταμένῃ (Δραγῖναι ἡ πεδιὰς ἐκαλεῖτο) ἐκαιροσκόπει τὸν πόλεμον. τοῦτο δὲ μαθὼν καὶ ὁ Μανιάκης, ἄρας τὰς περὶ αὐτὸν δυνάμεις ὑπαντιάζει, ἐπισκήψας πρότερον τῷ πατρικίῳ Στεφάνῳ τῷ τοῦ βασιλέως γαμβρῷ, τοῦ στόλου, ὡς εἴπομεν, ἄρχοντι, ἀσφαλῶς τηρεῖν τὴν παράλιον, μή πως πολέμου κροτηθέντος τραπεὶς ὁ Καρχηδόνιος λάθῃ διαδρὰς καὶ οἴκαδε παλινοστήσῃ. καὶ δὴ συμβαλὼν τρέπεται τοῦτον ἀνὰ κράτος. καὶ πίπτει μὲν τῶν Ἄφρων πλῆθος ὑπὲρ τὰς πεν-

76 a. 1040

cap. 20: Zon. III, 592, 14—594, 6

ACEVBMNU DH 68 πᾶσι τοῖς θέμασι ACEVBUD: τοῖς πᾶσι θέμασι MN ταῖς: τοῖς E 69 νομίσματα δύο (β' C) ACVU: νομισμάτων δύο B: νομίσματος ἑνός EMNH: α' D 70 νόμισμα om. ACE δ' N: τρία B 71 γὰρ ACEVBU: δὲ MNDH ἐπέτεινε B 72 συνεπιλαμβανομένου H ὑδρικῆς BU 73 ἐπίκλυσις σφοδρά (σφοδρῶς U) VBMNU: ἐπικλύσεις σφοδραί (φαιδραί C) ACE 74 τισι ACEVBUD: τινι MN κυνόχης B 76 Φεβρουαρίῳ δὲ μηνὶ AU et compendiis fortasse CEB β' CEU η' ACEMU ἔτει A et compendio fortasse EB 77 γέγονε VBMNU: ἐγένετο ACE ἄλλοι — πόλεις: ἄλλαι πόλεις καὶ τόποι ACE πολλοὶ post ἄλλοι add. B 78 καταπεσόντων: καὶ πεσόντων U 80 ἑαυτὸν: αὑτὸν B 81 μείζω U 82 ἐκεῖθεν om. MNUDH 83 ὑπτίῳ CE Δραγῖναι CEV: Δραγίναι ABMND: Τραΐαναι U 84 μαθὼν post Μανιάκης U καὶ om. B αὐτὸν: αὐτοῦ B 85 τῷ πατρικίῳ om. ACE 86 ἄρχοντα U 87 πολέμῳ κροτηθέντι E 89 ἀνὰ: κατὰ M ν' CE

τήκοντα χιλιάδας, αὐτὸς δὲ ὁ τούτων ἄρχων διαδρὰς τὸν κίνδυνον ἔρχεται ἐν τῷ αἰγιαλῷ καὶ κελητίῳ ἐπιβὰς καὶ τὰς τοῦ Στεφάνου λαθὼν φυλακὰς ἀπέδρασε πρὸς τὴν οἰκείαν χώραν. ὅπερ μαθὼν ὁ Μανιάκης ἐν δεινῷ τε | ἐποιεῖτο, καὶ τὸν Στέφανον συμμίξαντα τούτῳ ὕβρεσί τε ἀτόποις κατέκλυσε καὶ τὸν σειρομάστην ἀνατείνας ἔπαισεν αὐτὸν κατὰ τῆς κεφαλῆς οὐκ ὀλίγας, ῥᾴθυμον ἀποκαλῶν καὶ ἄνανδρον καὶ τῶν τοῦ βασιλέως προδότην πραγμάτων. ὁ δὲ μὴ ἐνεγκὼν μετρίως τὸν προπηλακισμὸν καὶ τὴν ὕβριν γράμματα πέμπει ταχὺ πρὸς τὸν ὀρφανοτρόφον μηνύοντα, ὡς ἀπόστασιν εἴη μελετῶν ὁ Μανιάκης κατὰ τοῦ βασιλέως. καὶ ὁ μὲν εὐθὺς δέσμιος εἰς τὴν βασιλίδα εἰσάγεται καὶ καθείργνυται σὺν Βασιλείῳ πατρικίῳ τῷ Θεοδωροκάνῳ, ἡ δὲ πᾶσα τῆς ἀρχῆς ἐξουσία εἰς τὸν Στέφανον μετατίθεται, συνεκπεμφθέντος αὐτῷ καί τινος εὐνούχου Βασιλείου πραιποσίτου τοῦ Πεδιαδίτου. οἵτινες οὐκ ἐν βραχεῖ τὰ πράγματα διεφθάρκασιν, αἰσχροκερδείᾳ καὶ δειλίᾳ καὶ ῥᾳστώνῃ καταπροδόντες τὴν Σικελίαν. ὁ γὰρ Μανιάκης αἱρῶν τὰς τῆς νήσου πόλεις ἀκροπόλεις ἐν αὐταῖς ᾠκοδόμει καὶ φρουροὺς ἐφίστα τοὺς ἱκανούς, ἵνα μὴ οἱ ἐγχώριοι δύναιντ' ἂν ἐξ ἐπιβουλῆς ἀνακτᾶσθαι τὰς πόλεις. τούτου δὲ δεσμίου, ὡς εἴρηται, ἐς Βυζάντιον ἀναχθέντος, τῆς ὀλιγωρίας καὶ ῥᾳθυμίας τῶν ἀρχόντων καταδραμόντες οἱ ἐγχώριοι, καὶ δύναμιν Καρχηδονίων προσειληφότες ἐπιτίθενται ταῖς πόλεσι, καὶ τάς τε ἄκρας κατέσκαψαν, τῶν φρουρῶν κρατήσαντες, καὶ τὰς πόλεις πάσας ἐπανεσώσαντο, πλὴν Μεσήνης. ταύτην γὰρ ἔλαχε φρουρῶν ὁ πρωτοσπαθάριος Κατακαλὼν καὶ τοῦ τάγματος ἄρχων τῶν Ἀρμενιακῶν, ὁ τὴν ἐπωνυμίαν Κεκαυμένος, τριακοσίους ἱππότας ἔχων μεθ' ἑαυτοῦ καὶ πεντήκοντα πεζούς. σπεύ|δοντες οὖν οἱ νησιῶται μηδὲ ζώπυρον ὑπολειφθῆναι Ῥωμαϊκῆς δυνάμεως ἐμφωλεῦον τῇ νήσῳ, πάντα

16 oppidum Mesene a. 1037 expugnatum erat

ACEVBMNU DH 91 ἐν τῷ αἰγιαλῷ VBMNU: εἰς τὸν αἰγιαλὸν ACE 91/92 λαθὼν φυλακάς: διαδρὰς φυλακὰς λαθὼν B 92 ἀπέδρασε CVB: ἀπέδρα EMNUH: ἀπέδρα D: ἀπέρχεται A οἰκείαν ACEVB: ἰδίαν MNUDH ἀποδρὰς post χώραν add. A 93 τε om. M 94 κατέκλυσε ACEBU: κατέκλεισε VMND 95 ἀνὰ τὴν κεφαλὴν A οὐκ ὀλίγας post 94 ἀνατείνας B οὐκ ὀλίγας om. A 2 γράμματα — ταχύ: ταχὺ πέμπει γράμματα U ταχὺ om. ACE 3 ἀποτασίαν B 3/4 ὁ — βασιλέως VBMNU: κατὰ τοῦ βασ. Μαν. ACE 4 μὲν — εἰσάγεται: μὲν δὲ εὐθὺς εἰς τὴν βασ. δέσμ. ἄγεται U 5 σὺν — Θεοδωροκάνῳ VBMNU: σὺν τῷ πατρ. Βασ. τῷ Θεοδ. ACE 6 ἐς MND 7 εὐνούχου om. B τοῦ om. B 8 βραχεῖ: μικρῷ B διεφθάρησαν C 9 τὴν om. ACE 10 τοὺς om. U 12 δὲ om. C ὡς — ἀναχθέντος: ἀχθέντος U ἐς: εἰς τὸ B 13 καί: ἢ ACE καὶ ῥᾳθυμίας om. U καταδραμόντες: καταγνόντες U 14 πόλεσι: ἑλεπόλεσι U 16 φρουρῶν om. B 16—18 ὁ — Ἀρμενιακῶν ACEVB: ὁ πρωτοσπαθάριος ὁ τοῦ τάγματος ἄρχων τῶν Ἀρμενιακῶν Κατακαλών MNUDH 19 πεντήκοντα ACEVB: πεντακοσίους MNUDH εὐσθενεῖς post πεζοὺς add. A οὖν om. U μηδέ: μὴ B 20 τῆς ante Ῥωμαϊκῆς add. A

τὸν ὅπλον κινῆσαι δυνάμενον ἀθροίσαντες καὶ συμμαχικὸν οὐκ ὀλίγον Καρχηδονίων, ἀπελθόντες ἐν Μεσήνῃ τὴν πόλιν περιεστοίχισαν. τοῦ δὲ κλείσαντος τὰς πύλας ἐπὶ τρεῖς ἡμέρας καὶ μηδένα προπηδᾶν ἐῶντος τῆς τάφρου, ἀλλὰ δόκησιν δειλίας παρεσχηκότος, καταφρονήσαντες οἱ Σαρακηνοὶ ἀδεῶς τε ἐσκεδάννυντο καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐν πότοις καὶ αὐλοῖς καὶ κυμβάλοις ἦσαν, ὡς τάχα τῆς πόλεως ἐς τὴν αὔριον μελλούσης ἁλώσεσθαι. ἡμέρᾳ δὲ τετάρτῃ, καθ' ἣν εἰώθαμεν ἐκτελεῖν τὴν μεσοπεντηκοστήν, κατανοήσας ὁ Κεκαυμένος τὴν ἀμέλειαν καὶ ῥᾳθυμίαν τῶν Σαρακηνῶν, καὶ ὅτι ἐν πολλῇ ἀμεριμνίᾳ διάγουσιν, οὐδένα λόγον τῶν ἐντὸς τοῦ τείχους ποιούμενοι, τὸν ἑαυτοῦ παραθαρρύνας λαὸν καὶ τὴν ἀναίμακτον τοῖς ἱερεῦσιν ἐπιτελέσαι κελεύσας θυσίαν, καὶ τῶν θείων ἅμα πᾶσι μετεσχηκὼς μυστηρίων, περὶ ὥραν ἀρίστου τὰς τῆς πόλεως πύλας ἀναπετάσας προσρήγνυται μετὰ μεγίστης ῥύμης τοῖς ἐναντίοις μεθύουσι καὶ καρηβαροῦσιν, αὐτὸς πρῶτος μετὰ τῶν σὺν αὐτῷ ἐπὶ τὴν σκηνὴν ἐξιππασάμενος Ἀπολάφαρ τοῦ τῆς νήσου ἄρχοντος. καὶ οὗτος μὲν εὐθὺς ἀναιρεῖται, ἀκροσφαλὴς ὑπὸ μέθης ὑπάρχων, διαρρήγνυται δὲ καὶ ἡ αὐτοῦ σκηνή. ἔπιπτον δὲ καὶ οἱ ἄλλοι τῶν Σαρακηνῶν κατὰ σωρείας ὑπὸ μέθης σφαλλόμενοι, καὶ τῷ ἀπροσδοκήτῳ τῆς ἐπιθέσεως μηδ' ὅλως πρὸς ἀλκὴν ἀποβλέψαι ἰσχύσαντες. γίνεται οὖν τροπὴ ὅλου τοῦ στρατοπέδου, τῶν Σαρακηνῶν ὑπ' ἀλλήλων συμπατουμένων καὶ ἀναιρουμένων, ὡς πληρωθῆναι | νεκρῶν τὸ πεδίον καὶ τὰς ἔγγιστα φάραγγας καὶ τοὺς ποταμούς, ὡς ἐκ τοσούτων μυριάδων ὀλίγους πάνυ ἐν Πανόρμῳ διασωθῆναι. ἐλήφθη δὲ καὶ τὸ στρατόπεδον ἅπαν, χρυσοῦ καὶ ἀργύρου καὶ μαργάρων καὶ λίθων γέμον πολυτελῶν, οὕς, ὡς λέγεται, μεδίμνοις οἱ στρατιῶται διεμοιράσαντο. καὶ οὕτω μὲν ἡ πᾶσα Σικελία δι' ὀλίγου χειρωθεῖσα παρὰ τοῦ Μανιάκη, ἐν βραχεῖ χρόνῳ ἀμελείᾳ καὶ κακότητι στρατηγῶν γέγονε πάλιν ὑπὸ Σαρακηνούς, μόνης τῆς Μεσήνης ὑπολειφθείσης καθ' ὃν τρόπον εἰρήκαμεν, τοῦ Στεφάνου καὶ τοῦ Πεδιαδίτου φυγόντων ἐν Λογγιβαρδίᾳ. καὶ τὰ μὲν ἐν Σικελίᾳ ἐφέρετο ταύτῃ.

ACEVBMNU DH **21** κινῆσαι CEVMN: κινεῖν AU: ἆραι B ὀλίγον: ὀλίγων E **22** περιεστοιχίσαντο U **23** ἐῶντες B **24** παρεσχηκότες B **25** πότοις VBMNU: μέθαις ACE τε post πότοις add. B **26** εἰς U **27** ἡμέρᾳ δὲ τετάρτῃ ACEMNU: ἡμέραν δὲ τετάρτην VB ἡμέραν post ἣν add. E **28** ὁ — ῥᾳθυμίαν: τὴν ἀμέλ. ὁ Κεκ. καὶ ῥᾳθ. U **30** τοῦ om. CE **31** ἱερεῦσι τελέσαι A **32** ἅμα: ἀνὰ U μετασχὼν M **34** καρυβαριῶσιν B πρῶτον VMDH σὺν: συνόντων U **35** Ἀπολάφαν U **37** καὶ alt. om. A **40** τοῦ δλου U **42** φάλαγγας A τὸν ποταμόν A ὡς: καὶ B **43** ὀλίγας M **44** χρυσοῦ — πολυτελῶν CEVB: χρυσοῦ καὶ ἀργύρου καὶ μαργάρων γέμον (γέμων DH) καὶ πολυτελῶν λίθων MNUDH: χρυσίου καὶ ἀργυρίου καὶ λίθων καὶ μαργάρων γέμων πολυτελῶν A **45** ὡς om. C διεμερίσαντο U **46** παρὰ τοῦ Μανιάκη om. B Μανιάκου AU **47** ἀμελείᾳ — στρατηγῶν: ἀμελείᾳ ἡγεμόνων καὶ κακότητι B **48** ὑπολειφθείσης ACEVB: περιλειφθείσης MNUDH ὡς ante τοῦ add. U **50** ταύτῃ: τῇδε A

21. Ὁ δὲ βασιλεὺς Μιχαὴλ τῇ Θεσσαλονίκῃ ὡς τὰ πολλὰ διέτριβε, προσλιπαρῶν τῷ τάφῳ τοῦ καλλινίκου μάρτυρος Δημητρίου καὶ ἀπαλλαγὴν εὑρέσθαι τῆς νόσου γλιχόμενος. καὶ ἥπτετο μὲν τῶν πραγμάτων οὐδ' ὁπωστιοῦν, ὅ τι μὴ πᾶσα ἀνάγκη, ἐφέρετο δὲ ἡ διοίκησις καὶ τῶν κοινῶν μεταχείρησις ὑπὸ τῷ Ἰωάννῃ. καὶ οὐδὲν εἶδος βέβηλον καὶ παράνομον ἐπινοίας περιελείφθη, ὃ μὴ ἐξεῦρεν εἰς συντριμμὸν καὶ κάκωσιν τῶν ὑπὸ χεῖρα. καταλέγειν δὲ ἕκαστον τούτων Ἡράκλειος ἆθλος. καὶ διέκειντο πάντες ἄνθρωποι ὑπὸ τῆς βαρείας ταύτης τυραννίδος ἀγόμενοι ἐπὶ πολὺ θεοκλυτοῦντες καὶ ἀπαλλαγὴν ἐξαιτούμενοι. ἔσειε δὲ καὶ συνεχῶς ὁ θεός, καὶ δείματα καὶ φόβητρα κατεῖχον τὴν οἰκουμένην, ἐν οὐρανῷ κομητῶν ἐπιτολαί, ἐν ἀέρι ἄνεμοι καὶ ὄμβροι ῥαγδαῖοι, | ἐν γῇ δὲ βρασμοὶ καὶ κλόνοι. ταῦτα δὲ προεμήνυον, οἶμαι, τὴν μέλλουσαν ὅσον οὐδέπω γενέσθαι καταστροφὴν τῶν τυράννων. Μαΐῳ δὲ μηνὶ τοῦ ,ϛφμη' ἔτους, ἰνδικτιῶνος ὀγδόης, ἡ ἀδελφὴ τοῦ βασιλέως Μαρία, μήτηρ δὲ τοῦ καίσαρος, ἄπεισιν ἐν Ἐφέσῳ εἰς προσκύνησιν τοῦ ἠγαπημένου. καὶ ἐν τῷ διϊέναι πολλὰ τῶν παραλόγως πραττομένων μαθοῦσα, ὑποστρέψασα εἰς τὸ Βυζάντιον ἀπήγγειλε πάντα τῷ ἀδελφῷ Ἰωάννῃ, καὶ παρεκάλει ἀναστολήν τινα γενέσθαι τῆς πονηρίας. ὁ δὲ μετὰ γέλωτος αὐτὴν ἀπεπέμψατο, γυναικεῖα φρονεῖν εἰπὼν καὶ ἀγνοεῖν, ὅσων ἡ πολιτεία δεῖται Ῥωμαίων. ἐν Θεσσαλονίκῃ δέ, ὡς εἴπομεν, τῷ βασιλεῖ διατρίβοντι χρυσίον ὁ Ἰωάννης ἔπεμψε κεντηνάρια δέκα, ὑπὸ στροβίλων δὲ πνευμάτων ἀναρπασθὲν τὸ πλοῖον τοῖς Ἰλλυρικοῖς προσερράγη αἰγιαλοῖς καὶ συνετρίβη. τὸ δὲ χρυσίον ἀφείλετο Στέφανος ὁ καὶ Βοϊσθλάβος, ὁ τῶν Σέρβων ἄρχων, πρὸ μικροῦ τῆς πόλεως ἀποδρὰς καὶ τὸν τόπον τῶν Σέρβων κατεσχηκώς, Θεόφιλον ἐκεῖθεν τὸν Ἐρωτικὸν ἀπελάσας. ὁ δ' Ἰωάννης ὤνιον προτιθέμενος τὰς ἀρχάς, καὶ πᾶσι χαλινὸν

64 a. 1040 **73** Stephanus ab a. fere 1040 usque ad a. 1052 regnavit

cap. 21: Zon. III, 594, 16—595, 7; Glyc. 588, 20—589, 8

ACEVBMNU DH **51** βασιλεὺς om. U Μιχ. βασ. A **53** εὑρᾶσθαι B **54** οὐδ': καὶ U καὶ ante ἡ add. B **55** κοινῶν: λοιπῶν U μεταχείρησις CEVBMD: μεταχείρισις ANU τῷ ACEV: τοῦ B: om. MNUDH Ἰωάννῃ ACEV: Ἰωάννου BMNUH: Ἰω D εἶδος VBMNU: οὕτω ACE **56** ἐπινοίας om. U περιελείφθη ACEVB: ὑπελείφθη U: παρελείφθη MNDH **57** ἆθλος Ἡράκλ. AU **58** οἱ ante ἄνθρωποι add. AU ταύτης om. B **60** καὶ ante δείματα om. A δείματρα C τε post δειματά add. A κατεῖχον VBMNU: κατεῖχεν (post οἰκουμένην A) ACE **62** δὲ pr. om. MNUDH **63** οὐδέπω: οὔπω B **64** η' ACEBMU **65** Ἰωάννου τοῦ θεολόγου post ἠγαπ. add. B **66** παραλόγων U **67** ἐς A πάντα: ταῦτα U **68** τινά post πονηρίας B **71** χρυσίον ACEVMN: χρυσὸν U: χρυσίου B **72** ἀναρπασθὲν (post πλοῖον B) ACEVB: ἁρπασθὲν MNUH: ἁρπασθῆναι D **73** τὸ δὲ: καὶ τὸ U Στέφανος ὁ: ὁ Στέφ. ὁ B **74** ἄρχων VBMNU: ἀρχηγός ACE ἀποδρὰς: ἀποβὰς U **76** δὲ BMUDH ὠνίους B προστίθεμενος B

ἐνδιδοὺς ἀδικίας, μυρίων συμφορῶν ἐνέπλησε τὴν οἰκουμένην, ἀδεῶς τῶν κριτῶν φορολογούντων τοὺς ἐγχωρίους, καὶ μηδενὸς ἐπιστροφὴν ὅλως τιθεμένου τῶν γινομένων.

22. Ὁ δὲ βασιλεὺς ἐν Θεσσαλονίκῃ μαθὼν τὴν τοῦ χρυσίου ἀπώλειαν, γράφει τῷ Στεφάνῳ ἐκπέμψαι πρὸς αὐτὸν τὸ ἴδιον καὶ μὴ θελῆσαι αὐθαίρετον ἀνελέσθαι πόλεμον. τοῦ δὲ μηδεμίαν ποιησαμένου ἐπιστροφήν, στρατὸν ὁ βασιλεὺς ἐκπέμπει κατ' αὐ|τοῦ, ἄρχοντα ἔχοντα Γεώργιον ἐκτομίαν τὸν Προβατᾶν. ὁ δὲ τὸν τόπον καταλαβών, καὶ δυσχωρίαις καὶ φάραγξι καὶ δυσβάτοις ἀπερισκέπτως ἐμπεσὼν τόποις, τό τε στράτευμα ὅλον ἀπώλεσε καὶ αὐτὸς δυσχερῶς διεσώθη.

23. Τούτῳ τῷ ἔτει καὶ ἡ ἀποστασία γέγονε Βουλγαρίας

μετὰ εἰκοστὸν πρῶτον ἔτος τῆς αὐτῶν καταδουλώσεως καὶ ὑποταγῆς

τοῦτον τὸν τρόπον. Πέτρος τις Βούλγαρος, Δελεάνος τὴν προσηγορίαν, δοῦλος Βυζαντίου τινὸς ἀνδρὸς ἀποδρὰς ἐκ τῆς πόλεως ἐπλανᾶτο ἐν Βουλγαρίᾳ, καὶ κατήντησεν ἄχρι Μοράβου καὶ Βελεγράδων (φρούρια δὲ ταῦτα τῆς Πανονίας κατὰ τὴν περαίαν τοῦ Ἴστρου διακείμενα καὶ γειτονοῦντα τῷ κράλῃ Τουρκίας), καὶ υἱὸν ἑαυτὸν ἐφήμιζε Ῥωμανοῦ τοῦ υἱοῦ τοῦ Σαμουήλ,

τεχθέντα αὐτῷ ἀπὸ τῆς θυγατρὸς τοῦ κράλη Οὐγγρίας, ἣν ἔτι ζῶντος αὐτοῦ Σαμουὴλ μισήσας ἐδίωξε καὶ ἠγάγετο τὴν πανωραίαν Εἰρήνην τὴν Λαρισσαίαν

καὶ τὸ γένος ἀνέσειε τῶν Βουλγάρων, πρὸ ὀλίγου τὸν τράχηλον ὑποβαλὸν τῇ δουλείᾳ καὶ λίαν ὀριγνώμενον ἐλευθερίας. διὸ καὶ πιστεύσαντες τοῖς παρ' αὐτοῦ λεγομένοις βασιλέα τε αὐτὸν Βουλγαρίας ἀναγορεύουσι, καὶ ἄραντες ἐκεῖθεν διά τε Ναϊσσοῦ καὶ τῶν Σκούπων, τῆς μητροπόλεως Βουλγαρίας, ἵεντο ἀνακηρύττοντες καὶ ἀνευφημοῦντες τοῦτον, καὶ πάντα τὸν παρευρεθέντα Ῥωμαῖον ἀνηλεῶς καὶ ἀπανθρώπως ἀναιροῦν-

87 a. 1040

cap. 23: Zon. III, 598, 9—600, 4; Glyc. 589, 8—589, 12

ACEVBMNU DH 77 ἐνδιδοὺς VBMNU: ἐνδοὺς ACE ἐνέπλησε τὴν οἰκουμένην VMNU: τὴν οἰκ. ἐνέπλησεν ACEB Glyc. 589, 7 80 χρυσίου ACEVBUD: χρυσοῦ MN 81 ἐκπέμψαι: ἐξαποστεῖλαι A 82 ἀνελέσθαι: ἑλέσθαι, ἀναλαβέσθαι A ὑποστροφὴν ποιησαμένου U 83/84 ἔχοντα — ἐκτομίαν ACEVB: ἐκτομίαν ἔχοντα Γεώργιον UDH: ἐκτομίαν Γεώργιον ἔχοντα MN 84 δυσχωρίαις: δυσχερείαις U 85 καὶ alt. om. M ἐμπεσὼν VBMNU: περιπεσὼν ACE 88 interpol. U 89 Δελεάνος: Ὀδελεάνος U 90 τινος post δοῦλός ACE ἀποδρὰς: ἀποστὰς U 91 κατήντησεν: καταντήσας U Μωράβου A Βελαγράδων CEU 92 Παννονίας U 93 ἀνεφήμιζε M Ῥωμανοῦ: Ῥαδομηροῦ U 94 τοῦ alt. om. EB 95/1 interpol. U 2 ὑποβαλὼν EMDH 3 ὀριγνώμενος M 4 παρ': ὑπ' M ὡς πιθανῶς συγκειμένοις post λεγομένοις add. U Βουλγαρίας: Βουλγάρων B 5 Ναϊσσοῦ CEVMN: Ναϊσοῦ AB: Νήσου U Σκοπίων U 6 Βουλγαρίας AEVMNU: Βουργαρίας C: om. B καὶ ἀνευφημοῦντες om. A 7 ἀναιροῦντες CEVBMN: ἀνήρουν A: ἀναιροῦντα U

τες. ὅπερ μαθὼν Βασίλειος ὁ Συναδηνός, στρατηγὸς Δυρραχίου τυγχάνων, ἄρας τὰς ἐγχωρίους δυνάμεις ἔσπευδεν ὑπαντῆσαι τῷ Δελεάνῳ, πρὶν ἢ ἐπὶ μέγα ἀρθῆναι τὸ κακὸν καὶ πυρκαϊὰν ἀναφθῆναι. γενόμενος δὲ κατὰ τὴν λεγομένην Δέβριν, καὶ προσκρούσας κατά τι μετά τινος τῶν ὑποστρατήγων Μιχαὴλ τοῦ Δερμοκαΐτου, διαβάλλεται ἐς βασιλέα, ὡς μελετῶν | τυραννίδα. καὶ ὁ μὲν εὐθὺς παραλύεται τῆς ἀρχῆς καὶ ἐν Θεσσαλονίκῃ ἀχθεὶς ἐν φυλακῇ βάλλεται, στρατηγεῖν δὲ ἀντ' αὐτοῦ προχειρίζεται ὁ Δερμοκαΐτης, ὃς ἀπείρως καὶ φαύλως διοικῶν τὴν ἀρχὴν ἐν βραχεῖ χρόνου τὰ πάντα ἀνέτρεψε. πλεονεκτούμενοι γὰρ οἱ ὑπ' αὐτὸν καὶ ἀδικούμενοι, καὶ τοὺς ἑαυτῶν ἵππους καὶ τὰ ἅρματα ἀφαιρούμενοι καὶ ἄλλο πᾶν, ὅπερ ἦν αὐτοῖς ἄξιον λόγου, κατεξανίστανται τοῦ στρατηγοῦ. ἀλλ' ὁ μέν, ὡς ᾔσθετο ἐπιβουλευόμενος, νυκτὸς διαλαθὼν ἔφυγεν. οἱ δὲ τῷ ἐκ βασιλέως δέει βαλλόμενοι ἀποστασίαν τε μελετῶσι καί τινα τῶν συνόντων αὐτοῖς στρατιωτῶν, Τειχομηρὸν τοὔνομα, ἐπ' ἀνδρείᾳ καὶ συνέσει μεμαρτυρημένον, βασιλέα προχειρίζονται Βουλγαρίας. καὶ λοιπὸν γεγόνασι δύο στάσεις Βουλγάρων, ἡ μὲν τὸν Δελεάνον ἀνευφημοῦσα, θατέρα δὲ τὸν Τειχομηρόν. ἀλλ' ὁ μὲν Δελεάνος γράμματα φιλικὰ πρὸς τὸν Τειχομηρὸν γράψας καὶ ἐπὶ κοινοπραγίαν καλέσας ἔπεισεν ἐλθεῖν. ἐπεὶ δὲ ἡνώθη τὰ δύο συστήματα τῶν Βουλγάρων, συγκαλεσάμενος ἅπαντας ὁ Δελεάνος παρεκάλει, εἰ μὲν πεπληροφόρηνται ἀπὸ τοῦ Σαμουὴλ ἕλκειν αὐτὸν τὴν σειρὰν καὶ ὑπ' αὐτοῦ αἱροῦνται βασιλεύεσθαι, ἐκποδὼν ποιήσασθαι τὸν Τειχομηρόν, εἰ δ' ἀπὸ τρόπου τοῦτο αὐτοῖς, αὐτὸν μὲν ἀποσκευάσασθαι, ἄρχεσθαι δὲ ὑπὸ τοῦ Τειχομηροῦ. 'δύο γάρ', φησιν, 'ἐριθακοὺς μία λόχμη οὐ τρέφει, οὔτε μία χώρα εὐοδωθήσεται ὑπὸ δύο κυβερνωμένη ἀρχηγῶν.' ταῦτα δὲ εἰπόντος αὐτοῦ θόρυβός τε ἤρθη πολύς, καὶ μόνον αὐτὸν βούλονται ἔχειν ἔφασαν αὐτοκράτορα ἀρχηγόν. καὶ ἅμα τῇ

31—33 δύο γὰρ ... οὐ τρέφει: prov., cf. Zenob. 5, 11; Greg. Cypr. L 2, 68; Apost. 11, 68

ACEVBMNU DH **9** Δελεάνῳ: 'Οδελεάνῳ U **10** τὸ κακὸν ἀρθῆναι U **11** Δέβρην B κατά τι om. B **12** Δερμοκαΐτου ACEVBUD: Δερμωκαΐτου MN εἰς B ἐς βασιλέα om. ACE **16** χρόνῳ EBU ἀνέτρεψε: ἀνέπεμψε B **17** αὐτόν: αὐτοῦ B ἑαυτῶν: ὑπ' αὐτῶν M **18** ὅπερ ἦν: ὃ προσῆν B αὐτοῖς om. U κατεξανίσταντο B **20** διαλαθὼν VBMN: λαθὼν ACEU δέει: φόβῳ A τε om. U **22** ἀνδρείᾳ VBMNUD: ἀνδρίᾳ ACEH **23** Βουλγαρίας: Βουλγάρων B στάσεις: συστάσεις N Βουλγάρων: Βουλγαρίας B **24** Δελεάνον: 'Οδελεάνον U εὐφημοῦσα E θατέρα: ἡ δὲ A **24/25** ἀλλ' — Δελεάνος AEV: ἀλλ' ὁ Δελεάνος CBMNDH: ἀλλ' 'Οδελεᾶνος U **25** ἐκπέμπει post γράψας add. E **26** εἰσελθεῖν U **27** ὁ Δελεάνος: 'Οδελεᾶνος U ὡς post παρεκάλει add. B **28** πεπληροφόρηται B τοῦ γένους ante σειρὰν add. B **30** τοῦτο αὐτοῖς ACEVB: αὐτοῖς τοῦτο MNUDH **31** τοῦ om. CV ἐρθακοὺς U **34** αὐτὸν — ἔφασαν ACE: αὐτὸν ἔχειν βούλονται ἔφασαν VUDH: αὐτὸν βούλονται ἔφασαν B: αὐτὸν βούλονται ἔφασαν ἔχειν MN ἀρχηγόν VBMNU: στρατηγόν ACE τῷ λόγῳ καὶ post ἅμα add. B

βουλῇ λίθους ἄραντες λιθολευ|στοῦσι τὸν ἄθλιον Τειχομηρόν. καὶ ὁ μὲν ὡς ἐν ὀνείρῳ δόξας ἄρξαι σὺν τῇ ἀρχῇ καταστρέφει καὶ τὴν ζωήν, πᾶσα δὲ ἡ ἐξουσία μεθίσταται εἰς τὸν Δελεάνον.

ἀποστέλλει γε μὴν καὶ καθαιρεῖ τὸ φρούριον τὴν Βασιλίδα.

οὗτος δὲ τὰς δυνάμεις ἄρας ἁπάσας ἀπῄει πρὸς Θεσσαλονίκην κατὰ τοῦ βασιλέως. ὅπερ μαθὼν ἐκεῖνος ἀσυντάκτως ᾤχετο ἐς Βυζάντιον, καταλιπὼν πᾶσαν τὴν ἀποσκευὴν καὶ τὴν σκηνὴν καὶ ὅσον χρυσίον ἦν καὶ ἄργυρος καὶ ὑφάσματα, ἅπερ Μανουὴλ ὁ Ἰβάτζης, ᾠκειωμένος ὢν τῷ βασιλεῖ, προσταχθεὶς ἀφελέσθαι καὶ ἐπακολουθεῖν, ἀναλαβόμενος προσεχώρησε τῷ Δελεάνῳ μετὰ καί τινος Κοιτωνίτου, ἑνὸς τῶν θαλαμηπόλων εὐνούχων.

24. Γέγονε δὲ καὶ αὐχμὸς κατὰ τοῦτον τὸν χρόνον, ὡς σχεδὸν ἀποξηρανθῆναι τὰς ἀφθόνους πηγὰς καὶ τοὺς ἀεννάους ποταμούς. ἐγένετο δὲ καὶ ἐμπρησμὸς ἐν τῇ Ἐξαρτήσει, κατὰ τὴν ἕκτην τοῦ Αὐγούστου μηνός, καὶ ἐνεπρήσθησαν αἱ ἐκεῖσε ἱστάμεναι πᾶσαι τριήρεις μετὰ τῆς ἑαυτῶν παρασκευῆς.

25. Ὁ δὲ Δελεάνος ἀποσκευασάμενος, ὡς εἴπομεν, τὸν Τειχομηρὸν καὶ πάντων τῶν πραγμάτων κύριος καταστὰς γενναίως ἐξηγεῖτο τῶν ἔργων. καὶ πρότερον μὲν ἀποστείλας πλῆθος στρατηγὸν ἔχον τὸν λεγόμενον Καυκάνον εἷλε τὸ Δυρράχιον. ἀπέστειλε δὲ καὶ στρατιὰν ἑτέραν ἐν Ἑλλάδι, στρατηγουμένην ὑπὸ Ἀνθίμου, ἥτινι ὑπαντιάσας ὁ Ἀλακασσεὺς καὶ συμμίξας ἐν Θήβαις τρέπεται, καὶ ἀναιρεῖται πλῆθος τῶν Θηβαίων πολύ. τότε δὴ καὶ τὸ θέμα τῶν Νικοπολῶν, πλὴν Ναυπάκτου, προσερρύη Βουλγάροις δι' αἰτίαν τὴν ῥηθήσεσθαι μέλλουσαν. Βυζάντιος γάρ τις ἄνθρωπος Ἰωάννης τοὔνομα, Κουτζομύτης τὴν ἐπωνυμίαν, πρά|κτωρ τῶν ἐκεῖσε δημοσίων φόρων πεμφθεὶς καὶ βαρέως προσενηνεγμένος τοῖς ἐγχωρίοις ἑαυτῷ τε ὄλεθρον προεξένησε καὶ ἀποστάσεως αἴτιος γέγονε τοῖς Νικοπολίταις. μὴ φέροντες γὰρ τὴν αὐτοῦ πλεονε-

cap. 25: Zon. III, 600, 4—600, 9

ACEVBMNU DH **35** βουλῇ ACEV: βοῇ BMNUDH **37** Δελεάνον: Ὀδελεάνον U **38** interpol. U **40** ἀσυντάκτως dittogr. E ᾤχετο: ἔρχεται U ἐς ACEVB: εἰς MNUDH τὸ ante Βυζ. add. UD (sed non H) **41** ἦν om. U **43** ἀνελέσθαι B **44** Δελεάνῳ: Ὀδελεάνῳ U Κοιτωνίτου, ἑνὸς om. U **47** καὶ ante τὰς add. B **48** Ἐξαρτήσει AVBUD: Ἐξαρτίσει CE: Ἐξαντήσει M: Ἐξαντίσει N ς' CE **49** ἱστάμεναι om. E **51** Δελεάνος: Ὀδελεᾶνος U ἀποσκευασάμενος, ὡς εἴπομεν ACEVB: ὡς εἴπ., ἀποσκ. MNUDH **52** ἀποκαταστὰς U **53** ἔχον ACEVBU: ἔχων D: ἔχοντα MN δὲ ante λεγόμ. add. M **54** Καυκάνον VBMN: Καυκάρον ACE: Κοπχάνον U **55** καὶ post ἥτινι add. E ὑπαντήσας B Ἀλακασσεὺς ACBMNU: Ἀλακασεὺς V: Ἀλκασεὺς E **56** τῶν om. B **57** Νικοπολιτῶν UD Zon. III, 600, 6 **57/58** πλὴν N. — Βουλγάροις: προσερρύη Βουλγ. πλὴν Ναυπ. A **59** γάρ om. B τοὔνομα: τὴν κλῆσιν B ἐπωνυμίαν: προσηγορίαν B **60** ἐκεῖ E **61** προεξένησε CVBMNU: προὐξένησε A: προσεξένησε E ἀποστασίας EU **62** αὐτοῦ: ἑαυτοῦ EB

ξίαν ἀποστατοῦσι, καὶ αὐτὸν μὲν εἰς μέλη καὶ μέρη κατέτεμον, αὐτοὶ δὲ τὸν βασιλέα δυσφημήσαντες Ῥωμαίων τοῖς Βουλγάροις προσέθεντο. οὐ τοσοῦτον δὲ διὰ τὸ πρὸς τὸν Δελεάνον φίλτρον ἀφηνίασαν καὶ τὸν Ῥωμαϊκὸν ζυγὸν ἀπέρριψαν, ὅσον διὰ τὴν τοῦ ὀρφανοτρόφου ἀπληστίαν καὶ πρὸς τὰς ὑπάρξεις ὑπερβολήν. Βασιλείου γὰρ τοῦ βασιλέως, ὁπηνίκα Βουλγάρους ἐχειρώσατο, μὴ νεοχμῶσαι θελήσαντος ὅλως, μηδὲ μετακινῆσαι τὰ πράγματα, ἀλλ' ἐπὶ τῆς αὐτῆς μένειν καταστάσεως καὶ οὕτω διεξάγεσθαι, καθώς που ὁ Σαμουὴλ διωρίσατο, καὶ διδόναι τὸν ζεῦγος βοῶν ἔχοντα Βούλγαρον εἰς τὸ κοινὸν σίτου μόδιον ἕνα καὶ κέγχρου τοσοῦτον καὶ οἴνου στάμνον ἕνα, ὁ ὀρφανοτρόφος ἀντὶ τῶν εἰδῶν νομίσματα δίδοσθαι διωρίσατο. ὅπερ μὴ εὐφόρως οἱ ἐγχώριοι φέροντες, εὑρόντες δὲ καὶ καιρὸν εὔκαιρον τὴν τοῦ Δελεάνου ἐπιφάνειαν, τὴν Ῥωμαϊκὴν ἀπεσείσαντο ἡγεμονίαν καὶ πρὸς τὸ ἀρχαῖον ἐπανέδραμον ἔθος.

26. Ἐγένετο κατὰ τοῦτον τὸν καιρὸν μελέτη τυραννίδος κατὰ τοῦ βασιλέως, ἔξαρχον ἔχουσα Μιχαὴλ τὸν λεγόμενον Κηρουλάριον καὶ Ἰωάννην τὸν Μακρεμβολίτην καὶ ἄλλους οὐκ ὀλίγους τῶν πολιτῶν, οἳ καὶ δημευθέντες ἐξωρίσθησαν. καὶ ἑτέρα δέ τις ἐπισύστασις γέγονε κατὰ Κωνσταντίνου τοῦ μεγάλου δομεστίκου ἐν | Μεσανάκτοις. ἧς μηνυθείσης αὐτῷ Μιχαὴλ μὲν ὁ Γαβρᾶς καὶ Θεοδόσιος ὁ Μεσανύκτης καὶ ἄλλοι πολλοὶ τῶν ταγματικῶν ἀρχόντων ἐκπηροῦνται τοὺς ὀφθαλμούς, Γρηγόριον δὲ πατρίκιον τὸν Ταρωνίτην ἔξαρχον, ὡς ἐλέγετο, καὶ πρωτουργὸν τῆς συστάσεως ὄντα ὠμῇ βύρσῃ βοὸς διὰ παντὸς τοῦ σώματος καλύψας ὁ Κωνσταντῖνος, καὶ μόνης τῆς ἀναπνοῆς ἔξοδον ἀφεὶς καὶ τῆς ὄψεως, πρὸς τὸν ὀρφανοτρόφον ἀπέστειλε.

27. Σεπτεμβρίου δὲ μηνός, ἰνδικτιῶνος ἐννάτης τοῦ ,ϛφμθ' ἔτους,

88 a. 1040

cap. 27: Zon. III, 600, 9—603, 1; Glyc. 589, 8—589, 12

ACEVBMNU DH **63** μέρη καὶ μέλη B **64** Ῥωμαίων om. A **65** Δελεάνον: Ὀδελεᾶνον U οἱ Βούλγαροι post φίλτρον add. MNUDH ἠφηνίασαν EV **66** Ῥωμαϊκὸν: τῶν Ῥωμαίων B **67** τὰς ὑπάρξεις ACEV: τὰς εἰσπράξεις BMND: τὴν πλεονεξίαν U **68** Βουλγάρους ACEVBU: Βουλγάροις D: Βουλγαρίαν MN νεοχμᾶσαι U **70** οὕτως U διωρίσατο: διετύπωσε B καὶ alt.: ὅπερ μὴ εὐφόρως οἱ ἐγχώριοι φέροντες, ὥριστο γὰρ U **71** Βούλγαρον (Βουλγαρίας D) post κοινὸν MNUDH **71/72** σίτου — κέγχρου: σῖτον μοδίους ἑπτὰ καὶ κέγχρον B **71** ἕνα: ἓν C **72** οἶνον E ἕνα: μίαν B **73** δίδοσθαι VBMNU: διδόναι ACE **73/74** ὅπερ — φέροντες om. U (cf. **70**) **73** εὐφόρως: εὐκόλως A **74** δὲ καὶ om. U τοῦ om. M Δελεάνου: Ὀδελεάνου U **75** ἐπανεσείσαντο M **77** δὲ post Ἐγένετο add. BM καὶ ante μελέτη add. A **78** Κηρουλάριν E **81** ἐν Μεσανάκτοις om. ACE **82** Γαυρὰς B Μεσανύκτης CEVMN: Μεσανοίκτης A: Μεσανάκτης B: Μεσανύκτιος U **83** τῶν om. M **85** συστάσεως: στάσεως A **86** καλύψας: καταλείψας A **86/87** ἔξοδον ἀφεὶς: ἔξω διαφεὶς B **88** Σεπτεμβρίῳ δὲ μηνί M θ' ACEBMNU ἔτους om. A

Ἀλουσιάνος πατρίκιος καὶ στρατηγὸς Θεοδοσιουπόλεως, ὁ τοῦ Ἀαρὼν δεύτερος υἱός, ἄφνω τῆς πόλεως ἀποδρὰς τῷ Δελεάνῳ προσέρχεται ἐξ αἰτίας τοιαύτης. ἐν Θεοδοσιουπόλει καὶ γὰρ στρατηγῶν οὗτος καὶ ὡς ἄδικος κατηγορηθείς, πρὶν ἢ ἐξετάσει δοθῆναι τὰ κατ' αὐτοῦ λεγόμενα, ἀπῃτήθη παρὰ τοῦ Ἰωάννου λίτρας χρυσίου πεντήκοντα, προσαφῃρέθη δὲ καὶ γυναικεῖον χωρίον, ὅπερ εἶχεν ἐν τῷ Χαρσιανῷ κάλλιστον. δεηθεὶς δὲ περὶ τούτου τοῦ βασιλέως πολλὰ καὶ μὴ τυχὼν ἐπιστροφῆς, πάντοθεν ἀπογνούς, στολὴν λαβὼν Ἀρμενίων, καὶ ὡς τάχα θεράπων τοῦ Θεοδωροκάνου Βασιλείου ἐς τὸν βασιλέα εἰς Θεσσαλονίκην ἀπιών, λαθὼν πάντας ἔφυγε καὶ ἐν Ὀστροβῷ διασῴζεται, ἐκεῖσε πανσυδὶ τοῦ Δελεάνου ἐστρατοπεδευμένου τυγχάνοντος. τοῦτον περιχαρῶς δεξάμενος ὁ Δελεάνος (ἐδεδοίκει γάρ, μή πως προστεθῶσιν αὐτῷ μᾶλλον οἱ Βούλγαροι ὡς εἰς βασιλικὸν αἷμα τὴν ἀναφορὰν ἔχοντι) καὶ κοινωνόν, ὡς ἐδόκει, τῆς βασιλείας παρειληφώς, στρατιὰν αὐτῷ δίδωσι χιλιάδας τεσσαράκοντα, ἀπελθεῖν κελεύσας καὶ ἐκπολιορκῆσαι | Θεσσαλονίκην. ἦρχε δὲ τότε τῆς πόλεως Θεσσαλονίκης Κωνσταντῖνος πατρίκιος ὁ τοῦ βασιλέως ἀνεψιός, ὃς ἀπελθὼν καὶ τάφρον περιβαλλόμενος ἐπιμελῶς εἴχετο τῆς πολιορκίας. ἐπὶ ἓξ δὲ ἡμέρας ἀποπειρασάμενος τῆς πόλεως ἑλεπόλεσι καὶ μηχαναῖς καὶ πάντοθεν ἀποκρουσθεὶς καὶ τοῖς πᾶσιν ἀπειρηκὼς διὰ προσεδρείας ἐδόκει ἀνύσαι τὸ σπουδαζόμενον. μιᾷ δὲ τῶν ἡμερῶν τῷ τάφῳ τοῦ μεγαλομάρτυρος Δημητρίου προσελθόντες οἱ ἐπιχώριοι, καὶ πάννυχον ἐπιτελέσαντες δέησιν καὶ τῷ μύρῳ τῷ ἐκ τοῦ θείου τάφου βλύζοντι χρισάμενοι, ὡς ἐκ μιᾶς ὁρμῆς ἀναπετάσαντες τὰς πύλας ἐξέρχονται κατὰ τῶν Βουλγάρων. συνῆν δὲ τοῖς Θεσσαλονικεῦσι τὸ τάγμα τῶν μεγαθύμων. ἐξελθόντες δὲ καὶ τῷ ἀπροσδοκήτῳ καταπληξάμενοι τρέπουσι τοὺς Βουλγάρους, μηδ' ὅλως πρὸς ἄμυναν ἢ ἀλκὴν στῆναι βουληθέντας, τοῦ μάρτυρος προηγουμένου τῆς Ῥωμαϊκῆς στρατιᾶς καὶ τὴν πορείαν προομαλίζοντος, καθὼς ἐνωμότως διεβεβαίουν οἱ αἰχμαλωτισθέντες Βούλγαροι, λέγοντες νεανίαν ἔφιππον ὁρᾶν προηγούμενον τῆς Ῥωμαϊκῆς φάλαγγος, ἐξ οὗ πῦρ ἐξαλλό-

ACEVBMNU DH 89 Ἀλουσιάνος AEVBU: Ἀλουσίανος C: Ἀλλουσίανος D: Ἀλουσιανὸς MN Θεοδοσιοπόλεως B 90 Δελεάνῳ: Ὀδελεάνῳ U 92 αὐτοῦ ACEVBU: αὐτ᾽ D: αὐτὸν MN 93 χρυσίου λίτρας U 94 τὸ ante κάλλιστον add. U 2 Βασιλείου — ἀπιὼν (ἐς: πρὸς B, εἰς: ἐς MN) VBMNU: Βασιλείου (βασιλέως C) εἰς (ἐς C) Θεσσ. ἀπιὼν ἐς (εἰς A) τὸν βασ. ACE 3 πασσυδὶ CE 4 Δελεάνου: Ὀδελεάνου U τυγχάνοντος om. ACE ὑποδεξάμενος AC 4/5 δεξάμενος ὁ Δελεάνος: Ὀδελεᾶνος δεξάμενος U 6 ἔχοντα AB 8 ἐκπολιορκῆσαι: ἐκπορθῆσαι C 9 πόλεως om. B 12 καὶ ult. om. U 13 ἐδόκει: ἐζήτει A 14 τοῦ τάφου M μεγάλου μάρτυρος CE 15 καὶ pr. om. U δεήσεσι C 16 χρησάμενοι B 16/17 ἀναπετάσαντες τὰς πύλας VBNUD: τὰς πύλ. ἀναπετ. ACEM 19 πρὸς: εἰς B 20 βουληθέντας: δυνηθέντας AB 21 καὶ post καθὼς add. U 22 αἰχμαλωτισθέντες Βούλγαροι ACEVBUD: Βούλγ. αἰχμ. MN 23 φάλαγγος: στρατιᾶς M ἐξαλλόμενον ACEVBU: ἀλλόμενον MN: βαλλόμενον D

μενον ἐπυρπόλει τοὺς ἐναντίους. ἔπεσον οὖν πλείω τῶν πεντεκαίδεκα χιλιάδων, δορυάλωτοι δὲ ἐλήφθησαν οὐκ ἐλάττους τούτων. οἱ δὲ λοιποὶ αἰσχίστως σὺν τῷ Ἀλουσιάνῳ πρὸς τὸν Δελεάνον διασῴζονται.

28. Τούτῳ τῷ ἔτει, ἰνδικτιῶνος ἐννάτης, Ἰουνίου δεκάτῃ, περὶ ὥραν τῆς ἡμέρας δωδεκάτην, γέγονε σεισμός.

29. Μετὰ δὲ τὴν τροπὴν ἑνωθέντες ὅ τε Δελεάνος καὶ ὁ Ἀλουσιάνος ὑπενοοῦντο ἀλλήλους, ὁ μὲν διὰ τὴν ἧτταν αἰσχυνόμενος, | ὁ δὲ προδοσίαν ὑποπτεύων, καὶ ἐπεβούλευον ἀλλήλοις καιροφυλακοῦντες. σκευασάμενος οὖν ὁ Ἀλουσιάνος μετά τινων οἰκείων αὐτῷ καὶ ἄριστον ποιήσας καὶ εἰς εὐωχίαν καλέσας τὸν Δελεάνον, κραιπαλοῦντα καὶ μεθύοντα κατασχὼν ἀπετύφλωσεν, ὡς μηδὲ συναίσθησιν ὅλως τοῖς Βουλγάροις δοθῆναι τοῦ γεγονότος. καὶ φυγὼν ἔρχεται ἐν Μοσυνουπόλει πρὸς τὸν βασιλέα. καὶ τοῦτον μὲν ὁ βασιλεὺς εἰς τὸ Βυζάντιον πρὸς τὸν ὀρφανοτρόφον ἐκπέμπει, ἐς τὸ τῶν μαγίστρων ὕψος ἀναβιβάσας, αὐτὸς δὲ ἄρας ἐκ Μοσυνουπόλεως ἄπεισιν ἐν Θεσσαλονίκῃ. ἐκεῖθεν δὲ διαβὰς εἴσεισιν ἐν Βουλγαρίᾳ, καὶ τὸν Δελεάνον κατασχὼν ἔπεμψεν ἐν Θεσσαλονίκῃ, αὐτὸς δὲ πρὸς τὰ ἐνδότερα γενόμενος – ἔτι γὰρ Μανουὴλ ὁ Ἰβάτζης δέμα ξύλινον κατασκευάσας κατὰ τὸν Πρίλαπον ᾤετο ἀπεῖρξαι προσωτέρω χωρεῖν τὴν βασιλικὴν στρατιὰν καὶ τὰ ἔνδον κατέχειν. ἀλλ' ὁ βασιλεὺς ἐκεῖσε γενόμενος λόγου θᾶττον τό τε ξύλινον τεῖχος διέρρηξε καὶ τὸ σύστημα τῶν Βουλγάρων διεσκέδασε καὶ τὸν Ἰβάτζην κατέσχε. καὶ καταστησάμενος πάντα τὰ ἐν Βουλγαρίᾳ καὶ στρατηγοὺς ἐν τοῖς θέμασι τάξας, εἴσεισιν ἐν τῇ βασιλίδι, ἐπαγόμενος μεθ' ἑαυτοῦ τόν τε Δελεάνον καὶ τὸν Ἰβάτζην. τῇ δὲ κατεχούσῃ τοῦτον

27 a. 1041 **46** a. 1041

cap. 29: Zon. III, 603, 1—605, 4

ACEVBMNU DH **24** πλείω VMNU: πλείους ACE: πλέον B δεκαπέντε AE: ιε' CU **26** Δελεάνον: Ὀδελεᾶνον U **27** θ' ACEBMNU Ἰουνίῳ UM δεκάτῃ VBMNU: ἑνδεκάτῃ A: ια' CE **28** δωδεκάτην (ιβ' CED) ACEVUD: δεκάτην BMN **29** τε om. B Ἀλουσίανος C **30** ἀλλήλοις U **31** καιροφυλακτοῦντες V **32** Ἀλουσίανος C τινων: τῶν B αὐτῷ ACEV: αὐτοῦ BMNU: αὐτ̄ D **33** καὶ pr. om. EBU Δελεάνον: Ὀδελεᾶνον U **33/34** μεθύοντα καὶ κραιπαλοῦντα A **35** ἐν ACEVBNUDH: εἰς M Μοσυνουπόλει VBNUD: Μοσυνούπολιν M: Μοσυνοπόλει ACEH **36** εἰς VBMN: ἐς ACEU εἰς τὸ Βυζ. post **37** ἐκπέμπει B **37** ἐκπέμπει: ἀποστέλλει A ἐς: εἰς B **37/38** ἀναβιβάσας ὕψος U **38** Μοσυνουπόλεως VBMNUD: Μοσυνοπόλεως ACEH εὐθὺς post ἄπεισιν add. ACE ἐν Θεσσαλονίκῃ: εἰς Θεσσαλονίκην E **39** δὲ om. B ἐν Βουλγαρίᾳ: εἰς Βουλγαρίαν AB Δελεάνον: Ὀδελεᾶνον U **41** Πριλέαπον U ᾤετο: ὥστε B **43** ἀλλ' — γενόμενος om. B τε om. B **44** διεσκέδασε ACEVB: ἐσκέδασε MNUDH **45** στρατηγοὺς: στρατηγὸν U **47** τόν τε ACEVB: καὶ τὸν NUDH: τὸν M Δελεάνον: Ὀδελεάνον U τοῦτον: αὐτὸν B

νόσῳ ἐντρυχωθεὶς καὶ πάντοθεν τῆς ἰδίας ἀπογνοὺς σωτηρίας ἀποκείρεται μοναχὸς παρὰ τοῦ μοναχοῦ Κοσμᾶ τοῦ Τζιντζιλουκίου, ὃς διὰ παντὸς συνῆν αὐτῷ καὶ ἐνουθέτει τὰ δέοντα. Δεκεμβρίου δὲ δεκάτῃ, τοῦ ,ϛφν' ἔτους, ἰνδικτιῶνος δεκάτης, θνήσκει ἐν μετανοίᾳ καὶ ἐξομολογήσει, τὴν εἰς τὸν | βασιλέα Ῥωμανὸν ἁμαρτάδα ἀποκλαιόμενος, βασιλεύσας ἐπὶ ἔτη ἑπτὰ καὶ μῆνας ὀκτώ, ἀνὴρ τἄλλα μὲν ἐπιεικὴς καὶ χρηστὸς καὶ εὐλαβῶς δόξας βιοῦν, πλὴν τοῦ εἰς τὸν βασιλέα Ῥωμανὸν ἁμαρτήματος. ἀλλὰ καὶ τοῦτο οἱ πολλοὶ τῷ ὀρφανοτρόφῳ προσάπτουσιν.

51 die 10. mens. Dec. a. 1041

ACEVBMNU DH 48 ἐντρυχωθεὶς VMNU: ἐκτρυχωθεὶς ACEB τῆς — σωτηρίας: ἀπογνοὺς τὴν οἰκείαν σωτηρίαν B 49 Τζιντζιλουκίου CEVMN: Τζιντζιλούκη AH: Τζηντζιλούκη B: Τζιντζουλουκίου U: Τζουντζουλουκίου D 50 συνῆν αὐτῷ: συνὼν αὐτῷ B Δεκεμβρίῳ E δὲ om. BMND ι' E 51 ι' ACEBMNU 53 ἐπὶ VBMNUD: om. ACEH 54/55 τοῦ ... ἁμαρτήματος: τῆς ... ἁμαρτάδος U 55 Ἰωάννῃ post ὀρφανοτρόφῳ add. A

ΜΙΧΑΗΛ Ο ΚΑΛΑΦΑΤΗΣ

1. Τοιούτῳ δὲ τέλει χρησαμένου τοῦ Μιχαὴλ τὸ πᾶν κράτος περιέστη ὡς εἰς κληρονόμον τὴν βασιλίδα Ζωήν. τοιγαροῦν καὶ νεανικώτερον ἥπτετο τῶν πραγμάτων, συνεργοὺς ἔχουσα τοὺς τοῦ πατρὸς εὐνούχους, οὓς ἄνωθεν ὁ λόγος πολλάκις ἀπηριθμήσατο. πλὴν οὐ παρέμεινεν ἐπὶ τοῦ αὐτοῦ φρονήματος, ἀλλ' ἀποβλέψασα πρὸς τὸν ὄγκον τῆς βασιλείας καὶ διαγνοῦσα, ὡς οὐκ ἄν ποτε καθ' ἑαυτὴν αὐτὴ δυνηθείη ὀρθῶς τὰ κοινὰ διεξάγειν, καὶ ἀλυσιτελὲς νομίσασα τὸ ἀβασίλευτον καὶ ἄναρχον τὴν τηλικαύτην εἶναι ἀρχήν, καὶ δέον εἶναι κρίνασα προχειρίσασθαι βασιλέα τὸν δυνάμενον ἀντιλαμβάνεσθαι τῶν πραγμάτων ἐν ταῖς συμβαινούσαις τῶν περιστάσεων, καὶ ἐπὶ τρεῖς ὅλας ἡμέρας περὶ τούτου διασκοπήσασα, τὸν τοῦ βασιλέως ἀνεψιὸν καὶ ὁμώνυμον, τὸν υἱὸν τοῦ Στεφάνου τοῦ ἐν Σικελίᾳ τὰ πράγματα διαφθείραντος, καίσαρα ὄντα καὶ δραστήριον δοκοῦντα καὶ περὶ τὰ πράγματα δεξιόν, ὅρκοις πρότερον φρικωδεστάτοις κατασφαλίσασα, ὡς κυρίαν αὐτὴν ἕξει διὰ βίου καὶ δέσποιναν καὶ μητέρα, πράττουσαν, ἅττα δὴ καὶ κελεύει ποιεῖν, εἰσποιητὸν προσλαμβάνεται υἱὸν καὶ βασιλέα Ῥωμαίων ἀναγορεύει, τῷ βασιλικῷ | ταινιώσασα διαδήματι, πρότερον ἐκποδὼν ποιησαμένη τὸν ὀρφανοτρόφον καὶ ἐς τὸ μοναστήριον τῶν Μονοβατῶν ἐξορίσασα, παραπλησίως καὶ Κωνσταντῖνον τὸν δομέστικον τῶν σχολῶν τῆς ἀρχῆς παραλύσασα καὶ ἐν τοῖς τοῦ Ὀψικίου κτήμασιν αὐτοῦ

58 die 10. mens. Dec. a. 1041

cap. 1: Zon. III, 605, 5—612, 6; Glyc. 589, 13—591, 17

ACEVBMNU DH **57** Μιχαὴλ ὁ καλαφάτης ACE: Μιχαὴλ ὁ λεγόμενος καλαφάτης VN: Βασιλεία Μιχαὴλ τοῦ Καλαφάτου U: Βασιλεία Μιχαὴλ τοῦ καλαφάτου ἀνεψιὸς τοῦ Παφλαγόνος B: Ἀρχὴ βασιλείας Μιχαὴλ τοῦ Καλαφάτου M **58** Τοιούτῳ: Τούτῳ B τῷ ante τέλει add. B **59** εἰς κληρονόμον: κλῆρος εἰς B **60** συνεργοὺς ἔχουσα ACEVB: συνεργοὺς ἔχουσα καὶ συλλήπτορας MND: συλλήπτορας ἔχουσα καὶ συνεργοὺς U **61** πολλάκις ὁ λόγος CEV **62** ἐπὶ om. B αὐτοῦ: αὐτῆς E ἀποβλέπουσα B **63** καθ' — αὐτὴ (αὐτὸ U) VBMNU: αὐτὴ καθ' ἑαυτὴν ACE **64** διεξάγειν BMNU: διάξειν ACEV **65** εἶναι alt. EVBUMN: αὐτὴ A: om. C προχειρίζεσθαι B **66** ἀντιλαβέσθαι M **67** τῶν περιστάσεων ACEVB: περιστάσεσιν MNUDH ἡμέρας ὅλας B **68** τοῦ om. A **69** τοῦ alt.: καὶ B πράγματα: τάγματα B **71** κατασφαλίσασα ACEVB: καταλαβοῦσα MNUDH καὶ ante ὡς add. E **72** κελεύειν B **73** υἱὸν ante προσλαμβ. A προσλαμβάνεται ACEVB: προσλαμβάνει MNUDH Glyc. 589, 17 Ῥωμαῖον C **74** καὶ ante τῷ add. U **75** ἐς VNUD: εἰς ACEBMH Μονοβατῶν ACEVNU: Μονεμβατῶν B: Μοναβατῶν M **76** δὲ post παραπλ. add. B τὸν om. ACE **77** τοῦ om. U

τῆς ἀψῖδος τοῦτον περιορίσασα, ὡσαύτως καὶ Γεώργιον τὸν πρωτοβεστιάριον ἐν τοῖς κατὰ Παφλαγονίαν κτήμασιν αὐτοῦ στείλασα. κατ' αὐτὴν δὲ τὴν ὥραν, καθ' ἣν ἀνεδεῖτο τῷ διαδήματι ὁ Μιχαήλ, σκοτώσει καὶ ἰλίγγῳ ληφθεὶς ἐγγὺς ἦλθε τοῦ πεσεῖν. μόλις δ' οὖν αὐτὸν ἀνεκαλέσαντο μύροις καὶ ἀρώμασι καὶ λοιποῖς ἄλλοις εὐώδεσιν εἴδεσιν. ἐκλονεῖτο δὲ καὶ ἡ γῆ παρ' ὅλους τοὺς τέσσαρας μῆνας τῆς βασιλείας αὐτοῦ. τέως δὲ στεφθεὶς παρὰ τοῦ πατριάρχου καὶ βασιλεὺς καταστὰς τιμαῖς καὶ ἀξιώμασι τὴν σύγκλητον καὶ δωρεῶν διανομαῖς τὸ κοινὸν ἀνελάμβανεν. ἐντεύξει δὲ τῇ πρὸς τὴν δέσποιναν καὶ Κωνσταντῖνον τὸν δομέστικον μετακαλεσάμενος τῆς ὑπερορίας καὶ νωβελίσσιμον τιμήσας εἶχε μεθ' ἑαυτοῦ. δόξας δὲ ἐν βεβαίῳ ἑστάναι αἰφνίδιον ἔπεσε. γράμμασι γὰρ τοῦ ὀρφανοτρόφου καὶ συμβουλίαις τοῦ δομεστίκου διαφθαρείς, λεγόντων πολλάκις, μὴ πιστεύειν τῇ δεσποίνῃ, ἀλλὰ φυλάττεσθαι ταύτην, ἵνα μὴ παραπλήσια πάθῃ τῷ τε θείῳ αὐτοῦ καὶ βασιλεῖ Μιχαὴλ καὶ τῷ πρὸ αὐτοῦ Ῥωμανῷ, γοητείαις, ὡς ἔφασκον, κατεργασθέντι, καὶ συμβουλευόντων, εἰ οἷόν τε, ἐκποδὼν θέσθαι αὐτὴν καὶ σπεῦσαι μὴ προληφθῆναι, καὶ συνεχεῖς τὰς | προσβολὰς περὶ ταὐτοῦ ποιούμενοι πράγματος ἀναπεῖσαι ἴσχυσαν ἐπιβουλὴν κατ' αὐτῆς μελετῆσαι. ἔδοξεν οὖν ἀποπειραθῆναι τῶν πολιτῶν πρότερον, οἵαν ἔχουσι περὶ αὐτοῦ γνώμην, καὶ εἰ μὲν χρηστὴν διάθεσιν φανῶσι φυλάττοντες εἰς αὐτὸν καὶ φιλίαν ὀρθήν, τότε δὴ καὶ ἐγχειρῆσαι τῇ μελέτῃ, εἰ δὲ τοὐναντίον, ἡσυχίαν ἄγειν. τῇ κυριακῇ οὖν τῇ μετὰ τὸ ἅγιον πάσχα προέλευσιν δημοσίαν κηρύξας ἐν τῷ τῶν ἁγίων ἀποστόλων ναῷ, καὶ δι' αὐτῆς ἀποπειραθῆναι κρίνας τῆς γνώμης τῶν πολιτῶν, ἀπῆλθεν ἐστεφανωμένος μετὰ τῆς συγκλήτου, πάσης τῆς πόλεως ἀθροισθείσης εἰς τὴν θέαν, σκεύη χρύσεα καὶ ἀργύρεα τῶν τὴν λεωφόρον κατοικούντων ἀποκρεμμανύντων καὶ πέπλους καὶ ἄλλα ὑφάσματα χρυσοϋφῆ, κἂν ταῖς εὐφημίαις προτεθυμημένων καὶ αὐτάς, εἰ οἷόν τε, ἐκκενῶσαι τὰς ψυχάς. οἷς δελεασθεὶς ὁ δείλαιος τῷ ἐξ εὐνοίας ὑπολαβεῖν ταῦτα γίνεσθαι, ὑποστρέψας ἐν τῷ

84 die 10. mens. Dec. a. 1041

ACEVBMNU DH **78** τῆς ἀψῖδος om. B τοῦτον om. AM δὲ ante καὶ add. U **79** κτήμασιν αὐτοῦ ACEVB: αὐτοῦ κτήμασιν MNUDH αὐτὸν ante στείλασα add. U **80** τῷ om. C **82** καὶ ἀρώμασι om. E εἴδεσιν om. B **83** τοὺς om. B αὐτοῦ βασιλείας U **85** διανομῇ B **86** τῇ: τῆς B **88** δ' M **88/89** αἰφνίδιον — καὶ om. ACEVB **90** λεγόντων MNU: λέγοντος ACEV(?)B πολλάκις, μὴ ACEVB: μὴ πολλάκις MNUDH **91** αὐτοῦ — Μιχαὴλ: αὐτοῦ Μιχαὴλ τῷ βασ. B **92** ἔφασκε B κατεργασθέντι AEVBMN: κατεργασθέντα C: κατεργασθεῖσι U **93** συμβουλευόντων MNU: συμβουλεύοντος ACEV(?)B αὐτὴν om. A **94** ποιούμενοι EVMNU: ποιησάμενοι B: ποιούμενος C **95** ἴσχυσεν B μελετῆσαι ACEVBUD: ποιῆσαι MN **1** ἀποπειρασθῆναι V πρότερον τῶν πολιτῶν B **2** εἰς αὐτὸν om. U **4** γοῦν A τῇ alt. om. B **5** τῶν ἁγίων: ἁγίῳ E νεῷ M **6** κρίνας post πολιτῶν B κρίνας om. U **7** τὴν om. A **8** καὶ ἀργύρεα om. A τὴν λεωφόρον (λεωφόρων MU) ACEMNU: τῇ λεωφόρῳ VB οἰκούντων MU ὑποκρεμμανύντων B **9** πέπλα A **10** εἰ om. E **11** γενέσθαι B

μεγάλῳ παλατίῳ, τῷ μὲν πατριάρχῃ μηνύει ἀπελθεῖν εἰς τὴν ἐν τῷ Στενῷ μονὴν αὐτοῦ καὶ προσδέχεσθαι αὐτὸν τῇ ἐπαύριον, δοὺς αὐτῷ καὶ χρυσίου λίτρας τέσσαρας διὰ τὴν μέλλουσαν εἰς αὐτὸν γενέσθαι τάχα ὑποδοχήν. νυκτὸς δὲ τὴν βασιλίδα κατασπᾷ τοῦ θρόνου καὶ περιορίζει εἰς Πρίγκιπον, ἀποκεῖραι τοῖς ἄγουσι κελεύσας αὐτὴν καὶ διακομίσαι τούτῳ τὰς τρίχας αὐτῆς. καὶ οἱ μὲν πεμφθέντες ἐποίησαν, ὡς ἐκελεύσθησαν, ἕωθεν δ' οὗτος ἀναφορὰν γράψας καὶ τῷ τῆς πόλεως ἐπάρχῳ δοὺς ἀναγνῶναι ἐν τῷ τοῦ μεγάλου Κωνσταντίνου φόρῳ τοῖς πολίταις ἐκέλευσεν. ἐδήλου δὲ ἡ ἀνα|φορά, ὅτιπερ 'κακόνους ἡ Ζωὴ περὶ τὴν βασιλείαν μου φανεῖσα ἐξώρισται παρ' ἐμοῦ, συμφρονῶν δὲ ταύτῃ καὶ ὁ Ἀλέξιος ἐξεβλήθη τῆς ἐκκλησίας. ὑμεῖς δὲ ὁ ἐμὸς λαός, εἰ τὴν αὐτὴν διατηροίητε εὔνοιαν πρὸς ἐμέ, μεγάλων τιμῶν καὶ ἀγαθῶν τεύξεσθε καὶ ζωὴν ἄλυπον καὶ καθαρὰν ζήσεσθε.' ἀναγνόντος οὖν τοῦ ἐπάρχου τὴν ἀναφορὰν εἰς ἐπήκοον τοῦ λαοῦ, φωνή τις ἐξηκούσθη, μηδενὸς εὑρεθέντος τοῦ κεκραγότος, ὡς 'ἡμεῖς σταυροπάτην καλαφάτην βασιλέα οὐ θέλομεν, ἀλλὰ τὴν ἀρχέγονον καὶ κληρονόμον καὶ ἡμετέραν μητέρα Ζωήν.' καὶ εὐθὺς ἅπας ὁ λαὸς ὡς ἐκ μιᾶς φωνῆς ἐβόων· 'ἀνασκαφείη τὰ ὀστᾶ τοῦ καλαφάτου.' καὶ ἀναλαβόντες ἕκαστος λίθους καὶ βάθρα καὶ τὰ παρατυχόντα ξύλα τὸν μὲν ἔπαρχον (ἦν δὲ Ἀναστάσιος πατρίκιος ὁ τῷ πατρὶ τῆς Ζωῆς ὑπηρετησάμενος) μικροῦ δεῖν καὶ ἀπέκτειναν, εἰ μὴ φυγῇ χρησάμενος ἐπορίσατο τὴν ἑαυτοῦ σωτηρίαν· αὐτοὶ δὲ εἰς τὴν μεγάλην δραμόντες ἐκκλησίαν – ἔτυχε γὰρ καὶ ὁ πατριάρχης τὴν αὐτοῦ ὑποστροφὴν ὠνησάμενος, τὸν μὲν βασιλέα ἐδυσφήμει, τὴν δὲ τῆς βασιλίδος ἐζήτει ἀνακομιδήν· προσέδραμον τοίνυν πάντες οἱ τοῦ πατρὸς αὐτῆς εὐνοῦχοι καὶ Κωνσταντῖνος πατρίκιος ὁ Καβάσιλας καὶ τὸ λοιπὸν ἅπαν πλῆθος τῆς συγκλήτου, καὶ κοινῇ συμβουλῇ πέμψαντες ἄγουσι τὴν Θεοδώραν ἀπὸ τοῦ Πετρίου εἰς τὴν μεγάλην ἐκκλησίαν, καὶ ἐνδύσαντες αὐτὴν ἁλουργίδα βασιλικὴν ἄνασσαν εὐφημοῦσι σὺν Ζωῇ τῇ ταύτης ἀδελφῇ. καὶ ὁρμήσαντες πρὸς τὸ παλάτιον καταγαγεῖν ἠπείγοντο τῶν

20 die 19. mens. Apr. a. 1042

ACEVBMNU DH **14** τάχα om. M **15** κατασπάσας B καὶ om. B **17** ἐκελεύσθησαν VBMNU : ἐκέλευσεν ACE **18** ἀναφορὰς V δοὺς ἐπάρχῳ B **20** ἐκέλευεν U περὶ : πρὸς U **21** ὁ om. U **22** πατριάρχης ante Ἀλέξιος add. A **23** διατηρεῖτε M **24** καὶ ζωὴν — ζήσεσθε : ἀλύπως βιοτεύσετε A καὶ καθαρὰν om. B οὖν : δὲ E **25** ἀναφορὰν : ἐπιστολὴν B **28** καὶ δέσποιναν ante Ζωήν add. A ἅπας — φωνῆς ACEVB : ὡς ἐκ μιᾶς φωνῆς ἅπας ὁ λαὸς MNUDH ἀνασκαφθείη E **30** ὁ post Ἀναστ. add. MNUD **31** καὶ om. B **33** ἀναδραμόντες B ὁ πατριάρχης : τὸν πατριάρχην, post ἐκκλησίαν, B αὐτοῦ : ἑαυτοῦ U **34** ἐδυσφήμει CEVMN : ἐδυσφήμουν ABU τὴν δὲ τῆς CEVMNU : τῆς δὲ τῆς B : τῆς δὲ A βασιλίδος ACEMNU : βασιλίσσης VBD : βασιλείας H **35** ἐζήτει CEMN : ἐζήτουν AVBU πάντες om. A **37** συμβουλῇ : βουλῇ U **38/39** καὶ — βασιλικὴν om. CEV ἐνδύσαντες — βασιλικὴν om. AB **39** ἄνασσαν εὐφημοῦσι : ἀνευφημοῦσι U **40** αὐταδέλφῃ U πρὸς : εἰς A

ἀνα|κτόρων τὸν Μιχαήλ. ὁ δὲ πρὸς τὴν ὀργὴν τοῦ λαοῦ καὶ τὴν κίνησιν ἀποδειλιάσας, εὐθὺς ἀποστείλας ἤγαγε τὴν Ζωὴν ἐν τῷ παλατίῳ, καὶ ἀποδύσας αὐτὴν τὰ μοναχικὰ μετημφίασε βασιλικοῖς περιβλήμασι. προκύψας οὖν ἀπὸ τοῦ ἐν τῷ ἱπποδρομίῳ καθίσματος καὶ δημηγορῆσαι πειραθεὶς πρὸς τὸν λαόν, ὅτι τε ἡ βασιλὶς ἤχθη, καὶ ὅτι πάντα καλῶς ἔχει αὐτοῖς τὰ κατὰ σκοπόν, οὐ συνεχωρήθη, ὕβρεσί τε πανταχόθεν πλυνόμενος καὶ λίθοις κάτωθεν καὶ τόξοις βαλλόμενος. καὶ λοιπὸν ἀπογνοὺς ἐγνώκει εἰς τὸ μοναστήριον ἀπελθεῖν τῶν Στουδίου καὶ ἀποκείρασθαι. ἀλλ᾽ οὐκ ἀφῆκεν αὐτὸν ὁ δομέστικος, εἰπὼν μὴ οὕτω ῥᾳδίως καταλιπεῖν τὴν ἀρχὴν καὶ ὑποχωρῆσαι, ἀλλὰ γενναίως ἀντιστῆναι, καὶ ἢ πάντως ὑπερισχῦσαι, ἢ μεγαλοψύχως καὶ βασιλικῶς ὡς πρέπον ἐστὶν ἀποθανεῖν βασιλεῖ. ταύτης δὲ τῆς γνώμης ἐπικρατησάσης, τοὺς ἐν τῷ παλατίῳ πάντας, ὡς ὁ καιρὸς ἐδίδου, καθοπλίσας αὐτός, καὶ ὁ νωβελίσσιμος δὲ πάντα τὸν ἑαυτοῦ λαὸν ἀπὸ τοῦ ἰδίου οἴκου μεταπεμψάμενος ἔνοπλον (ἔτυχε δὲ ἐκ Σικελίας ἄρτι ἐλθὼν καὶ ὁ στρατηγὸς Κατακαλὼν ὁ Κεκαυμένος, τὰ ἐκ Μεσήνης εὐαγγέλια κομίσας) γενναίως ἀντείχετο τῶν πραγμάτων. τοῦ δὲ δήμου τριχῇ διαιρεθέντος, καὶ μέρους μὲν ἐν τῷ ἱππικῷ προσβαλόντος, ἑτέρου δὲ κατὰ τὰ ἐξκούβιτα, τοῦ δὲ λοιποῦ κατὰ τὸ τζυκανιστήριον, καὶ οἱ περὶ τὸν βασιλέα εἰς τρία τὴν ἑαυτῶν διελόντες δύναμιν ἠμύνοντο κραταιῶς. καὶ γίνεται φόνος πολὺς τῶν | πολιτῶν, οἷα γυμνῶν καὶ ἀόπλων πρὸς ἐνόπλους ἀγωνιζομένων μετὰ ξύλων καὶ λίθων καὶ τῶν παρατυχόντων εἰδῶν. φασὶ γάρ, ὡς ἀπώλοντο κατὰ ταύτην τὴν ἡμέραν (ἦν δὲ τρίτη τοῦ ἀντίπασχα) ἄνδρες ἀμφὶ τὰς τρεῖς χιλιάδας. τέλος ἴσχυσαν οἱ πολῖται τῷ πλήθει ὑπερτεροῦντες ἐπικρατέστεροι τῶν τοῦ βασιλέως γενέσθαι. καὶ διαρρήξαντες τὰς πύλας τοῦ παλατίου καὶ εἴσω γενόμενοι τό τε ἐναποκείμενον ἐν τοῖς σεκρέτοις διαρπάζουσι χρυσίον καὶ τὰ λοιπὰ τὰ εὑρισκόμενα εἴδη, διαρρήσσουσι δὲ καὶ τὰς δημοσίας ἀπογραφάς, καὶ τὸν βασιλέα συλλαβεῖν ἔσπευδον.

ACEVBMNU DH **41** ὀργὴν: ὁρμὴν BU **42** ἀποδειλιάσας om. ACE εὐθὺς ἀποστείλας VBMNU: ἀποστείλας εὐθὺς ACE ἤγαγε — παλατίῳ: ἤγαγεν ἐν τῷ παλ. τὴν Ζ. U **43** αὐτὴν post μετημφίασεν add. U βασιλικῷ περιβλήματι B **44** ἱπποδρόμῳ U **45** τε om. ACE βασίλισσα U **46** ἔχει αὐτοῖς VBMNU: αὐτοῖς ἔχει ACE **46/47** πανταχόθεν πλυνόμενος VBMN: πάντοθεν πλυνόμενος (βαλλόμενος C) ACE: πλυνόμενος πανταχόθεν U **47** κάτωθεν: πάντοθεν E **48** ἐγνώκει: ἐδόκει E τῶν Στουδίου ACEVMN: τοῦ Στουδίου U: τῶν Στουδίων B **49** οὕτω: οὕτους U **52** ἀποθανεῖν post **51** βασιλικῶς A βασιλ᾽ U **54** δὲ om. ACE **55** καὶ ante ἐκ add. U καὶ om. U **56** κομισάμενος M **56/57** ἀντείχετο (ἀντείχοντο B) τῶν πραγμάτων VBMNU: τῶν πραγμάτων ἀντείχετο ACE **57** τριχῶς C **57/58** ἐν τῷ ἱππικῷ ACEVBUD: om. MN **58** προσβαλόντος AEV: προσβάλλοντος C: προσβαλλόντος BMNU: προβαλλόντων D κατά: καὶ U **59** τζυκανιστήριον AEVMNU: τζουκανιστήριον C: τζικανιστήριον B ἑαυτῶν VBMNU: περὶ αὐτοὺς ACE **63** κατὰ ταύτην: κατ᾽ αὐτὴν M δὲ: γὰρ B ἡ ante τρίτη add. MNUD **65** ἐπικρατέστερον B **66** ἐν om. AB **67** χρυσίον διαρπάζουσι A τὰ alt. om UDH εὑρισκόμενα om. DH **68** ἐπιγραφάς M

ὁ δὲ ἐπείπερ ἔγνω κατισχυόμενος, τῷ βασιλικῷ ἐπιβὰς δρόμωνι μετὰ τοῦ νωβελισσίμου καί τινων οἰκειοτάτων αὐτῷ, καταλιπὼν ἐν τῷ παλατίῳ τὴν Ζωήν, ᾤχετο φυγὰς εἰς τὴν μονὴν τῶν Στουδίου τῇ τετράδι πρωΐας, καὶ εὐθὺς ἠμφιάσατο τὸ τῶν μοναχῶν σχῆμα συνάμα τῷ θείῳ αὐτοῦ.

2. Καὶ ὁ μὲν πόλεμος, ἀρξάμενος ἀπὸ δευτέρας ὥρας τῆς δευτέρας ἡμέρας τοῦ ἀντίπασχα, ἔληξε νυκτὸς τῆς τρίτης ἡμέρας. ἡ δὲ Ζωὴ πάλιν ἐγκρατὴς γενομένη τῆς βασιλείας ἐβουλεύετο μὲν τὴν ἑαυτῆς ἀδελφὴν Θεοδώραν παρώσασθαι, ἐκωλύθη δὲ παρὰ τοῦ πλήθους συμβασιλεύειν αὐτῇ καὶ ταύτην αἰτησαμένου. ἔρχεται οὖν καὶ ἡ Θεοδώρα ἀπὸ τῆς μεγάλης ἐξελθοῦσα ἐκκλησίας εἰς τὸ παλάτιον. συναθροισθείσης δὲ καὶ τῆς συγκλήτου, δημηγορήσασα ἡ Ζωὴ πρότερον μὲν πρὸς τὴν σύγκλητον, εἶτα καὶ ἔκ τινος περιωπῆς πρὸς τὸ πλῆθος, αὐτοῖς μὲν εὐχαριστίας, ὡς εἰκός, ἀπέδοτο καὶ εὐχὰς τῆς εἰς αὐτὴν εὐνοίας, τὴν περὶ τοῦ βασιλέως δὲ | γνώμην ἐζήτει, τί δεῖ γενέσθαι αὐτόν. καὶ πάντες ὁμοφώνως ἀνέκραγον· 'αἶρε τὸν παλαμναῖον, ποίησον ἐκ μέσου τὸν ἀλιτήριον· ἀνασκολοπισθήτω, σταυρωθήτω, τυφλωθήτω.' ἡ δὲ ὤκνει πρὸς τὴν τιμωρίαν καὶ συμπαθὴς τῷ δυστυχοῦντι ἐγίνετο. ἀλλ' ἡ Θεοδώρα ὀργῆς ὑποπλησθεῖσα καὶ παρρησίας τῷ νεωστὶ προβληθέντι ἐπάρχῳ (ἦν δὲ ὁ Καμπανάρης) κελεύει μετὰ σπουδῆς ἀπελθεῖν καὶ ἐξορύξαι αὐτοῦ τε καὶ τοῦ θείου τούτου τοὺς ὀφθαλμούς. ὃς ἐξελθὼν συνεπομένου αὐτῷ καὶ τοῦ δήμου παντὸς ἀπῆλθεν εἰς τὰ Στουδίου. ὁ δὲ Μιχαὴλ καὶ ὁ τούτου θεῖος ὡς ᾔσθοντο τὴν τοῦ λαοῦ παρουσίαν, ἐν τοῖς ἀδύτοις τοῦ ναοῦ τοῦ προδρόμου κατέφυγον. ἀλλὰ φλεγμαίνων ἔτι τῷ θυμῷ διὰ τοὺς ἀναιρεθέντας ὁ δῆμος εἴσεισι πρὸς βίαν εἰς τὸν θεῖον ναόν, καὶ ἀφαρπάσαντες ἐκεῖθεν αὐτοὺς εἷλκον διὰ τῆς ἀγορᾶς ἀπὸ τῶν ποδῶν, καὶ ἄνωθεν τῆς περιβλέπτου μονῆς ἐν τῷ τόπῳ τῷ καλουμένῳ Σίγματι ἀγαγόντες ἀποτυφλοῦσι καὶ ἄμφω, τοῦ Μιχαὴλ πολλὰ καθικετεύσαντος πρότερον

1 die 20. mens. Apr. a. 1042

cap. 2: Zon. III, 612, 6—613, 13; Glyc. 592, 9—592, 19

ACEVBMNU DH **69** κατισχυόμενος ἔγνω B ἐμβὰς B **71** τῶν VBMNH: τοῦ ACEUD Glyc. 592, 7 Στουδίων BH **72** πρωΐας VBMN: πρωΐ ACEU **74** δευτέρας ὥρας τῆς om. U **74/75** ὥρας — ἡμέρας pr.: ἡμέρας δευτέρας ὥρας M **76** ἐβούλετο CEB ἑαυτῆς ACEVMU: ἑαυτὴν N: αὑτῆς, post ἀδελφὴν B **77** τὴν ante Θεοδ. add. AE παρώσασθαι ACEVBUD: ἀπώσασθαι MN συμβασιλεύειν: συμβουλεύειν U **79** ἐκκλησίας ἐξελθοῦσα A ἀθροισθείσης E συναθρ. δὲ καί: καὶ συναθρ. A καὶ om. B **80** πρός: εἰς M **81** εὐχαριστίας post **82** ἀπέδοτο B **83** αὐτόν: αὐτῷ B ὁμοφώνως ACEVNUD: ὁμοφρόνως BMH **87** Καμπανάρης VMNU: Καμπανάριος ACE: Καμπανάρις B **89** τούτου ACEVB: αὐτοῦ MNUDH συνεπομένῳ M αὐτῷ: αὐτοῦ E **90** τὰ Στουδίου: τὴν μονὴν τοῦ Στουδίου A **93** ἀναρπάσαντες B **95** Σίγματα C ἀπαγαγόντες U

[B. 540]

τὸν ἑαυτοῦ τυφλωθῆναι θεῖον, ὡς πάντων τῶν γενομένων κακῶν καὶ πρωτουργὸν καὶ αἴτιον· ὃ καὶ ἐγένετο. τυφλωθέντες οὖν ἐξορίζονται, ὁ μὲν Μιχαὴλ εἰς τὸ μοναστήριον τῶν Ἐλεγμῶν εἰκάδι πρώτῃ μηνὸς Ἀπριλλίου, ἰνδικτιῶνος δεκάτης τοῦ ,ϛφν´ ἔτους, βασιλεύσας ἐπὶ μῆνας τέσσαρας καὶ ἡμέρας πέντε, καὶ οἱ συγγενεῖς δὲ πάντες αὐτοῦ ἄλλος ἀλλαχοῦ διεσπάρησαν.

ACEVBMNU D 2 γενομένων CEVBND: γινομένων MU: συμβάντων A 3 ἐγένετο: γέγονε A 4/5 εἰκάδι — Ἀπριλλίου: κατὰ τοῦ Ἀπριλλίου μηνός D 4 τοῦ ante μηνὸς add. MN 5 ι´ ACEBMU 6 δ´ EU πέντε ACVBMN: ε´ U: ὀκτώ E 7 ἀλλαχῇ U

ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΜΟΝΟΜΑΧΟΣ

1. Πάλιν δὲ τῆς ἀρχῆς ἐς τὴν Ζωὴν μετακυλισθείσης, συμβασιλεύουσαν ἔχουσαν, ὡς εἴπομεν, οὐχ ἑκοῦσαν καὶ τὴν ἀδελφὴν | Θεοδώραν, τιμῶν μὲν ἡ σύγκλητος προβιβασμοῖς ἐγεραίρετο καὶ δωρεῶν διανομαῖς τὸ κοινόν, καὶ τὰ πράγματα προμηθείας τῆς ἐνδεχομένης ἐτύγχανε, γραμμάτων ἁπανταχοῦ καὶ διαταγμάτων ἐκπεμπομένων, ἀπριάτην τε τὰς ἀρχὰς γίνεσθαι, καὶ μὴ ὠνίους, ὡς πρότερον, ὑπισχνουμένων, καὶ πᾶσαν ἀδικίαν ἐκ μέσου διοριζομένων ἐλαύνεσθαι. τούτων δὲ καταστάντων, ὡς τοῖς κρατοῦσιν ἐδόκει, ἤχθη καὶ ὁ νωβελίσσιμος Κωνσταντῖνος ἀπὸ τῆς ὑπερορίας καὶ περὶ τῶν δημοσίων ἀνακρινόμενος χρημάτων, τὰς ἀπειλὰς πτοηθείς, ὑπέδειξεν ἐν τῷ κατὰ τοὺς ἁγίους ἀποστόλους οἴκῳ αὐτοῦ κεκρυμμένα ἔν τινι κινστέρνῃ χρυσίου κεντηνάρια πεντήκοντα ἐπὶ τρισί. καὶ ταῦτα μὲν διεκομίσθη τῇ βασιλίδι, ἐκεῖνον δ' αὖθις ἡ ὑπερορία ἐδέξατο. προχειρίζεται δὲ ἡ βασιλὶς δομέστικον τῶν σχολῶν τῆς ἀνατολῆς Νικόλαον πρόεδρον τὸν εὐνοῦχον τοῦ ἰδίου πατρός, καὶ δοῦκα τῆς δύσεως Κωνσταντῖνον πατρίκιον τὸν Καβάσιλαν· τὸν δὲ πατρίκιον Γεώργιον τὸν Μανιάκην, ἤδη παρὰ τοῦ Μιχαὴλ φθάσαντα τῆς φρουρᾶς ἀπολυθῆναι, μάγιστρον τιμήσασα στρατηγὸν αὐτοκράτορα τῶν ἐν Ἰταλίᾳ ταγμάτων ἐκπέμπει. καὶ ταῦτα μὲν γέγονεν οὕτως. βουλῆς δὲ προτεθείσης περὶ βασιλέως, καὶ δόξαν τοῖς πᾶσι βασιλέα προχειρισθῆναι καὶ τῇ Ζωῇ νομίμως συναφθῆναι, ἔσπευδε μὲν αὐτὴ Κωνσταντῖνον ἀγαγέσθαι τὸν κατεπάνω, ὃν δὴ καὶ Ἀρτοκλίνην ἀφ' ἧς ὑπηρεσίας μετεχειρίσατο ἀπεκάλουν. ἦν γὰρ ὁ ἀνὴρ εὐπρεπὴς τὴν ὥραν, ἐλέγετο δὲ καὶ λάθρᾳ τῇ

9 die 21. mens. Apr. a 1042

cap. 1: Zon. III, 613, 14—616, 13; Glyc. 592, 19—593, 17

ACEVBMNU DH **8** Κωνσταντῖνος ὁ Μονομάχος AVN: Βασιλεία Κωνσταντίνου τοῦ Μονομάχου U et i. m. B: Ἀρχὴ τῆς βασιλείας Κωνσταντίνου τοῦ Μονομάχου M: Ζωὴ καὶ Θεοδώρα CE **9** εἰς ABNU **9/10** συμβασιλεύουσαν — Θεοδώραν: συμβασιλευούσης, ὡς εἴπομεν, αὐτῇ οὐχ ἑκούσῃ καὶ τῆς ἀδελφῆς Θεοδώρας B **11** δωρεῶν διανομαῖς: δωρεαῖς B **12** ἠγαθύνετο post κοινὸν add. B προμηθείας post ἐνδεχομένης A **13** ἁπανταχῇ U ἀπριάτους B **14** καὶ alt. om. B **15** διοριζόμενον U **16** ταῖς κρατούσαις B κρατοῦσιν: βασιλεῦσιν A **17** ὑπερορίας EVBMNU: ἐξορίας AC χρημάτων: πραγμάτων BU **18** ἐν — ἀποστόλους: ἐντὸς τῶν ἁγίων ἀποστόλων B **19** κεκρυμμένον E πεντήκοντα ἐπὶ τρισί AV: ν' ἐπὶ τρισί CE: τρία ἐπὶ πεντήκοντα MNU: πεντήκοντα σὺν τοῖς τρισίν B: νγ' DH **20** εἰσεκομίσθη U ἐξορία B **21** καὶ ante δομέστικον add. A **24** τοῦ om. ACE **26** περὶ: παρὰ C **29** μετεγχειρίσατο B **30** ἀπεκάλουν ACEVBU: ἐπεκάλουν MN: ἐκάλουν DH ὁ om. U

Ζωῇ πλησιάζειν. ἀλλὰ τοῦτον μὲν ἡ σύνοικος | φαρμάκοις ἐξάγει τοῦ βίου, οὐκ ἐπειδὴ ἀποστόργως εἶχε πρὸς αὐτόν, ἀλλ' ἐπειδὴ ἔμελλε τούτου ἔτι ζῶντος στερίσκεσθαι. καὶ λοιπὸν ἀστοχήσασα ἡ βασιλὶς τοῦ σκοποῦ, μεταπέμπεται ἀπὸ τῆς ἐξορίας Κωνσταντῖνον τὸν Μονομάχον, παρὰ τοῦ ὀρφανοτρόφου τὴν νῆσον Μιτυλήνην κατακριθέντα οἰκεῖν διὰ τὸ παρὰ πάντων φημίζεσθαι, ὡς μέλλει κρατῆσαι τῆς βασιλείας. τοῦτον γάρ, ὁπηνίκα τὸν ἕτερον ἐβουλεύετο Κωνσταντῖνον εἰς τὸν βασίλειον θρόνον ἀναγαγεῖν, δικαστὴν Ἑλλήνων προεχειρίσατο· ἐπεὶ δὲ κἀκεῖνος, ὡς εἴπομεν, κατειργάσθη φαρμάκῳ, ὁ ῥηθεὶς Μονομάχος καὶ τῷ θανόντι ὁμώνυμος πρὸς τρόπου ἐνομίσθη τῇ βασιλίδι. ἤχθη οὖν πρὸς τὸν ἄγχιστα τοῦ Ἀθύρος διακείμενον ναὸν τοῦ ἀρχιστρατήγου τὸν ἐν Δαμοκρανείᾳ. καὶ πεμφθεὶς Στέφανος εἷς ὧν τῶν θαλαμηπόλων εὐνούχων τῆς βασιλίδος ὁ Περγαμηνὸς ἀποδιδύσκει μὲν αὐτὸν τὴν ἰδιωτικὴν στολήν, ἀμφιέννυσι δὲ πορφυρίδα βασιλικήν, καὶ δρόμωνι ἐμβιβάσας ἄγει πρὸς τὰ βασίλεια. ᾧ τινι ἀχθέντι συνάπτεται εἰς κοινωνίαν γάμου ἡ βασιλίς, τῆς ἱερολογίας γενομένης παρὰ τοῦ πρώτου τῶν πρεσβυτέρων τῆς Νέας, ὃς Στυπὴς ὠνομάζετο, ἑνδεκάτην τότε τοῦ Ἰουνίου μηνὸς ἄγοντος, τοῦ ‚ςφν' ἔτους. στέφεται δὲ τῇ ἐπαύριον παρὰ τοῦ πατριάρχου.

2. Καὶ ἤδη τῶν σκήπτρων γενόμενος ἐγκρατής, πάντας μὲν τοὺς συγκλητικοὺς βαθμοῖς ἀξιωμάτων κατὰ τὴν ἑκάστου προεβίβασεν ἀξίαν, καὶ χρυσίου δὲ διανομαῖς τὸ πλῆθος ἐφιλοτιμήσατο. ἐξαπέστειλε δὲ καὶ ἀναφορὰς ἐν πᾶσι τοῖς θέμασι, τήν τε ἀνάρρησιν | αὐτοῦ δηλούσας, καὶ ὑπισχνουμένας παντὸς μὲν ἀγαθοῦ βλύσιν καὶ παρρησίαν, πάσης δὲ κακίας ἀποτομήν. μετεβίβασε δὲ καὶ Ἰωάννην τὸν ὀρφανοτρόφον μετὰ πάντων, ὧν εἶχεν, ἀπὸ τῆς μονῆς τῶν Μονοβάτων ἐς τὴν νῆσον Λέσβον, καὶ Μιχαὴλ τὸν πρὸ τοῦ βασιλέα εἰς Χίον, καὶ Κωνσταντῖνον τὸν νωβελίσσιμον εἰς Σάμον. καὶ ταῦτα μὲν ἐπράχθη ἐν προοιμίοις τῷ Μονομά-

47 die 11. mens. Iun. a. 1042 **51/52** non multum post diem 12. mens. Iun. a. 1042

cap. 2: Zon. III, 616, 14–618, 7; Glyc. 593, 17–594, 7

ACEVBMNU DH **31/32** φαρμάκοις – βίου: φαρμάκῳ τοῦ βίου ἐξάγει B **32/33** τούτου ἔτι ζῶντος CEVB: ζῶντος τούτου ἔτι A: (ἔτι ζῶντος Zon. III, 615, 2): τούτου ζῶσα ἔτι NU: τούτου ἔτι ζῶσα MH **33** στερήσεσθαι CE ἡ – σκοποῦ: τοῦ σκοποῦ ἡ βασίλισσα A **35** τῇ νήσῳ Μιτυλήνην B **36** μέλλει: μέλλων C **37** ἐβούλετο B **38** ἀναγαγεῖν ACEMNU: ἀγαγεῖν VB Ἑλλήνων: Ἑλλάδος B ἐπεὶ δέ: ἐπειδὴ C δὲ κἀκεῖνος: δ' ἐκεῖνος B **39** καὶ om. U **40** τρόπον B ἔγγιστα U **41** Ἀθύρος CEVU: Ἀθύρα AB: Ἀθύρου MNH: ἁ(γίου) Θύρου D **42** Στέφανος om. ACEVB ὧν om. B **46** πρεσβυτέρων: ἱερέων A **47** ὠνομάζεται C ια' E: ἑνδεκάτη C **48** post πατριάρχου tit. Κωνσταντῖνος ὁ Μονομάχος habent CE **49** Καὶ ἤδη: Ἤδη καὶ CE καὶ ante πάντας add. B **51** δὲ pr. om. U ἐφιλοτιμήσατο: ἐφιλοφρονήσατο U **52** δηλοῦσαν V **53** βλύσιν: λύσιν M παρρησίαν: παρουσίαν A **55** Μονεμβατῶν B εἰς ABMNUDH **56** Κωνσταντῖνον ACEVBUD: Κώνσταντα MN

χῳ, κατὰ τὴν δεκάτην ἰνδικτιῶνα. κατὰ δὲ τὴν ἕκτην τοῦ Ὀκτωβρίου μηνός, τῆς ἑνδεκάτης ἰνδικτιῶνος, τοῦ ,ϛφνα΄ ἔτους, ἐφάνη κομήτης ἀπὸ τῆς ἕω πρὸς δύσιν ποιούμενος τὴν πορείαν, καὶ ὡρᾶτο λάμπων παρ᾽ ὅλον τοῦτον τὸν μῆνα. προεμήνυε δ᾽ οὗτος τὰς μελλούσας ἐπισυμβῆναι κοσμικὰς συμφοράς. Στεφάνου γὰρ τοῦ καὶ Βοϊσθλάβου, ὥσπερ ἔμπροσθεν ἐρρήθη, ἀποδράντος ἐκ Βυζαντίου καὶ τὰ Ἰλλυρικὰ κατασχόντος ὄρη, καὶ Τριβαλλοὺς καὶ Σέρβους καὶ τὰ πρόσοικα γένη καὶ Ῥωμαίοις ὑπήκοα κατατρέχοντος καὶ ληϊζομένου, μὴ φέρων ὁ Μονομάχος τὰς ἐκείνου καταδρομὰς τῷ ἄρχοντι τῷ τότε τοῦ Δυρραχίου (ἦν δὲ Μιχαὴλ πατρίκιος, ὁ Ἀναστασίου τοῦ λογοθέτου υἱός) γράμμασιν ἐγκελεύεται τὸν ὑπ᾽ αὐτὸν ἀθροῖσαι τοῦ Δυρραχίου στρατόν, ἔτι δὲ καὶ τὰς στρατιὰς τῶν ἐγγιζόντων τούτῳ θεμάτων καὶ αὐτῷ ὑποκειμένων, καὶ συνάμα τοῖς ὑποστρατήγοις εἰς Τριβαλλοὺς ἀπελθεῖν καὶ καταπολεμῆσαι τὸν Στέφανον. ὁ δὲ πολεμικῆς ἐπιστήμης ἀπέχων μακράν, οἷα σκιατραφὴς ἄνθρωπος καὶ ἐμπαθείαις ἐντεθραμμένος, ἀφυῶς καὶ ἀτέχνως ἐπιχειρήσας τῷ ἔργῳ μεγάλης αἴτιος ἀτυχίας | τῷ Ῥωμαίων ἐγένετο πολιτεύματι. ἀθροίσας γάρ, ἃς προσετέτακτο δυνάμεις, ἅς φασιν οὔσας περὶ τὰς ἑξήκοντα χιλιάδας, εἴσεισιν εἰς Τριβαλλόν, διοδεύσας ὁδοὺς ἀνάντεις καὶ τραχείας καὶ ἀποκρήμνους καὶ στενοχώρους, ὡς μὴ ἐν ταὐτῷ δύνασθαι δύο ἱππότας βαδίζειν, ἐνδόντων, ὥς φασιν, ἐξεπίτηδες καὶ τῶν Σέρβων καὶ συγχωρησάντων τὴν εἴσοδον, μήτε τῆς ὑποστροφῆς φροντίσας, μήτε φυλακὴν ἀξιόμαχον ἐπιστήσας ταῖς στενοχωρίαις. ἐκεῖνος μὲν οὖν εἰσελθὼν ἐδῄου τὰς πεδιάδας καὶ ἐπυρπόλει, οἱ δὲ Σέρβοι καταλαβόντες ἐφύλαττον τὰ στενὰ καὶ ἀπόκρημνα τῆς τρίβου καὶ προσέμενον τὴν ὑποστροφήν. ὡς δὲ ἅλις τῷ Μιχαὴλ ἐδόκει τὰ τῆς λεηλασίας, καὶ λείαν πολλὴν καὶ αἰχμαλωσίαν περιεβάλετο, καὶ καιρὸς ἐφάνη ἀναζυγῆς, κἀν ταῖς στενοχωρίαις ὁδοιποροῦντες ἐγένοντο, τότε δὴ ἀφ᾽ ὕψους οἱ πολέμιοι χερμάσι τε βάλλοντες καὶ τόξοις καὶ παντοίοις ἑκηβόλοις

59 a. 1042 **68** non multum post diem 6. mens. Oct. a. 1042

ACEVBMNU DH **58** τὴν ante ι΄ om. B ι΄ CB τοῦ ,ϛφνα΄ ἔτους post ἰνδικτιῶνα add. MN (sed non DH) ϛ CB **59** ια΄ CEBU **60** τῆς: τὴν M ποιούμενος: κινούμενος C **61** προεμήνυον C **62** καὶ om. AB ὥσπερ: ὡς A **63** ἐρρέθη AB **66** τῷ alt. om. B τότε post καταδρομὰς B τοῦ AEVBNU: τοῖς C: om. M **69** συνάμα: σὺν B **70** Τριβολοὺς C **71** ἐπιστήμης om. B **72** εὐπαθείαις BU ἀτεχνῶς EU **73** ἐγένετο: γέγονε A **74** προτέτακτο CE ἃς VMNUD: ὡς ACEBH φησι D **75** ἑξήκοντα: ξ̄ (in ras.) E Τριβαλλόν D: Τριβαλόν AEVMN: Τριβολόν C: Τριβαλλούς B: Τριβαλλοῖς U **76** καὶ ἀποκρ. καὶ στενοχ. om. U **77** ἐξεπίτηδες post ἐνδόντων MNUDH **79** ἀξιόμαχον ἐπιστήσας ACEVB: ἐπιστ. ἀξιόμ. MNUDH οὖν om. M **81** ἐφύλασσον A στενὰ — τρίβου: στενά τε καὶ ἀπόκρ. τῆς ὁδοῦ A **82** ἐπιστροφήν CE τὰ VMND: om. ACEBU **83** αἰχμαλωσίαν: λεηλασίαν U περιεβάλετο ACEU: περιεβάλλετο VBMND καιρὸς — κἀν: καιρὸς ἐπιστροφῆς ἐφάνη καὶ B **85** χερμάσι: χέρμασι MU: χερμᾶσι AEVBN: χερμάδας C

ὀργάνοις καὶ λίθους ὑπερμεγέθεις κυλίοντες ἀνῄρουν, τῶν περὶ τὸν Μιχαὴλ μήτε χερσί, μηθ' ὅπλοις χρήσασθαι δυναμένων, μήτ' ἀρετῆς ὅλως ἐπιδείξασθαι ἔργον. καὶ οἱ μὲν αὐτόθι βαλλόμενοι ἔπιπτον, οἱ δὲ κατεκρημνίζοντο καὶ ἐλεεινῶς ἀνηλίσκοντο, ὡς πληρωθῆναι νεκρῶν τὰς παρακειμένας φάραγγας καὶ τοὺς ῥύακας καὶ βατὰς γίνεσθαι τοῖς διώκουσιν. ἔπεσον οὖν περί που τὰς τεσσαράκοντα χιλιάδας, ἀνῃρέθησαν δὲ καὶ στρατηγοὶ ἑπτά. οἱ δὲ λοιποὶ ἐν ταῖς λόχμαις καὶ ταῖς νάπαις καὶ ταῖς συναγκείαις κρυβέντες τῶν ὀρέων καὶ τοὺς τῶν ἐναντίων διαδράντες ὀφθαλμούς, καὶ διὰ τῶν κορυφῶν τούτων ἀναρριχώμενοι, νυκτὸς διεσώθησαν πεζοὶ καὶ γυμνοὶ καὶ τοῖς ὁρῶσι θέαμα | οἰκτρὸν καὶ ἐλεεινὸν καὶ θρήνων ἐπάξιον. διεσώθη δὲ μετ' αὐτῶν καὶ ὁ Μιχαήλ, τὴν ἴσην καὶ αὐτὸς περικείμενος τύχην.

3. Γεώργιος δὲ μάγιστρος ὁ Μανιάκης ἐν Ἰταλίᾳ, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, παρὰ Ζωῆς τῆς βασιλίδος πεμφθεὶς ἐφ' ᾧ καταστήσασθαι τὰ ἐκεῖ (ἐνόσει γὰρ τὰ πάντα καὶ κακῶς ἐφέρετο ἀπειρίᾳ καὶ φαυλότητι ἀρχηγῶν), πρὸς ἀποστασίαν ἀπεῖδεν. ἄξιον δὲ εἰπεῖν ἐπιδραμόντας καὶ τὰς αἰτίας εἰς ἀκριβῆ γνῶσιν τῶν τῷ βιβλίῳ ἐντυγχανόντων. ὅτε γὰρ οὗτος πρῶτον εἰς Ἰταλίαν ἐπέμφθη παρὰ τοῦ βασιλέως Μιχαὴλ συμμαχήσων Ἀπολάφαρ Μουχούμετ τῷ τῆς Σικελίας ἄρχοντι πολεμουμένῳ παρὰ τοῦ οἰκείου ἀδελφοῦ καὶ τῶν Ἄφρων, ἔτυχε προσεταιρισάμενος καὶ Φράγγους πεντακοσίους ἀπὸ τῶν πέραν τῶν Ἄλπεων Γαλλιῶν μεταπεμφθέντας καὶ ἀρχηγὸν ἔχοντας Ἀρδουῖνον τὴν κλῆσιν, χώρας τινὸς ἄρχοντα καὶ ὑπὸ μηδενὸς ἀγόμενον, μεθ' ὧν τὰ τῶν Σαρακηνῶν εἰργάσατο τρόπαια. ἐπεὶ δὲ οὗτος συκοφαντηθεὶς παρελύθη τῆς ἀρχῆς καὶ εἰς τὴν πόλιν εἰσαχθεὶς καθείρχθη, καὶ ἄρχειν ἀντ' αὐτοῦ τῆς Ἰταλίας

4 Tarentum pervenit circa finem mens. Apr. a. 1042   14/15 post expugnationem Syracusarum (a. 1040)

---

cap. 3: Zon. III, 618, 8—623, 22; Glyc. 594, 8—594, 19

ACEVBMNU DH   86 τῶν: τοὺς AB   87 μήτε — ὅπλοις VBMNU: μηθ' ὅπλοις, μήτε χερσὶ ACE   δυναμένους AB   87/88 μητ' ἀρετῆς — ἔργον post 86 ἀνῄρουν MN (sed non D)   88 ἔργον ἐπιδείξ. ὅλως B   90 τοὺς: τὰς C   βατὰς CVMNU: βατὰ AE: βατούς, post γενέσθαι B   γίνεσθαι ACEVMNU: γενέσθαι BDH   91 οὖν: δὲ B   τέσσαρας B   91/92 ἀνῃρέθησαν — ἑπτά: καὶ στρατηγοὶ ἑπτὰ ἀνῃρέθησαν B   92 δὲ post λοιποὶ B   93 συναγγείαις ACEB   τούς: ταῖς E   τῶν alt. om. A   διαδράντες: λαθόντες B   94 τούτων: τούτου A   1 ὅσων post θρήνων add. A   μετ' — Μιχαὴλ ACEVBD: καὶ ὁ Μ. μετ' αὐτῶν MNU: καὶ ὁ Μ. H   3 Γεώργιος — Μανιάκης: Ὁ δὲ μάγ. Γ. ὁ Μαν. B   ὁ ante μάγ. add. V   4 παρά: περὶ C   Ζωῆς post βασιλίδος NUD, post πεμφθεὶς M   5 ἀπειρίᾳ: ἀπορίᾳ B   6 ἐπιδραμόντας VBMNU: ἐπιδραμόντα AE: ἐπιδραμόντ C   7 τῶν post αἰτίας U   8 πρῶτον ACEVB: πρῶτος MNUDH   ἐς ACE   ἐπέμφθη εἰς Ἰτ. B   11 φ' CE   12 Ἀδουῖνον B   13 τά: κατὰ B   14 καὶ ante οὗτος add. B   15 τῆς Ἰταλίας om. ACE

ἐπέμφθη Μιχαὴλ πρωτοσπαθάριος ὁ Δοκειανός, ἀνεπιτήδειος ἄνθρωπος καὶ πρὸς μεταχείρησιν πραγμάτων οὐκ εὐφυής, οὐκ ἐδεήθη χρόνου συγχέαι καὶ διαφθεῖραι τὰ πάντα. μὴ παρέχων γὰρ κατὰ καιρὸν τοῖς Φράγγοις τὸ παρεχόμενον αὐτοῖς ἐφ' ἕκαστον μῆνα σιτηρέσιον, μᾶλλον δέ, ὥς φασι, καὶ τὸν ἡγεμόνα τούτων, ἀφιγμένον ὡς αὐτὸν ἐφ' ᾧ παρακαλέσαι ἠπίως χρῆσθαι τοῖς στρατιώταις καὶ μὴ ἀποστερεῖν τούτους τοῦ τῶν πόνων μι|σθοῦ, ὑβρίσας καὶ μαστιγώσας ἀτίμως ἠνάγκασε τοὺς ἀνθρώπους ἀποστατῆσαι. ὧν ὅπλα κεκινηκότων οὗτος ἁπάσας ἀθροῖσαι τὰς Ῥωμαϊκὰς δυνάμεις καὶ τούτοις συμμῖξαι οὐκ ἠθέλησεν, ἀλλ' ἓν εἰληφὼς τάγμα τὸ τοῦ Ὀψικίου καὶ μέρος τῶν Θρᾳκησίων, καὶ συμβαλὼν αὐτοῖς ἐν Κάνναις περὶ τὸν Ἄμφιδον ποταμόν, ἔνθα καὶ κατὰ τοὺς πάλαι χρόνους Ἀννίβας τὰς πολλὰς τῶν Ῥωμαίων κατέκοψε μυριάδας, ἡττήθη καὶ τὸ πλέον ἀπέβαλε τῆς στρατιᾶς, αἰσχίστως καὶ αὐτὸς ἐν Κάνναις διασωθείς. οὕτω δὲ πληγεὶς οὐδὲ μετὰ τὴν πληγὴν κατὰ τὸν ἐν παροιμίαις ἁλιέα νοῦν ἔσχεν, οὐδ' ὀχυρώσας ἑαυτὸν πάσῃ τῇ στρατιᾷ προσέβαλε τοῖς ἐχθροῖς, ἀλλ' ὑπὸ θράσους, ὡς ἔοικε, στρατηγούμενος αὐτούς τε τοὺς ἡττηθέντας πάλιν ἀναλαβὼν καὶ Πισσίδας καὶ Λυκαόνας, οἵπερ ἀναπληροῦσι τὸ τάγμα τῶν φοιδεράτων, περὶ τὰς λεγομένας Ὥρας προσρήγνυται τοῖς ἐχθροῖς καὶ τρέπεται αὖθις κατὰ κράτος, προσεταιρισαμένων τῶν Φράγγων καὶ ἄλλο πλῆθος οὐκ ὀλίγον ἀπὸ τῶν Ἰταλῶν τῶν περὶ τὸν Πάδον τὸν ποταμὸν καὶ τὰς ὑπωρείας οἰκούντων τῶν Ἄλπεων. τοῦτο δὲ πυθόμενος Μιχαὴλ ὁ βασιλεὺς τοῦτον μὲν μετέστησε τῆς ἀρχῆς. ἔπεμψε δὲ τὸν Βοϊωάννην, δοκοῦντα πρακτικὸν ἄνδρα εἶναι καὶ ἐν πολέμοις εὐδόκιμον, καὶ εἰς ἐκεῖνον ἀναφέροντα τὴν τοῦ γένους ἀναφορὰν τὸν ἐπὶ Βασιλείου τοῦ βασιλέως ἐν Ἰταλίᾳ πεμφθέντα Βοϊωάννην, ὃς πᾶσαν τὴν Ἰταλίαν μέχρι Ῥώμης τότε τῷ βασιλεῖ παρεστήσατο. ἀλλὰ καὶ οὗτος ἀπελθὼν κατὰ χώραν καὶ νεαλῆ καὶ ἀκμαίαν δύναμιν μὴ λαβών, ἀλλ' ἀναγκασθεὶς μετὰ τῶν | προηττημένων συμβαλεῖν τοῖς ἐχθροῖς κατὰ τὴν

30 cf. prov. apud Zenob. 2, 14; Diogen. 2, 31; Greg. Cypr. L 1, 20

ACEVBMNU DH **16** Μιχαὴλ ἐπέμφθη AE **18/19** παρέχων — αὐτοῖς (**19** παρεχόμενον: διδόμενον B) ACEVB: παρέχων (παρέχον D) γὰρ τὸ τοῖς Φράγγοις αὐτοῖς (αὐτοῖς om. U) παρεχόμενον MNUDH **19** ἐφ' ἕκαστον μῆνα om. B σιτηρέσιον ante ἐφ' A **20** τούτων CE (corr. ex τοῦτον) VBNU: τοῦτον AM ἀφιγμένων B **22** ἠνάγκασαν E **23/24** οὗτος — ἠθέλησεν (**23** ἁπάσας: πάσας B: ἀθρόσας C **24** ὑπ' αὐτὸν ante Ῥωμ. add. B Ῥωμαϊκὰς om. A) ACEVB: δέον τὰς Ῥωμαϊκὰς ἁπάσας (ἁπάσας om. D) ἀθροῖσαι δυνάμεις καὶ τούτοις προσμίξαι, ὁ δὲ τοῦτο οὐκ ἐποίησεν MNUDH **25** αὐτοῖς: τούτοις, ante συμβαλών, B **26** Κάνναις ACEV: Κάναις BMND: Κάραις U Ἄλφιδον M καὶ om. B πάλαι: παλαιοὺς A **28** ἀπέβαλλε U αἴσχιστος N Κάνναις ACEVD (corr. ex Κάναις): Κάναις BMNU **29** οὕτως AE **30** προσέβαλλε VBU **32** Πισίδας ACEBU Λυκαόνας ACEVBU: Λυκάονας MNH: Λυκάρνας D **33** φοιβεράτων AVMNUDH **34** δὲ ante τῶν add. U **36** τὸν om. ACEU τῶν om. MN (sed non D) **37** μὲν om. BU **39** εἰς: ὡς B τὴν ἀνφορὰν τοῦ γένους M **40** ἐν Ἰταλίᾳ om. B τὴν om. ACE **41** τότε om. U **42** κατὰ χώραν ἀπελθὼν B ἀλλ' om. A

Μονόπολιν ἤδη κραταιωθεῖσι καὶ τῆς χώρας ὡς ἰδίας ἀντεχομένοις, ἡττηθεὶς ἑάλω, καὶ ὁ σὺν αὐτῷ στρατός, ὅσοι μὴ σιδήρου γεγόνασι παρανάλωμα, ἄλλος ἀλλαχοῦ διεσκεδάσθησαν, διασωθέντες ἐν τοῖς ἔτι τὰ Ῥωμαίων φρονοῦσι φρουρίοις. καὶ λοιπὸν οἱ Φράγγοι τῆς Ἰταλίας ὡς δορυκτήτου ἀντεποιοῦντο κτήματος, τῶν ἐγχωρίων ὧν μὲν ἑκουσίως, ὧν δὲ βίᾳ καὶ ἀνάγκῃ προσχωρούντων αὐτοῖς, πλὴν Βρενδισίου καὶ Ἰδροῦντος καὶ Τάραντός τε καὶ Βάρεως. αὗται γὰρ αἱ τέτταρες πόλεις παρέμειναν πίστεις Ῥωμαίοις φυλάττουσαι. Μιχαὴλ δὲ τοῦ βασιλέως ἀποθανόντος καὶ τοῦ μετ᾽ αὐτὸν ἐξωσθέντος τῆς βασιλείας, ὁ Μανιάκης, ὡς ἄνωθεν εἴρηται, πεμφθεὶς εἰς Ἰταλίαν παρὰ τῆς Ζωῆς, εἰ καὶ μὴ δύναμιν ἀξιόχρεων εἶχεν, ὅμως μετὰ τῆς παρούσης στρατηγικαῖς μηχαναῖς χρησάμενος ἐκδιῶξαι ἴσχυσε τοὺς Φράγγους τῆς Ἰταλίας περὶ Καπύην καὶ Βενεβενδὸν καὶ Νεάπολιν, καὶ μετρίαν κατάστασιν καὶ γαλήνην παρέσχε τοῖς πράγμασιν. οὗτος ὁ Μανιάκης κατὰ τὸ θέμα τῶν Ἀνατολικῶν τὰς οἰκήσεις ἔχων καὶ Ῥωμανῷ γειτονῶν τῷ Σκληρῷ, διαφερόμενος πρὸς αὐτὸν πολλάκις ἐπεχείρησεν τοῦτον ἀνελεῖν, εἰ μὴ φυγῇ τὴν ἑαυτοῦ ἐπορίσατο σωτηρίαν. ἐπεὶ δὲ τὰ Ῥωμαίων σκῆπτρα ἐς Κωνσταντῖνον ἦλθε τὸν Μονομάχον καὶ ὁ Σκληρὸς ἐπὶ μέγα τύχης ἦρτο (ἐπαλλακεύετο γὰρ τῷ Μονομάχῳ ἡ τοῦ Σκληροῦ ἀδελφή) μάγιστρος τιμηθεὶς καὶ πρωτοστράτωρ, τῶν εἰς αὐτὸν μεμνημένος τοῦ Γεωργίου καταδρομῶν, καταχρώ|μενος τῇ ἐξουσίᾳ καὶ τὴν ἀπουσίαν κατατρέχων τοῦ Μανιάκη, τά τε ἀνήκοντα αὐτῷ ἐδῄου καὶ ἔκειρε χωρία καὶ εἰς τὴν τούτου κοίτην ἀνέδην ἐξύβρισεν. ἅπερ ἐκεῖνος ἐν Ἰταλίᾳ πυθόμενος ἤσχαλε καὶ διεπρίετο τῷ θυμῷ. ἄρτι δὲ καὶ σπουδῇ τοῦ Ῥωμανοῦ παραλυθεὶς τῆς ἀρχῆς καὶ τοῖς πᾶσιν ἀπεγνωκώς (ᾔδει γάρ, ὡς οὐκ εἰς χρηστὸν αὐτῷ τέλος ἡ εἰς τὸ Βυζάντιον ἄφιξις τελευτήσει), τὰς ἐν Ἰταλίᾳ δυνάμεις ἀνασείσας καὶ διαφθείρας, διψώντων τῶν στρατιωτῶν τὰς οἰκείας ἰδεῖν πατρίδας,

67 mense Oct. a. 1042

ACEVBMNU DH 44 Μοσυνούπολιν U 46 ἀλλαχοῦ: ἀλλαχόσε B διεσκεδάσθησαν ACEVB: ἐσκεδάσθησαν MNUDH 47 τῶν ante Ῥωμαίων add. B 49 Βρενδισίου CEVBMND: Βρεντησίου AU: Βρενδησίου H 50 καὶ pr. om. B Καλλιπόλεώς post Τάραντος add. U τε om. ACE τέτταρες VMN: τέσσαρες ACEBDH: πέντε U πόλεις om. A 51 πίστεις ACEVB: πίστιν MNUD 52 ἐξωθέντος C 53 εἴρηται ACEVB: ἐρρέθη (ἐρρήθη U) MNUDH ἐν Ἰταλίᾳ B 55 καὶ post Ἰταλίας add. U 56 περὶ ante Βενεβενδὸν add. U 57 κατὰ VBMNU περὶ ACE 59 πολλάκις om. B τοῦτον ἀνελεῖν CEVB: ἀνελεῖν τοῦτον AMNUDH 60 σωτηρίαν ἐπορίσατο B εἰς B 61 μέγα ACEVBU: μεγάλης MN: μεγ᾽ D 61/62 ἐπαλλακεύετο — ἀδελφή om. ACE 62 τοῦ Σκληροῦ MNU: τούτου VB: om. ACE 64 κατατρέχων: κατέχων U Μανιάκη CEVBUD: Μανιάκου AMN 65 ἀνήκοντα αὐτῷ VBMNU: αὐτῷ ἀνήκοντα ACE χωρία post ἐδῄου B 66 ὅπερ B πυθόμενος ACEVB: πυνθανόμενος MNUDH ἤσχαλλε AU 68 ὡς om. B τὸ ante τέλος add. B 69 ἄφιξις AE (man. rec.) VBMNU: αὔξησις CE διασείσας C 70 οἰκείας ACEVMND: ἰδίας BUH πατρίδας ἰδεῖν A

ὅπλα κατὰ τοῦ βασιλέως κινεῖ. καὶ τὸν μὲν πεμφθέντα διάδοχον αὐτοῦ (ἦν δὲ ὁ πρωτοσπαθάριος Πάρδος, ἀνὴρ Βυζάντιος, καὶ δι' ἄλλο μὲν οὐδὲν ἀγαθόν, ὅτι δὲ γνώριμος ἦν τῷ βασιλεῖ, τηλικαύτης χώρας ἄρχειν πεμφθείς) ἀναιρεῖ, αὐτὸς δ' ἑαυτῷ διάδημα περιθεὶς καὶ τὰ τῆς βασιλείας παράσημα ἀναλαβὼν ἀναγορεύεται βασιλεύς, καὶ πλοίοις ἐμβιβάσας τὰς δυνάμεις περαιοῦται ἐν Βουλγαρίᾳ. τοῦτο μαθὼν ὁ βασιλεὺς εἰς ταραχὴν οὐ τὴν τυχοῦσαν ἐνέπεσε. καὶ γράμματα πρὸς αὐτὸν ἐκπέμπει παντὸς ἀπολύοντα φόβου τοῦτον καὶ τοὺς σὺν αὐτῷ, παρακαλοῦντά τε ἀποθέσθαι τὰ ὅπλα, καὶ ὑπισχνούμενα πᾶσαν εὐεργεσίαν. ἐπεὶ δ' ἐκεῖνος ἄτεγκτος ἦν καὶ οὐ μεθίετο τοῦ σκοποῦ, ἀγηοχὼς καὶ αὐτός, ἃς εἶχε δυνάμεις, καὶ στρατηγὸν αὐταῖς ἐπιστήσας αὐτοκράτορα τὸν σεβαστοφόρον Στέφανον τὸν ἐν Δαμοκρανείᾳ τὰ τῆς βασιλείας εὐαγγέλια τούτῳ διακομίσαντα, ἐκπέμπει κατὰ τοῦ ἀποστάτου. καὶ συναντῶσι τὰ στρατεύματα κατὰ τὸν λεγόμενον Ὀστροβὸν ἐν τῷ Μαρμαρίῳ καὶ συμπλοκῆς γενομένης τρέπονται | οἱ περὶ τὸν Στέφανον, αὐτοῦ τοῦ Μανιάκη προηγουμένου καὶ τὰς φάλαγγας διακόπτοντος. καὶ αὐτὸν ὡς βασιλέα εὐφήμουν. ἐν ὅσῳ δὲ ταῦτα ἐγίνετο, αἰφνιδίως ἐκ τοῦ ἵππου πεσὼν οὗτος ἀπέθανε, μηδενὸς φανέντος τοῦ τοῦτον τρώσαντος. εὑρέθη γὰρ ἔχων κατὰ τοῦ στήθους καιρίαν πληγήν. τούτου δὲ γνωσθέντος τῷ ἐναντίῳ στρατεύματι, ἀποτέμνεται μὲν ἡ κεφαλὴ τοῦ Γεωργίου, συλλαμβάνονται δὲ καὶ πάντες οἱ αὐτῷ συναράμενοι, ἅμα τῇ πτώσει τοῦ ἀρχηγοῦ τὰ ὅπλα ῥίψαντες καὶ ἑαυτοὺς ἐγχειρίσαντες. καὶ τῷ μὲν βασιλεῖ ἄγγελος ἐπέμφθη κομίζων τὰ εὐαγγέλια τῆς νίκης, εἴσεισι δὲ μεθ' ἡμέρας τινὰς καὶ ὁ Στέφανος τὴν κεφαλὴν ἄγων τοῦ Μανιάκη καὶ τοὺς κρατηθέντας ἐν τῷ πολέμῳ. καὶ διὰ μέσης τῆς Πλατείας θριαμβεύσας προηγουμένης τῆς κεφαλῆς ἄνωθεν δόρατος, καὶ τῶν ἀποστατῶν ὄνοις ἐποχουμένων, αὐτὸς ὄπισθεν εἵπετο, ἵππῳ λευκῷ ἐφεζόμενος. καὶ τὰ μὲν περὶ τὸν Μανιάκην τοιοῦτον εἴληφε τέλος.

76 mense Febr. a. 1043 **78** a. 1043

ACEVBMNU DH **74** δὲ BUDH ἑαυτῷ ACEVMND: αὐτῷ BUH **75** ἀναλαβὼν om. B **77** μὲν post γράμμ. add. MNUDH ἐκπέμπει VBMNU: πέμπει ACE παντὸς post **78** φόβου A **79** ὑπισχνούμενος AM **80** μεθίεται EM **82** Δαμοκρανίᾳ CM **82/83** διακομίσαντα τούτῳ B **84** Ἀστροβὸν U Μαρμαρίνῳ U **85** τὸν om. CE **86** Μανιάκη CEVBUD: Μανιάκου AMN **86/87** καὶ τὰς — εὐφήμουν om. B **86** καὶ alt.: αἵτινες ἤδη U **87** ἐγίνετο: ἐπράττετο B αἰφνιδίως post πεσὼν B **88** μηδενὸς — τρώσαντος om. MN (sed non D) τοῦ om. B **89** κατὰ τοῦ στήθους: ἐν τῷ στήθει A γνωσθέντων E **90** ἐναντίων E τοῦ om. B Γεωργίου: Μανιάκου M **93** τῆς νίκης τὰ εὐαγγ. A **93—95** νίκης — πολέμῳ: ὁ δὲ τόπος ὠνομάσθη ἔκτοτε Κάμπος τοῦ Μανιάκου. καὶ τοὺς κρατηθέντας ἐν τῷ πολέμῳ U **93/94** δὲ — Στέφανος: δὲ καὶ ὁ Στέφ. μεθ' ἡμ. τινὰς M **94** ἄγων VBMNU: ἔχων ACE Μανιάκη CEVBUD: Μανιάκου AMN **95** καὶ om. U **1** δόρατι B **2** ὄπιθεν CEVN κέλητι post ἵππῳ add. U **3** εἰλήφει CE

4. Γέγονε δέ τις καὶ ἄλλη ἀποστασία ἐν Κύπρῳ κατὰ τοῦτον τὸν χρόνον, πρωτουργὸν ἔχουσα Θεόφιλον τὸν Ἐρωτικόν. οὗτος γὰρ τῆς νήσου στρατηγῶν καὶ νεωτέρων ἀεὶ πραγμάτων ἐφιέμενος, ἐπείπερ ἐπύθετο τὴν τοῦ Καλαφάτου καταστροφὴν καὶ τὴν κατέχουσαν τὰ πράγματα σύγχυσιν, καιρὸν εὔθετον εὑρεῖν οἰηθεὶς πρὸς τὸ σπουδαζόμενον, τό τε ἔθνος ἅπαν τῶν Κυπρίων ἀνάπτει, καὶ τὸν δικαστὴν καὶ πράκτορα τῶν δημοσίων φόρων τὸν πρωτοσπαθάριον Θεοφύλακτον ἀνελεῖν παρασκευάζει, ἔγκλημα τούτῳ ἐπενεγκών, ὡς βαρείας τὰς τῶν συντελειῶν ποιουμένῳ εἰσπράξεις. ἀλλὰ πρὸς τοῦτον οὐκ ἐδέησε τῷ Μονομάχῳ μακροτέρας τριβῆς. χειροῦται γὰρ αὐτὸν ἐκπεμφθεὶς ὅ τε τοῦ στόλου κατάρχων Κωνσταντῖνος πατρίκιος ὁ Χαγέ, τὸ ἔθνος ἅπαν τῶν Κυπρίων ὑποποιησάμενος, καὶ ἐς βασιλέα ἄγει. ἀχθέντα δὲ θῆλυν ὁ βασιλεὺς ἐνδύσας στολὴν καὶ ἐν τῷ ἱππικῷ ἱπποδρομίας ἀγομένης θριαμβεύσας καὶ τῶν ὑπαρχόντων ψιλώσας ἀπέλυσε.

5. Τῇ δὲ εἰκοστῇ τοῦ Φεβρουαρίου μηνός, τῆς ἑνδεκάτης ἰνδικτιῶνος, κατέλυσε τὴν ζωὴν Ἀλέξιος ὁ πατριάρχης, καὶ ἀνάγεται εἰς τὸν αὐτοῦ θρόνον Μιχαὴλ ὁ Κηρουλάριος κατὰ τὴν ἡμέραν τοῦ εὐαγγελισμοῦ, μοναχὸς ὤν, ἐξ οὗπερ ὁ ὀρφανοτρόφος αὐτὸν διὰ τὴν ἐπιβουλὴν ἐξώρισε. προσαγγέλλεται δὲ τῷ βασιλεῖ καὶ χρυσίον ἀποτεθησαυρισμένον ἐν τῇ τοῦ Ἀλεξίου μονῇ, καὶ πέμψας ἀναλαμβάνεται τοῦτο, εἰς κεντηνάρια ποσούμενον εἴκοσι καὶ πέντε. Μαΐου δὲ δευτέρᾳ, τῆς αὐτῆς ἰνδικτιῶνος, ἐκτυφλοῦται καὶ ὁ ὀρφανοτρόφος ἐν τῷ λεγομένῳ χωρίῳ τῶν Μαρυκάτων, ὡς μέν τινές φασιν, ὑπὸ Θεοδώρας ἄκοντος τοῦ βασιλέως, ὡς δὲ ὁ τῶν πολλῶν κρατεῖ λόγος, παρ' αὐτοῦ τούτου ἐγκοτῶντος αὐτῷ διὰ τὰς ὑπερορίας, καὶ τῇ τρισκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς ἀποθνῄσκει. Ἰουλίῳ δὲ μηνὶ τῆς αὐτῆς ἰνδικτιῶνος κατηγορήθη καὶ Στέφανος ὁ σεβαστοφόρος, ὡς ἐπιβουλεύων τῷ βασιλεῖ καὶ βασιλέα βουλόμενος ποιῆ-

18 a. 1043

---

cap. 4: Zon. III, 624, 1—624, 8; Glyc. 594, 20—595, 3 cap. 5: Zon. III, 624, 9—625, 2; Glyc. 595, 3—595, 5

ACEVBMNU DFH 4 τις post ἄλλη B 7 κατέχουσαν ACEVB: κατασχοῦσαν MNUDH 12 τοῦτον: τοῦτο B μακροτέρας VBMNU: μακροχρονίου A: μακροῦ χρόνου CE 13 ὅ τε CEVMN: ὁ τότε ABU 15 ἐς ACEVMNUD: εἰς BH 18 κ' CU μηνός om. U ια' CEBMNU 20 ὁ K. om. A Κηρουλάριος CVBMNU: Κηρουλάρης E Glyc. 595, 5 τῆς ἑορτῆς post ἡμέραν add. A 21 αὐτὸν post ἐπιβουλὴν B 22 καὶ om. B 23 τοῦτο: αὐτὸ U 24 εἰκοσιπέντε ABU Μαΐῳ A β' CE 25 ἐκτυφλοῦται VBMNU: ἐκτυφλώττεται ACE καὶ om. BU τῶν: τοῦ F Μαρυκάτων ACEVBUD: Μαρυκάτου MNA ὁ om. B 27 κρατεῖ (post λόγος A) ACEVBUD: κρατῶν MN ἐγκοτῶντος AEVMNU: ἐγκητῶντος C: ἐγκοτοῦντος B 28 τὴν ὑπερορίαν B τῇ om. M ιγ' CEBU 29 Ἰουλίου δὲ μηνὸς C κατηγορηθεὶς U 30 ποιεῖν A

σαι Λέοντα πατρίκιον καὶ στρατηγὸν Μελιτηνῆς, τὸν υἱὸν τοῦ Λαμπροῦ. καὶ ὁ μὲν Στέφανος τῶν ὑπαρχόντων γυμνωθεὶς καὶ μοναχὸς ἀποκαρεὶς ἐξωρίσθη, ὁ δὲ Λαμπρὸς ἀπηνῶς ἐτασθεὶς καὶ τὰς ὄψεις πηρωθεὶς καὶ διὰ τῆς ἀγορᾶς πομπευθεὶς μετὰ μικρὸν ἀπέθανεν. |

6. Ἐγένετο δὲ καὶ κατὰ τὸν Ἰούλιον μῆνα τῆς αὐτῆς ἰνδικτιῶνος καὶ ἡ τοῦ ἔθνους τῶν Ῥῶς κίνησις κατὰ τῆς βασιλίδος. οὗτοι γὰρ κοινοπραγοῦντες μέχρι τοῦδε Ῥωμαίοις καὶ εἰρηνεύοντες μετ' αὐτῶν, ἀδεῶς τε ἀλλήλοις ἐπεμίγνυντο καὶ ἐμπόρους ἐς ἀλλήλους ἔπεμπον. κατὰ δὲ τοῦτον τὸν χρόνον φιλονεικίας γενομένης ἐν Βυζαντίῳ μετά τινων ἐμπόρων Σκυθῶν, συμπληγάδος τε ἐξ αὐτοῦ ἐπακολουθησάσης καί τινος Σκύθου φονευθέντος ἐπιφανοῦς, ὁ τότε κατάρχων τοῦ γένους τούτων Βλαδιμηρός, ἀνὴρ ὁρμητίας καὶ τὰ πολλὰ τῷ θυμῷ χαριζόμενος, πυθόμενος τὸ συμβὰν καὶ δεινοπαθήσας καὶ μὴ δοὺς ἀναβολὴν ἢ καιρὸν τῷ κινήματι, τῶν ὑπ' αὐτὸν ἀγείρας ὅσον μάχιμον, προσεταιρισάμενος δὲ καὶ συμμαχικὸν οὐκ ὀλίγον ἀπὸ τῶν κατοικούντων ἐν ταῖς προσαρκτίοις τοῦ Ὠκεανοῦ νήσοις ἐθνῶν, καὶ πλῆθος ἀθροίσας, ὥς φασι, περὶ τὰς ἑκατὸν χιλιάδας, καὶ πλοίοις ἐγχωρίοις τοῖς λεγομένοις ἐμβαλὼν μονοξύλοις κατὰ τῆς πόλεως ἐξορμᾷ. τοῦτο μαθὼν ὁ βασιλεὺς πέμπει μὲν πρεσβευτάς, ἐξαιτῶν καταθέσθαι τὰ ὅπλα καὶ ὑπισχνούμενος ἐξιάσασθαι, εἴ τι δὴ καὶ γέγονεν ἄτοπον, καὶ μὴ διὰ μικρὸν ἐθελῆσαι πρᾶγμα τὴν ἐκ μακροῦ παγιωθεῖσαν διαλῦσαι εἰρήνην καὶ τὰ ἔθνη κατ' ἀλλήλων ἀνάψαι. ἐπεὶ δὲ δεξάμενος αὐτὸς τὰ γράμματα τούς τε πρέσβεις ἀτίμως ἐδίωξε καὶ ὑπερηφάνους καὶ σοβαρὰς ἀπέδωκεν ἀπολογίας, ἀπεγνωκὼς ὁ βασιλεὺς τὴν εἰρήνην καὶ αὐτός, ὡς ἐνῆν, ἀντεπαρετάττετο. καὶ τοὺς μὲν ἐνδημοῦντας τῇ βασιλίδι ἐμπόρους τῶν Σκυθῶν, ἔτι δὲ καὶ | τοὺς κατὰ συμμαχίαν παρόντας διασκεδάσας ἐν τοῖς θέμασι καὶ ἀσφαλισάμενος, ἵνα μὴ καὶ ἀπὸ τῶν

35 a. 1043 **49** mense Iun. a. 1043

cap. 6: Zon. III, 631, 6—633, 18; Glyc. 595, 6—595, 13

ACEVBMNU DH **31** τὸν ante στρατηγὸν add. B **33/34** καὶ τὰς — πομπευθεὶς ACEVB: καὶ διὰ τῆς ἀγορᾶς πομπευθεὶς καὶ τὰς ὄψεις πηρωθεὶς MNUH: (ἐξωρίσθη — πηρωθεὶς om. D) **35** καὶ pr. om. BU καὶ alt. om. B **36** Ῥὼς AE **37** τε om. ACEB **38** ἀλλήλοις — ἐς om. B ἐς VMN: εἰς U: ἐπ' ACE: om. B **40** αὐτοῦ: αὐτῆς EU Σκύθους C **41** γένους: ἔθνους U τούτων VB: τούτου A: τούτ CE: om. MNUDH **42** ὁρμητίας ἀνὴρ B ἀνὴρ — χαριζόμενος om. ACE **43** καιρῷ B τῶν: τὸν CE **44/45** προσεταιρισάμενος — ἀπό: συμμαχικὸν προσεταιρ. ἀπὸ B **45** ταῖς: τοῖς CU **47** μονοξύλοις ἐμβαλὼν DH **48** μὲν om. B **50** ἐθελῆσαι post μὴ U **51** διαλῦσαι εἰρήνην VBMNU: εἰρήνην διαλῦσαι ACE **53** σοβαροὺς U ἀπολογίας ἀπέδωκεν B **54** ἀντεπαρετάττετο VMN: ἀντεπαρατάττετο A: ἀντιπαρετάττετο CEB: ἀντιπαρατάττεται U ἐν ante τῇ add. MN (sed non D) βασιλίδι (post **55** Σκυθῶν B) ACVBUD: πόλει MNE **56** διασκεδάσας ACEVB: διασκορπίσας MNUH: om. D καὶ alt. om. BU ἀπό: ὑπὸ B

ἔνδον ἐπιβουλή τις ἀνεγερθῇ ὡς ὁ καιρὸς ἐδίδου καὶ τὸ τοῦ ἔργου ὀξύρροπον, τάς τε βασιλικὰς ἐξαρτύσας τριήρεις καὶ ἄλλας οὐκ ὀλίγας ἀπὸ τῶν εὐσταλῶν καὶ κούφων, καὶ λαοῦ πληρώσας ἀπὸ τῶν παρατυχόντων ἐν Βυζαντίῳ τότε στρατιωτῶν, καὶ αὐτὸς οὗτος τῷ βασιλικῷ ἐπιβὰς δρόμωνι ἔξεισι καὶ τοῖς Σκύθαις ὑπαντιάζει κατὰ τὸ τοῦ Πόντου στόμα ἐν τῷ λεγομένῳ ναυλοχοῦσι Φάρῳ, παρεπομένην ἔχων διὰ τῆς ξηρᾶς καὶ ἱππικὴν στρατιὰν οὐκ ὀλίγην. ἐπεὶ δὲ ἀντιμέτωποι ἔστησαν αἱ δυνάμεις, ἔργου μὲν οὐδέτερον μέρος ἥπτετο· οἵ τε γὰρ Σκύθαι ἐπὶ τοῦ λιμένος, ἔνθα προσώρμουν, ἑστῶτες ἡσυχίαν ἦγον, καὶ ὁ βασιλεὺς τὴν ἐκείνων προσμένων κίνησιν ἐκαρτέρει. ἐπεὶ δὲ ὁ καιρὸς ἐτρίβετο καὶ ἡ ὥρα ἦν πρὸς ὀψέ, πρέσβεις ὁ βασιλεὺς πάλιν ἐκπέμπει περὶ εἰρήνης, καὶ πάλιν ἀτίμως ἀποπέμπει τούτους ὁ βάρβαρος, μηνύσας, εἰ βούλεται τῷ βασιλεῖ καταθέσθαι τὰ ὅπλα, δοῦναι παντὶ τῷ ἑπομένῳ αὐτῷ στρατῷ ἀνὰ χρυσίου λίτρας τρεῖς. ἀμηχάνου δὲ φανείσης τῆς ἀποκρίσεως, ἔγνω δεῖν ἔργου ἔχεσθαι. ὡς δ᾽ ἐκεῖνοι ἀτρέμας εἶχον, μεταστειλάμενος ὁ βασιλεὺς τὸν μάγιστρον Βασίλειον τὸν Θεοδωροκάνον, τρεῖς εἰληφέναι προστάττει τριήρεις δρομάδας καὶ ἀπελθεῖν καὶ ἀποπειράσασθαι τῶν Σκυθῶν, εἴπερ δυνηθείη ἀκροβολιζόμενος πρὸς πόλεμον αὐτοὺς ἐπισπάσασθαι. ὁ δὲ τὰς τριήρεις εἰληφὼς καὶ πρὸς τοὺς Σκύθας γενόμενος, οὐ δι᾽ ἀκροβολισμοῦ τῆς αὐτῶν ἀπεπειρᾶτο γνώμης, ἀλλ᾽ εἰς μέσους ἑαυτὸν ὠθήσας ἑπτὰ μὲν σκάφη τῷ | σκευαστῷ καταφλέγει πυρί, τρία δὲ αὔτανδρα ποντίζει. χειροῦται δὲ καὶ ἓν αὐτὸς εἰσπηδήσας εἰς αὐτό, καὶ τῶν ἔνδον οὓς μὲν ἀποσφάξας, οὓς δὲ καὶ τροπωσάμενος τὴν τόλμαν καταπλαγέντας αὐτοῦ. οἱ δὲ Σκύθαι καὶ τὸν βασιλέα ἤδη ὁρῶντες ἐρχόμενον σὺν παντὶ τῷ στόλῳ καὶ λογισάμενοι, ὅπερ ἦν εἰκός, εἰ τοιαῦτα πεπόνθασι τρισὶ τριήρεσι πολεμούσαις ἀντιστάντες, τί ἂν πάθοιεν παντὶ τῷ στόλῳ βιαζόμενοι συμπλέκεσθαι, ἀπέβλεψαν πρὸς φυγήν, καὶ εἰς τόπους

67 mense Iun. a. 1043

ACEVBMNU DH **57** ἐγερθῇ U **60** Βυζαντίῳ: τῇ πόλει A τότε om. ACE **61** ἐμβὰς B **62** στόμου C παρεπομένην: παρεχομένην U **64** μὲν om. A **65** προσώρμησαν U **67** ἦν om. E πρὸς om. ACE πέμπει U τούτοις post ἐκπέμπει add. B **68/69** εἰ — βασιλεῖ: τῷ βασ., εἰ βούλ. B **69** τὰ ὅπλα καταθέσθαι A αὐτῷ: αὐτοῦ B **70** ἀνὰ ACEVBUD: om. MN **71** δὲ ACE ἐκεῖνο CE ἀτρέμας CEVMNU: ἀτρεμέως A: ἀτρεμίας B εἶχον ACEMNU: εἴχοντο VB **72** τὸν μάγ. Βασ. om. U **73** τριήρεις προστάσσει A ἀπελθεῖν καί: ἀπελθόντα A **74** δὲ ante Σκυθῶν add. B εἴπερ ACEVB: εἴ πως MNUDH ἐπισπάσασθαι: ἐπιλάσασθαι B **75** ὁ δὲ τὰς: τὰς τρεῖς B **76** ἀκροβολισμῶν U ἀποπειρᾶται B μέσον A **78** ποντίζει ACEVB: καταποντίζει MNUDH αὐτό: αὐτούς U **79** ἀποσφάξας οὓς μέν B **80** Σκύθοι B καὶ om. B ἤδη om. M ὁρῶντες ἤδη U **81** καὶ om. B καὶ ante εἰκός add. U **82** τριήρεσι — ἀντιστάντες (ἀντιστατοῦντες B) ACEVB: τριήρεσιν ἀντιστ. πολεμ. MNUDH παντὶ post στόλῳ B **83** βιαζόμενοι post **82** πάθοιεν MNUDH, post **83** συμπλέκεσθαι B πρός: εἰς MN

ἀπορριφέντες σκοπέλους ἔχοντας καὶ πέτρας ὑφάλους τὰ πλείω τῶν σκαφῶν ἀπεβάλλοντο, ἐπιτιθεμένων τούτοις ἀπὸ τῆς ξηρᾶς καὶ τῶν παραπορευομένων στρατιωτῶν καὶ ἀπολλύντων αὐτούς, ὡς εὑρεθῆναι μετὰ ταῦτα ἐν τοῖς αἰγιαλοῖς νεκροὺς ἐριμμένους ἀμφὶ τὰς πεντεκαίδεκα χιλιάδας. ὁ μὲν οὖν βασιλεὺς μετὰ τὴν τῶν Σκυθῶν ἧτταν ἐφ' ὅλας δύο προσμείνας ἡμέρας, κατὰ τὴν τρίτην ὑπέστρεψεν εἰς τὴν βασιλίδα, δύο τάγματα καταλιπὼν καὶ τὰς λεγομένας ἑταιρείας, ὑφ' ἡγεμόνι ταττόμενα Νικολάῳ τῷ παρακοιμωμένῳ καὶ Βασιλείῳ μαγίστρῳ τῷ Θεοδωροκάνῳ, ἐφ' ᾧ τοὺς αἰγιαλοὺς ἐπισκοπεῖν καὶ παρατρέχειν καὶ φυλάττεσθαι, μή τις ἀπόβασις γένηται τῶν βαρβάρων, τὸν δὲ πάντα στόλον κατὰ τὸν Φάρον προσμένειν κελεύσας. καὶ ὁ μὲν βασιλεὺς ταῦτα διαπραξάμενος εἰσῆλθεν εἰς τὸ Βυζάντιον, οἱ περὶ τὸν παρακοιμώμενον δὲ καὶ τὸν Θεοδωροκάνον τοὺς αἰγιαλοὺς περιϊόντες, ἔνθα μετὰ τὴν τροπὴν ἐξεβράσθη τὰ σώματα τῶν βαρβάρων, πολλῆς λείας καὶ σκύλων ἐγένοντο κύριοι. καὶ τριήρεις δὲ τέτταρες ἐπὶ εἴκοσι τοῦ λοιποῦ διαιρεθεῖσαι στόλου | εἵποντο φεύγουσι τοῖς βαρβάροις. ἔν τινι δὲ κόλπῳ ναυλοχούντων αὐτῶν παρῆλθον αὗται διώκουσαι. καὶ γνόντες οἱ Σκύθαι τὴν ὀλιγότητα καὶ ἀκριβῶς καταλαβόντες, ὡς οὐ πλείους τῶν φαινομένων εἰσίν, ὑπερκερώσεις ποιησάμενοι ἀπὸ τοῦ ἔνθεν κἀκεῖθεν ἀκρωτηρίου καὶ συντόνῳ τῇ εἰρεσίᾳ χρώμενοι ἔσπευδον ἐγκολπώσασθαι τοὺς ἐναντίους. οἱ δὲ Ῥωμαῖοι ἐκ τῆς προτέρας κωπηλασίας καὶ τοῦ διωγμοῦ κατάκοποι ὄντες καὶ πρὸς τὸ πλῆθος τῶν βαρβαρικῶν σκαφῶν ἀποδειλιάσαντες, ἔκλιναν πρὸς φυγήν· ἐπεὶ δὲ ἔφθασαν τὰ τῶν βαρβάρων σκάφη στεφανώσαντα τὸ στόμα κατασχεῖν τοῦ κόλπου καὶ ἄπορος ἦν ἡ πρὸς τὸ πέλαγος ἔξοδος, Κωνσταντῖνος μὲν πατρίκιος ὁ Καβαλλούριος, στρατηγὸς ὢν τῶν Κιβυρραιωτῶν, γενναίως ἔστη πρὸς πόλεμον μετὰ τῆς ἑαυτοῦ τριήρους καὶ λοιπῶν δέκα, καὶ εὐρώστως μαχόμενος κατεκόπη, ἐλήφθησαν δὲ καὶ τέτταρες τριήρεις αὔτανδροι σὺν τῇ ναυαρχίδι, καὶ πάντες οἱ ἐν αὐταῖς ἀπεσφάγησαν, τὰ δὲ λοιπὰ Ῥωμαϊκὰ πλοῖα ἐν βράχεσι καὶ ἀκταῖς καὶ σκοπέλοις ἀπερρίφησαν. ὧν συντριβέντων οἱ μὲν τῶν ἐν

ACEVBMNU DH 85 ἀπεβάλλοντο BMNUD: ἀπεβάλοντο ACEH ἐπιτιθεμένων ACEVBU: ἐπιτιθεμένοις MNDH ξηρᾶς: γῆς U 86 ἀπολλέντων C 87 ιε' CE 88 ἐφ' ὅλας om. E 89 εἰς: πρὸς U βασιλίδα: βασιλεύουσαν B 90 καταλιπών post 92 Θεοδωροκάνῳ A 92 περισκοπεῖν B 93 ὑπόβασις C 94 προσμένειν post 93 στόλον A ταῦτα: τοιαῦτα B 1 διϊόντες B 3 καὶ om. BU τέτταρες VMN: τέσσαρες CEBU: τέσσαρας A ἐπὶ: καὶ B κ' C 4 φεύγουσαι U κόλπῳ VBMNU: τόπῳ ACE ναυλοχούντων αὐτῶν om. ACE 5 αὗται: αὐτ˜ C καὶ alt. om. B 6 καταλαβόντες ACEVBUD: καταμαθόντες MN 7 κἀκεῖθεν: ἐκεῖθεν U 8 χρησάμενοι U ἐναντίους: πολεμίους A 9/10 καὶ — ὄντες: κατάκοποι ὄντες καὶ τῆς διώξεως A 11 ἔκλιναν ACEVB: ἐνέκλιναν MNUH: ἀνέκλιναν D πρός: εἰς M 13 ἔξοδος ACEVB: διέξοδος MNUD μὲν om. B 14 ἑαυτοῦ: αὐτοῦ A 16 τέσσαρες (corr. in τέτταρες D) ACEBUDH 17 λοιπὰ Ῥωμαϊκὰ ACEVB: Ῥωμαϊκὰ λοιπὰ MNUDH

αὐταῖς ὑποβρύχιοι γεγόνασι τῇ θαλάσσῃ, ἄλλοι δὲ ἑάλωσαν ὑπὸ τῶν βαρβάρων καὶ μαχαίρᾳ παρεδόθησαν καὶ δουλείᾳ, οἱ δὲ διασωθέντες πεζοὶ καὶ γυμνοὶ εἰς τὸ οἰκεῖον στρατόπεδον ἀνεσώθησαν. οἱ δὲ Σκύθαι, ὡς οὐκ εἰς ἔργον ἐχώρει αὐτοῖς τὰ τῶν ἐλπίδων, τῆς ἐπ' οἴκου πορείας ἐμνήσθησαν. ὑποστρέφουσι δὲ τούτοις διά τε γῆς καὶ θαλάσσης (οὐδὲ γὰρ ἐξήρκουν τοῖς πᾶσι τὰ σκάφη, τὰ μὲν ὑπὸ τῆς προηγησαμένης ναυμαχίας καταποντισθέντα τε καὶ ληφθέντα, τὰ δὲ ὑπὸ κλύδωνος καὶ | τρικυμίας θλασθέντα, καὶ διὰ τοῦτο οἱ πλείους πεζῇ τὴν ὁδοιπορίαν ἐποιοῦντο) συναντήσας Κατακαλὼν βέστης ὁ Κεκαυμένος, ἄρχων ὢν τῶν παρὰ τὸν Ἴστρον πόλεων καὶ χωρίων, κατὰ τὸν αἰγιαλὸν τῆς λεγομένης Βάρνας καὶ συμβαλὼν ἐτρέψατο, καὶ ἀπέκτεινε μὲν πολλούς, ὀκτακοσίους δὲ ζωγρίας λαβὼν πεπεδημένους ἐκπέμπει τῷ βασιλεῖ. οὗτος γὰρ ὁ ἀνὴρ καὶ ὅτε πρῶτον τῶν οἰκείων ἠθῶν ἀπαναστάντες οἱ Σκύθαι πρὸς τὴν βασιλίδα ἠπείγοντο καὶ ἐς τὴν λαχοῦσαν αὐτὸν ἀρχὴν ἀποβάντες προνομὰς ἐποιοῦντο, τὸν ἀμφ' αὐτὸν ἀθροίσας λαὸν προσέρραξε τούτοις, καὶ γενναίως ἀγωνισάμενος ἐτρέψατό τε κατὰ κράτος καὶ εἰς τὰ οἰκεῖα σκάφη φυγεῖν ἠνάγκασε. καὶ πάλιν δὲ τὰ ἀγχίαλα τῆς ὑπ' αὐτὸν ἀρχῆς φυλάττων χωρία καὶ προσμένων τὸ τέλος, ὑποστρέφοντας δεξάμενος καὶ καρτερῶς ὑποστὰς εἰργάσατο τὰ εἰρημένα.

7. Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος δωδεκάτης, ἔτους ,ϛφνβ', ἔπνευσεν ἄνεμος σφοδρός, ὡς διαφθαρῆναι σχεδὸν τοὺς τῶν ἀμπέλων καρπούς. Μιχαὴλ δὲ ὁ πατριάρχης ἅμα τῷ χειροτονηθῆναι τὸν πάπαν Ῥώμης τῶν διπτύχων ἐξέβαλε, τὸ τῶν ἀζύμων ζήτημα ἐπενεγκὼν αὐτῷ τῆς ἐκβολῆς αἴτιον· συνήργει δὲ τούτῳ Πέτρος τε ὁ Ἀντιοχείας πατριάρχης καὶ Λέων ὁ Βουλγαρίας ἀρχιεπίσκοπος καὶ

38 a. 1043

---

cap. 7: Glyc. 595, 14—596, 3

ACEVBMNU DH 19 ἑάλωσαν post 20 βαρβάρων B 22 ἐχώρει post ἐλπίδων B οἴκους A 23 θαλάττης N 25 ναυμαχίας CEVBUD: ναυαρχίας ANH: αἰτίας καὶ ναυαρχίας M τε om. B 26 θλασθέντα ACEVNU: θραυσθέντα B: κλασθέντα M πεζῇ (ante οἱ U) VNU: πεζοὶ ACEBM 27 συναντήσας post Κεκαυμένος U ὁ ante Κατακαλὼν add. A βέστης om. M 28 παρὰ CVMNU: περὶ AEB τῶν Ἴστρων B 29 ἀπέκτεινε: κτείνει B 30 ζωγρίας: ζῳοὺς B λαβὼν — βασιλεῖ: πεπεδημένους λαβὼν ἐκπέμπει πρὸς βασιλέα A 31 ἠθῶν ἀπαναστάντες VBMNU: ἀπαναστάντες (ἐπαναστάντες E) ἠθῶν ACE 32 ἐς CVMNU: εἰς AEB αὐτόν: αὐτῷ E ἀρχὴν om. B 33 προνομὴν B προσέρρηξε B 34 ἐτρέψατο — κράτος: κατὰ κράτος ἐτρέψατο A τε CEVNU: τότε M: om. AB 35 κατηνάγκασεν B 38 δὲ om. M ιβ' ACEBMN: β' U ἔτους ,ϛρνβ': τοῦ ,ϛφνβ' ἔτους M 39 σφοδρός AVBMN: σφοδρῶς CE: om. U 40—50 interpol. ACE (E bis, sc. in textu et a manu rec. i. m.) BU 41—43 τὸ — ἐλλογιμώτερον: διὰ τὴν περὶ τοῦ ἁγίου πνεύματος καινοτομίαν καὶ τὰ ἄζυμα B 42 τε om. U

τὸ τῆς ἐκκλησίας ἅπαν ἐλλογιμώτερον. προσκρούων δὲ καὶ πρὸς τὸν τηνικαῦτα τῆς μονῆς τοῦ Στουδίου ἡγούμενον Μιχαήλ, ᾧ Μερμέντουλος τὸ ἐπώνυμον, τοῦ ἐπ' ἐκκλησίας ἀναγινωσκομένου συνοδικοῦ τὸν ἐν ἁγίοις Θεόδωρον τὸν Στουδίτην ἐξέβαλε. μὴ ἐνεγκὼν δὲ ὁ Μερμέντουλος τὸ γεγονός, τῷ βασιλεῖ προσελθὼν τοῦτο αὐτῷ διανήγγειλε. διὸ προστάξει βασιλικῇ ἀνεγνώσθη τὸ συνοδικὸν τῇ κυριακῇ τῆς Σαμαρείτιδος. καὶ τὰ μὲν ἄλλα πάντα κατὰ τὸ ἔθος ἀνεγνώσθησαν, τὸ δὲ τοῦ μεγάλου Θεοδώρου ὄνομα ὁ πατριάρχης ἀναστὰς ἐξεφώνησε μεγάλῃ καὶ διατόρῳ φωνῇ. καὶ οὕτω κατευνάσθη ἡ περὶ τούτου τῶν τε μοναχῶν καὶ τοῦ Μερμεντούλου στάσις.

κατὰ τοῦτον τὸν χρόνον ἑορτῆς ἀγομένης τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, ἐν τῇ ἐννάτῃ τοῦ Μαρτίου μηνός, μέλλων ὁ βασιλεὺς εἰς | προσκύνησιν ἀπελθεῖν τῶν ἁγίων δημοσίᾳ προόδῳ κατεστασιάσθη παρὰ τοῦ δήμου. ἐξελθόντος γὰρ τούτου πεζῇ μετὰ πολλῆς δορυφορίας ἀπὸ τοῦ παλατίου καὶ εὐφημίας, καὶ τὸν ἐν τῇ Χαλκῇ καταλαβόντος ναὸν τοῦ σωτῆρος, καὶ μέλλοντος ἐκεῖθεν ἐξιππάσασθαι καὶ πρὸς τὸν τῶν μαρτύρων ἀφικέσθαι σηκόν, ἐξαίφνης ἐξηχήθη φωνὴ ἀπὸ μέσου τοῦ πλήθους· 'ἡμεῖς τὴν Σκλήραιναν βασίλισσαν οὐ θέλομεν, οὐδὲ δι' αὐτὴν αἱ μάνναι ἡμῶν αἱ πορφυρογέννητοι Ζωή τε καὶ Θεοδώρα θανοῦνται.' καὶ εὐθὺς συνεχύθη τὰ πάντα, καὶ ταραχὴ κατέσχε τὸ πλῆθος, καὶ ἐζήτει τὸν βασιλέα διαχειρίσασθαι. καὶ εἰ μὴ τάχιον αἱ βασιλίδες προκύψασαι ἄνωθεν κατεστόρεσαν τὸ πλῆθος, ἀπωλώλεισαν ἂν οὐκ ὀλίγοι, ἴσως δὲ καὶ αὐτὸς ὁ βασιλεύς. κατευνασθείσης δὲ τῆς ταραχῆς ὑπέστρεψεν εἰς τὰ βασίλεια, τὴν ἐς τοὺς μάρτυρας ἄφιξιν παραιτησάμενος.

παλλακευομένης γὰρ τῆς θυγατρὸς τοῦ Σκληροῦ τῷ βασιλεῖ οὐκ ὀλίγος ἦν γογγυσμὸς τοῦ τε δήμου καὶ τῆς συγκλήτου καὶ τῶν ἀδελφῶν καὶ δεσποινῶν. ὃν καὶ ὁ τηνικαῦτα ἐν μοναχοῖς διαπρέπων ὁ οὕτω Στηθάτος λεγόμενος ἐκώλυε μέν, ἤνυε δὲ οὐδέν. πάντῃ γὰρ ἥττητο τῆς ὥρας αὐτῆς ὁ βασιλεύς. ἦν δὲ ὁ Στηθάτος οὗτος ἀρετῆς εἰς ἄκραν ἐπιμελούμενος καὶ νηστείᾳ καὶ σκληραγωγίᾳ καὶ πάσῃ ἄλλῃ ἀρετῇ ἐντήκων τὸ σῶμα ἑαυτοῦ, ὡς καί ποτε τεσσαράκοντα ἡμέρας ἄσιτος διατελέσαι, μηδενὸς τὸ παράπαν ἐν τῷ μέσῳ γευσάμενος.

52 a. 1044 58 Constantinopolim non multum post diem 12. mens. Iun. a. 1042 vocata erat

---

ACEVBMN DH 43 ἐλλογιμ. ἅπαν A 44 τῶν Στουδίων B ἡγουμένου C Μιχαήλ — ἐπώνυμον: Μιχαὴλ τὸν Μερμέντουλον B 45 ἐξέβαλεν B 46 δὲ — διανήγγειλε: ὁ δὲ Μερμέντουλος τῷ βασιλεῖ τὸ γεγονὸς ἀνήγγειλε B 47 ἀνεγνώσθησαν B 49 μεγάλῃ om. B 49/50 καὶ οὕτω — στάσις om. B 49 κατηυνάσθη A 50 στάσις: ἔνστασις U 52 ἐν om. B θ' BU 53 ἀπελθεῖν post 52 βασιλεὺς M 55 καὶ εὐφημίας ante ἀπὸ A 56 τοῦ σωτῆρος ναόν ACE τὸν om. C 57 σηκόν: ναὸν B ἐξεχύθη U 57/58 ἀπὸ — πλήθους (μέσου post 58 πλήθους U) VBMNU: om. ACE 59 μάνναι: μητέρες A τε om. MNUDH Glyc. 595, 20 60/61 καὶ ταραχὴ — διαχειρίσασθαι om. U 60 ἐζήτουν CE 62 ἀπωλώλεισαν ἄν: ἀπώλεσαν οὖν B 63 αὐτὸς om. B 64 ἐς ACEV: εἰς BMNUDH τῶν μαρτύρων H παραιτησάμενος ἄφιξιν AB 65—71 interpol. ACE (E i. m.) U 65 παλλακευομένης: παραγκαλιζομένης A ὁ ante γογγυσμὸς add. E 68 ἄκραν AC: ἄκρον E: ἄγαν U 69/70 σκληραγωγίᾳ — ἑαυτοῦ: πάσῃ σκληραγωγίᾳ τὸ ἴδιον σῶμα ἐντήκων A 69 ἐκτήκων C 70 ἄσιτον U τὸ παράπαν: μηδόλως A

8. Ἰνδικτιῶνος δὲ τρισκαιδεκάτης ὁ κατὰ τοῦ Ἀνίου ἀρχὴν ἐλάμβανε πόλεμος. ἀλλὰ ῥητέον ἄνωθεν, πῶς καὶ διὰ τίνα τρόπον ἡσυχίαν ἄγοντι τῷ τοῦ Ἀνίου τοπάρχῃ καὶ μηδὲν ἀπαίσιον διαπραττομένῳ Κωνσταντῖνος ὁ βασιλεὺς πολεμεῖν ἐπεχείρησεν. ὅτε Γεώργιος ὁ τῶν Ἰβήρων | ἀρχηγὸς ὅπλα κατὰ Ῥωμαίων ἐκίνησε, συμμαχῶν ἦν αὐτῷ καὶ Ἰωβανεσίκης ὁ τῆς τοῦ Ἀνίου κυριεύων χώρας. ἐπεί δ', ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται, Βασίλειος ὁ βασιλεὺς ἀνελθὼν ἐν Ἰβηρίᾳ παρατάξεσιν ἠγωνίσατο κατὰ τοῦ Γεωργίου καὶ τοῦτον ἐτρέψατο καὶ συνέτριψε, φοβηθεὶς ὁ Ἰωβανεσίκης, μή πως ὁ βασιλεὺς μηνιῶν διὰ τὴν συμμαχίαν ἀνήκεστόν τι εἰς αὐτὸν διαπράξηται, τὰς κλεῖς τῆς πόλεως εἰληφὼς αὐτομολεῖ πρὸς τὸν βασιλέα, καὶ ἑαυτόν τε ἐγχειρίζει ἐθελοντὴς καὶ τὰς κλεῖς παραδίδωσιν. ὁ δὲ τῆς συνέσεως τοῦτον ἀποδεξάμενος μάγιστρόν τε τιμᾷ καὶ ἄρχοντα διὰ βίου Ἀνίου καὶ τῆς λεγομένης μεγάλης Ἀρμενίας προβάλλεται, ἔγγραφον ἀπαιτήσας ἀπ' αὐτοῦ γραμματεῖον, ὡς μετὰ τὴν αὐτοῦ τελευτὴν ἐπανήξει πᾶσα ἡ τοιαύτη ἀρχὴ ἐς τὰ δίκαια αὐτοῦ καὶ μέρος ἔσεται τῆς τῶν Ῥωμαίων ἀρχῆς. ἐγένετο ταῦτα. καὶ θνήσκει μὲν ὁ βασιλεύς, θνήσκει δὲ μετὰ χρόνους ἱκανοὺς καὶ ὁ Ἰωβανεσίκης· καὶ θανόντος αὐτοῦ Κακίκιος ὁ τούτου υἱὸς διαδεξάμενος τὴν ἀρχὴν εἰρήνην μὲν διετήρει πρὸς Ῥωμαίους καὶ ὁμαιχμίαν, κατεῖχε μέντοι τὴν πατρῴαν ἀρχήν, καὶ ἀποδοῦναι Ῥωμαίοις οὐκ ἤθελεν, ὡς τὸ πατρικὸν ἐβούλετο γραμματεῖον. εὑρὼν οὖν ἐν τοῖς ἀνακτόροις τὸ γραμματεῖον ὁ Μονομάχος ἀπῄτει καὶ τὸ Ἀνίον καὶ τὴν πᾶσαν μεγάλην Ἀρμενίαν ὡς Βασιλείου τοῦ βασιλέως διάδοχος. τοῦ δὲ δοῦλον μὲν ἑαυτὸν ἀνομολογοῦντος Ῥωμαίων, ἀποστῆναι δὲ τῆς πατρῴας ἀρχῆς μὴ ἐθέλοντος, πολεμητέον ἐδόκει τῷ βασιλεῖ. καὶ δὴ στρατὸν ἀγείρας καὶ Μιχαὴλ βέστῃ τῷ Ἰασσίτῃ |

72 a. 1044/1045 75/76 a. 1021/1022 83 vere a. 1022 89 a. 1040
92 aestate fere a. 1045

cap. 8: Zon. III, 625, 3—631, 5; Glyc. 596,4—597, 4

ACEVBMNU DH 72 δὲ om. E ιγ' CEU Ἀννίου A 73 τίνα: ποῖον U ἄγοντος C 74 διαπραττομένῳ ACEVBN: διαπραττομένου U: πραττομένῳ M 75 Ἰβήρων ACEB: Βουλγάρων VB (i. m.): Ἀβασγῶν MNUDH 76 Ἰωβανεσίκης ACVMNU: Ἰωβενεσίκης E: ὁ Ἰβανεσίκης B 77 Ἀννίου A δέ DH 78 παρατάξεσιν om. B 79 ὁ om. AU 80 Ἰωβανεσίκης ACVMNU: Ἰωβενεσίκης E: Ἰβανεσίκης B μηνιῶν: ἐγκοτῶν A 81 διαπράξηται εἰς αὐτόν B 82 τε om. B 83 τε post συνέσεώς add. E τε om. A τοῦτον ante τιμᾷ add. CE 84 Ἀννίου A λεγομένης om. U 85 αὐτοῦ alt. om. M 86 πᾶσα ante ἀρχὴ U εἰς BMNUDH 87 ἔσται U τῆς — ἀρχῆς ACEVB: τῆς Ῥωμαϊκῆς MNDH: τοῖς Ῥωμαϊκοῖς U βασιλεύς: βασιλ C 88 καὶ ante μετὰ add. B ὁ om. ACE Ἰωβανεσίκης ACVMNU: Ἰωβενεσίκης E: Ἰβανεσίκης B θανέντος B 89 δεξάμενος B τὴν ἀρχὴν διαδεξάμενος A 90 τοὺς ante Ῥωμαίους add. ACE 91 ἠβούλετο BU 92 τοῖς ἀνακτόροις: τῷ παλατίῳ U καὶ ante τὸ add. B 93 Ἀννίον A 94 διάδοχον B ἀνομολογοῦντα A Ῥωμαίων om. ACE 95 ἐθέλοντος CEVBNU: θέλοντος M: ἐθέλοντα A 1 Ἰασσίτῃ CEV: Ἰασίτῃ ABMNDH: Ἰασήτῃ U

ἐγχειρίσας, ἄρχοντι φθάσαντι προβληθῆναι τῆς Ἰβηρίας, πολεμεῖν ἐπεσκόπει τῷ Κακικίῳ. ὁ δὲ ἀπελθών, καθ' ὅσον οἷόν τ' ἦν, ἔσπευδεν ἐκπληροῦν τὰ προστεταγμένα. ὅπερ γνοὺς ὁ Κακίκιος, καὶ ὅτι ἀντὶ φίλου καὶ συμμάχου πολέμιος κέκριται, καὶ αὐτὸς τὰς αὐτοῦ δυνάμεις ἀγηοχὼς κατὰ τὸ ἐγχωροῦν τοὺς ἐπιόντας ἠμύνετο. κακῶς δὲ φερομένων τῶν πραγμάτων τῷ Ἰασσίτῃ, πέμπεται καὶ Νικόλαος πρόεδρος καὶ δομέστικος τῶν σχολῶν, ὁ τοῦ βασιλέως Κωνσταντίνου παρακοιμώμενος, μετὰ βαρείας χειρός, ὥστε τῷ πλήθει καὶ τῇ δυνάμει καταγωνίσασθαι τὸν Κακίκιον. στέλλονται δὲ γράμματα βασιλέως πρὸς Ἀπλησφάρην τὸν ἄρχοντα τοῦ Τιβίου καὶ τῆς περὶ τὸν Ἀράξην ποταμὸν Περσαρμενίας, παρακαλοῦντα τοῦτον κατὰ τὸ δυνατὸν δῃοῦν τὴν μεγάλην Ἀρμενίαν καὶ τὴν ὑποκειμένην χώραν τῷ Κακικίῳ. ἀπελθὼν οὖν ὁ Νικόλαος ἐκεῖνος μὲν ἔργου εἴχετο, τὰ δὲ γράμματα πέμπει πρὸς τὸν Ἀπλησφάρην, γράψας καὶ αὐτὸς καὶ παροτρύνας καὶ δώροις καὶ ὑποσχέσεσιν ἐρεθίσας ἐνεργοὺς θέσθαι τὰς βουλήσεις τοῦ βασιλέως. ὁ δὲ τὰ γράμματα δεξάμενος ἀμείβεται ἐπιτελῆ ποιῆσαι τὰ κεκελευσμένα, εἰ γράμμα πεμφθείη τούτῳ βασιλικὸν ἀσφάλειαν παρέχον αὐτῷ πάντα ἔχειν ἐν βεβαίῳ δεσποτικῶς τὰ φρούρια καὶ χωρία, ὅσαπερ ἰσχύσειε νόμῳ πολέμου κτήσασθαι ἀπὸ τῶν διαφερόντων τῷ Κακικίῳ. ἐδέξατο τὸν λόγον ὁ βασιλεύς, καὶ χρυσοβούλλοις γραφαῖς ἐπιβεβαιοῖ, ὅσα ὁ Ἀπλησφάρης ᾐτήσατο. καὶ δεξάμενος οὗτος τὰ γράμματα ἔργου ἥπτετο, καὶ | πολλὰ τῶν τοῦ Κακικίου ἐκπολιορκήσας κατέσχεν ὀχυρώματα καὶ χωρία. ὁ δὲ Κακίκιος ὑπό τε τῆς Ῥωμαϊκῆς δυνάμεως πολεμούμενος ὑπό τε τοῦ ἄρχοντος τοῦ Τιβίου λεηλατούμενος, καὶ τοῖς πᾶσιν ἀπεγνωκώς, σπένδεται πρὸς τὸν παρακοιμώμενον καὶ προσχωρεῖ τῷ βασιλεῖ δι' αὐτοῦ,

10 aestate fere a. 1045 **21** aestate fere a. 1045 **26** a. 1045

ACEVBMN DH **2** ἄρχοντι φθάσαντι VBMNU: ἄρχοντα προφθάσαντα A: ἄρχοντα φήσαντα C: ἄρχοντα φθάσαντα E **3** ἐπεσκόπει MN: ἐσκόπει ACEV: ἐπισκήπτει BU τ' ἦν ACEVN: τε ἦν BM: τηναῖς U **4** ἀντὶ om. E **5** αὐτοῦ om. U **6** ἐπιφερομένων B **7** τῷ om. U Ἰασίτῃ ABMNU πέμπεται: ἀποστέλλεται A **7/8** πέμπεται — σχολῶν om. M **7** Νικόλαος: Νικήτας U **9** Νικόλαος πρόεδρος πέμπεται δομέστικος τῶν σχολῶν post χειρὸς add. M τῷ — δυνάμει VBMNU: πλήθει τε καὶ δυνάμει ACE καταγωνίσεσθαι A **10** καὶ ante γράμματα add. B τοῦ ante βασιλέως add. A Ἀπλησφάρην CEVN: Ἀπλεσφάρην AB: Ἀπλεσφάραν U: Ἀπλησφάριν M: Ἀπλησφαρ' D: Ἀπλεσφαρὰν H **11** καὶ om. U Ἀράξην ACEVBUD: Ἀράξιν MNH **12** δῃοῦντα EM **14** Ἀπλησφάρην CEVMND: Ἀπλεσφάρην AB: Ἀπλεσφάραν U: Ἀπλεσφαράν H **16** τὰς — βασιλέως: τὰς βασιλέως βουλήσεις ACE **17** ποιεῖν A γράμματα B **18** βασιλικὰ B ἀσφάλειαν: ἀσφαλῶς E παρέχον αὐτῷ: παρέχοντα B **18/19** ἐν — δεσποτικῶς: δεσπ. ἐν βεβαίῳ U **19** δεσποτικῷ AE τὰ ante χωρία add. B ἰσχύσει B πολέμου: πολέμῳ M **21** χρυσοβούλλοις: χρυσοβουλλίῳ M ὁ om. B Ἀπλεσφάρης ABU ὑπέσχετο καὶ post Ἀπλησφ. add. U **22** καὶ δεξάμενος: δεξάμενος δὲ B οὗτος om. U τὸ γράμμα ANUDH **23** τοῦ om. B ἐκπολιορκήσας MNU: ἐκπορθήσας B: ἐκπληρώσας CEV: om. A καὶ φρούρια post ὀχυρώματα add. A **25** τοῦ Τιβίου: Ἀντιβίου U **26** αὐτοῦ: ἑαυτοῦ A

παραδοὺς τὴν πόλιν. καὶ ὁ μὲν ἐς τὸν βασιλέα ἐλθὼν καὶ μάγιστρος τιμηθείς, καὶ χωρία πολυπρόσοδα κατά τε Καππαδοκίαν καὶ τὸν Χαρσιανὸν καὶ τὸν Λικανδὸν εἰληφώς, εἰρηνικὸν καὶ ἀτάραχον τὸ ἀπὸ τοῦδε ἔζη βίον. ὁ δὲ Μονομάχος τὰ ἐκπολιορκηθέντα φρούρια παρὰ τοῦ Τιβιώτου καὶ χωρία ὡς μέρη τοῦ Ἀνίου ἐπιζητῶν, ἐπεὶ ἐκεῖνος ἑκών γε εἶναι οὐ μεθίετο τούτων, ἀλλ' ἀντείχετο τῆς χρυσοβούλλου γραφῆς, ἀναιρεῖται πόλεμον πρὸς αὐτόν, καὶ πάλιν προστάττει τῷ παρακοιμωμένῳ μετά τε τῆς Ῥωμαϊκῆς χειρὸς τοῦ τε Ἰβηρικοῦ στρατοῦ καὶ τῆς ἐν τῇ μεγάλῃ Ἀρμενίᾳ δυνάμεως, ἧς κατῆρχεν ὁ Ἀνιώτης, τῷ Ἀπλησφάρῃ πολεμεῖν. πάσας οὖν οὗτος ἠθροικὼς τὰς δυνάμεις, καὶ ἄρχοντα αὐταῖς ἐπιστήσας Μιχαὴλ βεστάρχην τὸν Ἰασσίτην καὶ τὸν ἑαυτοῦ δοῦλον Κωνσταντῖνον μάγιστρον τὸν Ἀλανόν, κατὰ τοῦ Τιβίου ἐκπέμπει. ὁ δὲ Ἀπλησφάρης στρατηγικώτατος ἄνθρωπος ὤν, εἴπερ τις ἄλλος, καὶ ἔργα πολεμικὰ καὶ βουλὰς ἐχθρῶν διασκεδάσαι δυνάμενος, πρὸς μὲν τὴν Ῥωμαϊκὴν δύναμιν εἰδὼς ἑαυτὸν μὴ ἀξιόχρεων οὐκ ἀντιπαρετάξατο, εἴσω δὲ τειχῶν συγκλείσας ἑαυτὸν καὶ τὸν παραρρέοντα μετοχετεύσας ποταμόν, καὶ πᾶσαν ἐπικλύσας τὴν πεδιάδα καὶ ἀποτελματώσας πηλώδη τε οὖσαν καὶ τεναγώδη, προσέμενε τὴν ἐπέλευσιν τῶν | ἐναντίων, παρασπείρας ἐν τοῖς κύκλωθεν τῆς πόλεως οὖσιν ἀμπελῶσι τοξότας πεζούς, καὶ κρύπτεσθαι καὶ προσμένειν κελεύσας, ἄχρις ἂν αὐτὸς τῇ σάλπιγγι ἐπισημήνηται τὸ ἐνυάλιον. οἱ δὲ τῶν Ῥωμαίων ἄρχοντες τόν τε εἰς τὴν πόλιν συγκλεισμὸν καὶ τὴν τῆς πεδιάδος ἐπίκλυσιν δειλίας ἔργον καὶ ἀπογνώσεως κρίναντες, ἄτακτοι καὶ σποράδην ἄλλοι μὲν τοὺς ἵππους ἀποβάντες, ἄλλοι δὲ καὶ ἔφιπποι, ὥς πῃ ἕκαστος ἐβούλετο, πρὸς τὴν πόλιν ἔτρεχον, ὡς αὐτοβοεὶ ταύτην αἱρήσοντες. ἐπεὶ δὲ ἔνδον ἐγένοντο τῶν ἐν μέσῳ τῶν ἀμπελώνων ὁδῶν καὶ ἄχρι τῆς πόλεως ἔφθασαν, τότε δὴ τῇ σάλπιγγι σημήνας ὁ Ἀπλησφάρης ἔργου ἐκέλευσεν ἔχεσθαι, καὶ

29/30 Cacicius a. 1079 mortuus est

ACEVBMNU DH **27** ἐς ACEVMND: εἰς BUH τὸν βασιλέα: τὰ βασίλεια B **28** τὸν: τὸ B **29** τὸν: τὸ AEB Λικανδὸν: Λιβανδὸν A τὸ ACVBNU: τὸν EM **30** ἔζη (post **29** ἀτάρ. A) ACEVB: ἔζησε MNUDH **31** καὶ χωρία post **30** φρούρια U Ἀννίου A **31/32** ἐκεῖνος — εἶναι ACEVB: ἑκών γε ἐκεῖνος εἶναι MN: ἑκών γε ἐκεῖνος UH: ἐκεῖνος εἶναι D **32** οὐ μεθίετο: οὐκ ἀφίστατο A **33** πόλεμον πρὸς αὐτόν VBMNU: πρὸς αὐτὸν πόλεμον ACE **34** τε pr. om. B **35** τῇ om. U κατῆρχεν: κατεῖχεν CM Ἀννιώτης A Ἀπλησφάρῃ CEVMN: Ἀπλεσφάρῃ A: Ἀπλεσφάρει B: Ἀπλεσφάρᾳ U: Ἀπλησφάρῳ D **36** οὗτος om. B ἠθροικὼς τὰς δυνάμεις VMNU: τὰς δυν. ἠθρ. ACEB **37** Ἰασίτην ABMNUD ἑαυτοῦ: αὐτοῦ U **39** Ἀπλεσφάρης ABU **40** ἐχθρῶν VBMN: ἐθνῶν ACEU **41** ἑαυτὸν: αὐτὸν B ἀξιόχρεων VBMNU: ἀξιόλογον ACE ἀντεπαρετάξατο CVU **42** δὲ om. U **42/43** ποταμὸν μετοχετεύσας C **44** τεναγώδη ACEMN: τεγανώδη V: στεγανώδη U: δύσβατον B **45** τῆς πόλεως om. A **46** καὶ pr. om. U **47** ἐπισημήνηται ACEV: ἐπισημήνῃ MNUDH: σημήνῃ B **49** ἄτακτοι BMNU: ἄπρακτοι ACEV **50** ἠβούλετο CE **51** ἔτρεχεν N **53** Ἀπλεσφάρης ABU ἐκέλευεν U

ἐξαναστάντες ἀπὸ τῶν λόχων οἱ πεζοὶ οἱ μὲν τόξοις, οἱ δὲ λίθοις ἔβαλλον, ἄλλοι δὲ ἐτίτρωσκον ἀπὸ τῶν θριγγῶν, τῶν Ῥωμαίων κωλυομένων ὑπὸ τούτων τοὺς πολεμίους ἀμύνασθαι. γίνεται οὖν τροπὴ μεγάλη, καὶ σφάζεται Ῥωμαίων ἄπειρον πλῆθος, φυγεῖν μὴ δυναμένων τῶν ἵππων, ἀλλ' ἐμπιπτόντων εἰς τὸν πηλὸν καὶ τὰ τέλματα. μόλις οὖν διασωθεὶς ὁ Ἰασσίτης σὺν τῷ Κωνσταντίνῳ ἐν τῷ Ἀνίῳ αὐτάγγελοι τῆς συμφορᾶς τῷ Νικολάῳ γεγόνασιν. ἀγγελθέντος δὲ τοῦ συμβάντος ἀτυχήματος τῷ βασιλεῖ, ὁ μὲν Νικόλαος καὶ ὁ Ἰασσίτης ἀφαιροῦνται τὰς ἀρχάς, προχειρίζονται δὲ ἀντὶ μὲν τοῦ Ἰασσίτου δοὺξ Ἰβηρίας ὁ Κεκαυμένος, ἀντὶ δὲ τοῦ Νικολάου στρατηγὸς αὐτοκράτωρ Κωνσταντῖνος ὁ τῆς μεγάλης ἑταιρείας ἄρχων, εὐνοῦχος ἄνθρωπος, ἐκ Σαρακηνῶν ἕλκων τὸ γένος καὶ τῷ βασιλεῖ ὑπηρετήσας πρὸ τῆς βασιλείας καὶ πίστιν | τηρῶν ἐς αὐτόν· οἳ δὴ καὶ κατὰ χώραν γενόμενοι καὶ τὰς δυνάμεις συνηθροικότες ἔργου εἴχοντο. καὶ τῇ μὲν πόλει τοῦ Τιβίου, ἥτις ἦν τοῦ παντὸς ἔθνους μητρόπολις, προσβαλεῖν οὐκ ἠθέλησαν, ἀπεπειρῶντο δὲ τῶν λοιπῶν φρουρίων, τῶν ὅσα τῷ Ἀνίῳ ὑπέκειντο. καὶ αἱροῦσι μὲν τὴν Ἁγίαν Μαρίαν καὶ τὸ λεγόμενον Ἀμπίερ καὶ τὸν Ἅγιον Γρηγόριον, λίαν ἐρυμνὰ καὶ ἀπόκρημνα ὀχυρώματα, τοῦ Ἀπλησφάρη πολλάκις ἐπιχειρήσαντος βοηθῆσαι αὐτοῖς πολιορκουμένοις, καὶ τοσαυτάκις ἡττηθέντος. ἔρχονται δὲ καὶ ἐπὶ τὸ φρούριον τὸ καλούμενον Χελιδόνιον, ἐπὶ βουνοῦ τε ἀποκρήμνου ἱδρυμένον καὶ οὐ πόρρω κείμενον τοῦ Τιβίου· καὶ κυκλωσάμενοι τοῦτο τάφροις καὶ χάραξι διὰ προσεδρείας ἠπείγοντο παραστήσεσθαι. καὶ γὰρ δὴ καὶ ἐσπάνιζον τῶν ἀναγκαίων οἱ εἴσω τείχους, μὴ φθάσαντες εἰσκομίσασθαι τὰ ἐπιτήδεια διὰ τὸ τῆς προσβολῆς ὀξύρροπον. καὶ παρεστήσαντο ἂν καὶ τοῦτο, εἰ μὴ αἰφνιδίως ἡ τοῦ πατρικίου Λέοντος τοῦ Τορνικίου ἐξ ἑσπέρας ἀνήφθη ἀποστασία. οὗτος γὰρ στρατηγῶν ἐν Ἰβηρίᾳ καὶ διαβληθεὶς ὡς τυραννιῶν τῆς ἀρχῆς παραστέλλεται καὶ

79 a. 1047

ACEVBMNU DH 54 καὶ post πεζοὶ add. CE 55 θριγγῶν ACEVBND: θριγκῶν MUH 56 ἀμύνεσθαι CB 57 σφάττεται B ἄπειρον om. ACE 59 Ἰασίτης ABMNUD ἐν τῷ Ἀνίῳ om. B 60 γεγόνασιν: γίνονται A συμβάντος VBMNU: γεγονότος ACE 61 Ἰασίτης ABMNUD 62 Ἰασσίτου CEV: Ἰασίτου ABMNU: Ἰασιτ' D τοῦ alt. om. ACE 65 ὑπηρετήσας (post βασιλείας B) AEVBMNU: ὑπηρετῆσαι C ἐς VMND: εἰς ACBUH: πρὸς E οἳ: οἷς U 67 ἔθνους ACEVBUD: γένους MN 71 ὀχυρώματα post 70 ἐρυμνὰ B τοῦ: καὶ B Ἀπλησφάρη CEV: Ἀπλεσφὰρ A: Ἀπλεσφαρ' U: Ἀπλεσφάρη B: Ἀπλησφάρου MN: Ἀπλησφάρης D 72 δὲ om. U καὶ om. ACE 73 καλούμενον: λεγόμενον B καὶ ante ἀποκρήμνου add. B ἀποκρήμνου BMNU: ἀκρήμνου ACEV 75 παραστήσεσθαι ACEVU: παραστήσασθαι BMNDH 76 καὶ om. U οἱ om. B 77 εἰσκομίσεσθαι U 78 παρέστησαν U 79 τοῦ – ἀποστασία: ἀποστασία τοῦ Τορνίκη ἀνήφθη A 79 Τορνικίου VMNUD: Τορνίκη ACEBH ἐξ ἑσπέρας om. ACE στρατηγῶν: ὢν, post 80 Ἰβηρίᾳ U 80 τε ante ἀρχῆς add. MNUDH παραστέλλεται VBMNU: παραλύεται ACE

μοναχὸς ἀποκείρεται, καὶ εἰς τὴν πόλιν ἀχθεὶς οἴκοι μένειν ἐν Ἀδριανουπόλει προστάττεται. μὴ ἐνεγκὼν δὲ εὐφόρως τὰ εἰς αὐτὸν γεγονότα ἀνιαρά, λάθρᾳ καὶ κατὰ μικρὸν τοὺς ἐν Ἀδριανουπόλει πρότερον ὑποποιεῖται στρατηγούς, ὁπόσοι ἔτυχον ὄντες παρεωραμένοι καὶ ἄπρακτοι· διὰ δὲ τούτων καὶ τῶν αὐτοῦ συγγενῶν ὑποφθείρας καὶ τοὺς ὅσοι τῶν Μακεδονικῶν ἦρχον ταγμάτων καὶ | Θρᾳκικῶν, καὶ τοὺς ὅσοι ἐσχόλαζον στρατιώτας, καὶ τοὺς ὅσοι ταῖς λεηλασίαις καὶ διαρπαγαῖς ἔχαιρον, καὶ χεῖρα ἱκανὴν συστησάμενος ἀναγορεύεται βασιλεύς, καὶ ἅπαντα τὸν ὑπ' αὐτὸν ἀγείρας λαὸν ὀξὺς ἐπιφαίνεται τῇ βασιλίδι, τοῦ βασιλέως μήτε λαὸν ἱκανὸν ἔχοντος πρὸς ἀντιπαράταξιν, μήτε πιστεύοντος τοῖς πολίταις ὡς εὔνοιαν καὶ πίστιν φυλάξουσιν εἰς αὐτόν. καὶ διὰ τοῦτο ἄγγελος εἰς τὸν Κωνσταντῖνον ἐν Ἰβηρίᾳ πέμπεται δημοσίοις ἔποχος ἵπποις μετὰ γραμμάτων βασιλικῶν κελευόντων τῶν ἐν χερσὶν ἀμελήσαντα ἔργων ἀφικέσθαι ὡς τάχος μετὰ τῶν δυνάμεων ἐς τὴν βασιλίδα. δεξάμενος δ' οὗτος τὰ γράμματα, καίτοι ἐν χεροῖν ἔχων τὸ φρούριον, λύει μὲν τὴν πολιορκίαν, σπένδεται δὲ τῷ Ἀπλησφάρῃ, ἀσφαλισάμενος αὐτὸν ἀραῖς καὶ ὅρκοις, ὡς εὔνοιαν διαφυλάξει τῷ βασιλεῖ καὶ οὐδέποτε μελετήσει φαῦλον κατὰ Ῥωμαίων. οὕτω δὲ πράξας καὶ τὰς δυνάμεις ἀναλαβὼν σπουδαίως ἠπείγετο πρὸς τὴν βασιλίδα. καὶ τὸ μὲν Χελιδόνιον τοῦτον τὸν τρόπον διαδιδράσκει τὴν ἅλωσιν. ὁ δὲ Κωνσταντῖνος μετὰ τῶν ἑῴων ταγμάτων καὶ παντὸς τοῦ στρατοῦ κατελθών, αὐτὸς μὲν εἴσεισιν εἰς τὴν βασιλίδα, τὸ δὲ πλῆθος ἅπαν περαιοῦται προστάξει τοῦ βασιλέως εἰς Θρᾴκην, τὸ μὲν κατὰ τὴν ἀντίπορθμον τῇ βασιλίδι Χρυσόπολιν, τὸ δὲ κατὰ τὴν τοῦ Ἑλλησπόντου Ἄβυδον. ἀλλὰ τοῦτο μὲν ὕστερον· πρὶν ἢ δὲ τὰς δυνάμεις ἐλθεῖν, ὁ Τορνίκιος κατὰ τὸν Σεπτέμβριον μῆνα, τῆς πρώτης ἰνδικτιῶνος, βασι|λεύς, ὡς ἐλέχθη, ἀναρρηθεὶς θᾶττον ἢ λόγος τὴν βασιλίδα καταλαμβάνει, ἐλπίζων αὐτοβοεὶ ταύτην αἱρήσειν διὰ τὸ μὴ εὐπορεῖν τὸν βασιλέα δυνάμεων. καὶ χάρακα πηξά-

92 mense Sept. fere a. 1047 **10/11** a. 1047

ACEVBMNU DH **81/82** καὶ εἰς — παρατάττεται om. MNUDH Glyc. 596, 18 **84** ὄντες om. B **85** τούτων: τῶν τοιούτων A αὐτοῦ: αὐτῶν U τῶν alt. om. AMNUDH **86** Μακεδονικῶν — ὅσοι om. A Θρᾳκικῆς C **87** στρατιῶται U ταῖς ante διαρπαγαῖς (ἁρπαγαῖς B) add. BU **89** ἀναγείρας M τῶν πόλεων post βασιλίδι add. B **90** ἔχοντα B ἔχοντος post ἀντιπαράταξιν ACE **91** φυλάξουσιν post ὡς ACE τοῦτο: ταῦτα A **92** εἰς MNU: ἐς V: πρὸς ACEB ἐκπέμπεται B **93** ἀμελήσαντα AVBMNU: ἀμελησάντων E: ἀμελήσαντες C **94** μετὰ — βασιλίδα: ἐς τὴν βασ. μετὰ δυν. A τῶν om. AE εἰς BU **95** δ' VBMN: δὲ ACE: οὖν U χερσὶν A **1** δὲ: μὲν M Ἀπλεσφάρῃ ABU **2** φυλάξει BU τῷ βασ. διαφυλ. A **3** φαῦλον μελετήσοι U φλαῦρον M πράξαν U **4** σπουδαῖος M **8** τοῦ βασιλέως: βασιλικῇ U **9** τοῦ Ἑλλησπόντου CEVB: ἐν τῷ (τῷ om. A) Ἑλλησπόντῳ AMNU: Ἑλλησπόντῳ D τοῦτο: ταῦτα B **10** ἢ om. B δὲ om. VMNDH **10/11** κατὰ — ἰνδικτιῶνος: κατὰ τὴν πρώτην ἰνδικτιῶνα, Σεπτεμβρίῳ μηνί A **11** α' CN: ια' U ἐλέχθη VBMNU: ἐρρέθη ACE **12** καταλαμβάνει τὴν βασιλίδα M

μενος καταντικρὺ τῶν Βλαχερνῶν, ἔγγιστα τῆς μονῆς τῶν ἁγίων Ἀναργύρων, πρότερον μὲν λόγοις καὶ ὑποσχέσεσιν ἀπεπειρᾶτο τῶν πολιτῶν, μηδενὸς δὲ προσέχοντος αὐτῷ ἤδη καὶ ἔργου ἥπτετο. καὶ αὐτὸς δὲ ὁ βασιλεὺς διά τε τῶν πολιτῶν καὶ τῶν παρευρεθέντων κατὰ τύχην στρατιωτῶν ἀντεπαρετάττετο, τοὺς πολίτας μὲν καὶ τὸν δῆμον τάξας ἐπὶ τοῦ τείχους· τοὺς δὲ παρατυχόντας στρατιώτας καὶ ἄλλους τινάς, ὅσους οἱ τῆς συγκλήτου ἄρχοντες κελεύσει τούτου καθώπλισαν, μὴ πλέον τῶν χιλίων ὄντας, ἐξαγαγὼν τοῦ τείχους διὰ τῶν ἐν Βλαχέρναις πυλῶν ἀντιμετώπους ἔστησε τῷ τυράννῳ, τάφρον τινὰ προστησάμενος εἰς κώλυμα τῶν ἐπιόντων, δέον εἴσω πυλῶν ἐπέχειν καὶ ἀπὸ τῶν τειχῶν τοὺς ἐπιόντας ἀμύνεσθαι, πολλὰ τοῦ μαγίστρου Ἀργυροῦ τοῦ Ἰταλοῦ ποτνιωμένου καὶ παρακαλοῦντος εἴσω μένειν καὶ μὴ ἐξάλλεσθαι, μηδὲ θέλειν λαῷ συμπλέκεσθαι μαινομένῳ καὶ ὀργῶντι καὶ στρατιωτικαῖς μελέταις ἐνηθλημένῳ μετὰ στρατιωτῶν ὀλιγοστῶν καὶ νεαλοῦς καὶ ἀπειροπολέμου λαοῦ. ἀλλὰ ταῦτα λέγων οὐκ ἔπειθεν· ἀντέκειτο γὰρ Κωνσταντῖνος ὁ τὴν ἐπωνυμίαν Λειχούδης, τὰ πρῶτα τότε παρὰ βασιλέως φέρων καὶ μέγα παρὰ τούτῳ δυνάμενος καὶ τῆς βουλῆς ταύτης ὑπάρχων πατήρ. ἐξελθόντων δὲ τούτων περὶ δείλην ὀψίαν, ὡς ἔγνω ὁ τύραννος, τὰς ἀμφ' αὐτὸν καθοπλίσας δυνάμεις ἔπεισι μετὰ ῥύμης μεγάλης, καὶ θᾶττον ἢ λόγος τὴν τάφρον διατεμὼν | τρέπεται τοὺς ἔνδον, ὧν οἱ μὲν ἁλίσκονται, οἱ δὲ φεύγοντες εἰς τὴν τῆς πόλεως τάφρον κατέπιπτον καὶ οἰκτρῶς ἀπώλλυντο. ἔφευγον δὲ καὶ ἀπὸ τοῦ τείχους κρημνιζόμενοι οἱ πολῖται, παραπλησίως καὶ οἱ πυλωροὶ τῶν ἐν Βλαχέρναις τειχῶν τὰς πύλας ἀναπετάσαντες. καὶ εἰ μὴ τύχη τις ἔσφηλε τῷ Τορνικίῳ τὰ πράγματα, εἰσῆλθεν ἂν ἀμογητὶ καὶ κύριος τῶν ἁπάντων ἐγένετο. ἄρτι δὲ διώξας ἄχρι τῆς παρὰ τῷ τείχει τάφρου ἐπέσχε τὸν διωγμόν, καὶ πάλιν ἀναθαρρήσαντες οἱ περὶ τὸν βασιλέα τάς τε πύλας κατέσχον καὶ τῆς φυλακῆς ἐπεμελήθησαν τῶν τειχῶν. τότε δὲ καὶ ὁ βασιλεὺς μικροῦ ἂν ἀπωλώλει διὰ τόξου βληθείς, εἰ μὴ θεὸς προφανῶς διεσώσατο, τοῦ οἰστοῦ

ACEVBMNU DH 14 τῆς μονῆς om. ACE 15 πρότερον: πρῶτον A 17/18 πολιτῶν — στρατιωτῶν: παρευρεθέντων κατὰ τύχην στρατιωτῶν καὶ τῶν πολιτῶν U 18 ἀντιπαρετάττετο ABU πολίτας μὲν ACEVB: μὲν πολίτας MNUDH 20 ὅσους οἱ ACE: ὅσοι VBMNUH: οὓς οἱ D καθώπλισε U μή: καὶ U 20/21 πλέον τῶν χιλίων: πλείονας χιλίων B 22 ἀντὶ μετώπου CE ἔστησαν C προστησάμενος: συστησάμενος B 24 ἀμύνασθαι V τοῦ Ἰταλοῦ om. B 25 μηδ' V 26 θέλειν ACEBU: ἐθέλειν V: θέλων MNDH 28 λαοῦ ante 27 νεαλοῦς MNUDH 29 βασιλεῖ ACBU 31 ὑπάρχων πατήρ: ἐξάρχων A 32 ἀμφ' αὐτὸν ACEMNU: ἀμφ' αὑτὸν V: περὶ αὐτὸν B 33 τὴν om. E 34 ἡλίσκοντο B τὸν τῆς πόλεως τράφον C 35 ἀπώλλυντο CEVB: ἀπωλλύοντο MN: ἀπώλοντο ADH: ἀπώλλοντο U 36 τειχῶν VBMNU: πυλῶν ACE 36/37 τὰς πύλας: ταύτας A 37 ἔσφαλε B 38 ἁπάντων: πραγμάτων U 39 παρά: περὶ CEB 40 τε om. A ἐπέσχον U 41 δέ: δὴ AU 42 ἀπωλώλει: ἀπώλετο A διὰ τόξου: τόξῳ A τοῦτον ante διεσώσατο add. U ἰοστοῦ C

ἐνεχθέντος εἴς τινος θεράποντος κάλυμμα κεφαλῆς στροβιλοειδές, ὅπερ καὶ τὸν ἔχοντα καὶ τὸν βασιλέα διεσώσατο. τοῦτον δὲ τὸν τρόπον ἐγγὺς τοῦ ἁλῶναι ἡ πόλις ἐλθοῦσα διεσώθη. ὁ δὲ ἀποστάτης ἐπί τινας ἡμέρας προσμείνας τῇ στρατοπεδείᾳ, ἐπειδὴ οἱ περὶ αὐτὸν κατὰ μικρὸν ὑπορρυέντες ηὐτομόλουν τῷ βασιλεῖ, πτοηθείς, μή πως οἱ πάντες καταλιπόντες αὐτὸν οἰχήσονται, ἢ καὶ κατασχόντες παραδῶσι τῷ βασιλεῖ, ἀναστὰς ἐκεῖθεν ὑπέστρεψεν ἐν Ἀρκαδιουπόλει. καὶ αὐτὸς μὲν σὺν Ἰωάννῃ τῷ Βατάτζῃ παρεμβολὴν πηξάμενος ἐκεῖσε προσέμενε, Θεόδωρον δὲ τὸν τὴν ἐπωνυμίαν Στραβομύτην καὶ τὸν λεγόμενον Πολὺν καὶ Μαριανὸν τὸν Βρανᾶν, ταγμάτων ἄρχοντας δυτικῶν, καθ' αἵματος κοινωνίαν αὐτῷ ἐγγίζοντας, εἰς πολιορκίαν ἐκπέμπει τῆς πόλεως Ῥαιδεστοῦ. ἔτυχον γὰρ αἱ μὲν ἄλλαι Μα|κεδονικαὶ καὶ Θρᾳκικαὶ πόλεις προσχωρήσασαι τούτῳ, αὕτη δὲ μόνη εὔνοιαν ἐτήρει τῷ βασιλεῖ σπουδῇ τοῦ ταύτης ἀρχιερέως καί τινος ἐγχωρίου δυνάστου τοῦ λεγομένου Βατάτζη, συγγενοῦς ὄντος τοῦ Τορνικίου. ὡς δ' ἀπελθόντες ἐκεῖνοι καὶ χρονοτριβοῦντες οὐδὲν ἤνυον, ἄρας καὶ αὐτὸς ἄπεισιν ἐκεῖσε μετὰ παντὸς τοῦ στρατοῦ, καὶ πᾶσαν προσβολὴν καὶ μηχανὴν ἐπαγαγὼν τῇ πόλει καὶ πάντοθεν ἀποκρουσθεὶς εὐψύχως τῶν ἔνδον ἀποκρουομένων τὰς μηχανὰς ὑπέστρεψε πάλιν ἐν Ἀρκαδιουπόλει, λύσας τὴν πολιορκίαν. ἄρτι δὲ καὶ τῶν ἑῴων στρατευμάτων διαπεραιωθέντων ἔκ τε Χρυσοπόλεως καὶ Ἀβύδου πρὸς Θρᾴκην, στρατηγὸν ἐπιστήσας αὐτοῖς ὁ βασιλεὺς Μιχαὴλ μάγιστρον τὸν Ἰασσίτην πέμπει κατὰ τοῦ ἀποστάτου. ἀθροίσας δ' οὗτος ὑφ' ἓν τὰς δυνάμεις καὶ παραστρατοπεδεύσας τοῖς ἀποστάταις μάχης μὲν οὐκ ἦρχεν, ἐκήδετο δὲ μᾶλλον τῶν ἀνηκόντων χωρίων τοῖς ἀποστάταις, καὶ τοῖς ἁλισκομένοις φιλανθρώπως ἐφέρετο, καὶ γράμματα λαθραίως ἔπεμπε πρὸς αὐτοὺς ἀμνηστίαν ἐπαγγελλόμενος κακῶν καὶ ἀγαθῶν δαψίλειαν. ἐπεὶ δὲ καὶ ὁ χειμὼν ἐπέστη καὶ τῶν ἀναγκαίων ἐσπάνιζον αὐτοί τε οἱ

ACEVBMNU DH 43 ἀνενεχθέντος A κεφαλῆς στροβιλοειδές ACEVB: στροβιλοειδὲς κεφαλῆς MNUDH 44 ἔχοντα — βασιλέα VBMNU: βασ. καὶ τὸν ἔχ. ACE 45/46 ὁ — προσμείνας om. U 46 ἐν ante τῇ στρατοπ. (τῷ στρατοπέδῳ H) add. MNDH ἐπειδή: ἐπεὶ δὲ U ὑπορρέοντες AB 47 τῷ βασιλεῖ: πρὸς τὸν βασιλέα B οἱ πάντες VBMNU: ἅπαντες ACE 48 παραδῶσι AEVMN: παραδιδῶσι C: παραδώσωσι U: παραδώσουσι B 49 ὑπέστρεψε post Ἀρκαδιουπόλει B 50 προσέμενε ACEBU: προσέμενον VMNDH τὸν om. U 51/52 Μαριανὸν τὸν Βρανᾶν ACEVB: τὸν Βρανᾶν Μαριανόν (Μαρίανον D) MNUDH 52 καὶ ante καθ' add. B 54 καὶ post ἄλλαι add. B προσχωρήσασαι ACEVMN: προσχωρῆσαι U: προσχωροῦσαι B 56 Βατάτζου A 57 τοῦ Τορνικίου AEVMN: τοῦ Τορνίκη B: τῷ Τορνικίῳ U 58 ἄπεισιν om. U ἐκεῖσε om. B 59 ἐπαγαγεῖν B 60 εὐψύχως ante ἀποκρουομένων A 60/61 ὑπέστρεψε πάλιν: ὑπέστρεψεν B 62 ταγμάτων καὶ ante στρατευμάτων add. et del. M ἔν τε Χρυσοπόλει καὶ Ἀβύδῳ A Χρυσουπόλεως M 63 στρατηγῷ C 64 Ἰασίτην ABMNUD δὲ U 65 παραστρατοπεδεύσας VBMN: περιστρατοπεδεύσας ACE: στρατοπεδεύσας U 65/66 μάχης — ἀποστάταις om. U 66 δέ: γὰρ B 67 ἐφέρετο ACEVBD: προσεφέρετο U: προσεφέρετο ἐκέχρητο M: ἐκέχρητο, i. m. προσεφέρετο, N 69 καὶ pr. om. EB

μενος καταντικρὺ τῶν Βλαχερνῶν, ἔγγιστα τῆς μονῆς τῶν ἁγίων Ἀναργύρων, πρότερον μὲν λόγοις καὶ ὑποσχέσεσιν ἀπεπειρᾶτο τῶν πολιτῶν, μηδενὸς δὲ προσέχοντος αὐτῷ ἤδη καὶ ἔργου ἥπτετο. καὶ αὐτὸς δὲ ὁ βασιλεὺς διά τε τῶν πολιτῶν καὶ τῶν παρευρεθέντων κατὰ τύχην στρατιωτῶν ἀντεπαρετάττετο, τοὺς πολίτας μὲν καὶ τὸν δῆμον τάξας ἐπὶ τοῦ τείχους· τοὺς δὲ παρατυχόντας στρατιώτας καὶ ἄλλους τινάς, ὅσους οἱ τῆς συγκλήτου ἄρχοντες κελεύσει τούτου καθώπλισαν, μὴ πλέον τῶν χιλίων ὄντας, ἐξαγαγὼν τοῦ τείχους διὰ τῶν ἐν Βλαχέρναις πυλῶν ἀντιμετώπους ἔστησε τῷ τυράννῳ, τάφρον τινὰ προστησάμενος εἰς κώλυμα τῶν ἐπιόντων, δέον εἴσω πυλῶν ἐπέχειν καὶ ἀπὸ τῶν τειχῶν τοὺς ἐπιόντας ἀμύνεσθαι, πολλὰ τοῦ μαγίστρου Ἀργυροῦ τοῦ Ἰταλοῦ ποτνιωμένου καὶ παρακαλοῦντος εἴσω μένειν καὶ μὴ ἐξάλλεσθαι, μηδὲ θέλειν λαῷ συμπλέκεσθαι μαινομένῳ καὶ ὀργῶντι καὶ στρατιωτικαῖς μελέταις ἐνηθλημένῳ μετὰ στρατιωτῶν ὀλιγοστῶν καὶ νεαλοῦς καὶ ἀπειροπολέμου λαοῦ. ἀλλὰ ταῦτα λέγων οὐκ ἔπειθεν· ἀντέκειτο γὰρ Κωνσταντῖνος ὁ τὴν ἐπωνυμίαν Λειχούδης, τὰ πρῶτα τότε παρὰ βασιλέως φέρων καὶ μέγα παρὰ τούτῳ δυνάμενος καὶ τῆς βουλῆς ταύτης ὑπάρχων πατήρ. ἐξελθόντων δὲ τούτων περὶ δείλην ὀψίαν, ὡς ἔγνω ὁ τύραννος, τὰς ἀμφ' αὐτὸν καθοπλίσας δυνάμεις ἔπεισι μετὰ ῥύμης μεγάλης, καὶ θᾶττον ἢ λόγος τὴν τάφρον διατεμὼν | τρέπεται τοὺς ἔνδον, ὧν οἱ μὲν ἁλίσκονται, οἱ δὲ φεύγοντες εἰς τὴν τῆς πόλεως τάφρον κατέπιπτον καὶ οἰκτρῶς ἀπώλλυντο. ἔφευγον δὲ καὶ ἀπὸ τοῦ τείχους κρημνιζόμενοι οἱ πολῖται, παραπλησίως καὶ οἱ πυλωροὶ τῶν ἐν Βλαχέρναις τειχῶν τὰς πύλας ἀναπετάσαντες. καὶ εἰ μὴ τύχη τις ἔσφηλε τῷ Τορνικίῳ τὰ πράγματα, εἰσῆλθεν ἂν ἀμογητὶ καὶ κύριος τῶν ἁπάντων ἐγένετο. ἄρτι δὲ διώξας ἄχρι τῆς παρὰ τῷ τείχει τάφρου ἐπέσχε τὸν διωγμόν, καὶ πάλιν ἀναθαρρήσαντες οἱ περὶ τὸν βασιλέα τάς τε πύλας κατέσχον καὶ τῆς φυλακῆς ἐπεμελήθησαν τῶν τειχῶν. τότε δὲ καὶ ὁ βασιλεὺς μικροῦ ἂν ἀπωλώλει διὰ τόξου βληθείς, εἰ μὴ θεὸς προφανῶς διεσώσατο, τοῦ οἰστοῦ

ACEVBMNU DH **14** τῆς μονῆς om. ACE **15** πρότερον: πρῶτον A **17/18** πολιτῶν — στρατιωτῶν: παρευρεθέντων κατὰ τύχην στρατιωτῶν καὶ τῶν πολιτῶν U **18** ἀντιπαρετάττετο ABU πολίτας μὲν ACEVB: μὲν πολίτας MNUDH **20** ὅσους οἱ ACE: ὅσοι VBMNUH: οὓς οἱ D καθώπλισε U μή: καὶ U **20/21** πλέον τῶν χιλίων: πλείονας χιλίων B **22** ἀντὶ μετώπου CE ἔστησαν C προστησάμενος: συστησάμενος B **24** ἀμύνασθαι V τοῦ Ἰταλοῦ om. B **25** μηδ' V **26** θέλειν ACEBU: ἐθέλειν V: θέλων MNDH **28** λαοῦ ante **27** νεαλοῦς MNUDH **29** βασιλεῖ ACBU **31** ὑπάρχων πατήρ: ἐξάρχων A **32** ἀμφ' αὐτὸν ACEMNU: ἀμφ' αὐτὸν V: περὶ αὐτὸν B **33** τὴν om. E **34** ἠλίσκοντο B τὸν τῆς πόλεως τράφον C **35** ἀπώλλυντο CEVB: ἀπωλλύοντο MN: ἀπώλοντο ADH: ἀπώλλοντο U **36** τειχῶν VBMNU: πυλῶν ACE **36/37** τὰς πύλας: ταύτας A **37** ἔσφαλε B **38** ἁπάντων: πραγμάτων U **39** παρά: περὶ CEB **40** τε om. A ἐπέσχον U **41** δὲ: δὴ AU **42** ἀπωλώλει: ἀπώλετο A διὰ τόξου: τόξῳ A τοῦτον ante διεσώσατο add. U ἰοστοῦ C

ἐνεχθέντος εἴς τινος θεράποντος κάλυμμα κεφαλῆς στροβιλοειδές, ὅπερ καὶ τὸν ἔχοντα καὶ τὸν βασιλέα διεσώσατο. τοῦτον δὲ τὸν τρόπον ἐγγὺς τοῦ ἁλῶναι ἡ πόλις ἐλθοῦσα διεσώθη. ὁ δὲ ἀποστάτης ἐπί τινας ἡμέρας προσμείνας τῇ στρατοπεδείᾳ, ἐπειδὴ οἱ περὶ αὐτὸν κατὰ μικρὸν ὑπορρυέντες ηὐτομόλουν τῷ βασιλεῖ, πτοηθείς, μή πως οἱ πάντες καταλιπόντες αὐτὸν οἰχήσονται, ἢ καὶ κατασχόντες παραδῶσι τῷ βασιλεῖ, ἀναστὰς ἐκεῖθεν ὑπέστρεψεν ἐν Ἀρκαδιουπόλει. καὶ αὐτὸς μὲν σὺν Ἰωάννῃ τῷ Βατάτζῃ παρεμβολὴν πηξάμενος ἐκεῖσε προσέμενε, Θεόδωρον δὲ τὸν τὴν ἐπωνυμίαν Στραβομύτην καὶ τὸν λεγόμενον Πολὺν καὶ Μαριανὸν τὸν Βρανᾶν, ταγμάτων ἄρχοντας δυτικῶν, καθ' αἵματος κοινωνίαν αὐτῷ ἐγγίζοντας, εἰς πολιορκίαν ἐκπέμπει τῆς πόλεως Ῥαιδεστοῦ. ἔτυχον γὰρ αἱ μὲν ἄλλαι Μα|κεδονικαὶ καὶ Θρᾳκικαὶ πόλεις προσχωρήσασαι τούτῳ, αὕτη δὲ μόνη εὔνοιαν ἐτήρει τῷ βασιλεῖ σπουδῇ τοῦ ταύτης ἀρχιερέως καί τινος ἐγχωρίου δυνάστου τοῦ λεγομένου Βατάτζῃ, συγγενοῦς ὄντος τοῦ Τορνικίου. ὡς δ' ἀπελθόντες ἐκεῖνοι καὶ χρονοτριβοῦντες οὐδὲν ἤνυον, ἄρας καὶ αὐτὸς ἄπεισιν ἐκεῖσε μετὰ παντὸς τοῦ στρατοῦ, καὶ πᾶσαν προσβολὴν καὶ μηχανὴν ἐπαγαγὼν τῇ πόλει καὶ πάντοθεν ἀποκρουσθεὶς εὐψύχως τῶν ἔνδον ἀποκρουομένων τὰς μηχανὰς ὑπέστρεψε πάλιν ἐν Ἀρκαδιουπόλει, λύσας τὴν πολιορκίαν. ἄρτι δὲ καὶ τῶν ἑῴων στρατευμάτων διαπεραιωθέντων ἔκ τε Χρυσοπόλεως καὶ Ἀβύδου πρὸς Θρᾴκην, στρατηγὸν ἐπιστήσας αὐτοῖς ὁ βασιλεὺς Μιχαὴλ μάγιστρον τὸν Ἰασσίτην πέμπει κατὰ τοῦ ἀποστάτου. ἀθροίσας δ' οὗτος ὑφ' ἓν τὰς δυνάμεις καὶ παραστρατοπεδεύσας τοῖς ἀποστάταις μάχης μὲν οὐκ ἦρχεν, ἐκήδετο δὲ μᾶλλον τῶν ἀνηκόντων χωρίων τοῖς ἀποστάταις, καὶ τοῖς ἁλισκομένοις φιλανθρώπως ἐφέρετο, καὶ γράμματα λαθραίως ἔπεμπε πρὸς αὐτοὺς ἀμνηστίαν ἐπαγγελλόμενος κακῶν καὶ ἀγαθῶν δαψίλειαν. ἐπεὶ δὲ καὶ ὁ χειμὼν ἐπέστη καὶ τῶν ἀναγκαίων ἐσπάνιζον αὐτοί τε οἱ

ACEVBMNU DH **43** ἀνενεχθέντος A κεφαλῆς στροβιλοειδές ACEVB: στροβιλοειδὲς κεφαλῆς MNUDH **44** ἔχοντα — βασιλέα VBMNU: βασ. καὶ τὸν ἔχ. ACE **45/46** ὁ — προσμείνας om. U **46** ἐν ante τῇ στρατοπ. (τῷ στρατοπέδῳ H) add. MNDH ἐπειδή: ἐπεὶ δὲ U ὑπορρέοντες AB **47** τῷ βασιλεῖ: πρὸς τὸν βασιλέα B οἱ πάντες VBMNU: ἅπαντες ACE **48** παραδῶσι AEVMN: παραδιδῶσι C: παραδώσωσι U: παραδώσουσι B **49** ὑπέστρεψε post Ἀρκαδιουπόλει B **50** προσέμενε ACEBU: προσέμενον VMNDH τὸν om. U **51/52** Μαριανὸν τὸν Βρανᾶν ACEVB: τὸν Βρανᾶν Μαριανόν (Μαρίανον D) MNUDH **52** καὶ ante καθ' add. B **54** καὶ post ἄλλαι add. B προσχωρήσασαι ACEVMN: προσχωρῆσαι U: προσχωρούσασαι B **56** Βατάτζου A **57** τοῦ Τορνικίου AEVMN: τοῦ Τορνίκη B: τῷ Τορνικίῳ U **58** ἄπεισιν om. U ἐκεῖσε om. B **59** ἐπαγαγεῖν B **60** εὐψύχως ante ἀποκρουομένων A **60/61** ὑπέστρεψε πάλιν: ὑπέστρεψεν B **62** ταγμάτων καὶ ante στρατευμάτων add. et del. M ἔν τε Χρυσοπόλει καὶ Ἀβύδῳ A Χρυσουπόλεως M **63** στρατηγῷ C **64** Ἰασίτην ABMNUD δὲ U **65** παραστρατοπεδεύσας VBMN: περιστρατοπεδεύσας ACE: στρατοπεδεύσας U **65/66** μάχης — ἀποστάταις om. U **66** δέ: γὰρ B **67** ἐφέρετο ACEVBD: προσεφέρετο U: προσεφέρετο ἐκέχρητο M: ἐκέχρητο, i. m. προσεφέρετο, N **69** καὶ pr. om. EB

ἀποστάται καὶ τὰ ὑποζύγια καὶ οἱ ἵπποι, μὴ δυνάμενοι πρός τε τὸ ψῦχος καὶ τὸν λιμὸν καὶ τοὺς ἐναντίους ἀντικαθίστασθαι, κατὰ μικρὸν προσερρυΐσκοντο τῷ μαγίστρῳ. καὶ μέχρι μὲν τῶν ἀφανῶν ἦν αὐτομολία καὶ οὐκ ἐπισήμων, ἐκαρτέρει καὶ ταῖς ἐλπίσιν ἐτρέφετο. ἐπεὶ δὲ Μαριανὸς ὁ Βρανᾶς καὶ ὁ Πολὺς καὶ Θεόδωρος ὁ Στραβομύτης οἱ ἐκ τοῦ γένους τοῦ Γλαβᾶ καί | τινες ἄλλοι τῶν ἐπισήμων ἀθρόοι καταλιπόντες αὐτὸν προσερρύησαν τῷ Ἰασσίτῃ, φυγὼν μετὰ Ἰωάννου τοῦ Βατάτζη, ὃς δὴ μετ' αὐτὸν ἐν τῷ στρατοπέδῳ τῶν ἀποστατῶν ἐτάττετο, ἐπείπερ ἄφυκτα ἦν, ἔν τινι κατέφυγεν ἐκκλησίᾳ, καὶ ἡ ἐπισύστασις τῶν ἀποστατῶν ἐσκεδάσθη. καὶ τούτους μὲν ὁ Ἰασσίτης πέμψας κατέσχε καὶ πρὸς τὸν βασιλέα πεπεδημένους εἰσάγει, τοῦ δὲ στρατοῦ ἕκαστος εἰς τὴν ἑαυτοῦ ἐπανῆλθε πατρίδα κελεύσει τοῦ βασιλέως. καὶ ὁ μὲν Τορνίκιος καὶ ὁ Βατάτζης ἀποτυφλοῦνται κατὰ τὴν ἑσπέραν τῆς ἑορτῆς τῆς Χριστοῦ γεννήσεως, δημεύονται δὲ καὶ ὁπόσοι παρέμειναν ἕως τέλους εὔνοοι τῷ τυραννήσαντι, ἀτίμως πρότερον περιαχθέντες διὰ τῆς ἀγορᾶς καὶ ἐξορίᾳ παραπεμφθέντες. καὶ ἡ μὲν ἀποστασία τοιοῦτον ἔσχε τὸ τέλος, ἄρχεται δὲ λοιπὸν τὰ ἀπὸ τῶν Τούρκων κακά.

9. Τίνες δὲ οἱ Τοῦρκοι, καὶ τίνα τρόπον ἤρξαντο πολεμεῖν Ῥωμαίοις, ἄνωθεν ἀναλαβὼν διηγήσομαι. τὸ τῶν Τούρκων ἔθνος γένος μέν ἐστιν Οὐννικόν, οἰκεῖ δὲ τὰ προσάρκτια τῶν Καυκασίων ὀρῶν πολυάνθρωπόν τε ὂν καὶ αὐτόνομον καὶ ὑπ' οὐδενὸς ἔθνους ποτὲ δουλωθέν. τῆς δὲ τῶν Περσῶν ἀρχῆς εἰς Σαρακηνοὺς διαλυθείσης, καὶ τῆς τῶν Σαρακηνῶν ἐπικρατείας μὴ μόνον Περσίδος καὶ Μηδίας καὶ Βαβυλῶνος καὶ Ἀσσυρίων κυριευούσης, ἤδη δὲ καὶ Αἰγύπτου καὶ Λιβύης καὶ μέρους οὐκ ὀλίγου τῆς Εὐρώπης, ἐπείπερ ἔτυχον ἐν διαφόροις καιροῖς ἀλλήλων καταστασιάσαντες καὶ ἡ μία καὶ μεγίστη αὕτη ἀρχὴ εἰς πολλὰ διῃρέθη μέρη, καὶ ἄλλον μὲν ἀρχηγὸν εἶχεν ἡ | Ἱσπανία, ἄλλον δὲ ἡ Λιβύη, ἄλλον δὲ ἡ Αἴγυπτος, ἄλλον δὲ ἡ

85 a. 1047

cap. 9: Zon. III, 633, 20—636, 11; Niceph. Bryenn., p. 25, 21—30, 2 Meineke; Theod. Gaz., PG 161, c. 998, 1—1000, 45

ACEVBMNU DH **70** δυνάμενος E **72** προσερρυΐσκονται C τῷ μαγ. προσερρ. B ἦν αὐτομολία: ἦσαν οἱ αὐτομολοῦντες B ἡ ante αὐτομολία add. MN **73** οὐκ: οὐ τῶν B **74** ὁ ante Πολὺς om. CE καὶ ante οἱ add. MNUDH **76** Ἰασίτῃ ABMNUD τοῦ ante Ἰωάννου add. E Βατάτζου A **77** ἀποστατῶν: ἀποστάντων A **78** κατέφυγον B **79** Ἰασσίτης CEVN: Ἰασίτης ABMU: Ἀσίτης D κατέσχετο M **80** εἰς: πρὸς B **81** Τορνίκης AB **82** τοῦ ante Χριστοῦ add. MNH (sed non D) **83** ὁπόσοι: ὅσοι A εὔνοοι ACEVB: εὖνοι MN: εὔνοιαν UDH **84** τυραννήσαντι VBMNU: τυράννῳ ACE ἀχθέντες B **85** τὸ om. E **86** ἀπὸ ACEVMN: ἐκ U: om. B **87** ἤρξαντο: ἤρξατο το C Ῥωμαίους U **95** καὶ pr. om. B αὕτη om. AU ἀρχὴ αὕτη MN **1** εἶχεν ACEVBMND: ἔσχεν UH ἄλλον δὲ ἡ Αἴγυπτος: καὶ ἡ Αἴγ. ἕτερον B **1/2** ἄλλον δὲ ἡ Αἴγ. — Βαβυλὼν om. ACE

Βαβυλών, ἕτερον δὲ ἡ Περσίς, καὶ πρὸς ἀλλήλους μὲν οὐχ ὡμονόουν, μᾶλλον μὲν οὖν καὶ προσεπολέμουν οἱ γειτονοῦντες, ἀρχηγὸς Περσίδος καὶ Χωρασμίων καὶ Ὠρητανῶν καὶ Μηδίας ὑπάρχων Μουχούμετ κατὰ τοὺς χρόνους Βασιλείου τοῦ βασιλέως, ὁ τοῦ Ἰμβραήλ, καὶ πολεμῶν Ἰνδοῖς καὶ Βαβυλωνίοις καὶ κακῶς ἐν τῷ πολέμῳ φερόμενος, ἔγνω δεῖν πρὸς τὸν ἄρχοντα Τουρκίας διαπρεσβεύσασθαι καὶ συμμαχίαν ἐκεῖθεν αἰτήσασθαι. πέμπει οὖν πρέσβεις πρὸς αὐτὸν καὶ δῶρα πολυτελῆ, καὶ πεμφθῆναί οἱ ἐξαιτεῖ συμμάχους τὸν ἀριθμὸν τρισχιλίους. ὁ δὲ δεξάμενος ἀσμενέστατα τὴν πρεσβείαν καὶ τοῖς πεμφθεῖσι δώροις ἡσθεὶς ἐκπέμπει πρὸς αὐτὸν τοὺς τρισχιλίους, ἀρχηγὸν ἔχοντας Ταγγρολίπηκα Μουκάλετ υἱὸν Μικεήλ, ἅμα καὶ ἐλπίσας, ὡς εἴπερ οὗτοι δυνηθεῖεν ἀποκρούσασθαι τοὺς ἐπεμβαίνοντας τοῖς Σαρακηνοῖς, ῥᾷστά τε τὴν τοῦ Ἀράξιδος ποταμοῦ γέφυραν τὴν κωλύουσαν Τούρκους ἐς Περσίδα ἰέναι, ἅτε πεπυργωμένην οὖσαν ἔνθεν κἀκεῖθεν καὶ φρουροῖς πάντοτε φυλαττομένην βατὴν θήσουσι περιελόντες τὰς φρουράς, καὶ ὑποχείριον αὐτῷ ποιήσουσι τὴν τῶν Περσῶν χώραν. ἀφικομένων τοίνυν τῶν μισθοφόρων, αὐτούς τε ἀναλαβόμενος ὁ Μουχούμετ καὶ τὰς ἑαυτοῦ δυνάμεις προσβάλλει τῷ τῶν Ἀράβων ἄρχοντι Πισσασιρίῳ, καὶ ῥᾷον αὐτὸν τρέπεται, μὴ ὑποστάντων τὰς τῶν τόξων βολὰς τῶν Ἀράβων. ὑποστρέψας δὲ εἰς τὴν ἑαυ|τοῦ ἠπείγετο καὶ πρὸς τοὺς πολεμοῦντας Ἰνδοὺς διαγωνίσασθαι μετ' αὐτῶν. ἐκείνων δὲ ἐξαιτουμένων εἰς τὴν ἑαυτῶν ὑποστρέψαι συγχωρηθῆναι, ἀνεθείσης αὐτοῖς τῆς ἐν τῇ γεφύρᾳ φυλακῆς τοῦ Ἀράξιδος, ἐπείπερ ἐκεῖνος ἐνέκειτο καὶ βίαν ἐπενεγκεῖν ἐβουλεύετο, δείσαντες οὗτοι, μὴ καὶ πάθωσί τι δεινόν, ἀποστατοῦσι. καὶ τὴν Καρβωνῖτιν ὑποδύντες

ACEVBMNU DH 3 μᾶλλον μὲν οὖν: ἀλλὰ B μὲν οὖν: δὲ M γείτονες B Περσίδων U 4 Ὀρειτανῶν U ὁ ante Μουχούμετ add. MNUD 5 Ἰμωραήλ B 6 καὶ alt. om. U 8 οὖν ACEVB: γοῦν MNUDH πρέσβεις — πολυτελῆ (πρέσβεις et καὶ pr. om. B) VBMNU: δῶρα πρὸς αὐτὸν πολυτελῆ καὶ πρέσβεις ACE 9 συμμαχίαν U 11 αὐτὸν om. MN (sed non D) τοὺς om. ACEB 11/12 Ταγγρολίπηκα Μουκάλετ MN: Ταυρολίπηκα Μουκάλετ V: Ταυροπίληκα Μουκάλετ AE: Ταυροπήλικα Μουκάλετ B: Στραγολίπη Καμουκάλεκ U: Ταυροπίλη Καμουκάλετ C: Τραγγολίπη καὶ Μουκάλετ H: Τραγαγολίτῃ Καμουκάλη D: Ταγγρολίπιξ Μουκάλετ Zon. III, 634, 13: Στραγγολίπιν (Ταγγρολίπην cod.) καὶ Μουκάλετ Niceph. Bryenn. 26, 20 Possinus: Ταγκρολίπικον Theod. Gaz. 997, 21 12 τὸν ante υἱὸν add. MNUDH ἀποκρούσεσθαι A 14 Τούρκους om. A τὴν ante Περσίδα add. ACE Niceph. Bryenn. 27, 1 ἅτε: οὕτω C 15 πεπυργωμένην MNUD Niceph. Bryenn. 27, 1: πυργουμένην ACEB: πυργωμένην V: πυργομένην B ἔνθεν: ἐντεῦθεν E φρουρίοις B πάντοτε VBMN: πάντοθεν ACEDU 16 περιελόντες: περιελθόντες C τοὺς φρουροὺς B 17 τῶν pr. om. B 18 ἀναλαμβανόμενος B ἑαυτοῦ: ἑαυτῶν B 19 Πισσασιρίῳ CVMNU: Πισσασυρίῳ A: Πισσαρίῳ E Niceph. Bryenn. 27, 3: Πισαρίῳ B: Πισσύριος Niceph. Bryenn. 30, 16: Πισάσιρον Theod. Gaz. 997, 23 20 τῶν pr.: ἐκ B 21 τήν: τὸν C Ἰνδούς: ἐνδοὺς A 24 ἐνεγκεῖν E ἐβούλετο BMDH οὗτοι: οὖν B 25 Καρβωνῖτιν CE Niceph. Bryenn. 27, 10 Theod. Gaz. 1000, 6: Καρβωνίτιν AVN: Καρβωνίτην MH: Καρβανῖτιν U: Καρβανατ' B: Καριβωνίτην D ὑποδύντες: ὑπενδοῦντες A

ἔρημον διὰ τὸ μὴ θαρρεῖν ὀλίγους πρὸς τοσαύτας ἀντιπαρατάξασθαι μυριάδας, ἐκεῖθεν ἐκδρομὰς ποιούμενοι ἐδῄουν καὶ ἔφερον τὰ Σαρακηνῶν. δυσανασχετήσας οὖν ὁ Μουχούμετ ἐπὶ τοῖς γενομένοις, στρατὸν ἀθροίσας ἀμφὶ τὰς εἴκοσι χιλιάδας ἐκπέμπει κατὰ τῶν Τούρκων, ἐπιστήσας αὐτοῖς δέκα στρατηγοὺς ἀπὸ τῶν εὐγενεστάτων καὶ συνετωτάτων καὶ ἐπ' ἀνδρείᾳ μεμαρτυρημένων Σαρακηνῶν. ἄραντες οὖν οὗτοι ἀπήρχοντο πρὸς τὸν πόλεμον. καὶ εἰσελθεῖν εἰς τὴν ἔρημον διὰ τὴν τοῦ ὕδατος καὶ τῶν τροφῶν ἔνδειαν ἀλυσιτελὲς ἐλογίζοντο, ἔγγιστα δὲ τοῦ στόματος τῆς ἐρήμου στρατοπεδεύσαντες διεσκοποῦντο τὸ ποιητέον. ὁ δὲ Ταγγρολίπηξ ἐς τὸ βάθος αὐλιζόμενος τῆς ἐρήμου, ἐπείπερ ἔμαθε τὴν κατ' αὐτοῦ ἐκστρατείαν, κοινολογησάμενος τοῖς μετ' αὐτοῦ καὶ ἐπιθέσθαι νυκτὸς τοῖς Σαρακηνοῖς καὶ Πέρσαις συμφέρον εἶναι νομίσας, ταχυπορίᾳ χρησάμενος ἐν δυσὶν ἡμέραις ἐπιτίθεται τῇ τρίτῃ νυκτὸς αὐτοῖς ἀμερίμνως σκηνουμένοις καὶ μηδὲν προσδεχομένοις κακόν. καὶ τούτους μὲν θᾶττον τρέπεται λόγου, αὐτὸς δὲ ἁρμάτων καὶ ἵππου καὶ χρημάτων κυριεύσας πολλῶν οὐκέτι λοιπὸν ὡς φυγὰς καὶ λῃ|στὴς κρυφίους ἐποιεῖτο τὰς ἐπιθέσεις, ἀλλὰ φανερῶς ἀντεποιεῖτο τῶν ὑπαίθρων, προσρυϊσκομένων αὐτῷ καὶ τῶν ὅσοι διὰ κακουργίας τότε ἐδεδίεσαν θάνατον, καὶ δούλων καὶ τῶν χαιρόντων ταῖς ἁρπαγαῖς ὡς ἐν βραχεῖ τῷ χρόνῳ δύναμιν περὶ αὐτὸν ἀθροισθῆναι μεγίστην, περί που τὰς πεντήκοντα χιλιάδας. καὶ τὰ μὲν κατ' ἐκεῖνον ἐφέρετο τῇδε. ὁ δὲ Μουχούμετ μὴ ἐνεγκὼν μετρίως τὴν γενομένην τροπήν, ἀλλὰ βαρυθυμήσας τοὺς μὲν δέκα στρατηγοὺς ἀπετύφλωσε, τοὺς δὲ διαφυγόντας στρατιώτας τὸν κίνδυνον θριαμβεύσειν ἠπείλησε γυναικείας περιβεβλημμένους στολάς,

ACEVBMNU DH 26 πρὸς: εἰς E ἀντιπαρατάξασθαι VBMNU Niceph. Bryenn. 27, 11: ἀντιτάξασθαι A: παρατάξασθαι CE 27 ἔφερον ACEVMN: ἔφθειραν BU Niceph. Bryenn. 27, 13 τῶν ante Σαρακηνῶν add. U Niceph. Bryenn. 27,12 28 γενομένοις ACEVBMNU Niceph. Bryenn. 27, 14: γινομένοις DH 31 ἀνδρείᾳ VMNU: ἀνδρίᾳ ACE Niceph. Bryenn. 27, 16: ἀνδρείας B μεμαρτυρημένων VBMNU: μαρτυρουμένων ACE Niceph. Bryenn. 27, 17 στρατιωτῶν ante Σαρακηνῶν add. A 32 σπάνιν ante τοῦ ὕδατος add. ACE (cf. Niceph. Bryenn. 27, 19) 33/34 στόματος — ἐρήμου: τῆς ἐρήμου στόματος A 34 Ταγγρολίπηξ EV: Ταγγρολίπιξ Zon. III, 636, 3: Ταγγροπίληξ A: Τραγγολίπηξ CH: Τραγγοπήλιξ B: Στραγολήπιξ U: Τραγγολήπηξ D: Ταγγρολήπηξ M: Ταγγρολήπιξ N: Στραγγρολίπης Niceph. Bryenn. 28, 1 cod.: Στραγγολίπις Niceph. Bryenn. 28, 1 Possinus 35 τὰ βάθη B 36 καὶ om. B 37 ταχυπορίᾳ AEVBMN Niceph. Bryenn. 28, 4: ταχυπορίαν C: ταχυπορίαις U 39 σκηνουμένοις VBMNU: σκηνοῦσι Niceph. Bryenn. 28, 6: διακειμένοις ACE μηδὲν ACEVBUD Niceph. Bryenn. 28, 6: μηδὲ MN προσδεχομένων E τούτοις A 40 ἵππων MUDH Niceph. Bryenn. 28, 8 Theod. Gaz. 1000, 17 41 ὡς φυγὰς om. B κρυφίους CEVMNU: κρυφίας A: κρυφίως B: κρύφα Theod. Gaz. 1000, 19 ἐποίει U 42 ἀλλὰ φανερῶς om. C 44 τὰς ἁρπαγὰς C τῷ om. B 45 περὶ αὐτὸν om. U περί: hic inc. man. rec. in V ν' CE 46 Μουχουμὲτ V 47 ἀλλὰ om. ACE μὲν om. V 48 δὲ om. V φυγόντας UV 49 θριαμβεύσειν MNV Niceph. Bryenn. 28, 17: θριαμβεύειν U: δημεύσειν ACEB περιβεβλημμένας M

αὐτὸς δὲ πρὸς ἀντιπαράταξιν καθωπλίζετο. οἱ δὲ προηττηθέντες στρατιῶται μαθόντες τὰς ἀπειλὰς προσχωροῦσι τῷ Ταγγρολίπηκι. τοσαύτης οὖν προσγενομένης αὐτῷ καὶ τηλικαύτης δυνάμεως, ἀγείρας ἅπαντα τὸν στρατὸν ἠπείγετο πρὸς τὸν Μουχούμετ, καθολικῇ μάχῃ κρῖναι σπεύδων τὰ πράγματα. ἀλλὰ καὶ ἐκεῖνος Σαρακηνοὺς καθοπλίσας καὶ Πέρσας καὶ Καβείρους καὶ Ἄραβας, καὶ στρατὸν συστησάμενος περί που τὰς πεντακοσίας χιλιάδας καὶ ἐλέφαντας πυργοφόρους ἑκατόν, καὶ πάντας τούτους ἀναλαβὼν ὑπαντιάζει κατὰ τὸ λεγόμενον Ἀσπαχάν. καὶ γενομένης μάχης φοβερωτάτης ἔπεσον μὲν ἐξ ἀμφοτέρων πολλοί, πίπτει δὲ καὶ αὐτὸς ὁ Μουχούμετ· ἐξιππαζόμενος γὰρ ἀτάκτως ἔνθεν κἀκεῖθεν καὶ τὸν οἰκεῖον παραθαρρύνων λαόν, τοῦ ἵππου συμπεσόντος αὐτῷ ἐκτραχηλισθεὶς ἀπέθανε. τούτου δὲ πεσόντος τὸ σὺν αὐτῷ πλῆθος ὡμονόησε τοῖς ἐναντίοις, καὶ ὁ Ταγγρολίπηξ ὑπὸ πάντων ἀναγορεύεται βασιλεὺς τῆς Περσίδος. ἀναρρηθεὶς δὲ πέμψας | καθαιρεῖ τὴν ἐν τῇ γεφύρᾳ τοῦ Ἀράξιδος φυλακήν, καὶ ἄνετον δίδωσι τῷ βουλομένῳ τῶν Τούρκων τὴν ἐς τὴν Περσίδα πορείαν. ἀπολυθέντες δὲ οὗτοι εἰσέδραμον παμπληθεί, πλὴν τῶν ὅσοι τῆς ἑαυτῶν ἀντεποιοῦντο πατρίδος, καὶ καθελόντες Πέρσας καὶ Σαρακηνοὺς αὐτοὶ κύριοι τῆς Περσίδος ἐγένοντο, τὸν Ταγγρολίπηκα σουλτάνον ὀνομάσαντες, τουτέστι παντοκράτορα καὶ βασιλέα βασιλέων· ὃς πάσας τὰς ἀρχὰς τοὺς ἐγχωρίους ἀφελόμενος εἰς Τούρκους μετήνεγκε καὶ τὴν Περσίδα πᾶσαν πρὸς αὐτοὺς διένειμεν, ἐς τὸ παντελὲς κατασπάσας καὶ ταπεινώσας τοὺς ἐγχωρίους.

10. Ὡς δὲ καλῶς ἔχειν ἐδόκει τούτῳ τὰ πράγματα, πρότερον μὲν

cap. 10: Zon. III, 636, 11—637, 13; Niceph. Bryenn. 30, 3—32, 2

ACEBMNUV DH **50** καθωπλίζετο BMNUV Niceph. Bryenn. 28, 19: καθωπλίσθη ACE **51** Ταγγρολίπηκι ACE: Στραγολήπικη U: Στραγγολίπικι V: Γαγγροπήλικι B: Ταγγρολήπηκι M: Ταγγρολήπικι N: Τραγγολίπηκι D: Τραγγολίπιξ H: Ταγκρολίπικι Theod. Gaz. 1000, 29: Σταγγρολίπης Niceph. Bryenn. 28, 21 cod.: Στραγγολίπις Niceph. Bryenn. 28, 21 Possinus **52** καὶ τηλικαύτης ante προσγενομένης B **53** ἠπείγετο post Μουχούμετ M Niceph. Bryenn. 29, 1 κρῖναι om. E **53/54** σπεύδων κρῖναι DH Niceph. Bryenn. 29, 1 **54** καὶ ἐκεῖνος: κἀκεῖνος B καθοπλίσας Σαρακηνοὺς UV **55** Πέρσας — Ἄραβας: Ἄραβας καὶ Πέρσας A **56** πεντακοσίας ACEM: φʹ N: πεντήκοντα BUV Niceph. Bryenn. 29, 4 Theod. Gaz. 1000, 33 πυροφόρους V ρʹ V **57** Ἀσπαχάν ABNUV: Ἀσπαχᾶν CEM Niceph. Bryenn. 29, 6: Ἀσπάχανον Theod. Gaz. 1000, 34 **58** φοβερωτάτης: φανερωτάτης V **59** αὐτός post Μουχούμετ M ἐξιππασάμενος B **60** συμπεσόντος: πεσόντος M **61** αὐτῷ: αὐτὸν U πεσόντος: συμπεσόντος U Niceph. Bryenn. 29, 11 **62** πλῆθος: τὸ πλῆθος, ante **61** τὸ UV Ταγγρολίπηξ ACE: Στραγγολήπιξ U: Στραγγολίπιξ V: Γαγγροπήλιξ B: Τραγγολήπηξ M: Τραγγολίπηξ NDH: Στραγγολίπις Niceph. Bryenn. 29, 13 **65** ἐς τὴν: εἰς B **67** καθελόντες: κακοθελόντες C αὐτοὶ κύριοι: αὐτοκύριοι B **68** Ταγγρολίπηκα ACEN: Ταγγρολήπηκα M: Στραγγολήπικα U: Στραγγολίπικα V: Γαγγροπήλικα B: Παγγρολίπηκα D: Ταγκρολίπικα Theod. Gaz. 1000, 40: Στραγγολίπιδα Niceph. Bryenn. 29, 20 **69** τούς: τὰς AUV **70** πρὸς αὐτοὺς ACEMN: εἰς αὐτοὺς B: πρὸς αὐτὸν U: αὐτὸς in ras. V **71** ἐς: εἰς BM

τοῖς ὁμόροις δυνάσταις ἤρξατο πολεμεῖν, καὶ πρὸς μὲν τὸν Πισσασίριον τὸν Βαβυλῶνος ἄρχοντα αὐτὸς δι' ἑαυτοῦ παρετάξατο καὶ διαφόροις μάχαις τοῦτον ἡττήσας καὶ ἀνελὼν κύριος καὶ τῆς Βαβυλωνίων χώρας ἐγένετο, πρὸς δὲ Καρβέσην τὸν τῶν Ἀράβων ἀρχηγὸν Κουτλουμοὺς ἐκπέμπει, υἱὸν ὄντα τοῦ ἀδελφοῦ τοῦ οἰκείου πατρός, χεῖρα βαρεῖαν δοὺς αὐτῷ· ὃς ἀπελθὼν καὶ τοῖς Ἄραψι συμβαλὼν ἡττήθη καὶ αἴσχιστα ἔφυγεν. ὑποστρέφων δὲ ἀπὸ τῆς τροπῆς καὶ μέλλων διοδεύειν ἀπὸ τῆς Μηδίας ἤτοι τοῦ Βαασπρακᾶν (ἦρχε δὲ τότε τῆς τοιαύτης χώρας ἐκ βασιλέως πεμφθεὶς Στέφανος πατρίκιος ὁ Κωνσταντίνου τοῦ παραδυναστεύοντος τῷ βασιλεῖ τῆς Λειχουδίας υἱός) στέλλει πρεσβευτὰς πρὸς αὐτόν, ἀξιῶν συγχωρηθῆναι διελθεῖν ἀκωλύτως, ὑπισχνού|μενος μεθ' ὅρκων φρικωδεστάτων ἄψαυστον καὶ ἀσινῆ διατηρῆσαι τὴν χώραν. ὁ δὲ τοὺς πρέσβεις δεξάμενος καὶ τὴν παράκλησιν δειλίαν εἶναι ὑποτοπάσας, τὸν ἐγχώριον ἀθροίσας στρατὸν ὡς εἰς πόλεμον ὑπαντιάζει τοῖς Τούρκοις. ὁ δὲ Κουτλουμοὺς περιαλγὴς μὲν ἐπὶ τοῖς πραττομένοις ἐγένετο (ἦν γὰρ ὁ κατ' αὐτὸν λαὸς ἅπας, ὡς ἐκ τροπῆς ἐπανήκων, πεζὸς καὶ ἄνοπλος), ὅμως δὲ καὶ ἄκων ἠναγκάσθη ἀντιπαρατάξασθαι. καὶ συμβολῆς γενομένης τρέπονται οἱ περὶ τὸν Στέφανον, ἁλίσκεται δὲ καὶ αὐτὸς αἰχμάλωτος σὺν ἄλλοις πολλοῖς. καὶ τοῦτον μὲν διερχόμενος κατὰ τὸ Ταβρέζιον ἀπεμπολεῖ τῷ τοπάρχῃ τῆς χώρας, αὐτὸς δὲ πρὸς τὸν σουλτάνον ἐπανελθὼν καὶ περὶ τῆς τροπῆς ἀπολογούμενος μετετίθει τὰς αἰτίας εἰς ἄλλους καὶ ἐπηγγέλλετο, εἰ αὖθις δύναμιν λαβὼν ἐκστρατεύσει κατὰ τοῦ Καρβέσου, ῥᾷον αὐτῷ παραστήσει τὴν Ἀραβίαν. ὡς ἐν παρόδῳ δὲ ἀφηγεῖτο καὶ περὶ τοῦ Βαασπρακᾶν, ὡς εἴη μὲν χώρα πάμφορος, κατέχεται δὲ ὑπὸ γυναικῶν, τοὺς πεπολεμηκότας πρὸς αὐτὸν στρατιώτας ὑπαινιττόμενος. ἀλλ' ἐκεῖνον μὲν ὁ σουλτάνος κατασχεῖν ἐμελέτα διὰ τὸ αἶσχος μηνίσας τῆς ἥττης καὶ ἀποκτεῖναι, πρὸς δὲ Ῥωμαίους ὅπλα κινῆσαι ἀπεδειλία, δεδιὼς καὶ φρίττων ἐκ μόνης τῆς φήμης

ACEBMNUV DH **73** Πισσασίριον CEMNUV: Πισσασύριον A: Πισασίριον B: Πισσύριον Niceph. Bryenn. 30, 16 **74** τὸν: τῆς UV **76** Καρβέσην ACEMNU: Καρβέσσην V: Καρβέσιν B: Καρμεσῆν Niceph. Bryenn. 30, 18 Κουτλουμοὺς ACEN: Κουτλουμοῦς MUVH: Κουτλουμὴν B: Κουτλουμοῦσιν D: Κουτλουμοῦν Niceph. Bryenn. 30, 19 **79** τῆς om. V **80** Βαασπρακᾶν ACEMN: Βασπρακάν B: Βαασπρακάν V: Βαασπρακανίου U: Βαασπρακάμ D: Βαασπαρκᾶν Zon. III, 636, 15 τότε post χώρας A **82/83** στέλλει — αὐτόν (πρὸς om. D) ACEBUVD: στέλλει πρὸς αὐτὸν πρεσβ. MN **85** πρέσβεις: πρεσβευτὰς UV **86** ὡς εἰς πόλεμον om. B **87** Κουτλουμοὺς AMUD: Κουτλουμοῦς V Niceph. Bryenn. 31, 11: Κουτλουμούσης CENH: Κουτλουμὴς B ἐπὶ: ἐν E τοῖς πραττομένοις: τούτοις B **88** ἅπας om. A **89** ἄνοπλος ACEB: ἄοπλος MNUVD **90** συμβολῆς BMNUV: συμπλοκῆς ACE **91** αἰχμάλωτος om. B καὶ: hic. des. man. rec. in V **92** Ταβρέζιον CVMN: Ταβέρζιον A: Βρέζιον EU: Βράζιον B τὸν om. B **94** καὶ: δέ, post ἐπηγγ., B ἐκστρατεύσει ACEVMN: ἐκστρατεῦσαι B: ἐκστρατοπεδεύσει U **95** Καρβέσου AMNU: Καρβέσσου CE: Καρβέση VB: Καραέσου D παραστῆσαι B **1** ἀφηγεῖται B Βαασπρακάν A **2** ὑπὸ: παρὰ B

τὰ τῶν προηγησαμένων τριῶν βασιλέων ἀνδραγαθήματα, Νικηφόρου, Ἰωάννου καὶ Βασιλείου, καὶ ὑποπτεύων τὴν αὐτὴν ἀρετὴν ἔτι καὶ δύναμιν προσεῖναι Ῥωμαίοις. ὅμως ἀμφίρροπος ἦν καὶ διχογνώμων, καὶ ἐμελέτα τὸ ποιητέον. ὁ Κουτλουμοὺς δὲ γνοὺς | τὴν ἐπιβουλὴν φεύγει μετὰ τῶν σὺν αὐτῷ, καὶ πόλιν ὀχυρωτάτην κατασχὼν ἐν Χωρασμίοις κειμένην, ἥτις Πάσαρ ὠνόμασται, ἀντίπαλος γίνεται τῷ σουλτάνῳ. ὁ δὲ τὸ νῦν ἔχον πρὸς τοῦτον μὲν διαπολεμεῖν οὐκ ἐδοκίμασε, πάσας δὲ τὰς ἑαυτοῦ δυνάμεις ἀθροίσας ἄπεισι κατὰ τῶν Ἀράβων, καὶ μάχης γενομένης πάλιν τρέπεται καὶ αὐτός. ἐπανελθὼν δὲ ἀπὸ τῆς τροπῆς, καὶ μὴ φέρων τὴν αἰσχύνην καὶ τὸ ἀπὸ τοῦ Κουτλουμοὺς ὄνειδος, αὐτὸς μὲν τὸ πλεῖστον πλῆθος ἀναλαβὼν ἄπεισιν εἰς τὸ Πάσαρ, καὶ διετέλεσε προσπολεμῶν μέχρι πολλοῦ τῷ οἰκείῳ ἀνεψιῷ, τῇ ὀχυρότητι τῆς πόλεως θαρροῦντι καὶ πολλάκις ἀναπεταννύντι τὰς πύλας καὶ ἐξερχομένῳ καὶ οὐ μικρῶς τοὺς περὶ τὸν σουλτάνον βλάπτοντι. κατὰ δὲ Ῥωμαίων δύναμιν ἑτέραν ἐκπέμπει, ἀμφὶ τὰς εἴκοσι χιλιάδας, στρατηγὸν ἐπιστήσας αὐτῇ ἀδελφόπαιδα Ἀσὰν τὸν λεγόμενον κωφόν, ἐπισκήψας τὴν ταχίστην ἀφικέσθαι, καὶ εἰ προσχωροίη, προσκτήσασθαι αὐτῷ τὴν Μηδίαν. καὶ ταῦτα μὲν ἐπράττετο ἐν Περσίδι.

11. Παγκράτιος δὲ ὁ τῆς Ἰβηρίας ἀρχηγός, ἀκόλαστος ἄνθρωπος, ἐς τοῦ Λιπαρίτου τὴν κοίτην ἐξυβρίσας (ἦν δὲ ὁ Λιπαρίτης υἱὸς τοῦ ἐπὶ τοῦ βασιλέως Βασιλείου ἐν τῷ πρὸς τὸν Γεώργιον πολέμῳ ἀναιρεθέντος Ὀρατίου τοῦ Λιπαρίτου, ἐπὶ συνέσει τε καὶ ἀνδρείᾳ βεβοημένος καὶ μεγάλα μετὰ τὸν Παγκράτιον δυνάμενος ἐν τοῖς Ἴβηρσιν) ἠνάγκασε τοῦτον ἐπὶ τῷ γεγονότι δεινοπαθήσαντα ὅπλα κατ' αὐτοῦ κινῆσαι. καὶ πολέμῳ τοῦτον τρεψάμενος ἐς τὰ Καυκάσια καὶ τὴν ἔνδον ἀπελαύνει Ἀβασγίαν, ἐν τοῖς βα|σιλείοις τε γενόμενος τῇ ἑαυτοῦ μίγνυται πρὸς βίαν δεσποίνῃ, τῇ μητρὶ τοῦ Παγκρατίου, καὶ τῶν ὅλων τῆς Ἰβηρίας

24 Bagrat IV. regnavit ab a. 1027 usque ad a. 1072

ACEVBMNU DH 6 καὶ post Νικηφ. add. B (cf. Niceph. Bryenn. 30, 8) 8 δηλογνώμων A καὶ alt. om. B 9 Κουτλουμοὺς ACEVBMN: Κουτλουμοῦς UH: Κουτλουμούσης D 10 κατασχὼν VBMNU: καταλαβὼν ACE 11 καὶ post ἥτις add. B Πάσσαρ U |12 τὸ — τοῦτον: τὸν νοῦν ἔχων τοῦτον U τε post τό add. B πολεμεῖν B 13 τῶν om. AC 14 δ' V 15 Κουτλουμοὺς AEVBMN: Κουτλουμοῦς CUH: Κουτλουμοῦσι D 16 Πάσσαρ U 18 θαρροῦντες U ἀναπεταννύντι ACEVBN: ἀναπεταννύντας U: ἀναπεταννύντος M 19 ἐξερχομένους U τοὺς περὶ om. M βλάπτοντας U 20 Ῥωμαίων ACEVBND: Ῥωμαίους MU ἑτέραν ἐκπέμπει (ἑτέραν om. A) ACEVBUD: ἐκπέμπει ἑτέραν N κ' C στρατηγὸν: στρατὸν B 21 ἀδελφόπαιδα om. B Ἀσὰν ACVBNU Niceph. Bryenn. 31, 18: Ἀσᾶν M: Ἄσανον E 22 προχωροίη EU κτήσασθαι B 24 Παγκράτης U δὲ om. B 25 τοῦ Λιπαρίτου post ἐξυβρίσας B ἐξυβρίσας VBMNU: ὑβρίσας ACE 26 τοῦ om. B Βασιλείου βασιλέως B 27 Ὀρατίου τοῦ om. B ἀνδρίᾳ ACE 28 μέγα B 29 δεινοπαθήσαντι E 30 εἰς BH 31 τε γενόμενος: περιγενόμενος B

πραγμάτων κύριος γίνεται. γράμματά τε εἰς τὸν βασιλέα πέμψας φίλος καὶ σύμμαχος ἐξαιτεῖ γενέσθαι Ῥωμαίων. οὗ τὴν πρεσβείαν δεξάμενος οὗτος κοινοπραγεῖ μετ' αὐτοῦ. μετὰ δέ τινα χρόνον καὶ ὁ Παγκράτιος διὰ τοῦ Φάσιδος ποταμοῦ καὶ Σουάνων καὶ Κόλχων ὁδοιπορήσας ἔρχεται εἰς Τραπεζοῦντα, κἀκεῖθεν ἀγγέλους ἐκπέμπει πρὸς βασιλέα, δηλῶν, ὡς ἔφεσιν ἔχει εἰσελθεῖν ἐν τῇ βασιλίδι καὶ αὐτῷ ἐντυχεῖν. προσταχθεὶς οὖν εἴσεισι, καὶ τῷ βασιλεῖ ἐντυχὼν πρῶτον μὲν ὀνειδίζει πολλά, ὅτιπερ βασιλεὺς ὢν καὶ πρὸς ἀρχηγὸν οὐ μικρᾶς χώρας τῆς Ἀβασγίας σπονδὰς ἔχων ταύτας μὲν ἠθέτησε, προσέθετο δὲ ἀνδρὶ ἰδιώτῃ καὶ δούλῳ καὶ ἀποστάτῃ, ἔπειτα καὶ καταλλάξαι ἀλλήλους παρακαλεῖ. ὃ δὴ καὶ γέγονε τῇ σπουδῇ τοῦ βασιλέως σπεισαμένων ἀλλήλοις, ὥστε τὸν μὲν Παγκράτιον κύριον εἶναι καὶ ἀρχηγὸν πάσης τῆς Ἰβηρίας καὶ Ἀβασγίας, αὐτὸν δὲ μέρους ἄρχοντα τῆς Μεσχίας διὰ βίου κύριον ἐκεῖνον ἔχειν καὶ βασιλέα. καὶ τὰ μὲν κατὰ τὴν Ἀβασγίαν κατήντησεν εἰς τοῦτο.

12. Ἀσὰν δὲ ὁ κατὰ Ῥωμαίων πεμφθεὶς παρὰ τοῦ σουλτάνου, παρελθὼν τὸ Ταβρέζιον καὶ τὸ λεγόμενον Τεφλὶς ἦλθεν εἰς Βαασπρακανίαν, πάντα κείρων καὶ πυρπολῶν καὶ τοὺς προσπίπτοντας ἀναιρῶν καὶ μηδὲ τῆς παιδικῆς φειδόμενος ἡλικίας. ὁ δὲ τῆς χώρας ἄρχων Ἀαρὼν βέστης, ὁ τοῦ Βλαδισθλάβου | υἱὸς καὶ τοῦ Προυσιάνου ἀδελφός, μὴ ἀξιόμαχον εἰδὼς ἑαυτὸν μηδὲ δυνάμενον ἀντιστῆναι πρὸς τοσαύτην Τούρκων πληθύν, γράμματα ἐκπέμπει πρὸς τὸν βέστην Κατακαλὼν τὸν Κεκαυμένον τοῦ Ἀνίου καὶ τῆς Ἰβηρίας κατάρχοντα, καὶ ὁπόση δύναμις παρακαλεῖ βοηθεῖν. ὁ δὲ τὰ γράμματα δεξάμενος καὶ θᾶττον, ἢ λόγος τὸν ἀμφ' αὐτὸν ἀγείρας στρατόν, ἄπεισι διὰ ταχέων καὶ

33/34 non multum post diem 14. mens. Sept. a. 1047 **44** a. circiter 1048 **48** incursiones factae sunt ab a. 1048

cap. 12: Zon. III, 637, 14—637, 16

ACEVBM (usque **47** τοῦτο) NU DH **34** ξύμμαχος CE **35** κοινοπραγεῖ ACEMNU: κοινοπραγεῖται VB **37** ἀγγελίαν E **38** τὸν ante βασιλέα add. CM εἰσελθεῖν post βασιλίδι U βασιλίδι ACEVBUD: πόλει MN **39** μὲν om. U **43** δὴ om. B γέγονε: γέγονεν καὶ U σπουδῇ: συμβουλῇ B **44** ἀλλήλους E Παγκρ. μὲν M **45** τῆς pr. om. B Βεσχίας C **45/46** κύριον διὰ βίου B **46** τὴν om. U **47** τοῦτο ACEVMN: τοῦτον U: τοσοῦτον B **48** Ἀσᾶν BU πεμφθεὶς post σουλτάνου VB **49** Ταβέρζιον A Τεφλὶς ACEN: Τεφλῆς U: Τελφὶς VB Βαασπρακάν B **50** καὶ τοὺς — ἀναιρῶν om. U **51** Ἀαρὼν post **52** υἱὸς B **52** βέστης om. ACE ὁ — ἀδελφός: ὁ Βούλγαρος, ὁ τοῦ Βλαδισθλάβου μὲν υἱός, ἀδελφὸς δὲ τοῦ Πρεασιάνου, γενναῖος ἀνὴρ καὶ συνετὸς καὶ πολεμικῆς ἔμπειρος μάχης U ὁ — υἱὸς ante **51** Ἀαρὼν B **52** Βαδισθλάβου E **54** Τούρκων πληθύν VBNU: δύναμιν Τούρκων ACE γράμματα: τάγματα B τὸν βέστην: τοσαύτην E **55** ἄρχοντα B ῥαίκτην ἄνδρα καὶ δραστήριον post κατάρχοντα add. U **56** παρακαλῶν A τὰ om. B **57** στρατόν: λαόν DH

ἑνοῦται τῷ Ἀαρών. καὶ συμβουλῆς προτεθείσης, πότερον νυκτομαχίᾳ χρηστέον, ἢ φανερὰν μάχην ἀναδεκτέον, πρὸς οὐδέτερον ὁ Κεκαυμένος κατένευεν, ἐγνώκει δὲ τρόπον ἄλλον καταστρατηγῆσαι τοὺς ἐχθρούς. συνεβούλευσε γὰρ τὴν παρεμβολὴν καταλιπόντας, ὡς εἶχε, μετὰ τῶν σκηνῶν καὶ τῶν ὑποζυγίων καὶ τῆς ἄλλης ἀποσκευῆς, λόχους νυκτὸς ἐν ἐπικαιροτάτοις στῆσαι χωρίοις, κἀπειδὰν οἱ Τοῦρκοι ἀφίκωνται καὶ ἔρημον ἀνδρῶν εὑρόντες τὸν χάρακα πρὸς διαρπαγὰς τῶν ἔνδον χωρήσωσι, τότε δὴ τῆς ἐνέδρας ἀπαναστάντας ἐπιθέσθαι αὐτοῖς. καί γε οὐ διεψεύσθη τοῦ σκοποῦ. ἕωθεν γὰρ ὁ Ἀσὰν ἀναστὰς ἐκ τῆς οἰκείας παρεμβολῆς κατὰ τὸν Στράγνα κειμένης ποταμὸν ἄπεισιν ὡς πρὸς πόλεμον. ὡς δὲ οὐδεὶς ὑπήντα, ἐπλησίασε δὲ καὶ τῷ χάρακι τῶν Ῥωμαίων, καὶ οὔτε φυλακὴν εἶχεν, οὔτε φωνὴ ἐξηκούετο, ἀλλὰ κενὸς ἦν πάσης δυνάμεως, τότε δὴ φυγεῖν ὑπονοήσας τοὺς Ῥωμαίους ῥήγνυσί τε διὰ πολλῶν τόπων τὴν παρεμβολὴν καὶ διαρπαγὴν ποιεῖσθαι τῶν λαφύρων κελεύει. οἱ δὲ Ῥωμαῖοι περὶ δείλην ὀψίαν ἀναστάντες τῶν λόχων ἀσυντάκτοις συντεταγμένοι προσρήγνυνται τοῖς Τούρκοις καὶ | παραχρῆμα τρέπουσι, τὸ ἀνυπόστατον μὴ ἐνεγκόντας τῆς Ῥωμαϊκῆς ὁρμῆς. πίπτει μὲν οὖν πρῶτος ὁ Ἀσὰν ἐν τοῖς πρώτοις ἀγωνιζόμενος, πίπτει δὲ καὶ ὅσον ἄλκιμον τοῦ στρατοῦ. οἱ δὲ περισωθέντες λίαν ὀλίγοι καὶ γυμνοὶ διὰ τῶν ὀρέων ἐς τὰς τῶν Περσαρμενίων διασῴζονται πόλεις.

13. Ὁ δὲ σουλτάνος διὰ τῶν ἀποδράντων μεμαθηκὼς τὸ συμβὰν ἀτύχημα εἰς μεγάλην ἐνέπεσεν ἀγωνίαν καὶ ἐν σπουδῇ ἐποιεῖτο, ὅπως ἂν τὴν γενομένην ἐπανορθώσηται ἀκληρίαν. καὶ δὴ λαὸν ἐπίλεκτον συστησάμενος ἔκ τε Τούρκων καὶ Καβείρων καὶ Διλιμνιτῶν περὶ τὰς ἑκατὸν χιλιάδας, καὶ Ἀβραμίῳ Ἀλεὶμ τῷ ἑτεροθαλεῖ ἀδελφῷ αὐτοῦ

cap. 13: Zon. III, 637, 16—639, 7

ACEVBNU DH **58** πότερον ACEBN: πρότερον VUDH **60** κατένευσεν D ἐγνώκει ante τοὺς VB δὲ τρόπον ACENU: τρόπον δὲ VB ἄλλον ACEVBUD: ἕτερον N **61** συνεβούλευσε ACENU: συνεβούλευε VB καταλιπόντα U **63** ἐπικαιροτάτοις VBNU: ἐπικαιροτάτῳ A: ἐπικαιροτ' CE χωρίοις VBNU: χωρίῳ A: χώ CE ἀφίκονται BNUD **64** διαρπαγὴν B χωρήσωσι ACEVBUD: χωρήσουσι N **65** ἐπαναστάντας A αὐτοῖς ἐπιθέσθαι A |**66** Ἀσὰν ACEVND: Ἀσᾶν B: Ἀσσᾶν U ἀναστὰς (post γὰρ E) ACEVNU: ἀπαναστὰς B **67** Στράγνα CENU: ἐν Στράγνᾳ A: Στράγναν V: Στράγγων B κειμένης EVBNU: κειμένην C: om. A **69** εἶχεν: εὗρεν A **69/70** ἀλλὰ — Ῥωμαίους om. B **70** ἀναρρήγνυσι B **71** τόπων: τρόπων B ποιεῖσθαι — κελεύει: κελεύει τῶν λαφ. ποιεῖσθαι A **72** δειλίαν U ἀσυντάκτως BU **73** συντεταγμένοις E συντεταγμένοι — Τούρκοις: σὺν ῥρήγνυται τοῖς Τούρκοις συντεταγμένοι U τοῖς om. V **74** ἐνεγκόντες E Ῥωμαίων B **75** Ἀσὰν ACEVN: Ἀσᾶν B: Ἀσσᾶν U **77** εἰς B τὰς: τὰ AC τῶν ACEVUD: om. BN Περσαρμενίων ACEVN: Παρσαρμενίων U: περὶ Ἀρμενίων B **80** ἐπανορθώσητ' U ἀκληρίαν ACEVN: εὐκληρίαν U: δυσκληρίαν B **81** τε: τῶν B Διλιμνιτῶν ACEV: Διλιμνητῶν UD: Δολιμνιτῶν B: Διμνιτῶν N: Λιμνητῶν H **82/83** ἑτεροθαλεῖ — ταύτας ACENU: αὐτοῦ ἑτεροθαλεῖ ἀδελφῷ ταύτας παραδούς VB

παραδοὺς ταύτας, κατὰ Ῥωμαίων ἐκπέμπει. ἀγγελθείσης δὲ τῆς ἐφόδου, ἑνωθέντες πάλιν οἱ ἄνωθεν ῥηθέντες ἄρχοντες τῶν στρατευμάτων βουλὴν προετίθεσαν καὶ διεσκοποῦντο τὸ πρακτέον. καὶ τῷ μὲν Κεκαυμένῳ ἐδόκει μετὰ τῆς παρούσης δυνάμεως ὑπαντῆσαι τοῖς Τούρκοις ἔξωθεν τῶν Ῥωμαϊκῶν ὅρων, κἀκεῖσε διαγωνίσασθαι, ἔτι τῶν πλειόνων ἀντιπάλων ἀνίππων ὄντων καὶ τῆς ἄλλης δυνάμεως κεκμηκυίας ἀπὸ τῆς πλείστης ὁδοιπορίας, ἐπιλελοιπότων δὲ καὶ τῶν σιδηρίων τοῖς Τούρκοις, οἷς τὰς χηλὰς τῶν ζῴων εἰώθασι περιστέλλειν, ἐπηρμένων δὲ καὶ τῶν Ῥωμαίων καὶ θαρραλέων ὄντων ἀπὸ τῆς προηγησαμένης νίκης καὶ προθυμουμένων συμμῖξαι τοῖς πολεμίοις. τοὐναντίον δὲ ὁ Ἀαρὼν ἀπεφαίνετο ἐπέχειν τὰς δυνάμεις, λέγων ὀχυρῶσαί τε τὰς πόλεις καὶ τὰ φρούρια καὶ εἴσω τειχῶν συγκλεῖσαι τὰ πάντα, μηνῦσαί τε τῷ βασιλεῖ καὶ μὴ ἄνευ γνώμης ἐκείνου μετὰ δυνά|μεως μικρᾶς πρὸς τοσοῦτον πλῆθος πολεμῆσαι βαρβάρων. οὕτω δὲ τῶν στρατηγῶν ἀποφηναμένων ἐνίκησεν ἡ τοῦ Ἀαρὼν γνώμη. καὶ αὐτοὶ μὲν μετὰ τῆς στρατιᾶς ἀπελθόντες ἐν Ἰβηρίᾳ κατά τινα πεδιάδα ἐγχωρίως Οὐρτροὺ λεγομένην ἔμενον ἡσυχάζοντες ἐν τοῖς ὑπαίθροις, πάντα πρότερον τὸν ἀγρότην λαὸν καὶ γυναῖκας καὶ παῖδας καὶ πᾶν, ὅ τι τίμιον συγκλείσαντες ἐν τοῖς ὀχυρώμασιν. ἔγραψαν δὲ καὶ τῷ βασιλεῖ διὰ ταχυδρόμου, δηλοποιήσαντες τὴν τῶν ἐναντίων ἐπέλευσιν. δεξάμενος οὖν οὗτος τὰ γράμματα ἐκείνοις μὲν ἐπέχειν ἐκέλευεν, ἕως ἂν ὁ Λιπαρίτης μετὰ τῆς τῶν Ἰβήρων δυνάμεως ἐλθὼν τοῖς Ῥωμαϊκοῖς ἑνωθῇ στρατεύμασι· πέμπει δὲ πρὸς ἐκεῖνον γράμματα διοριζόμενα τὴν ταχίστην, εἴπερ σύμμαχον ἑαυτὸν καὶ φίλον κρίνει Ῥωμαίων, ἀνειληφότα πάντα τὸν περὶ αὐτὸν λαὸν ἀφικέσθαι καὶ συμμῖξαι τοῖς στρατηγοῖς τῶν Ῥωμαίων καὶ μετ᾽ αὐτῶν διαπολεμῆσαι πρὸς τοὺς βαρβάρους. οἱ μὲν οὖν στρατηγοὶ τὰ γράμματα δεξάμενοι ἠρέμουν, ὡς ἐκελεύσθησαν, καὶ τὴν τοῦ Λιπαρίτου προσέμενον ἄφιξιν, ἐκεῖνος δὲ τὸ βασιλικὸν δεξάμενος πρόσταγμα τὸν ἑαυτοῦ μετὰ σχολῆς ἤθροιζε καὶ καθώπλιζε λαόν. ἐν ὅσῳ δὲ οὗτος τὰς οἰκείας συνεκρότει δυνάμεις καὶ ὁ χρόνος ἐτρίβετο, ὁ Ἀβράμιος τὴν Βαασπρακανίαν καταλαβὼν καὶ μαθών, ὅτι περ οἱ Ῥωμαῖοι ἐνταῦθα συνειλεγμένοι καὶ τὴν αὐτοῦ μαθόντες ἐπέλευσιν ὑπενόστησαν

8/9 ante diem 16. mens. Sept. a. 1049

ACEVBNU DH 85 προστίθεσαν B 87 ὁρίων B 89 ἀπό: ἐκ B σιδηρίων: σιδηρειῶν ὅπλων U 90 ζῴων: ἵππων B 92 πολεμίοις: ἐναντίοις B 92/93 ὁ Ἀαρὼν om. A 93 ἀπεφήνατο B 3 ἐπελθόντες U Οὐρτροὺ ACEVN: Οὐρτροῦ BU: Οὐστροῦ H: Οὐρτοὺρ D 4 λεγομένην post 3 ἐγχωρίως VB 6 ταχυδρομίας B 7 δηλοποιοῦντες B οὗτος: ἐκεῖνος E 8 ἐκέλευεν, ἕως (ἐκέλευσεν E) ACENU: ἐκέλευε, μέχρι VB 10 καὶ ante πρὸς add. B διοριζόμενα om. B 11 ἑαυτὸν σύμμαχον B 13 μετ᾽: δι᾽ B 16 ἤθροιζε — λαόν ACENU: ἤθρ. λαὸν καὶ καθώπλιζεν VB 17 ὁ pr. om. A ὁ Ἀβράμιος post 18 καταλαβὼν B 19 ὄντες post συνειλεγμένοι add. VB ἐπέλευσιν om. U

εἰς Ἰβηρίαν, δειλίαν, ὅπερ ἦν εἰκός, τὸ πρᾶγμα ὑπονοήσας, παρ' οὐδὲν θέμενος καὶ λείαν καὶ λαφυραγωγίαν, ἐδίωκεν ὄπισθεν αὐτῶν, ἐπειγόμενος συρράξαι τοῖς παροῦσι πρὸ | τοῦ καὶ ἑτέραν συναθροισθῆναι δύναμιν. ὅπερ μαθόντες οἱ στρατηγοὶ τῶν Ῥωμαίων καὶ πτοηθέντες, μή πως ἀναγκασθῶσι καὶ ἄκοντες πολεμῆσαι πρὸ τοῦ τὸν Λιπαρίτην καταλαβεῖν, ὑποδύντες τινὰ δυσχωρίαν ἀπόκρημνον καὶ φάραγξι πάντοθεν κυκλουμένην ἡσύχαζον, γράψαντες πρὸς τὸν Λιπαρίτην ἥκειν τὴν ταχίστην καὶ μὴ βραδύνειν. ὁ δὲ Ἀβράμιος ἠστοχηκὼς τῆς Ῥωμαϊκῆς στρατιᾶς ἔρχεται εἰς τὸ λεγόμενον Ἄρτζε. κωμόπολις δὲ τὸ Ἄρτζε μυρίανδρος καὶ πολὺν πλοῦτον ἔχουσα· ᾤκουν γὰρ ἐν αὐτῇ ἰθαγενεῖς τε ἔμποροι καὶ Σύρων καὶ Ἀρμενίων καὶ ἄλλων ἐθνῶν πληθὺς οὐκ ὀλίγη. οἵτινες τῇ οἰκείᾳ θαρροῦντες πληθύϊ οὐ κατεδέξαντο εἴσω τείχους γενέσθαι, καὶ ταῦτα τῆς Θεοδοσιουπόλεως ἐκ γειτόνων κειμένης, μεγίστης πόλεως καὶ τεῖχος ἐχούσης ἰσχυρὸν καὶ ἀνάλωτον, πολλὰ τοῦ Κεκαυμένου διὰ γραμμάτων καὶ ἀπειλήσαντος καὶ παρακαλέσαντος. καταλαβόντων οὖν τῶν Τούρκων καὶ ἁπτομένων ἔργου, οἱ ἐν τῷ Ἄρτζε τὰς διόδους συγκλείσαντες καὶ ἐπὶ τῶν δωμάτων ἀναβάντες λίθοις καὶ ξύλοις καὶ τόξοις τοὺς ἐπιόντας ἠμύνοντο. καὶ διετέλεσαν μαχόμενοι ἐφ' ὅλας ἡμέρας ἕξ. ἀγγελθέντος δὲ τούτου τοῖς στρατηγοῖς, ὁ Κεκαυμένος πολὺς ἦν ἐγκείμενος καὶ παρακαλῶν ἀπελθεῖν καὶ συμβαλεῖν τοῖς Τούρκοις τὸν νοῦν ἔχουσι πρὸς τῇ πολιορκίᾳ, καὶ μὴ καθῆσθαι τηνάλλως καὶ τρίβειν τὸν χρόνον, τὴν συκίνην προσμένοντας ἐπικουρίαν τὸν Λιπαρίτην, καὶ τὸν ἐπιτήδειον παρατρέχοντα βλέπειν καιρόν, οὗ τυχεῖν πάλιν οὐ ῥᾴδιον. ἀντιπίπτοντος δὲ τοῦ Ἀαρὼν καὶ μηδέν τι διαπράξασθαι λέγοντος παρὰ τὸ βασιλικὸν βούλημα, ἡσυχίαν | καὶ αὐτὸς ἦγεν. Ἀβράμιος δέ, μὴ κατὰ σκοπὸν χωρούντων αὐτῷ τῶν πραγμάτων, μὴ δυνάμενος πολιορκίᾳ τὴν κωμόπολιν παραστήσασθαι, ὑπεριδὼν καὶ πλούτου καὶ λείας πῦρ ἐνεῖναι τοῖς δώμασιν ἐγκελεύεται, καὶ εὐθὺς οἱ Τοῦρκοι δαλοὺς αἴροντες καὶ ὕλην εὔπρηστον ἐξάπτοντες ἐρρίπτουν ἐν τοῖς δώμασιν. ἀναφθέντος δὲ τοῦ πυρὸς πανταχόθεν καὶ πυρκαϊᾶς μεγίστης ἀνεγερθείσης, οἱ Ἀρτζηνοὶ πρός τε τὸ πῦρ, πρός τε τὰς ἐκ τῶν τόξων

41 τὴν συκίνην ... ἐπικουρίαν: prov., cf. Mac. 7,83; Apost. 15,81; cf. etiam Zenob. 3,44

ACEVBNU DH 20 ὅπερ: ὥσπερ B 21 ὄπιθεν VN 22 συρρῆξαι B καὶ om. E συναθροῖσαι E 22/23 δύναμιν συναθροισθ. U 25 πάντοθεν VBNU: πανταχόθεν ACE κυκλουμ. πάντ. U 26/27 ἥκειν — καὶ om. U 27 καταβραδύνειν B στρατιᾶς: δυνάμεως B 28 μυρίανδρος ACENU: μυρίανδρον VB 29 ἔχων B γάρ: δὲ U αὐτῇ: αὐτῷ B ἰθαγενεῖς AEUD: ἰθαιγενεῖς CVN τε om. VB 32 κειμένη U μεγίστης πόλεως ACENU: πόλ. μεγ. VB 33 τε post ἰσχυρόν add. A 34 γραμμάτων: πραγμάτων B καὶ pr. om. E 36/37 ξύλοις καὶ τόξοις: τόξοις καὶ ξύλοις U 37 ἠμύναντο B 41 τὸν Λιπαρίτην om. B 42 βλέποντας B καιρὸν post ἐπιτήδειον B 43 λέγοντος om. A 46 πολιορκίαν E παραστήσεσθαι AEU 48 καὶ — ἐξάπτοντες om. A ἐρρίπτουν ENUD: ἔρριπτον AC: ἐνέρριπτον V: ἐνερρίπτουν B ἐν om. VB 49 ἀναφθέντος VBNU: ἀνημμένου ACE 50 ἀνεγερθείσης: ἀναδοθέντος U

βολὰς μὴ δυνηθέντες ἀντέχειν ἐνέκλιναν εἰς φυγήν. καὶ λέγεται ἀπολέσθαι περὶ τὰς ἑκατὸν πεντήκοντα χιλιάδας ἀνδρῶν, τῶν μὲν μαχαίρας, τῶν δὲ πυρὸς παρανάλωμα γεγονότων. οὗτοι γὰρ ἐπεὶ κατισχυμένοι ἔγνωσαν, ἀποσφάττοντες γυναῖκας καὶ τέκνα ἑαυτοὺς εἰς τὸ πῦρ ἀπερρίπτουν. οὕτω τοῦ Ἄρτζε ληφθέντος, πολὺ χρυσίον εὑρὼν ὁ Ἀβράμιος καὶ ὅπλα καὶ ἄλλα τινὰ χρειώδη σιδήρια, ὁπόσα μὴ τῷ πυρὶ κατέστησαν ἄχρηστα, περιβαλλόμενος δὲ καὶ ἵππον οὐκ ὀλίγην καὶ ὑποζύγια καὶ τὸν ἑαυτοῦ λαὸν καθοπλίσας, ὡς ἔδει, ὑπέστρεψεν ἀναζητῶν τὴν Ῥωμαϊκὴν δύναμιν.

14. Αὕτη δὲ καταλαβόντος ἤδη καὶ τοῦ Λιπαρίτου καταβᾶσα ἀπὸ τοῦ ῥηθέντος ὀχυρώματος ἔκειτο ἐν τῇ πεδιάδι κατὰ τοὺς πρόποδας τοῦ βουνοῦ, ἔνθαπερ ἵδρυται τὸ Καπετροῦ φρούριον. ἐρχομένων οὖν τῶν Τούρκων σποράδην, συνεβούλευε πάλιν ὁ Κεκαυμένος συμβαλεῖν αὐτοῖς διεσπαρμένοις οὖσι καὶ ἀσυντάκτοις ἔτι. ἀλλ' ὁ Λιπαρίτης οὐκ ἤθελε διὰ τὴν ἡμέραν· ἦν γὰρ σάββατον, ὀκτωκαιδεκάτην ἄγοντος τοῦ Σεπτεμβρίου μηνός, τῆς δευτέρας ἰνδικτιῶνος, | ἐν ταῖς ἀποφράσι δὲ τῶν ἡμερῶν τῷ Λιπαρίτῃ τὸ σάββατον ἐνομίζετο, ὅπερ ἀποτροπιαζόμενος ἀνεδύετο πολεμεῖν. καὶ τὰ μὲν τῶν Ῥωμαίων ἐν τούτοις, ὁ δὲ Ἀβράμιος διὰ τῶν προδρόμων μαθών, ὅποι τε οἱ Ῥωμαῖοι ηὐλίζοντο καὶ ὅτι ἠρεμοῦσι, συντάξας τὰς ἑαυτοῦ δυνάμεις ἤρχετο συντεταγμένος πρὸς μάχην. τοῦτο δὲ καὶ ἡ ἀντίπαλος δύναμις ἰδοῦσα ἀκουσίως καὶ αὐτὴ ἀντεπαρετάττετο, τὸ μὲν δεξιὸν ἔχοντος κέρας τοῦ Κεκαυμένου, τοῦ δὲ Ἀαρὼν τὸ εὐώνυμον, ἐν τοῖς μέσοις δὲ ὁ Λιπαρίτης ἐτάττετο. ἦν δὲ καὶ ἡ ὥρα περὶ βουλυτόν. τῷ μὲν οὖν Κεκαυμένῳ ἀντιμέτωπος ἦν

65/66 a. 1049 (secundum F. Dölger, Regg.)

---

cap. 14: Zon. III, 639, 7—640, 1

ACEVBNU DH **51** ἐνέκλιναν ACVN: ἔκλιναν EBU λέγεται ἀπολέσθαι: γίνεται φθόρος A ἀπολέσθαι om. ACE **52** ρν' CE **53** πυρός post γεγονότων U γεγονότων ACEVBU: γενγόσθαι N: γενομένων D |κατισχυμένοι D: κατισχημένοι A: κατησχημένοι C: κατισχημμένοι E: κατησχυμμένοι V: κατισχυόμενοι BU: κατισχυμμένοι N **54** ἀποσφάττεσθαι DH καὶ ante ἑαυτοὺς add. A **55** ὁ om. AC **56** καὶ ante σιδήρια add. B σιδήρια om. ACE τῷ πυρί post **57** ἄχρηστα A **57** ἄχρηστα: εὔπρηστα U περιβαλλόμενος CEVN: περιβαλόμενος A: περιβαλλόμενοι BU ὑποζύγιον B **60** καὶ om. ND **62** Καπετροῦ ACEVN: Καρπετροῦ U: Καταπετροῦ B **63** σποράδην AVBD: σποράδων CENU **64** διεσπαρμένοις om. B ἔτι ACVBN: ἤδη E: om. U **65** ιη' C τότε ante τοῦ add. A **66** β' CEBNU **68** τῶν om. AEN (sed non D) **69** ὅπῃ A **71** πρὸς ACVN: εἰς E (suprascr. πρὸς) BU **72** αὐτὴ ACENU: αὕτη VB ἀντεπαρετάττετο VN: ἀντεπαρετάσσετο U: ἀντιπαρετάττετο B: παρετάττετο CE: παρατάττεται A: ἀντιπαρατάττεται D **72/73** τὸ — ἐτάττετο om. B **73** τοῦ VNU: τῷ ACE

ὁ Ἀβράμιος, τῷ δ' Ἀαρὼν Χωροσάντης ἅτερος στρατηγός, καταντικρὺ δὲ τοῦ Λιπαρίτου Ἀσπὰν Σαλάριος ὁ τοῦ Ἀβραμίου ἑτεροθαλὴς ἀδελφός. συμπλοκῆς δὲ γενομένης ὁ μὲν Κεκαυμένος καὶ ὁ Ἀαρὼν τὰ κατ' αὐτοὺς ἐτρέψαντο κέρατα καὶ μέχρι φωνῆς ἀλεκτρυόνων ἐδίωκον, ὁ δὲ Λιπαρίτης, πεσόντος αὐτῷ τοῦ ἀνεψιοῦ, δεινοπαθήσας καὶ μεθ' ὁρμῆς βιαίας ἐλάσας, τοῦ ἵππου αὐτοῦ τρωθέντος καὶ πεσόντος ἁλίσκεται. καὶ ὁ μὲν ἦν ἐν τούτοις, οἱ δὲ Ῥωμαῖοι παυθέντες ἐκ τῆς διώξεως καὶ τῶν ἵππων ἀποβάντες καὶ τῷ θεῷ δόντες ὕμνους ἐπινικίους, ἐν μιᾷ φωνῇ βοήσαντες τὸ 'τίς θεὸς μέγας, ὡς ὁ θεὸς ἡμῶν' προσέμενον τὸν Λιπαρίτην, ἐλπίζοντες καὶ αὐτὸν διώκειν ὄπισθεν τῶν ἐχθρῶν. ἐπεὶ δὲ ἐφαίνετο οὐδαμοῦ, ἐν ἀμηχανίᾳ ἦσαν, διαποροῦντες, ὅ τι καὶ γένοιτο. οὕτω δὲ διαπορουμένοις αὐτοῖς ἔρχεταί τις στρατιώτης τῶν ὑπ' ἐκείνῳ ταττομένων καὶ μηνύει τοῖς στρατηγοῖς τὴν ἐκείνου τροπὴν καὶ τὴν ἅλωσιν, καὶ ὅπως ὁ Ἀβρά|μιος ἐκ τῆς φυγῆς ἐπανελθὼν καὶ τῷ οἰκείῳ ἑνωθεὶς ἀδελφῷ (ὁ γὰρ Ἀσὰν ἔπεσεν ἐν τῷ πολέμῳ) ἀναλαβόμενοι τὸν Λιπαρίτην καὶ τοὺς ἁλόντας τῶν Ἰβήρων ὑπενόστησαν εἰς τὴν λεγομένην Καστροκώμην, σπουδαίαν τὴν ὁδοιπορίαν ποιούμενοι. ἀπεπάγησαν πρὸς τὴν ἀκοὴν οἱ ἄρχοντες τοῦ στρατοῦ. ὅμως διανυκτερεύσαντες ἄγρυπνοι, ἐπείπερ ἡμέρα ἐπέλαμψε καὶ βουλὴ προετέθη καὶ τοῖς πᾶσι συμφέρον ἐνομίσθη ἕκαστον οἴκαδε ἀπελθεῖν, ὁ μὲν Ἀαρὼν τὸν οἰκεῖον ἀνειληφὼς λαὸν ἄπεισιν εἰς τὸ Ἰβάν (μητρόπολις δὲ αὕτη τοῦ Βαασπρακᾶν), ὁ δὲ Κεκαυμένος μετὰ τῶν ἰδίων ἀνῆλθεν εἰς τὸ Ἀνίον. ὁ δὲ Ἀβράμιος τῇ τοῦ Λιπαρίτου ἀρκεσθεὶς ἁλώσει, καὶ ὀλβιώτερον ἑαυτὸν κρίνας παντὸς ἀνθρώπου διὰ τὸ παρὸν εὐτύχημα, μηδὲν ἕτερον πολυπραγμονήσας, ἀλλ' ἐπιτείνας τὴν ὁδοιπορίαν, διὰ πέντε ἡμερῶν παραγίνεται εἰς τὸ λεγόμενον Ῥέ, κἀκεῖθεν ἄπεισιν εἰς τὸν σουλτάνον προπέμψας τὰ εὐαγγέλια καὶ τὴν τοῦ Λιπαρίτου μηνύσας κατάσχεσιν.

ACEVBNU DH 75 Χωροσάντης ANUD: Χωροσάντις C: Χοροσάντης E: Χωροσάνης V: Χορσάνης B: Χωροσάντων H: Χοροσάνης Zon. III, 639, 9 ἅτερος ACENU: ἕτερος VB 76 Ἀσπὰν ACNU: Ἀσπὰμ EVBD: Ἀπὰμ H Σαλάριος ACEVN: Σελάριος UH: Σαλάρης B: Σαλαρ' D 77 καὶ ante συμπλοκῆς add. C κατὰ U 78 κέρατα ACEB: κέραια VNU μέχρις B 79 αὐτῷ ACEBU: αὐτοῦ (post ἀνεψιοῦ D) VNDH 80 ἐλάσας om. N (sed non D) ἵππου αὐτοῦ: ἑαυτοῦ ἵππου U 81 ἐκ om. VBZon. III, 639, 14 83 τὸ om. B 83/84 τῷ Λιπαρίτῃ U 84 ὄπιθεν VNU ἐπεὶ ACENU: ὡς B: om. V 84/85 ἐφαίνετο δὲ V 85 διαποροῦντες: διατηροῦντες U 87/88 τὴν ἅλωσιν VBNU: κατάσχεσιν ACE 89 Ἀσᾶν B Ἀσὰν — πολέμῳ: Χωροσάντης ἔπεσεν ἐν τῷ πολέμῳ, τοῦ Ἀαρὼν αὐτὸν καταστοχήσαντος U ἔπεσεν: πέπτωκεν A ἀναλαβόμενοι VBNU: ἀναλαβόμενος ACE 90 ὑπενόστησαν VBNU: ὑπενόστησεν ACE 91 Καστροκώμην ACEVBNUD: Καστρόπολιν H 93 ὑπέλαμψε C βουλὴν B 94 ἕκαστον om. B οἴκαδε ἐπανελθεῖν U 95 τὸ VBND: τὸν ACEH: τὴν U Ἰβᾶν U αὕτη: τοῦτο B 1 Βαασπρακάν A ἰδίων VBNU: οἰκείων ACE ἀνῆλθεν VBNU: ἐπανῆλθεν ACE Ἀννίον A 2 ἀρκεσθεὶς ACENU: ἀρθεὶς VB 3 ἑαυτὸν: αὐτὸν B ἀνθρώπου om. B παρὸν: τοιοῦτον B 5 παραγίνεται: γίνεται E λεγόμενον om. N (sed non D)

ὁ δὲ τῷ δοκεῖν μὲν εὐφράνθη καὶ ἠγαλλιάσατο ἐπὶ τῇ ἁλώσει τοῦ Λιπαρίτου, ἐφθόνησε δὲ τῷ ἀδελφῷ τοιούτου καταξιωθέντι τοῦ εὐτυχήματος, καὶ διὰ παντὸς ἐμελέτα καὶ πρόφασιν ἐζήτει τοῦτον ποιήσασθαι ἐκποδών.

15. Τὸν μὲν οὖν Λιπαρίτην, ὡς ἐπύθετο τὴν τούτου κατάσχεσιν ὁ βασιλεύς, ὅλος ἐγένετο ἀναρρύσασθαι, καὶ δῶρα πολυτελῆ καὶ λύτρα πέμψας τῷ σουλτάνῳ διὰ Γεωργίου τοῦ λεγομένου Δρόσου (ὑπογραμματεὺς δ' ἦν ὁ Δρόσος τοῦ 'Ααρών) ἐξητεῖτο τὴν ἐλευθερίαν καὶ σπονδὰς εἰρήνης. ὁ δὲ σουλτάνος τὰς πρε|σβείας δεξάμενος, καὶ μεγαλοπρεπὴς θέλων εἶναι βασιλεὺς μᾶλλον ἢ κάπηλος ἀνελεύθερος, ἀποδίδωσι τοῦτον δῶρον τῷ βασιλεῖ, λαβὼν μὲν τὰ λύτρα, πάντα δὲ τῷ Λιπαρίτῃ παρεσχηκὼς καὶ μεμνῆσθαι τῆς παρούσης ἡμέρας διὰ παντὸς παρεγγυησάμενος, καὶ μηδέποτε ὅπλα θελῆσαι τὸ ἀπὸ τοῦδε κινῆσαι κατὰ τῶν Τούρκων. ἀνεπλήρωσε δὲ αὐτῷ τὴν πρὸς τὸν βασιλέα πρεσβείαν ὁ λεγόμενος παρ' αὐτοῖς σέριφος· δύναται δὲ τοῦτο τὸ ὄνομα πρὸς τὸν παρ' αὐτοῖς χαλυφᾶν, ὅπερ ὁ παρ' ἡμῖν σύγκελλος πρὸς τὸν πατριάρχην πάλαι ἐδύνατο· ἐκείνου γὰρ ἀποθανόντος αὐτὸς εὐθὺς εἰς τὸν τούτου θρόνον ἐγκαθιδρεύεται. οὗτος τοίνυν ὁ σέριφος εἰσελθὼν ἐν τῇ βασιλίδι καὶ ἐς πρόσωπον ἐλθὼν τῷ βασιλεῖ καὶ ὁμιλίαν, πολλά τε μεγαλαυχήσας καὶ φρυαξάμενος, καὶ τελευταῖον ὑπόφορον θέσθαι σπεύσας τὴν 'Ρωμαίων τῷ ἑαυτοῦ σουλτάνῳ, ἐπεὶ μὴ εὗρε τὸν βασιλέα ἐπικλινῆ, ἄπρακτος ὑπεχώρησε πρὸς τὸν πέμψαντα. καὶ ὁ βασιλεὺς τὸ ἀπ' ἐκείνου ἐκδεχόμενος πόλεμον ἀπὸ τοῦ σουλτάνου, καθ' ὅσον οἷόν τε ἦν, τὰ ὁμοροῦντα τῇ Περσῶν γῇ πέμψας κατησφαλίσατο. ἐν

13 a. 1050 ineunte circiter

cap. 15: Zon. III, 640, 1—641, 3

ACEVBNU DH **7** τῷ ACVBU: τὸ EN ηὐφράνθη EBUH (sed non D) Λιπαρίτῃ E **8** δὲ om. C τοῦ ante τοιούτου add. ACE ἀξιωθέντι B τοῦ om. ACEB **9** ἐκποδὼν ποιήσασθαι B **11** ὅλως CEND ἐγένετο ἀναρρύσασθαι: γέγονε τῆς αὐτοῦ ἀναρρύσεως A τοῦ ante ἀναρρύσασθαι add. U **13** τοῦ: τῷ VB ἐξηγεῖτο CB τοῦ Λιπαρίτου ante ἐλευθερίαν add. B **14** τὴν πρεσβείαν B **15** καὶ ante βασιλεὺς add. A βασιλεὺς ACEVBUD: βασιλεῖ N **16** τὰ om. U **18** ὅπλα — τοῦδε VBNU: τὸ ἀπὸ τοῦδε ὅπλα θελῆσαι ACE **19** αὐτῷ: αὐτοῦ B **20** σέριφος ACENU: σερίφης VB: σερίφην Zon. III, 640, 8 **21** αὐτοῖς: αὐτῶν B ὅπερ — σύγκελλος: ὅτε παρ' ἡμῖν ὁ σύγκελλος B **22** ἠδύνατο B αὐτὸς post **23** θρόνον VB τούτου VBN: ἐκείνου ACE: ἑαυτοῦ U **23** ἐγκαθιδρεύεται ENU: ἐγκαθιδρύετο A: ἐγκαθιδρύεται C: ἐγκαθίδρυται V: καθίδρυται B: ἐγκαθιδρύεται D: ἐγκαθιδρύσατο H σερίφος ACENU: σερίφης VB Zon. III, 640, 13 **24** εἰς AB **27** ἄπρακτος ὑπεχώρησε (ὑπεχώρησε post πέμψαντα U) VBNU: ὑπεχώρησεν ἄπρακτος ACE **28** τὸ: τὸν U ἐκδεχόμενος πόλεμον ACEN: πόλεμον ἐκδεχόμενος BU: ἐκδεχόμενος V **29** πέμψας: ἀποστείλας A

ᾧ δὲ ταῦτα ἐγίνετο, καὶ ἡ τῶν Πατζινάκων ἐπισυνέβη κίνησις. πῶς δὲ καὶ τίνα τρόπον, λεκτέον.

16. Τὸ ἔθνος τῶν Πατζινάκων Σκυθικὸν ὑπάρχον, ἀπὸ τῶν λεγομένων βασιλείων Σκυθῶν, μέγα τέ ἐστι καὶ πολυάνθρωπον, πρὸς ὃ οὐδὲ ἓν αὐτὸ καθ' αὐτὸ Σκυθικὸν γένος ἀντιστῆναι δύναται. διῄρηται δὲ εἰς τρισκαίδεκα γενεάς, αἵτινες καλοῦνται μὲν πᾶσαι τῷ κοινῷ ὀνόματι, ἔχουσι δ' ἑκάστη καὶ ἴδιον ἀπὸ τοῦ ἑαυ|τῆς προγόνου καὶ ἀρχηγοῦ τὴν προσηγορίαν κληρωσαμένη. νέμονται δὲ τὰς πέραν Ἴστρου ἀπὸ τοῦ Βορυσθένους ποταμοῦ καὶ μέχρι Παννονίας ἡπλωμένας πεδιάδας, νομάδες τε ὄντες καὶ τὸν σκηνίτην διὰ παντὸς ἀσπαζόμενοι βίον. τούτου τοῦ γένους ἀρχηγὸς ἦν τῷ τότε Τυρὰχ ὁ τοῦ Βιλτὲρ υἱός, εὐγενείας ἥκων ἐς τὸ ἀκρότατον, ἀμβλὺς δὲ ἄλλως καὶ τὴν ἡσυχίαν φιλῶν. ἦν δὲ καὶ ἄλλος τις ἐν τῷ ἔθνει τὴν κλῆσιν Κεγένης, υἱὸς τοῦ Βαλτζάρ, τὸ μὲν γένος ἄσημος καὶ σχεδὸν ἀνώνυμος, περὶ δὲ τὰ πολεμικὰ καὶ τὰς στρατηγίας κάρτα δραστηριώτατος, ὃς καὶ πολλάκις ἐπιόντας κατὰ τῶν Πατζινάκων τοὺς Οὔζους (γένος δὲ Οὐννικὸν οἱ Οὖζοι) ὑποστὰς ἐτρέψατο καὶ ἀπώσατο, τοῦ Τυρὰχ οὐχ ὅπως ἀντεπεξελθεῖν μὴ θαρρήσαντος, ἀλλὰ καὶ καταδύντος εἰς τὰ παρὰ τῷ Ἴστρῳ ἕλη καὶ τὰς λίμνας. τὸν μὲν οὖν Τυρὰχ οἱ Πατζινάκαι ἐτίμων διὰ τὸ γένος, τὸν δὲ Κεγένην ἠσπάζοντο διαφερόντως διὰ τὸ τῆς ἀνδρείας ὑπερβάλλον καὶ τὴν ἐν τοῖς πολέμοις δεινότητα. ἅπερ ἀκούων καὶ βλέπων ὁ Τυρὰχ ἐδάκνετο τὴν ψυχὴν δεδιὼς περὶ τῆς ἀρχῆς, καὶ τρόπον ἐζήτει, ὅπως ἂν τὸν Κεγένην ἀποσκευάσηται. ἐφίστησιν οὖν αὐτῷ λόχους πολλάκις, ἐγένοντο δὲ πάντες ἀργοί. ἐπεὶ δὲ πολλάκις ἐπιχειρήσας κρυφίως ἠστόχησεν, ἔγνω δεῖν μὴ διαμέλλειν, ἀλλ' ἐπιχειρεῖν φανερῶς. διὸ καὶ πλῆθος πέμψας καταλαβεῖν

30 a. 1048

cap. 16: Zon. III, 641, 4—642, 3

ACEVBNU DH **30** ἐγένετο B καὶ om. E Πατζινακῶν A ἐπισυνέβη VNU: ἐπισυμβέβηκε AC: συνέβη B **30—32** ἐπισυνέβη — Πατζινάκων om. E **32** τοῦτο post ἔθνος add. U Πατζινάκων CEVBN: Πατζινακῶν A: Πατζενάγων U ἀπό: ἐκ B **34** καθ' αὐτὸ ACEVNU: κατ' αὐτὸ BD: καθ' ἑαυτὸ H **36** ἔχει B δ' VBNUD: δὲ ACEH ἑαυτῆς ACENU: αὐτῆς VB **37** πέραν: πέρας CE τοῦ ante Ἴστρου add. U **38** Βορυσθένους om. C (sed habet spatium decem fere litterarum) καὶ om. B Παννονίας AEU: Πανονίας CVBND **40** τῷ om. VB Βιλτὲρ ND: Βηλτὲρ U: Βελτὲρ V: Βέλτερ B: Βιλτὰρ ACE **41** εἰς AB τὸ ἀκρότατον: τὴν ἀκρότητα B ἄλλως δὲ ἀμβλὺς A ἄλλως — δὲ καὶ om. C δὲ alt. om. U **42** τὴν — Κεγένης: Ταγένης τὴν κλῆσιν U Κεγένης ACEVB: Ταγένης U: Κεγένος ND Βάλτζαρ U **44** κάρτα om. E ὅς: ὡς E Πετζενάγων U **45** Ὄζους B Οἴζυοι B **46** τοῦ — θαρρήσαντος om. V **46/47** τοῦ — λίμνας om. B **47** ἐς ACE τῷ Ἴστρῳ: τὸν Ἴστρον A καὶ τὰς λόχμας post λίμνας add. U **48** Πατζινάκαι AVN: Πατζινάκοι CB: Πατζινάκες E: Πετζινάγοι U Κεγένην ACEVBND: Ταγένην U **49** ἀνδρείας VBNUD: ἀνδρίας ACEH **51** δεδιώς: ἐδεδίει γὰρ A Κεγένην ACEVBN: Ταγένην U **52/53** πολλάκις — ἀργοί om. B **53** κρυφίως om. U

ἐκέλευσε τὸν ἄνδρα καὶ ἀνελεῖν. ὁ δὲ προγνοὺς τὴν ἐπιβουλὴν φυγὰς πρὸς τὰ ἕλη γίνεται τοῦ Βορυσθένους, καὶ οὕτω διαφυγγάνει τὸν ὄλεθρον. ἐκεῖθεν δὲ κρυπτόμενος καὶ | λαθραῖα πέμπων μηνύματα πρός τε τοὺς ἑαυτοῦ συγγενεῖς καὶ τὴν φυλήν, ἐδυνήθη τήν τε ἰδίαν γενεὰν ἀποστῆσαι τῆς τοῦ βασιλέως εὐνοίας (ἦν δὲ ἡ Βελεμαρνίς) καὶ πρὸς ταύτῃ καὶ ἄλλην τὴν Παγουμανίδα. καὶ δύναμιν προσλαβόμενος ἀντιπαρατάττεται μετὰ τῶν δύο γενεῶν πρὸς τὸν Τυρὰχ τὰς ἕνδεκα ἔχοντα. καὶ ἐπὶ πολλὰς μὲν ἀντισχὼν ὥρας, ὅμως ὑπὸ τοῦ πλήθους καταπονηθεὶς τρέπεται. περιπλανώμενος δὲ ἐν τοῖς ἕλεσι καὶ σωτηρίαν ζητῶν μίαν ἔγνω ἑαυτοῦ τε καὶ τῶν σὺν αὐτῷ τὴν ἐς τὸν βασιλέα Ῥωμαίων καταφυγήν. διὸ καὶ πρὸς τὸ Δορόστολον ἀφικόμενος καὶ ἔν τινι ποταμίᾳ νησῖδι περικλείσας ἑαυτὸν διὰ τὸ ἀνεπιβούλευτον μετὰ τῶν σὺν αὐτῷ (ἦν δὲ ἀμφὶ τὰς εἴκοσι χιλιάδας), διαμηνύεται τῷ τῆς χώρας ἄρχοντι (ἦν δὲ Μιχαὴλ ὁ τοῦ Ἀναστασίου υἱός) καὶ γνωρίζει, ὅστις τε εἴη καὶ οἵας διαδιδράσκων τύχας ἀφῖκται, καὶ ὅτι αὐτόμολος βούλεται γενέσθαι τῷ βασιλεῖ, ὑπισχνούμενος δὲ καί, εἰ προσδεχθείη, εἰς μεγάλην ὄνησιν ἔσεσθαι τοῖς τούτου πράγμασιν. ὁ δὲ τὰ μηνύματα λόγου θᾶττον πρὸς τὸν βασιλέα διαπορθμεύσας διὰ ταχέων κελεύεται τὸν ἄνδρα μετὰ τῶν συνόντων αὐτῷ προσδέξασθαι, καὶ τούτοις μὲν τὰ ἐπιτήδεια χορηγεῖν, αὐτὸν δὲ ἐνδόξως εἰς τὸ Βυζάντιον πεπομφέναι. καὶ ὁ μέν, ὡς ἐκελεύσθη, διεπράξατο, ὁ δὲ Κεγένης εἰς τὴν βασιλίδα φοιτήσας, καὶ ἐς λόγους ἐλθὼν τῷ βασιλεῖ φιλοφρόνως τε καὶ μεγαλοπρεπῶς ὑπεδέχθη, καὶ ὑποσχόμενος αὐτός τε τὸ ἅγιον δέξασθαι βάπτισμα, παραπεῖσαι δὲ καὶ τοὺς συνόντας αὐτῷ τοῦτο ποιῆσαι, | ἐς πατρικιότητά τε ἀνήχθη, καὶ φρούρια τρία ἀπὸ τῶν ἐν ταῖς ὄχθαις ἱδρυμένων τοῦ Ἴστρου εἰλήφει καὶ γῆς πολλὰ στάδια, καὶ

1 aestate fere a. 1048

ACEVBNU DH 55 ἐκέλευσε VBN: ἐκέλευε ACEU 56 Βουρυσθένους V τὸν ὄλεθρον διαφυγγάνει A τὸν ἐχθρὸν καὶ post διαφυγγάνει add. U 57 ἐκεῖσε B πέμπων NU: προπέμπων VB: πέμψας ACE: πέμπει DH 58 ἠδυνήθη ACEBDH 59 βασιλέως: Τυρὰχ B καὶ ante ἡ add. E Βελεμαρνίς ACEVN: Βελεμαρνή U: Βελερμανίς B 60 Παγουμενίδα U 61 γενῶν B 62 ἀντισχὼν ὥρας: ἀντισῶν χώρας U 64 ἐς ACENUD: εἰς VBH 65 Δορόστολον CEVN: Δορύστολον AU: Ῥοδόστολον B καὶ om. E ποταμοῦ νησιδίῳ B 66 ἦν VBNU: ἦσαν ACE κʹ CE 67 ἦν δὲ: ὃς ἦν B ὁ om. B 68 τύχης EB 69 ἀφίκεται BU αὐτόμολος: αὐτόβουλος B 70 ἔσεσθαι ὄνησιν B 1 τὰ: hic inc. man. rec. in V λόγου θᾶττον CENUV: θᾶττον, ἢ λόγος A: ταχέως B διαπορθμεύσας BNUV: διαπεμψάμενος CE: πεμψάμενος A 2 διὰ ταχέων om. B αὐτῷ om. B 3 τὰ om. U 4 ἐς ACEU προπεπομφέναι B ὃ δὴ καὶ γέγονεν post πεπομφέναι add. U καὶ — διεπράξατο (ἐπράξατο B) BNUV: καὶ ὅμως, ὃ ἐκελεύσθη, διεπράξατο A: καὶ οὗτοι μέν, ὡς ἐκελεύσθησαν, διεπράξαντο C: καὶ οὗτος, ὡς ἐκελεύσθη, διεπράξατο E 4/5 ὁ δὲ Κεγένης om. U 5 Τεγένης V ἐς τὴν A καὶ om. B εἰς λόγ. VB 6 ὑποσχόμενος αὐτός τε ACEBN: αὐτός τε ὑποσχόμενος UV 7 τὸ — βάπτισμα: καὶ τὸ ἅγιον βάπτισμα B δὲ ANUV: τε B: om. CE 8 εἰς B ἀνηνέχθη AB 9 ὄχθαις ACEBN: ὄχθεσιν UV

τοῦ λοιποῦ τοῖς φίλοις ἀνεγράφη καὶ συμμάχοις Ῥωμαίων. τὸ πλέον δ', ὅτι καί, ὡς ὑπέσχετο, ἀνεδέξατο τὸ ἅγιον βάπτισμα αὐτός τε καὶ οἱ σὺν αὐτῷ, Εὐθυμίου τινὸς εὐλαβοῦς μοναχοῦ πεμφθέντος, τοῦ τὰ τοῦ θείου λουτροῦ παρὰ τῷ Ἴστρῳ ποταμῷ ἐκτελέσαντος καὶ πᾶσι μεταδόντος τοῦ ἁγίου βαπτίσματος.

17. Γενόμενος δὲ ἐν τῷ ἀσφαλεῖ καὶ τὰς αἰφνιδίους ἐφόδους ἀσφαλισάμενος πρὸς ἄμυναν ἐτράπετο τοῦ ἐχθροῦ, καὶ περαιούμενος τὸν Ἴστρον νῦν μὲν σὺν χιλίοις, εἶτα σὺν δυσχιλίοις, καὶ αὖ σὺν πλείοσιν ἢ ἐλάττοσι, καὶ ἐξ ἐφόδου προσπίπτων, τὰ μέγιστα ἐκάκου καὶ ἐλυμαίνετο τοὺς περὶ τὸν Τυρὰχ Πατζινάκας, ἄνδρας μὲν τοὺς προσπίπτοντας ἀναιρῶν, γύναια δὲ καὶ παῖδας ἀνδραποδιζόμενος καὶ πωλῶν τοῖς Ῥωμαίοις. ταύτας δὲ τὰς λαθραίας ἐπιθέσεις τοῦ Κεγένους μὴ φέρων ὁ Τυρὰχ διαπρεσβεύεται πρὸς τὸν βασιλέα, μηνύσας, ὡς ἔδει τὸν μέγαν βασιλέα, σπονδὰς ἔχοντα μετὰ τοῦ γένους τῶν Πατζινάκων, μηδὲ προσδέξασθαι ὅλως τὸν ἀποστάτην αὐτῶν, ἐπεὶ δὲ προσεδέξατο, κωλύειν μὴ διαπερᾶν καὶ τοὺς ὑποσπόνδους λυμαίνεσθαι· ἢ οὖν κωλυθήτω ὁ ἀνὴρ τοιαῦτα πράττειν, ἢ μηδεμιᾶς τυχέτω συμμαχίας, ἢ γινωσκέτω ὁ βασιλεύς, ὡς καθ' ἑαυτοῦ καὶ τῆς αὐτοῦ χώρας ἐφέλκεται βαρύτατον πόλεμον. καὶ ταῦτα μὲν τὰ μηνύματα τοῦ Τυράχ, | ὁ δὲ βασιλεὺς τὰς ἀγγελίας δεξάμενος πρὸς ταύτας μὲν καὶ ἐπεκάγχασεν, εἰ διὰ Πατζινάκου ἀπειλὰς προδότης γένοιτο τοῦ εἰς αὐτὸν προσφυγόντος, καὶ κωλύοι τοῦ μὴ κακοῦν τοὺς κακώσαντας, τοὺς δὲ πρεσβευτὰς ἀπράκτους ἐξέπεμψε. γράμματα δὲ πρός τε Μιχαὴλ τὸν ἄρχοντα τῶν παριστρίων πόλεων, ἔτι δὲ καὶ πρὸς αὐτὸν τὸν Κεγένην

32 aestate fere a. 1048

---

cap. 17: Zon. 642, 3—643, 14

ACEBNUV DH **10** ἀνεγράφη ACEN: ἐνεγράφη UV: ἐγράφη B **11** ἀναδέξασθαι E **12** εὐλαβοῦς om. BUV τοῦ τά: καὶ τὰ U **13** ποταμῷ Ἴστρῳ U ἐκτελέσαντος post λουτροῦ ACE **16** ἐτρέπετο CU **17** σὺν ante δισχιλ. om. ACE καὶ αὖ σὺν ACEBN: εἶτα UV **19** Πατζινάκας ACEBN: Πατζινάκους V: Πετζενάγους U ἀναιρῶν τοὺς προσπίπτοντας A **20** δὲ alt.: μὲν U **21** ὑποθέσεις U τοῦ Κεγένους ἐπιθέσεις A Κεγένους ACEBN: Τεγένους V: Ταγένους U **21—23** μὴ — γένους om. E, sed i. m. post **21** Κεγένους suppl. man. rec.: μὴ φέρων ὁ ἄρχων, post **23** Πατζινάκων suppl. man. rec.: πρεσβείαν πρὸς τὸν βασιλέα ἐποιήσατο, λέγων, ὡς ἔδει μὴ E **21/22** διαπρεσβεύεται πρὸς τὸν βασιλέα om. C **23** Πατζινάκων CEBNV: Πατζινακῶν A: Πατζενάγων U μηδὲ ACEBN: μὴ UV **25** τὰ ante τοιαῦτα add. CE **26** ὡς ACBNV: ὅτι U: ὡς οὐ E καθ' ἑαυτοῦ: κατ' αὐτοῦ B **26/27** καὶ τῆς αὐτοῦ: τε καὶ τῆς ἑαυτοῦ V **27** βαρύτατον BNUV: βιαιότατον ACE **28** ταύτας: ταῦτα BU μὲν καὶ om. B **29** ἐξεκάγχασεν A γένοιτο προδότης A γίνοιτο B **30** κωλύοι V: κωλύει CENU: κωλύμη A (ras.) B: κωλύειν DH τοῦ: τοὺς C **31** ἐξέπεμψε ACEBN: ἀπέπεμψε V: ἀπέπεμψεν U Μιχαὴλ post **32** πόλεων B **32** Κεγένην ACEBD: Κεγένα N: Τεγένην V: Ταγένην U

ἐκπέμπει, φυλάττειν ἀκριβῶς τὰς ὄχθας τοῦ ποταμοῦ· εἰ δέ τις ἐπίοι βαρεῖα δύναμις, γράμμασι μηνύειν, ἵνα καὶ ἀπὸ τῶν δυτικῶν ταγμάτων ἐκπεμπόμενά τινα σὺν αὐτοῖς εἴργωσι τοῖς Πατζινάκαις τὴν τοῦ ποταμοῦ διάβασιν. ἔπεμψε δὲ καὶ τριήρεις ἑκατόν, ἐπισκήψας παραπλεῖν τὸν Ἴστρον καὶ πειρωμένους διακωλύειν τοὺς Πατζινάκας περᾶν. ἐπανηκόντων δ' ἀπράκτων τῶν αὐτοῦ πρέσβεων, ὁ Τυρὰχ ἐχαλέπαινε καὶ ὠργίζετο καὶ θᾶττον ηὔχετο καταλαβεῖν τὸν χειμῶνα. ἤδη δὲ τῆς φθινοπωρινῆς ληγούσης ὥρας καὶ τοῦ χειμῶνος ἐπιστάντος, τοῦ ἡλίου ὄντος περὶ τὸν αἰγοκέρωτα, ἄνεμος ἔπνευσεν ἀπαρκτίας πολύς, ὡς ἀποκρυσταλλωθῆναι μέχρι πεντεκαίδεκα πήχεων ἐς βάθος τὸν ποταμόν. πάσης οὖν φυλακῆς σχολασάσης, δραξάμενος ἀδείας, ἧς ἐπιτυχεῖν ηὔχετο ὁ Τυράχ, διαπερᾷ τὸν Ἴστρον μετὰ πάντων τῶν Πατζινάκων, ὄντων, ὡς ἐλέγετο, χιλιάδων ὀκτακοσίων, καὶ ἐς τὴν περαίαν ἱδρύεται, κείρων καὶ ἀφανίζων τὰ παραπίπτοντα. γράμματα δὲ πρὸς τὸν βασιλέα ἐστέλλετο βοηθεῖν δεόμενα τὴν ταχίστην. ὁ δὲ μηδ' ὅλα τὰ γράμματα ἀναγνοὺς τῷ δουκὶ Ἀδρια|νουπόλεως γράφει (ἦν δὲ Κωνσταντῖνος μάγιστρος ὁ Ἀριανίτης) τὰς Μακεδονικὰς εἰληφότι δυνάμεις, ἔτι δὲ καὶ πρὸς Βασίλειον Μοναχὸν τὸν ἡγεμόνα τῆς Βουλγαρίας τὴν Βουλγαρικὴν εἰληφότα χεῖρα ἀφικέσθαι καὶ ἑνωθῆναι τῷ Μιχαὴλ καὶ τῷ Κεγένει καὶ μετ' αὐτῶν πρὸς τοὺς Πατζινάκας διαγωνίσασθαι. ὧν κατὰ τὸ βασιλικὸν ποιησάντων ἐπίταγμα καὶ πάντων ὑφ' ἓν γενομένων, ἀναλαβὼν ὁ Κεγένης τὰς Ῥωμαϊκὰς φάλαγγας ἐν τοῖς ὑπαίθροις στρατοπεδεύεται, καὶ καθ' ἑκάστην ἐπιὼν ἐξ ἐφόδου οὐ μικρὰ τοὺς Πατζινάκας ἐλύπει. τούτοις γὰρ ἅμα τῇ τοῦ ποταμοῦ διαβάσει ἀφθονίαν ζῴων εὑροῦσι πολλὴν καὶ οἴνου καὶ τῶν ἐκ μέλιτος σκευαζομένων πομάτων, ὧν οὐδ' ἀκοὴν ἔσχον πώποτε, καὶ ἀνέδην τῶν τοιούτων ἐμφορουμένοις νόσος ἐσπίπτει κοιλιακὴν διάθεσιν ἔχουσα, καὶ ἀπώλλυντο ἑκάστης ἡμέρας ἀναρίθμητα πλήθη. ὅπερ πυθόμενος ὁ Κεγένης διά τινος αὐτομό-

48 hieme ineunte a. 1048

ACEBNUV DH 33 ἐπίοι ACEBN: ἐπίῃ V: ἐπήει U 34 ἐν ante γράμμασι add. B 35 αὐτοῖς: αὐτῷ UV Πατζινάκοις CBUVD 37/38 διακωλύειν — περᾶν: περᾶν κωλύειν τοὺς Πατζινάκους B 37 Πατζινάκους CBUVDH 38 περᾶν: πειρᾶν C δὲ BUV αὐτοῦ: ἑαυτοῦ CB 40 φθινοπωρικῆς B 41 περί: πρὸς B ἀπρακτίας CE 42 εἰς B 43 οὖν om. E ἀδείας δραξάμενος A 45 Πατζινακῶν A εἰς B 46 ἱδρύετο V 46/47 δὲ — ἐστέλλετο: δὲ ἐστέλλετο πρὸς τὸν βασιλέα B 47 ἐστέλλετο: ἐπέμποντο U τὴν ταχίστην δεόμενα B μηδ' ὅλως BUV 48 Ἀδρινουπόλεως V 49 Ἀριανίτης ACED: Ἀρειανίτης BNUV 50 τὸν ante Βασίλειον add. B τῆς om. BN 52 Κεγένει ACBN: Κεγένῃ ED Zon. III, 642, 16: Τεγένῃ V: Ταγένῃ U πρὸς om. U Πατζινάκας ACEBND: Πατζινάκους UV 54 Κεγένης ACEBND: Τεγένης V: Ταγένης U φάλαγγας: δυνάμεις B 55 ἐπιὼν BNUV: ἐπὶ τῶν ACE Πατζινάκους CUV 56 διαβιβάσει B 57 τοῦ ante μέλιτος add. UV κατασκευαζομένων UV πομάτων om. ACE 59 ἐπιπίπτει B 59/60 ἑκάστῃ ἡμέρᾳ B 60 Κεγένης ACEBN: Τεγένης V: Ταγένης U

λου, καὶ καιρὸν ἐπιτήδειον κρίνας τοῦτον εἶναι ἐπιθήσεσθαι τοῖς ἐχθροῖς, ὁπότε καὶ χειμῶνι καὶ νόσῳ πιέζονται, ἀναπείσας καὶ τοὺς Ῥωμαίους ὀκνοῦντας καὶ δεδιότας πρὸς τοσαύτας ἀντιπαρατάττεσθαι μυριάδας, προσρήγνυται τοῖς ἐχθροῖς. οἱ δὲ τὴν ὀξεῖαν ἔλευσιν ἐκπλαγέντες καὶ πρὸς τὸν πόλεμον ἀποδειλιάσαντες, ῥίψαντες τὰ ὅπλα αὐτός τε ὁ Τυρὰχ καὶ πάντες οἱ ἄρχοντες καὶ τὸ λοιπὸν πλῆθος ἑαυτοὺς ἐγχειρίζουσιν. ὁ μὲν οὖν Κεγένης συνεβούλευε καὶ διεμαρτύρετο πάντας ἡβηδὸν ἀποσφάξαι, ἔλεγε δὲ καὶ παροιμίαν βάρβαρον μέν, νοῦν δὲ πολὺν ἔχουσαν, ὡς ἔτι χειμῶνος ὄντος δεῖ τὸν ὄφιν ἀπο|κτεῖναι, ὁπηνίκα τὴν κέρκον κινεῖν οὐ δύναται· ὑπὸ ἡλίου γὰρ θαλφθεὶς κόπους ἡμῖν παρέξει καὶ πράγματα. τοῦτο δὲ τοῖς ἄρχουσιν οὐκ ἐδόκει Ῥωμαίων, ἀλλὰ βαρβαρικὸν τὸ ἔργον καὶ ἀνόσιον ἐνομίζετο καὶ Ῥωμαϊκῆς ἀνάξιον ἡμερότητος. μᾶλλον μὲν οὖν συμφέρον ἐνόμιζον διασκεδάσαι τούτους ἐν ταῖς ἐρήμοις τῆς Βουλγαρίας πεδιάσι καὶ ἄλλους ἀλλαχοῦ ἐγκατοικίσαι καὶ φόρους αὐτοῖς ἐπιθεῖναι· ἔσεσθαι γὰρ οὐκ εὐαρίθμητον τὸν ἀπὸ τῶν τοιούτων δασμόν· εἰ δεήσει δὲ τῷ βασιλεῖ καὶ στρατοῦ πρός τε τοὺς Τούρκους καὶ πρὸς ἄλλα ἑτερόφυλλα ἔθνη, καθοπλίζειν ἀπ' αὐτῶν. πολλῶν οὖν λόγων ῥηθέντων ἐνίκησεν ἡ τῶν Ῥωμαίων γνώμη· καὶ ὁ μὲν Κεγένης, ὅσους ἔλαβε ζωγρίας, πλὴν ὧν ἀπημπόληκε, τοὺς πάντας ἀποσφάξας ὑπενόστησεν οἴκαδε, τὰς δὲ τῶν Πατζινάκων μυριάδας ὁ τῆς Βουλγαρίας παραλαβὼν ἄρχων Βασίλειος ὁ Μοναχὸς ἐγκαθιδρύει ἀνά τε τὰς πεδιάδας τῆς Σαρδικῆς, τῆς Ναϊσσοῦ καὶ τῆς Εὐτζαπόλεως διασπείρας πάντας καὶ πᾶν ὅπλον ἀφελόμενος διὰ τὸ ἀνεπιβούλευτον. ὁ δὲ Τυρὰχ καὶ σὺν αὐτῷ ἄνδρες ἑκατὸν καὶ τεσσαράκοντα ἄγονται ἐς τὸν βασιλέα. οὓς φιλοφρόνως οὗτος ὑποδεξάμενος καὶ βαπτίσας καὶ μεγίστοις ἀξιώμασιν ἐπάρας ἐν εὐπαθείαις κατεῖχεν.

68/69 paroem., fons mihi ignotus

ACEBNUV DH **61** εἶναι τοῦτον A **62** πιέζοιντο B **63** ἀντιπαρατάττεσθαι NUV: ἀντιπαρατάσσεσθαι CE: ἀντιπαρατάξασθαι AB **66** ἑαυτούς: ἑαυτοῖς A αὐτοῖς ante ἐγχειρίζουσιν add. B **67** Κεγένης ACEBND: Τεγένης V: Ταγένης U **68** ὡς: ἐπεὶ B **70** κόπον B ὑμῖν N **71** οὐκ ἐδόκει: ἀνάξιον B **72** ἐνομίζετο: ἐλογίζετο ND Ῥωμαϊκῆς: τῆς Χριστιανικῆς B **73** ἐνόμιζον ACEBN: ἐνομίζετο UV **74** ἐγκατοικίσαι AENU: ἐγκατοικῆσαι CV: κατοικῆσαι B ἐπ' post φόρους add. U **75** γάρ: τε V τῶν τοιούτων ACEBN: τούτων UV δασμόν: δραγμόν U **76** δεήσοι V δὲ δεήσει B καὶ pr. om. B τοὺς om. ACE **77** ῥηθέντων: χεθέντων A **78** Κεγένης ACEBN: Τεγένης UV **79** ἀπημπόληκε AEV: ἀπεμπώληκε CNUD: ἀπεμπόλικεν B τοὺς πάντας: ἅπαντας B σφάξας U **80** τῆς Βουλγαρίας: τῶν Βουλγάρων V ἄρχων παραλαβὼν B **80/81** παραλαβὼν — Μοναχός: ἄρχων Μοναχὸς Βασίλειος παραλαβὼν A **81** Βασίλειος: βασιλεὺς E ὁ om. AEU **82** Ναϊσσοῦ ACEN: Ναϊσοῦ VD: Νάϊσου U: Μισοῦ B τῆς: τὴν B Εὐτζαπόλεως ND: Ὀφσαπόλεως A: Εὐσαπόλεως C: Εὐσταπόλεως E: Ὀτζαπόλεως V: Ὀβτζαπόλεως U: Εὐτζάπολιν B καὶ ante διασπείρας add. UV ἅπαντας B **83** οἱ ante σὺν add. ACE **83/84** ρ' καὶ μ' CE **83** καὶ alt. om. AV **84** τεσσαράκοντα AUVD: τετταράκοντα N: πεντήκοντα B εἰς ABUV ὑποδεξάμενος ACEN: ἀποδεξάμενος UV: δεξάμενος BD **85** εὐπαθείᾳ B

18. Ὁ δὲ σουλτάνος τὴν τῶν αὐτοῦ πρέσβεων ἄπρακτον ὑποστροφὴν μὴ φέρων, τὰς ἐν Περσίδι πάσας δυνάμεις καὶ τὰς Βαβυλωνίους εἰς ἓν ἀθροίσας εἰσβολὴν ποιεῖται κατὰ Ῥωμαίων. τοῦτο δὲ προακηκοὼς ὁ Μονομάχος ἔσπευδε μὲν καὶ διὰ τῶν οἰκείων δυνάμεων ἀντιπαράταξιν στῆσαι τῷ πολεμίῳ, ὥπλισε δὲ | καὶ ἀπὸ τῶν Πατζινάκων χιλιάδας πεντεκαίδεκα. καὶ ἡγεμόνας τέσσαρας ἀπὸ τῶν ἐν Κωνσταντινουπόλει Πατζινάκων αὐτοῖς ἐπιστήσας, τὸν Σουλτζοῦν, τὸν Σελτέ, τὸν Καραμᾶν καὶ τὸν Καταλείμ, δώροις τε φιλοτιμησάμενος οὐ μικροῖς, καὶ ἅρματα κάλλιστα δοὺς καὶ ἵππους διαπρεπεῖς, περαιοῖ ἐν Χρυσοπόλει, δοὺς αὐτοῖς ὁδηγὸν τὸν ἀπάξαι μέλλοντα τούτους ἐς Ἰβηρίαν, τὸν πατρίκιον Κωνσταντῖνον τὸν Ἀδροβάλανον. περαιωθέντες δ' οὗτοι καὶ τοὺς ἵππους ἀναβάντες καὶ τῆς πρὸς ἀνατολὴν φερούσης ἀψάμενοι καὶ προελθόντες ἄχρι μιλίων τινῶν καὶ τῷ λεγομένῳ Δαμάτρυϊ προσεγγίσαντες ἐπέσχον τὴν πορείαν, καὶ στάντες ἐπὶ τῆς ὁδοῦ συμβουλὴν προετίθεσαν, ἥτις παρ' αὐτοῖς κομέντον ὠνόμασται. τισὶ μὲν οὖν ἐδόκει πορευτέα εἶναι, καὶ μὴ ἀντιβαίνειν ἐπὶ τῆς χώρας τοῦ βασιλέως τοῖς βασιλικοῖς προστάγμασι, τοῦ τε λοιποῦ ἔθνους κεχωρισμένοις καὶ μήτε καθ' ἑαυτοὺς ὑποστῆναι δυναμένοις τὴν Ῥωμαϊκὴν δύναμιν, μήτε ὁρμητήριον ἔχουσι πρὸς τὰ τῆς τύχης ἀβούλητα· ἄλλοις πάλιν ἐδόκει κατασχοῦσιν ὄρη τινὰ τῆς Βιθυνίας, ἐν τούτοις παραμένειν καὶ τοὺς ἐπιόντας ἀμύνεσθαι, ἀνελθεῖν δὲ μηδαμῶς ἐς Ἰβηρίαν, ἐς χώραν μακρὰν καὶ ἀλλόκοτον, ἔνθα μέλλουσιν ἕξειν πολεμίους οὐ μόνον τοὺς ἐχθροὺς Ῥωμαίων, ἀλλὰ καὶ αὐτοὺς τοὺς Ῥωμαίους. ὁ Καταλεὶμ δὲ μόνος γνώμην ἐδίδου ὑποστρέψαι καὶ ἑνωθῆναι τοῖς συγγενέσιν. εἰπόντος δέ τινος· 'καὶ πῶς ἂν ἔσεται περατὴ ἡ θάλασσα;' μηδὲν πλέον εἰπὼν ἕπεσθαί οἱ κελεύει. τὸν μὲν | οὖν Ἀδροβάλανον

cap. 18: Zon. III, 643, 14—644, 6

ACEBNUV DH **88** τὰς alt.: τοὺς U Βαβυλωνίας A εἰς: ὑφ' NU **90** καὶ om. B εἰς ante ἀντιπαράταξιν add. U **91** στῆσαι: στῆναι U πολέμῳ B Πατζινάκων CEBNV: Πατζινακῶν A: Πετζενάγων U **92** τῇ ante Κωνστ. add. B Κωνσταντινουπόλει: τῇ πόλει Κωνσταντινουπόλεως U **93** Πατζινάκων CEBNV: Πατζινακῶν A: Πετζενάγους U Σουλτζοῦν AEUD: Σούλτζουν C: ΣουλτζοὺνNV: σούλτανον B Σελτέ ACEVUD: Σελτέον B: Σετέλ N Καραμᾶν N: Καραβᾶν EUV: Καραβὰν A: Καραμὰν CD: Καραμὸν B **94** Καταλήν B μικροῖς: μικρῶς U **95** κάλλιστα: μάλιστα U δοὺς om. C Χρυσουπόλει E **1** εἰς BU **2** Ἀδροβάλανον ACEBN: Ἀνδροβάλανον VD: Ἀνδραβάλανον U περαιωθέντες: περισωθέντες E **4** ἄχρι: μέχρι A Δαματρύϊ A **5** συμβουλὴν: βουλὴν V **6** αὐτοῖς: αὐτῶν B ὀνομάζεται V πορευτέαν U **9** δυναμένοις EBN: δυναμένους AC: om. UV ἰσχύειν post δύναμιν add. V τι post ὁρμητήριόν add. V **9/10** πρὸς — ἀβούλητα ACEBN: παρὰ τὸ τῆς τύχης ἀβούλητον U: τῶν παρὰ τῆς τύχης ἀβουλήτων V **10** τῆς om. V Βιθηνίας U **11** ἀμύνεσθαι ACENU: ἀμύνασθαι BV μηδαμῶς AENUV: μηδαμοῦ B: οὐδαμῶς C **12** ἐς Ἰβηρίαν NV: εἰς Ἰβ. BUD: om. ACE εἰς χώραν VBUD πολεμίους: πολέμους B **13** Ῥωμαίων: Ῥώμης U τοὺς alt. om. B **14** Καταλής B μόνος om. AB **15** συγγενεῦσιν A ἂν om. V ἔσσεται E **16** εἰπὼν om. CE Ἀδροβάλανον ACEN: Ἀνδροβάλανον BUVD

ὁρμήσαντες ἀποκτεῖναι οὐκ ἴσχυσαν (φυγὼν γὰρ διεσώθη ἔν τινι τριωρόφῳ ὑπερῴῳ τῶν ἐν τῷ Δαμάτρυϊ παλατίων), τῷ Καταλεὶμ δὲ ἑπόμενοι κατήρχοντο πρὸς τὴν θάλασσαν, οὐκ ἐλπίζοντες τάχα πλοῖα ἔχειν αὐτὸν εὐτρεπισμένα τὰ ῥᾳδίαν τούτοις μέλλοντα ποιῆσαι τὴν τῆς θαλάσσης περαίωσιν, ἀλλὰ διαποροῦντες καὶ μαθεῖν ἐθέλοντες, τίς ὁ τρόπος τῆς διαβάσεως. ἐπεὶ δὲ ἐν τῷ αἰγιαλῷ ἐγένοντο, μηδὲν πλέον εἰπὼν ὁ Καταλείμ, ἀλλ' ἢ μόνον· 'ἐπέσθω ὁ βουλόμενος αὐτόν τε περιεῖναι καὶ πάντας τοὺς Πατζινάκας,' τὸν ἵππον μυωπίσας εἴσεισιν εἰς τὴν θάλασσαν. τοῦτο καὶ ἄλλος ἰδὼν ἐποίησε, καὶ ἐπ' ἐκείνῳ ἄλλος, καὶ εὐθὺς τὸ πλῆθος ἅπαν. καὶ διανηξάμενοι περαιοῦνται κατὰ τὸν Ἅγιον Ταράσιον, οἱ μὲν αὐτοῖς ἅρμασιν, οἱ δὲ πρότερον τὰ ἅρματα ἀπορρίψαντες. καὶ περαιωθέντες καὶ τὴν πορείαν ἐπιτείναντες ἴσχυσαν διασωθῆναι πρὸς τοὺς οἰκείους κατὰ τὴν Τριάδιτζαν, μηδενὸς ἀντιστῆναι ἢ κωλῦσαι τολμήσαντος. τὸ γὰρ αἰφνίδιον τῆς ἐφόδου εὔκολον αὐτοῖς τὴν πορείαν εἰργάσατο. ἑνωθέντες οὖν τοῖς ἐν Τριαδίτζῃ Πατζινάκαις διακηρυκεύονται καὶ πρὸς τοὺς ἐν ταῖς ἄλλαις χώραις καθιδρυμένους. γενόμενοι οὖν οἱ πάντες ἄθροισμα ἕν, καὶ ἀνθ' ὅπλων ἀξίνας γεωργικὰς καὶ δρέπανα καὶ ἄλλα σιδήρια λαμβάνοντες ἀπὸ τῶν ἀγρῶν καθωπλίζοντο, καὶ ἐν Φιλιππουπόλει γενόμενοι καὶ τὸν Αἷμον διαβάντες τὸ μὲν πλῆθος ἅπαν περὶ τὸν λεγόμενον Ὄσμον ποταμὸν κατεσκήνωσεν ἐν τῇ παριστρίῳ πεδιάδι, μόνος δὲ ὁ Σελτὲ ἐν τῷ Λοβιτζῷ | προσμείνας διανεπαύετο. ἄρτι δὲ καὶ τὰς Μακεδονικὰς ἀθροίσας δυνάμεις ὁ Ἀριανίτης καταδιώκει ὄπισθεν αὐτῶν. καὶ καταλαβὼν ἐν τῷ Λοβιτζῷ τὸν Σελτὲ κατεσκηνωμένον, τοῦτον μὲν κρατῆσαι οὐκ ἴσχυσεν (ἔφθασε γὰρ διαδράς), τὴν δὲ πᾶσαν αὐτοῦ στρατοπεδείαν κατασχὼν ὑπέστρεψε. καὶ τὰ μὲν τῆς ἑσπέρας τοῦτον ἔσχε τὸν τρόπον.

ACEBNUV DH **17** διεσώθη post **18** παλατίων V **17/18** τριωρόφῳ ὑπερῴῳ τῶν ACEBN: οἰκήματι τριωρόφῳ τῶν ὑπερῴων UV **18** ἐν τῷ: ἐν τῇ B Δαματρύϊ AVD δὲ ante Καταλεὶμ add. A Καταλῆ BN (sed non D) **19** ἀπήρχοντο B **30** ηὐτρεπισμένα ABV τὰ: τὴν V μέλλοντα τούτοις V ποιῆσαι ACEBUV: ποιεῖσθαι N: ποιεῖν D **20/21** ποιῆσαι — περαίωσιν ACEN: ποιῆσαι τὴν θάλασσαν UV: θέσθαι τὴν περαίωσιν τῆς θαλάσσης B **22** Καταλῆς BN (sed non D) **23** ἀλλ' ἤ: ἀλλὰ B αὐτόν AN: αὑτόν CBUD: αὐτὸν E: ἑαυτόν V τε om. E **24** Πατζινάκους BUVD **27** πρότερον — ἀπορρίψαντες: τὰ ἅρματα πρότερον ῥίψαντες V καὶ περαιωθέντες om. ACE **28** καὶ — ἐπιτείναντες om. UV **29** τὴν om. A Τριαδίτζαν CEU ἢ κωλῦσαι om. A κωλῶσαι BNUV: πολεμῆσαι CE: om. A τολμήσαντος: δυνηθέντος, post ἀντιστῆναι, V **31** οὖν: δὲ E Πατζινάκοις CBNUVD **34** γεωργικὰ ante σιδήρια add. ACE λαβόντες V **35** γενόμενοι: ἐλθόντες U **36** κατεσκήνωσαν A παριστρίᾳ AC **37** Σελτὲ ACEUVD: Σελτζὲ B: Σετὲλ N Λοβιτζῶ ACEND: Λοβτζῶ V: Λιβιτζῷ B: Λοβατζῷ U καὶ om. B **38** Ἀριανίτης ACED: Ἀρειανίτης BNUV ὄπιθεν BN **39** Λοβιτζῷ AEBND: Λοβιτζᾷ C: Λοβιτζῷ UV Σετὲλ N κατεσκηνημένον C **40** γάρ: δὲ CE διαδράσαι U **40/41** πᾶσαν — στρατοπεδείαν ACEBN: στρατοπεδείαν αὐτοῦ UV **41** ὑπέστρεφε C **42** εἶχεν B

19. Ὁ δὲ σουλτάνος, ὡς εἴπομεν, βαρυθυμήσας διὰ τὴν τῶν αὐτοῦ καταφρόνησιν πρέσβεων καὶ τὴν τῶν θελημάτων ἀστοχίαν, ἄρας μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως ἔξεισι κατὰ τῆς ὑπηκόου Ῥωμαίοις· καὶ κατελθὼν ἄχρι τοῦ λεγομένου Κωμιοῦ, καὶ μηδὲν ὅ τι καὶ λόγου ἄξιον διαπράξασθαι δυνηθείς (ἔφθασαν γὰρ οἱ τῆς χώρας προασφαλίσασθαι ἑαυτούς τε καὶ τὰ αὐτοῖς ἀναγκαιότατα ἐν τοῖς φρουρίοις· γέμει δὲ ἡ Ἰβηρία φρουρίων ἐρυμνοτάτων), προσωτέρω δὲ προβῆναι μὴ θαρρήσας τῷ πυθέσθαι τὰς Ῥωμαϊκὰς ἐν Καισαρείᾳ δυνάμεις ἀθροίζεσθαι, ὑπέστρεψε τῷ θυμῷ φλεγμαίνων καὶ μέγα τι ζητῶν κατεργάσασθαι. γενόμενος δὲ κατὰ τὸ Βαασπρακάν, καὶ παραπλησίως κἀκεῖ τὰ πάντα τειχήρη εὑρών, ἐπέβαλε ταῖς πολιορκίαις, καὶ ἀπεπειράσατο πρότερον τοῦ λεγομένου Μανζικίερτε. πόλις δὲ τὸ Μανζικίερτε ἐν τῇ ὁμαλῇ μὲν κειμένη, τείχεσι δὲ τρισὶ στεφανουμένη καὶ ὕδασι πολλοῖς ἔνδον κατάρρυτος πηγιμαίοις· τότε δὲ καὶ ἔτυχεν ἀφθόνως εἰσκομίσασα τὰ ἀναγκαῖα. ταύτην οἰηθεὶς ὁ σουλτάνος ῥᾳδίως ἐκπολιορκῆσαι τῷ ἐν ἐπιβουλεύτῳ ἱδρύσθαι τόπῳ, χάρακα πηξάμενος ἔγγιστα ἐπεχείρει πολιορκεῖν, καὶ διέμεινεν ἐπὶ τριά|κοντα ἡμέρας ταύτην ἀνενδότως πολιορκῶν, ποικίλαις ἑλεπόλεσι χρώμενος καὶ παντοίοις εἴδεσι μηχανημάτων. εὐρώστως δὲ τῶν ἔνδον ἀποκρουομένων τὰς προσβολὰς ἐμπειρίᾳ καὶ συνέσει τοῦ στρατηγοῦ (ἦν δὲ Βασίλειος πατρίκιος ὁ Ἀποκάπης), ἐπείπερ ἔγνω ἀδυνάτοις ἐπιχειρῶν, ἐβουλεύσατο λῦσαι τὴν πολιορκίαν καὶ ὑποστρέψαι. ἀνέκοψε δὲ τῆς ὁρμῆς αὐτὸν Ἀλκὰν ὁ τῶν Χωρασμίων ἡγεμών, αἰτησάμενος μίαν ἔτι προσμεῖναι ἡμέραν καὶ αὐτῷ ἐπιτρέψαι τὸν κατὰ τῆς πόλεως πόλεμον. ἡσθεὶς δὲ τῷ αἰτήματι ἐπέσχε τὴν ἀναζυγήν. ἕωθεν οὖν ὁ Ἀλκὰν τὸν ἀμφ' αὐτὸν ἀθροίσας ἅπαντα λαόν, καὶ θεωρὸν ἐπί τινος γεωλόφου κατὰ τὴν ἑῴαν στήσας πύλην τὸν σουλτάνον αὐτὸν καὶ τοὺς ὅσοι τῶν Τούρκων ἦσαν ἐπισημότατοι, τὰς ἑλεπόλεις λαβὼν ἄπεισιν εἰς τὴν εἰρημένην

cap. 19: Zon. III, 644, 13—644, 15

ACEBNUV DH **43** ὡς εἴπομεν om. A **45** τῆς om. E μετ' αὐτῶν post ἔξεισι add. U, μετὰ τῆς ὑπηκόου ῥώμης add. B Ῥωμαίοις om. B **46** Κωμίου U **46/47** ἄξιον — δυνηθείς: δυνηθεὶς διαπράξασθαι ἄξιον UV **48** τε om. B τοῖς om. B καὶ ante ἡ add. EB **49** δὲ om. A **50** ἐν Καισ. om. B **52** Βαασπρακᾶν EN (sed non D) τειχήρη post κἀκεῖ ACE **54** Μανζικίερτε pr. ACEN: Μαντζικίερτε B: Μαντζικίερται D: Μαρτζικίερτ V: Ματζικίερ U πόλις — Μανζικίερτε om. B τὸ Μανζικίερτε om. V Μανζικίερτε ACEN: Ματζικίερ U: om. BV τῇ: γῇ U μὲν om. ACE κειμένη ACEBVD: κείμενον NU **55** στεφ. τρισὶ B στεφανουμένη ACEBN: ἐστεφανωμένη V: στεφανούμενον U πολλοῖς: πλείστοις V **55/56** πηγιμαίοις κατάρρυτος AB **56** πιγμαίοις U δὲ: δὴ B εἰσκομίσασθαι U **57** ἐν εὐεπιβουλεύτῳ A **57/58** τόπῳ ἱδρύσθαι A **58** καὶ ante χάρακα add. UV διέμενεν V **59** πολιορκῶν ἀνενδότως U καὶ ante ποικίλαις add. B **60** παντοίοις: παντοδαποῖς B **62** ἐπιχειρεῖν B **64** Ἀλκᾶν NUD **65** ἐπιστρέψαι V τὸν om. U **66** Ἀλκᾶν CENUD **67** ἅπαντα: πάντα B γηλόφου AB **68** πύλην στήσας B

πύλην· ἐκεῖσε γὰρ ἐδόκει τὰ τείχη τῆς πόλεως ταπεινότερά τε καὶ ἀσθενέστερα, καὶ ὁ τόπος ἀνάστημα ἔχων καὶ τῇ πολιορκίᾳ προσβοηθῶν, ἄνωθεν διδοὺς βάλλεσθαι τοὺς εἴσω τείχους ὑπὸ τῶν ἔξω. διελὼν οὖν δίχα τὴν δύναμιν, καὶ τὴν μὲν στήσας ἐπὶ τοῦ ἀναστήματος ἐπιμόνῳ χρῆσθαι κελεύει τοξείᾳ, αὐτὸς δὲ σκηνὰς ἐκ λύγων ἔχων πεπλεγμένας, βοείαις βύρσαις ἄνωθεν ἐσκεπασμένας καὶ τροχοὺς ἐχούσας ὑπὸ τὰς τῶν βαστα-ζόντων κιόνων βάσεις (λέσας τὰς τοιαύτας ὀνομάζουσι μηχανάς), λαοῦ πλήσας δικέλλας φέροντος καὶ σκαπάνας καὶ ἄλλα γεωργικὰ ὄργανα, ᾤετο κατὰ μικρὸν ὑπωθεῖν τὰς σκηνὰς καὶ τοῖς τείχεσι προσαρμόσαι καὶ οὕτως ὑπορύττειν ἀνέτως καὶ | ἀδεῶς τὰ θεμέλια, πιστεύσας, ὡς οὐδεὶς προκύψαι τοῦ τείχους συγχωρηθήσεται ὑπὸ τοῦ πλήθους τῶν βελῶν· καὶ τοῦτον ἐφαντάζετο τὸν τρόπον παραλήψεσθαι τὴν πόλιν. ταῦτα δὲ βλέπων ἀπὸ τοῦ τείχους ὁ Ἀποκάπης τοῖς μὲν τειχοφυλακοῦσιν ἀτρεμεῖν καὶ μηδένα προκύπτειν διεγκελεύεται, μόνον δὲ λίθους χειροπλη-θεῖς ἔχειν ηὐτρεπισμένους καὶ τόξα καὶ ἄλλα ἐκηβόλα ὄργανα, καὶ προσμένειν τὸ ἐξ αὐτοῦ σύνθημα (ἦν δὲ τὸ 'Χριστὲ βοήθει'), οὗ δοθέντος ἔργου ἔχεσθαι· εἶχε δὲ παρ' ἑαυτῷ καὶ δοκοὺς μεγίστας, κατὰ τὴν βάσιν ὀξεῖς. καὶ ὁ μὲν διετάττετο ὧδε, ὁ δ' Ἀλκὰν τῶν ἐκτὸς Τούρκων χαλαζη-δὸν ἐκπεμπόντων τὰ βέλη καὶ τοὺς εἴσω τείχους ἀνακόπτειν δοκούντων, κατ' ὀλίγον ὑπωθῶν τὰς λέσας προσέρειδε τῷ τείχει. ἐπεὶ δὲ ἔφθασαν αἱ σκηναὶ προσεγγίσαι καὶ ἐδόκει ἀδύνατος αὐταῖς εἶναι ἡ εἰς τοὐπίσω ἀναστροφή, αἰφνίδιον τοῦ Ἀποκάπου τὸ σύνθημα δόντος οἵ τε ἐπὶ τῶν δοκῶν τεταγμένοι τὰς δοκοὺς ἠφίεσαν κατὰ τῶν σκηνῶν καὶ οἱ λοιποὶ τόξοις καὶ λίθοις ἔβαλλον. τότε δὴ οὖν ἡ τὸν Ἀλκὰν ἔχουσα σκηνὴ πολλαῖς περιπαρεῖσα κατὰ τὴν στέγην δοκοῖς ἀνετράπη ὑπὸ τοῦ βάρους τούτων περιτραπεῖσα· ἧς περιτραπείσης οἱ ἔνδον ταύτης ἀπογυμνω-θέντες ἐβάλλοντο πάντοθεν λίθοις καὶ τόξοις, μηδενὸς ἐπαμῦναι τούτοις

ACEBNUV DH **70** τείχη τῆς πόλεως BNUV: τῆς πόλεως τείχη ACE τε om. AB **72** ἔσω CB τῶν: τὴν U δίχα ACENU: διχῇ BV **73** καὶ om. A **73/74** κελεύει χρῆσθαι V **74** τῇ ante τοξείᾳ add. UV ἔχεν C **74/75** βοείαις — ἐσκεπασμένας om. ACE **75** σκεπασμένας B τροχὰς C **76** λέσσας UV **77** φέροντος BNUV: φέροντας A: φέροντες CE **78** ὑπωθεῖν post ᾤετο E **80** ὑπό: ἀπὸ B **81** ἐφαντάζετο τοῦτον B **83** παρακύπτειν B διεγκελεύεται ACENUD: διακελεύεται B: διεκελεύετο V: διεγκελεύετο H λίθους ACBN: πλίνθους UV: πλήθους E χειροπληθεῖς ABUVD: χειροπλήθεις CEN **84** ηὐτρεπισμένους ABU: ηὐτρεπισμένας V: εὐτρεπισμένους CEN: εὐτρεπισμεν' D **86** δὲ — δοκούς: δὲ καὶ δοκοὺς παρ' ἑαυτῷ U καὶ om. A κατά: καὶ U **87** διετάττετο: διεπράττετο U δὲ U Ἀλκᾶν CENUD **88** ἔσω AC **89** λέσσας V προσέρειδε (προσέρειδεν post τείχει A) ACEBNUD: προσήρειδε VH **90** καὶ: δὲ C ἀδύνατος αὐταῖς: αὐτοῖς ἀδύνατον B αὐταῖς ACE: αὐτοῖς BN: αὐτῷ U: αὐτὰς D: om. V **91** ἀντιστροφὴ A Ἀποκάπου ABNUV: Ἀποκάπη CEH: Ἀποκαπ' D **92** δοκοὺς ACEBUVD: δοκὰς N ἀφίεσαν B **93** ἔβαλον B οὖν om. E Ἀλκᾶν CENUD **94** πολλοῖς ACEU παρεῖσα UV τὴν om. B **1** τόξοις καὶ λίθοις V τόξοις VBNU: ξύλοις ACE

ἰσχύοντος. καὶ οἱ μὲν ἄλλοι πάντες ἔπεσον ἐκεῖσε, ἐλήφθη δὲ ὁ Ἀλκὰν ζωγρίας, γνώριμος ἀπὸ τῆς λαμπρότητος τῶν ὅπλων ὑπάρχων· δύο γάρ τινες καλοὶ κἀγαθοὶ νεανίαι προπηδήσαντες τῶν πυλῶν τῆς πόλεως καὶ τῶν τριχῶν τούτου δραξάμενοι σύροντες εἰσήγαγον εἰς τὴν πόλιν. καὶ | τούτου μὲν εὐθὺς τὴν κεφαλὴν ἀποτεμὼν ὁ Βασίλειος ἀκοντίζει τοῖς Τούρκοις, ὁ δὲ σουλτάνος περιαλγήσας τῷ πάθει λύει τὴν πολιορκίαν καὶ ἀναζεύγνυσι, πλασάμενος ἀναγκαῖά τινα πράγματα κατεπείγειν αὐτὸν οἴκαδε ὑποστρέφειν, ἀπειλῶν εἰς τοὐπιὸν ἔαρ μετὰ μείζονος κατὰ τῶν Ῥωμαίων ἐπιστρατεῦσαι δυνάμεως.

20. Περὶ ἧς φροντίζων ὁ Μονομάχος, ἔτι δὲ καὶ τὸν Ἀπλησφάρην τὸν τοῦ Τιβίου ἄρχοντα τὰς ἐπὶ Κωνσταντίνου σπονδὰς διαλύσαντα καὶ τὰ Ῥωμαίων κακοῦντα ἀμυνόμενος, τὰ ἑῷα τάγματα πάντα ἀθροίσας καὶ ἡγεμονεύειν τάξας αὐτῶν Νικηφόρον τινὰ εὐνοῦχον, ἱερέα μὲν τυγχάνοντα πρότερον καὶ τῷ βασιλεῖ ὑπηρετοῦντα ἰδιωτεύοντι, διὰ κοσμικὴν δὲ περιφάνειαν καὶ δόξαν ἀπωσάμενον τὴν ἱερωσύνην, ῥαίκτωρα τοῦτον τιμήσας καὶ στρατοπεδάρχην ὀνομάσας εἰς τὴν ἕω ἐκπέμπει, οὐκ ἐπειδὴ δραστήριος ἦν καὶ ἐνεργὸς τὰ πολεμικά, ἀλλ' ἐπειδὴ εὔνοιαν ἐτήρει τῷ βασιλεῖ. οὗτος ἀνελθὼν μετὰ τοῦ στρατοῦ ἄχρι τῆς λεγομένης Σιδηρᾶς γεφύρας καὶ τοῦ Καντζακίου Τούρκοις μὲν οὐκ ἐνέτυχεν (ἐν τῇ πεδιάδι γὰρ τῆς Περσαρμενίας στρατοπεδεύοντες μετὰ Ἀβιμέλεχ τινὸς στρατηγοῦ, ἀδελφοῦ τοῦ Κουτλουμούς, καὶ πυθόμενοι τὴν τῶν Ῥωμαίων βαρεῖαν ἔφοδον, μὴ στέρξαι τὴν ἐπέλευσιν τολμήσαντες ὑπενόστησαν οἴκαδε), ὁ δὲ Ῥωμαϊκὸς στρατὸς τὸν Ἀπλησφάρην εἴσω τείχους συγκλείσαντες, καὶ τὴν περίχωρον πᾶσαν ληϊσάμενοι, ἔπεισαν καὶ ἄκοντα ἀνανεώσασθαι τὰς σπονδὰς | καὶ ὅμηρον δοῦναι Ἀρτασείραν τὸν υἱὸν Φατλοὺμ τοῦ οἰκείου ἀδελφοῦ τοῦ τῆς Καντζακηνῶν κατάρχοντος γῆς. ὃν εἰληφὼς ὁ Νικηφόρος ἐπάνεισι πρὸς τὴν πόλιν.

ACEBNUV DH 2 καὶ ante ὁ add. A Ἀλκᾶν EBN 3 ζωγρίαις U λαμπρότητος post ὑπάρχων add. B 4 κἀγαθοὶ: καὶ ἀγαθοὶ U πυλῶν: τειχῶν UV 6 ἀποτεμὼν τὴν κεφ. A 9 ἀπειλῶν ACEBN: ἀπιὼν U: om. V δ' ante ἔαρ add. V 10 τῶν om. BUV ἐπιστρατεῦσαι ACENV: ἐπεστράτευσε U: ἐκστρατεῦσαι B 11 Ἀπλησφάρην CEN: Ἀπλεσφάρην ABV: Ἀπλεσφάραν U 12 τὸν om. UV τοῦ om. E ἐπὶ Κωνσταντῖνον N 13 τὰ pr.: τὴν B 14 ἡγεμόνα UV αὐτῶν: αὐτοῖς U 15 ὑπηρετοῦντι C 16 δὲ κοσμικὴν V δὲ om. U ἀπωσάμενον ACEBUV: ἀποσάμενον DH: ἀπωμοσάμενον N καὶ ante ῥαίκτωρα add. AE 17 ἕω BNU: ἑῴαν ACEV 18 ἐνεργὴς B πολέμια U 20 Καντζακίου NUV: Καντζάκη B: Κανζακίου ACE 21 τῆς om. V Πασαρμενίας B ἦσαν post Περσαρμ. add. U στρατοπεδεύσαντες B 22 Κουτλουμούς ACEN: Κουτλουμοῦς UVH: Κουτλουμᾶ B: Κουτλουμοῦσι D 23 ἔφοδον βαρεῖαν V 24 Ἀπλησφάρην CEN: Ἀπλεσφάρην ABV: Ἀπλεσφάραν U τοῦ ante τείχους add. UV συγκλείσαντες: ἐλάσαντες B 26 Ἀρτασείραν UD: Ἀρτισήραν A: Ἀρτασήραν C: Ἀρτασήρα E: Ἀντασείραν V: Ἀλτασείραν B: Ἀρτασίραν H 27 τῶν ante Κανζ. add. ACE Καντζακηνῶν BNUV: Κανζακηνῶν ACE 28 ἐπάνεισιν εἰς UV

21. Οἱ Πατζινάκαι δὲ τὸν Αἶμον, ὡς εἴπομεν, διαβάντες, καὶ τὴν μεταξὺ τούτου καὶ τοῦ ποταμοῦ Ἴστρου κατασκοπήσαντες πεδιάδα τὴν διήκουσαν μέχρι θαλάσσης, καὶ τόπον εὑρόντες νάπας καὶ ἄλση ἔχοντα καὶ λόχμας παντοδαπὰς καὶ ὕδωρ καὶ νομάς (Ἑκατὸν βουνοὺς τὸν τόπον ὀνομάζουσιν οἱ ἐγχώριοι), ἐκεῖσε ἐγκαθιδρύονται, καὶ ἐκδρομὰς αὐτόθεν ποιούμενοι οὐ μικρὰ τὴν ὑπὸ Ῥωμαίους ἐλύπουν. ὁ δὲ βασιλεὺς μεταπέμπεται τὸν Κεγένην ἐπὶ συμβουλῇ εἰς τὴν βασιλίδα. καὶ ὃς εἴσεισιν εὐθὺς μετὰ παντὸς τοῦ οἰκείου στρατοῦ καὶ κατασκηνοῖ κατὰ τὴν ἀφωρισμένην πεδιάδα Βυζαντίοις εἰς πεδιάν (Μαΐτὰς ὁ τόπος κατονομάζεται) σὺν ἅπαντι τῷ στρατῷ. μήπω δὲ ἐντυχὼν τῷ βασιλεῖ, μηδ' ὅτου μετεκλήθη χάριν μαθών, ἐπιβουλεύεται ταύτῃ τῇ νυκτὶ ὑπὸ Πατζινάκων τριῶν μετὰ ξιφῶν ἐπελθόντων κοιμωμένῳ καὶ πληγὰς ἐπενεγκόντων αὐτῷ, μὴ μέντοι καιρίας· γνωσθέντες γὰρ εὐθὺς ἀπὸ τῶν σωματοφυλακούντων τάς τε πληγὰς ἀσθενεῖς ἐπιφέρουσι, καὶ πρὸς φυγὴν δρομήσαντες βοηδρομήσαντος τοῦ πλήθους μετὰ Βαλτζὰρ υἱοῦ τοῦ Κεγένους ἁλίσκονται. ἕωθεν οὖν ὁ Βαλτζὰρ ἐφ' ἁμάξης τετρατρόχου τὸν ἑαυτοῦ πατέρα θείς, καὶ τοὺς ἐπιβουλεύσαντας ὄπισθεν τῆς ἁμάξης ἕλκων πεπεδημένους (οὐδὲν γὰρ εἰς αὐτοὺς διαπράξασθαι πλέον ἐτόλμησεν ἐπιβοωμένους τὸν βασιλέα), | ἅμα παντὶ ἐφίππῳ τῷ στρατῷ, αὐτὸς πεζὸς σὺν τῷ ἀδελφῷ Γουλίνῳ ἑπόμενος τῇ ἁμάξῃ ὑπὸ δυοῖν ἑλκομένῃ ἵππων, ἔρχεται πρὸς τὸν βασιλέα. καὶ κατὰ τὸ ἱπποδρόμιον γενόμενος, ταύτην μὲν ἵστησιν ἐκεῖσε, αὐτὸς δὲ εἴσεισι πρὸς τὸν βασιλέα, τῆς φήμης προδραμούσης καὶ προοδοποιησάσης αὐτῷ τὴν εἴσοδον. ὃν εἰσαχθέντα ὁ βασιλεὺς ἐπήρετο, διὰ τί μὴ εὐθὺς τιμωρὸς ἐγένετο τῶν τοῦ πατρὸς φονέων· τοῦ δὲ φήσαντος, ὅτιπερ 'τὸ σὸν ἐπεκαλοῦντο συνεχῶς ὄνομα,' εἰς ὑποψίας ἀτόπους ἐνέπιπτεν ὁ βασιλεύς, καὶ λόγου θᾶττον ἐκπέμψας ἄγει τοὺς δεσμίους πρὸς ἑαυτόν, καὶ τὴν αἰτίαν ἐπυνθάνετο, δι' ἣν ἐπεχείρησαν τὸν πατρίκιον ἀνελεῖν.

29 seqq. a. 1048 et annis sequentibus

ACEBNUV DH **29** δὲ post Οἱ add. A Πατζινάκοι NUVD διαβιβάντες B **30** ποταμοῦ om. V **31** νάπους B **32** νομὴν B **33** αὐτόθεν CBUV: αὐτόθι AEND **34** τὴν ACEBN: τοὺς V: τῶν U **35** Κεγένην ACEBN: Τεγένην V: Ταγένην U εἰς: πρὸς V ὃς: ὅσον C εἴσεισιν — παντὸς: ἄπεισι μετὰ παντὸς εὐθὺς B **37** Μαΐτὰς NVD: Μαΐτᾶς ACEU: Μαΐπὰς B σὺν ἅπαντι: συνάμα παντὶ AE **38** δὲ om. B τῷ βασιλεῖ ἐντυχὼν A χάριν μετεκλήθη V **39** ταύτῃ τῇ νυκτὶ: νυκτὸς B Πετζινάγων U **40** αὐτῷ ante κοιμωμένῳ add. B κοιμωμένων E αὐτῷ om. B **41** ἀπό: ὑπὸ V τοῦ τόπου παρὰ ante τῶν add. B σωματοφυλακούντων: σωματοφυλάκων αὐτοῦ V **43** μετὰ — Βαλτζὰρ alt.: κατεσχέθησαν, ὁ δὲ τοῦ Κεγένους υἱὸς Βαλτζὰρ B Βαλτζὰρ pr.: Βουλτζὰρ C Κεγένους ACEBN: Τεγένους V: Ταγένους U **45** ὄπιθεν BNU πεπεδημ. ἕλκων B **46** διαπράξασθαι — ἐτόλμησεν CENUV: πλέον ἐτόλμησε διαπράξ. A: πλέον διαπράξ. ἐτόλμησεν B **47** πεζῇ B Γουλίνᾳ U **48** δυεῖν C ἑλκομένην N (sed non D) **48–50** καὶ — βασιλέα BND: om. ACEUV **49** ἐκεῖσε: ἐκεῖ B **51** ὧν εἰσαχθέντων A ἐπήρετο: ἐγένετο ἐρωτῶν A **52** ἐγένετο BNUV: ἐγένου CE: ἐφάνης A τῶν φονέων τοῦ πατρός V φονέων: φόνων U **53** ἀτοπίαν BV ἐνέπεσεν V

τῶν δὲ φησάντων, 'ὅτιπερ κακόνους ἦν τῇ βασιλείᾳ σου καὶ τῇ πόλει, ὄρθρου μελετῶν εἰσελθεῖν καὶ πάντας μὲν κατασφάξαι τοὺς ἔνδον, λαφυραγωγῆσαι δὲ καὶ τὴν πόλιν καὶ πρὸς τοὺς Πατζινάκας ἐπαναδραμεῖν,' δέον ἐξετάσαι τὰ λεχθέντα καὶ εὑρεῖν τὴν ἀλήθειαν, ὁ δὲ τοῦτο μὲν οὐκ ἐποίησεν, ἀλλ' ἀδεσπότοις πιστεύσας συκοφαντίαις καὶ ἀσυστάτοις τὸν μὲν Κεγένην ἄγει πρὸς τὰ βασίλεια καὶ ἐν προσχήματι τάχα θεραπείας καὶ ἰατρείας ἐν τῇ 'Ελεφαντίνῃ καθείργνυσι, τοὺς δὲ τούτου υἱοὺς ἐν ἑτέρῳ καὶ ἑτέρῳ τόπῳ διαστήσας ἀπ' αὐτοῦ. τὸ δὲ πλῆθος τῶν Πατζινάκων βρώμασι καὶ πόμασι παντοίοις πρὸς τὸ δοκεῖν εὐνοῶν ἀνελάμβανε, σπεύδων, εἰ οἷόν τε, τῶν ἁρμάτων τούτους ἀπογυμνῶσαι καὶ τῶν ἵππων καὶ κατασχεῖν καὶ φρουρῆσαι, τοὺς ἐπιθεμένους τῷ φόνῳ ἀνέτως καὶ ἐλευθερίως, ὅπῃ καὶ ὡς ἐβούλοντο, διάγειν κελεύσας. | καὶ ἐδόκει μὲν ταῦτα διαπραξάμενος λανθάνειν, ἀλλὰ τὸν δῆμον οὐκ ἔλαθε τῶν Πατζινάκων. τήν τε γὰρ τοῦ αὐτῶν καθηγεμόνος κατάσχεσιν καὶ τὴν τῶν ἐκείνου υἱῶν διάζευξιν οὐ χρηστὸν οἰωνὸν ἐλογίζοντο, καὶ σημεῖον κακονοίας προφανὲς ἐνόμιζον τὴν τῶν ἐπιβούλων ἐλευθερίαν. διὸ καὶ τὰ μὲν πεμφθέντα ἐδέξαντο μετ' εὐχαριστίας, καὶ τὸν βασιλέα εὐφήμησαν, καὶ δι' ὧν ἐποίουν ἀποδεχομένοις ἐῴκεσαν τὰ πραχθέντα· νυκτὸς δ' ἐπιγενομένης, μηδενὸς ὑποτοπάσαντος ἄραντες ἐκ τῆς παρεμβολῆς καὶ συντόνῳ δι' ὅλης νυκτὸς χρησάμενοι τῇ ὁδοιπορίᾳ, τριταῖοι τὸν Αἷμον διαβάντες ἑνοῦνται καὶ αὐτοὶ τῷ πλήθει τῶν Πατζινάκων. γενόμενοι γοῦν ἅπαντες ὑφ' ἕν, ἤδη δὲ καὶ ὅπλων ἀποχρώντως εὐπορηκότες διαπερῶσι τὸν Αἷμον, καὶ παρεμβολὴν μὲν πηγνύουσι κατὰ τὴν Αὐλήν (φρούριον δὲ ἡ Αὐλὴ κατὰ τὰς ὑπωρείας κειμένη τοῦ Αἵμου, καὶ οὐ πάνυ πόρρω κείμενον 'Αδριανουπόλεως), καὶ πρὸς λεηλασίαν καὶ λείαν τρέπονται.

22. Ὅπερ μαθὼν ὁ τῆς δύσεως ἄρχων Κωνσταντῖνος μάγιστρος ὁ

cap. 22: Zon. III, 644, 7—644, 11

ACEBNUV DH 56 σου om. C 58 Πατζινάκους BNUVD 59 οὖν post δέον add. V 61 Κεγένην ACEBN: Τεγένην V: Ταγένην U 63 ἐν post καὶ add. E ἦν post αὐτοῦ add. A Πατζινακῶν A 64 παντοίοις post βρώμασι B δοκεῖν ACEBN: δοκοῦν UV εὐνοῶν CEN: εὔνοον A: εὐνοεῖν BUV 66 ἐπιτιθεμένους UV ἀνέτους AB 67 ἐλευθέρους B ὅποι UV ὡς om. E ἐβούλοντο ACENU: ἠβούλοντο V: βούλονται B διάγειν post ἐλευθερίως UV ἐδόκει: ᾤετο B 68 διαλανθάνειν V τῶν δήμων τῶν Πατζ. οὐκ ἔλαθε B Πατζινάκων CEBNV: Πατζινακῶν A: Πατζενάγων U 70 χρηστὸν: καλὸν B **71** προφανὲς om. A 72 εὐφήμησαν ACENU: ἐφήμισαν V: ἐφήμησαν B 73 δὲ BDH ἐπιγενομένης: γενομένης B 75 χρησάμενοι — ὁδοιπορίᾳ: πορείας χρησάμενοι B 76 Πατζινάκων CEBNV: Πατζινακῶν A: Πατζανάγων U 77 ἤδη δὲ om. B δὲ om. V ὅπλων ACEBUVD: ὅπλα N ἀποχρώντων ACB εὐπορηκότες ENU: ηὐπορηκότες ABV: εὐπορηκότων C 79 ὄρους ante Αἵμου add. ACE καὶ om. V οὐ om. AENUDH πόρρω om. C κείμενον EBNUV: dittogr. C: om. A 80 καὶ — τρέπονται: πρὸς λεηλασίαν δὲ καὶ λείαν ἐτράποντο B λεηλασίαν ACEBVD: λεηλασίας NU

᾿Αριανίτης, καὶ αὐτὸς παρεσκευασμένας ἔχων τὰς ἀμφ᾿ αὐτὸν δυνάμεις, ἄρας ἐξ ᾿Αδριανουπόλεως ἤρχετο κατ᾿ αὐτῶν. καὶ σποράσι μέν τισιν ἐν τῷ ἀπιέναι περιτυχὼν εὐτύχησεν. εἶτα καὶ περὶ τὸ λεγόμενον Δάμπολιν φρούριον συναντήσας τῷ πλήθει καὶ προσβαλὼν ἡττᾶται, πεσόντων ἐν τῷ πολέμῳ Μακεδόνων καὶ Θρᾳκῶν οὐκ ὀλίγων, ἀναιρεθέντων δὲ καὶ Θεοδώρου τοῦ Στρα|βομύτου καὶ τοῦ Πολύ, ἀνδρῶν ἐκ γένους λαμπροῦ καί ἐπισήμων γενομένων ἐκ τῆς εἰς τὸν Τορνίκιον ἀπιστίας. ὁ μὲν οὖν μάγιστρος ὑπέστρεψεν ἐν ᾿Αδριανουπόλει, τῷ βασιλεῖ δὲ διὰ γραμμάτων ἄγγελος τοῦ ἀτυχήματος γίνεται, δηλοῖ δὲ καί, ὡς δεῖ στρατοῦ νεαλοῦς. μετὰ γὰρ τῶν παρόντων ἀδύνατον ἀντιπαρατάξασθαι πρὸς τοσαύτην πληθὺν ἤδη τὰ νῶτα στρεψάντων. ὁ δὲ βασιλεὺς καὶ πρὸ τῶν ἐκείνου γραμμάτων τὸ συμβὰν μὴ ἀγνοήσας, τὸν μὲν Τυρὰχ καὶ τοὺς ἐν τῇ πόλει κατεχομένους ἄρχοντας τῶν Πατζινάκων δωρεαῖς καὶ χάρισιν ὑποποιησάμενος ὑποσχομένους μεθ᾿ ὅρκων ἐξημερῶσαι τὸ γένος ἐκπέμπει, γράμμασι δὲ αὐτὸς τὰ ἑῷα ἅπαντα μεταπέμπεται τάγματα. ὧν ἐλθόντων καὶ διὰ τῆς ᾿Αβύδου περαιωθέντων καὶ Χρυσοπόλεως στρατηγὸν αὐτοκράτορα χειροτονήσας τὸν ῥαίκτωρα Νικηφόρον ἐκπέμπει κατὰ τῶν Πατζινάκων. συνεξέπεμψε δ᾿ αὐτῷ καὶ Κατακαλὼν τὸν Κεκαυμένον, στρατηλάτην τῆς ἀνατολῆς προβαλλόμενος, καὶ ᾿Ερβέβιον τὸν Φραγγόπωλον, ἄρχοντα τῷ τότε τῶν ὁμοεθνῶν, κελεύσας συνεῖναι τῷ ῥαίκτωρι καὶ τῆς αὐτοῦ γνώμης ἔχεσθαι καὶ τοῖς ἐκείνου προστάγμασι καὶ θελήμασιν ἕπεσθαι. ὃς ἀναλαβὼν τὰς δυνάμεις καὶ τὸν Αἶμον διαπεραιωθεὶς διὰ τῆς λεγομένης Σιδηρᾶς ἀπῄει κατὰ τῶν Πατζινάκων, ἐλθὼν δὲ κατεσκήνωσεν ἔν τινι χώρῳ οὐ μακρὰν ἀπέχοντι τῶν ῾Εκατὸν βουνῶν, τῷ λεγομένῳ Διακενέ. κἀκεῖσε χάρακα πηξάμενος ὀχυρὸν τῇ ἐπαύριον ἐμελέτα τὴν μὲν ἀποσκευὴν ἐκεῖσε λιπὼν καὶ τὰ περιττὰ τοῦ στρατοῦ, αὐτὸς εὔ|ζωνος

1 vere a. 1050

ACEBNUV DH 82 ᾿Αριανίτης AED: ᾿Αρειανίτης CBNUV ἀμφ᾿: περὶ B 83 ἤρχετο BNUV: ἔρχεται ACE σπορεῦσι B 84 περιτυχὼν ACEBN: ἐντυχών, post 83 τισιν, UV 84 εὐτύχησεν CEN: ηὐτύχησεν ABV: εὐτύχει U Δάμπολιν ANUV: Δάμπολι CE: Δαάμπολε B 85 τῷ πλήθει συναντήσας A ἡττήθη B 86 ἀναιρεθέντος B 87 Στραβομύτου AEBNUV: Στραβορ υτ᾿ C: Στραβομίτη H: Στραβομμάτη D λαμπροῦ ACENU: λαμπρῶν BV 88 ἐπισήμου A Τορνίκην AB 90 γίνεται: γέγονε B καί om. V δεῖται U 92 στρεψάντων ACENU: τρεψάντων BV καὶ om. B 93 μὴ: οὐκ B 94 Πατζινακῶν AD 95 ὑποσχομένων N (sed non D) 95—4 γένος — Πατζινάκων (1 μεταπέμπεται: πέμπεται B τάγματα: δόγματα C 4 Πατζινακῶν A) ACEBN: γένος ἐκπέμπει κατὰ τῶν Πατζινάκων (Πετζινάγων U) σὺν τῷ ῥαίκτωρι UV 4 συνέπεμψε B δὲ U καὶ om. B 5 ᾿Εβέβιον B Φραγγόπουλον B 6 τῷ pr. om. B 7/8 ἐκείνου — ὃς: αὐτοῦ θελήμασι καὶ προστάγμασιν ἕπεσθαι. οὓς B 8 διαπεραιωθεὶς ACEBN: περαιωθεὶς UV 9 Πατζινακῶν A 10 χώρῳ ACED: χωρίῳ UV: χώρᾳ N: τόπῳ B ρ᾿ βουνῶν C τῷ λεγομένῳ: λεγομένων B 11 κἀκεῖ E τῇ: τὴν U μὲν om. AB 12 λιπὼν ACEBN: λιπεῖν UV δὲ post αὐτὸς add. UV

ἀπελθεῖν καὶ συμμῖξαι τοῖς ἐναντίοις. ᾤετο γὰρ αὐτοβοεὶ ἀφρόνως τούτους αἱρήσειν, καὶ ἐδεδίει καὶ φροντίδα ἐτίθετο, μή τις λαθὼν ἀποδράσειε, καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ὁ σύμπας στρατός· ἐπεφέροντο γὰρ καὶ καλῴδια καὶ λώρους πρὸς τὸ δεσμεῖν τοὺς ἁλισκομένους. τοῦτο δὲ ἐδίδου τούτοις ὑπονοεῖν τὸ κατ᾽ ἀρχὰς ἐπιγενόμενον εἰς αὐτοὺς ἐπὶ τοῦ Κεγένους πτῶμα. ἀμέλει καὶ συναίσθησιν λαβόντων τῶν Πατζινάκων τῆς ἐπελεύσεως τῶν Ῥωμαίων (ἤδη γὰρ καὶ ὁ Τυρὰχ καὶ οἱ σὺν αὐτῷ τῆς πόλεως ἀπολυθέντες ἄρχοντες ἑνωθέντες ἦσαν αὐτοῖς καὶ τὰ συμφέροντα τούτοις ἐσπούδαζον, μακρὰ χαίρειν εἰπόντες ταῖς πρὸς τὸν Μονομάχον ὑποσχέσεσι) καὶ προδραμόντων τῶν ἀλκιμωτέρων, καὶ τοῦ Κεκαυμένου μέγιστον ἀναβοῶντος καὶ παρακαλοῦντος νῦν εἶναι καιρὸν τῆς συμπλοκῆς, ὁπηνίκα σποράδες εἰσὶ καὶ διεσπαρμένοι, καὶ μὴ περιμένειν τὸ ἅπαν ἄθροισμα, οὐκ ἐπῄνει μὲν καὶ τὸ λοιπὸν πλῆθος τῶν Ῥωμαίων τοὺς ἐκείνου λόγους, ὁ δὲ ῥαίκτωρ καὶ προφανῶς κατεγέλα, 'παῦσαι,' λέγων, 'ὦ στρατηλάτα, καὶ ἐμοῦ στρατηγοῦντος αὐτὸς μὴ παραστρατήγει. οὐ χρὴ γὰρ διεσπαρμένοις ἐπιβήσεσθαι τοῖς Πατζινάκαις, μή πως πτυρέντες ὑποδύσωνται τὰς λόχμας. ἐμοὶ δὲ ἀκολουθοῦντι, ὦ τᾶν, οὐ παρέπονται κύνες θηρατικοί, οἵτινες ῥινηλατοῦντες ἐξάξουσιν αὐτοὺς τῶν καταφυγῶν.' καὶ τὰ μὲν τῶν Ῥωμαίων ἦσαν ἐν τούτοις, οἱ δὲ πρόδρομοι τῶν Πατζινάκων πλησίον γενόμενοι τῆς παρεμβο|λῆς τῶν Ῥωμαίων, μικρὸν ἐκκλίναντες, στρατοπεδεύουσι καὶ αὐτοὶ καὶ τοῖς ὄπισθεν δηλοῦσιν ἥκειν τὴν ταχίστην. πάντων δ᾽ ἐλθόντων καὶ ἑνωθέντων, τῇ ἐπαύριον ἐξαγαγόντος τοῦ ῥαίκτωρος τὰς Ῥωμαϊκὰς δυνάμεις, ἀντιπαρατάττονται καὶ αὐτοί.

καὶ τοῖς ὄπισθεν ἔτι δηλοῦσιν ἥκειν τὴν ταχίστην, πάντων δ᾽ ἐλθόντων καὶ ἑνωθέντων, ὡς ἔφαμεν, ἐξαγαγόντος τοῦ ῥαίκτωρος τὰς Ῥωμαικὰς δυνάμεις.

εἶχε δὲ τῆς μὲν Ῥωμαϊκῆς φάλαγγος τὸ μέσον αὐτὸς ὁ ῥαίκτωρ, τοῦ δεξιοῦ δὲ κέρατος ἦρχεν ὁ Κεκαυμένος, θατέρου δὲ ὁ Φραγγόπωλος. συμβολῆς δὲ γενομένης τρέπονται Ῥωμαῖοι, τῶν στρατηλατῶν πρώτων

ACEBNUV DH **13** ἀνελθεῖν B ἀφρόνως αὐτοβοεὶ B **14** φροντίδα: διὰ φροντίδος B διαδράσειε V **15** σύμπας: ἅπας B γὰρ: δὲ U καὶ ult. om. ACE **17** ἐπιγενόμενον: ἐπισυμβὰν B **18** Κεγένους ACEN: Κεγένου B: Τεγένους V: Ταγένους U Πατζινακῶν A **19** ἐλεύσεως B τῶν om. V **19/20** τῶν — πόλεως om. B ἐπεὶ καὶ οἱ ante ἀπολυθέντες add. B **20** συμφέροντα: συμβάντα B **22** καὶ alt. om. B **23** τῆς om. UV **24** διεσπαρμένοι CEBUV: διεσπασμένοι ANDH μένειν E **25** ἐπῄνει: ἐπόνει B καὶ om. B **26** καὶ om. E **27** παραστρατήγει: στρατήγει B **28** ἐπιβήσεσθαι ACEN: ἐπιθήσεσθαι UV: ἐπιθέσθαι B Πατζινάκοις BUVDH **29** ταῖς λόχμαις A ἐμοῦ δὲ ἀκολουθοῦντος U δὲ ἀκολουθ: μὲν B ἀκολουθοῦντες V **30** θηρατ. κύνες V θηρατικοί ACEV: θερευτικοί BND: θηραταί U οὐκ ante ἐξάξουσιν add. CENDH ἐξάξωσιν B καταφυγῶν: καταδίκων U **31** τῶν pr. om. A **32** Πατζινάκων CEBNV: Πατζινακῶν A: Πετζινάγων U **34** δὲ B δὲ post ἐπαύριον add. U **35** ἀντιπαρατάττοντο B **37/38** interpol. V (cf. 33—35) **39** δὲ: μὲν V μὲν om. UV αὐτὸς τὸ μέσον CE **40** δεξιοῦ δὲ ACEUV: δὲ δεξιοῦ BNDH **41** οἱ ante Ῥωμ. add. EUV στρατηλατῶν: στρατηγῶν V πρώτων ACEV: πρῶτον BNUDH

ἐκκλινάντων πρὸς τὴν φυγήν. αὐτοὶ μὲν γὰρ οὐδὲ τὸν κτύπον, ὅ φασιν, τῶν ποδῶν τῶν ἵππων ἐνεγκόντες ἐτράπησαν, μόνος δὲ ὁ Κεκαυμένος μετὰ τῶν ἑαυτοῦ στὰς θεραπόντων καί τινων συγγενῶν ὀλιγοστῶν καὶ ἡρωϊκῶς ἀγωνισάμενος ἔπεσε μετὰ πάντων τῶν σὺν αὐτῷ. τότε μὲν οὖν οὐκ ἐτόλμησαν διῶξαι οἱ Πατζινάκαι ἐνέδρας πτοηθέντες, καὶ παρὰ τοῦτο διασωθῆναι ἴσχυσαν ἀσινεῖς οἱ Ῥωμαῖοι· τέως δὲ τοὺς πεσόντας σκυλεύσαντες, καὶ πολλῶν ἁρμάτων γενόμενοι κύριοι καὶ αὐτῆς τῆς Ῥωμαϊκῆς παρεμβολῆς σὺν τῇ ἀποσκευῇ, κατασκηνοῦσιν ὑπὸ τὴν Ῥωμαϊκὴν τάφρον. καί τις δὲ Πατζινάκος τὴν κλῆσιν Κουλῖνος, εἰδὼς τὸν Κεκαυμένον, οἷός ἐστιν ἐξ ὅτου περ ἦρχε τῶν παρὰ τῷ Ἴστρῳ φρουρίων καὶ ἀνεμίγνυντο ἀλλήλοις τὰ γένη, εὑρὼν αὐτὸν ἐν τοῖς νεκροῖς κείμενον καὶ σκυλεύων, ἐπεὶ περιστρέψας αὐτὸν ἐς τὸ ὕπτιον ἀπὸ τοῦ προσώπου ἐγνώρισε καὶ | κατέλαβεν ἔτι ἐμπνέοντα, ἐπιθεὶς εἰς ἵππον (ἔκειτο γὰρ ἄφωνος διὰ τὸ καιρίας λαβεῖν πληγάς, μίαν μὲν κατὰ γυμνοῦ τοῦ κρανίου, πεσόντος τοῦ κράνους αὐτοῦ, διήκουσαν ἀπὸ κορυφῆς ἄχρι τῶν ὀφρύων, ἑτέραν δὲ ἀπὸ τοῦ τραχήλου, ἔνθα περ ἡ γλῶσσα ἐρρίζωται, καὶ διατεμοῦσαν τὸν τράχηλον καὶ εἰς τὸ στόμα πεσοῦσαν, καὶ ἔξαιμος γενέσθαι) ἐπήγαγεν εἰς τὴν ἑαυτοῦ σκηνήν, καὶ ἐπιμελείας καὶ φροντίδος ἀξιώσας περιεποίησε. καὶ οἱ μὲν Πατζινάκαι τὴν ἐπελθοῦσαν οὕτω ῥᾳδίως ἀποσκευασάμενοι δύναμιν, ἀδεῶς τὸ ἀπὸ τοῦδε τὴν Ῥωμαίων γῆν ἐληΐζοντο. ὁ δὲ βασιλεὺς διὰ τῶν φυγόντων μαθὼν τὸ ἀτύχημα ἤλγησε μὲν ὡς εἰκός, ἤθροιζε δὲ πάλιν δυνάμεις, ἀνελάμβανε δὲ καὶ τὰς προσούσας, καὶ ἐς τὸ ἐπιὸν ἔτος τὴν γενομένην ἧτταν ἐπανορθώσασθαι ἔσπευδε. τῆς δὲ τρίτης ἐπιστάσης ἰνδικτιῶνος τοῦ ,ϛφνη' ἔτους, τὸν ἑταιρειάρχην Κωνσταντῖνον στρατηγὸν αὐτοκράτορα προχειρισάμενος ὁ

65 a. 1050

ACEBNUV DH **42** τὴν φυγήν NUV: τὸ φυγεῖν ACE: φυγὴν B οὐδὲ ACEB: μηδὲ NUVDH τὸν om. B **44** στὰς ante μετὰ B ἑαυτοῦ om. B ὀλίγων B καὶ alt. om. UV **45** τότε ACEBN: τούτους U: τοῦτον V **46** οὖν om. U διῶξαι οὐκ ἐτόλμησαν B Πατζινάκαι ACED: Πατζινάκοι BNUV **47** διασωθῆναι ἴσχυσαν BNUV: ἴσχυσαν διασωθῆναι ACE οἱ Ῥωμαῖοι ἀσινεῖς B ἀσινεῖς om. N **49** Ῥωμαϊκῆς om. B παρεμβολῆς σὺν τῇ om. UV ἀποσκευῇ ACEBN: ἀποσκευῆς UV κατασκηνοῦσι post **50** τάφρον N τὴν: τὸν U **50** Ῥωμαϊκὴν ACEVN: Ῥωμαίων B: Ῥωμαϊκὸν U δὲ om. B Πατζινάκος CEBNV: Πατζινάκης A: Πετζινάγων U Κουλῖνος ACEND: Κουλινός BH: Γαλῖνος UV **51** ἐστιν: ἦν B περ ἦρχε τῶν: περιεῖχε B **52** αὐτὸν εὑρὼν B **53** εἰς AB **54** περιφυλάξαι ἠπείγετο post ἵππον add. B ἔκειτο γάρ: ὁ δὲ ἔκειτο B **56** πεσόντος — αὐτοῦ om. B αὐτοῦ: αὐτῷ U ἀπό: ἐπὶ B **57** ἐρρίζωτο B **58** καὶ pr. om. B ὡς ante καὶ ἔξαιμος add. B ἔξαιμον UV **59** ἀπήγαγεν UVDH **60** περιεποιήσατο A Πατζινάκαι ACEB: Πατζινάκοι NVD: Πετζινάγοι U τὴν ἐπελθοῦσαν post **61** ῥᾳδίως UV **62** φυγόντων: φυγῶν B **63** δύναμιν B καὶ post δυνάμεις add. E **64** δυνάμεις post προσούσας add. A εἰς B **65** ἰνδικτιῶνος ἐπιστάσης BV

βασιλεὺς ἐκπέμπει κατὰ τῶν Πατζινάκων. καὶ ὃς τάς τε νεωστὶ περαιωθείσας ἐξ ἑῴας δυνάμεις ἀνειληφὼς καὶ τὰς ἐν τῇ ἑσπέρᾳ παραχειμαζούσας ἀθροίσας ἐν Ἀδριανουπόλει γίνεται, κἀκεῖσε χάρακα πηξάμενος βαθὺν ἔκειτο διασκοπούμενος μετὰ τῶν ἀρίστων, πόθεν ἂν ποιήσηται τὴν εἰς τὰ πρόσω πορείαν. ἐν ᾧ δὲ οὗτος διενοεῖτο, αἰφνίδιον κατὰ τὴν ὀγδόην τοῦ Ἰουνίου μηνὸς οἱ Πατζινάκαι τὸν Αἷμον διαβάντες ἐπιφαίνονται τῇ Ἀδριανουπόλει. καὶ διὰ τῶν σκοπῶν μηνυθείσης τῷ Κωνσταντίνῳ τῆς τούτων ἐφόδου, βουλὴ προετέθη, εἰ πολεμητέον αὐτοῖς, εἴτε καὶ μή. | ἀλλὰ τῶν ἀρίστων ἐν τῇ σκηνῇ τοῦ ἑταιρειάρχου περὶ τῶν πρακτέων βουλευομένων, Σαμουὴλ πατρίκιος ὁ Βούρτζης, ἀνὴρ αὐθάδης καὶ θρασύς, ἄρχων τότε τῶν πεζικῶν ὑπάρχων δυνάμεων καὶ τὴν τοῦ χάρακος ἐπιστασίαν πᾶσαν ἐπιτετραμμένος, μὴ προσδεξάμενος τὸ τοῦ ἄρχοντος σύνθημα, τὴν τάξιν λιπὼν καὶ διαλύσας τὸν χάρακα ἔξεισι μετὰ τῶν πεζῶν καὶ τοῖς Πατζινάκαις προσρήγνυται. ὧν ῥαγδαίως ἐπιβρισάντων ἤρξαντο κάμνειν οἱ πεζοί. διὸ καὶ θαμάκις πέμπων πρὸς τὸν ἑταιρειάρχην ὁ Σαμουὴλ βοήθειαν ἐζήτει, ὡς ἀπαναγκασθέντα τοῦτον καὶ ἀκουσίως δοῦναι τὸ σύνθημα τοῦ πολέμου. ἐξελθόντος οὖν παντὸς τοῦ στρατοῦ κατὰ τὴν λεγομένην Βασιλικὴν Λιβάδα, καὶ καθολικῆς συμπλοκῆς κροτηθείσης, διὰ τὸ αἰφνίδιον καὶ ἀσύντακτον καὶ τὸ προηττῆσθαι τοὺς πεζούς, ἀναθαρσῆσαι δὲ καὶ τοὺς Πατζινάκας, γίνεται τροπὴ φοβερὰ τῶν Ῥωμαίων, καὶ φόνος μὲν αὐτῶν οὐκ ἐγένετο πολύς, συνεκλείσθησαν δὲ αἰσχίστως εἰς τὸν χάρακα, ἔπεσε δὲ Μιχαὴλ πατρίκιος ὁ Δοκειανός, ἔλαβε δὲ καιρίαν κατὰ τῶν σπλάγχνων καὶ ὁ μάγιστρος Κωνσταντῖνος ὁ Ἀριανίτης, καὶ τριταῖος ἀπέθανε. πεπτώκασι δὲ καὶ ἄλλοι τινὲς τῶν ἀσήμων ὀλιγοστοί. τὸ δὲ λοιπὸν ἅπαν στράτευμα συγκλεισθὲν ἀγεννῶς εἰς τὸν χάρακα ἐπολιορκεῖτο παρὰ τῶν Πατζινάκων, χωννύντων τὴν τάφρον λίθοις καὶ κλάδοις καὶ πρὸς βίαν ἑλεῖν ἐπειγομένων τὸν χάρακα. καὶ κἂν ἐγένετο τοῦτο, εἰ μὴ καταπελ-

ACEBNUV DH 67 Πατζινακῶν A τε om. B περαιωθείσας: περαιώσας U 68 ἐξ: ἐκ τῆς ACE τάς: ταῖς προσούσαις U 70 διασκοπούμενος: διακοπτόμενος C 71 ἐς U τὰ ACEBN: τὸ UVD: τὴν H οὕτως CN 72 η' CBU Πατζινάκοι NUVD διαβιβάντες B 75 καὶ om. ACE 76 βουλευομένων ACEUVD: βουλευομένου N: βουλομένων B 77 τότε τῶν: τῶν τότε U 78 ἐπιστασίαν — ἐπιτετραμμένος ACEBUVD: ἐπιτετρ. πᾶσαν ἐπιμέλειαν N καὶ ante μὴ add. U μή: μήπω B προσδεξάμενος AENUV: δεξάμενος B: παραδεξάμενος C 80 Πατζινάκοις NUVD 81 ἐπεισβρισάντων U διό: ὅθεν A θαμάκις CEBNU: θαμὰ V: συχνάκις A 83 δοῦναι post τοῦτον UV τοῦ πολέμου τὸ σύνθημα A 84 καὶ post στρατοῦ add. U Λιβαδίαν B 85 συμπλοκῆς κροτηθείσης: κρατηθείσης μάχης B 86 ἀναθαρρῆσαι B δὲ καὶ om. V Πατζινάκας ACEND: Πατζινάκους BUV 87 φοβερὰ om. UV 87/88 μὲν — συνεκλείσθησαν ACENU: μὲν πολὺς οὐκ ἐγένετο, συνεγκλείσθησαν B: ἐγένετο οὐ πολὺς αὐτῶν, συνεκλείσθησαν V 88 ἐς C ἔπεσε δέ: ἔπεσέ τε V 89 Δοκιανός CENDH δὲ om. V 90 Ἀριανίτης AED: Ἀρριανίτης C: Ἀρειανίτης BNUV 91 τινὲς post ἀσήμων B 93 Πατζινακῶν A 94 κἄν: τάχα ἂν V

τικῷ βέλει βληθεὶς ὁ Σουλτζοὺς διεπεραιώθη σὺν τῷ ἵππῳ | καὶ εἰς ἔκπληξιν μεγάλην ἤγαγε τοὺς θεασαμένους Πατζινάκας. ἐξῆλθε δὲ καὶ τῆς Ἀδριανουπόλεως ὁ πρωτοσπαθάριος Νικήτας ὁ Γλαβᾶς, τοποτηρητὴς ὢν τοῦ τάγματος τῶν σχολῶν, εἰς βοήθειαν· καὶ ἰδόντες τοῦτον καὶ προσδοκήσαντες τὸν σύγκελλον Βασίλειον μετὰ τῶν Βουλγαρικῶν ἀφικέσθαι δυνάμεων (προσεδοκᾶτο γὰρ καὶ οὗτος ἐλθεῖν) καὶ δειλιάσαντες οἱ Πατζινάκαι σποράδες ἄλλος ἀλλαχοῦ φεύγοντες ὑπεχώρησαν, καὶ πανσυδὶ ἂν ἀπωλώλει ὁ τῶν Ῥωμαίων στρατός.

23. Ἐγένετο δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ τυραννίδος διαβολὴ κατά τινων ἀρχόντων πολιτῶν, ὧν ἔξαρχοι ἐτύγχανον Νικηφόρος καὶ Μιχαὴλ οἱ τοῦ Εὐθυμίου παῖδες, καὶ ἄλλοι τινὲς τῶν εἰς τὸ αὐτῶν γένος ἀναφερόντων. ἀλλ' οἱ μὲν ἄλλοι πάντες διεσώθησαν, μόνος δὲ ὁ Νικηφόρος ἀνεξερευνήτως κατακριθεὶς ἐξωρίσθη, τῆς οὐσίας αὐτοῦ πρότερον δημευθείσης.

24. Ὅπως δὲ τῶν Πατζινάκων ἐπικρατέστερα γένηται τὰ Ῥωμαίων ὁ βασιλεὺς φροντίζων, τὸν Κεγένην ἐξάγει τῆς φυλακῆς καὶ ἐς Πατζινάκας ἐκπέμπει, ὑποσχόμενον διασχίσαι τούτους καὶ εὔνους θεῖναι τῷ βασιλεῖ. καὶ τὰ συμμαχικὰ πάντα συναθροίσας ὑφ' ἕν, Φράγγους φαμὲν καὶ Βαράγγους, μεταπεμψάμενος δὲ καὶ ἱπποτοξότας ἀπό τε τοῦ Τελούχ, τοῦ Μαύρου ὄρους, καὶ τοῦ Καρκάρου, περὶ τὰς εἴκοσι χιλιάδας, καὶ ἀνδράσιν ἐπισήμοις τῶν γενῶν ἕκαστον ἀναθείς, καὶ ἐπὶ πᾶσιν ἡγεμόνα καταστήσας τὸν | πατρίκιον Βρυέννιον καὶ ἐθνάρχην τοῦτον κατονομάσας, τὰς ἐκδρομὰς ἐκπέμπει κωλύειν καὶ ἐπέχειν τῶν Πατζινάκων. οὗτοι γὰρ μετὰ τὴν ἐν Ἀδριανουπόλει μάχην καταφρονήσαντες ὁλοσχερῶς τῶν Ῥωμαίων ἀδεῶς τήν τε Μακεδονίαν καὶ Θρᾴκην ἐδῄ-

15 a. fere ineunte 1051

ACEBNUV DH 95 Σουλτζοὺς ACEBND: Σουλτζοῦς UVH διεπεράθη B 1 Πατζινάκας B: Πατζινάκους NUVDH: om. ACE 2 ὁ — Γλαβᾶς BNU: Νικήτας πρωτοσπαθάριος ὁ Γλαβᾶς ACE: ὁ Γλαβᾶς Νικήτας ὁ πρωτοσπαθάριος V 4 Βουλγαρικῶν: βασιλικῶν U 6 Πατζινάκοι BNUVD καὶ ante σποράδες add. CE καὶ post ἄλλος add. B ἀλλαχῇ ACEU 6/7 καὶ — στρατός om. B 7 πασσυδὶ C 8 καὶ post δὲ add. B 10 οἱ παῖδες τοῦ Εὐθ. V τὸ ACBNUVH: τὸν D: om. E αὐτῶν ACEB: αὐτὸ UV: ἑαυτῶν DH: ἑαυτῶν, post γένος N 12 πρότερον ante τῆς B 14 τὰ ante τῶν add. CE Πατζινακῶν A 14/15 ἐπικρατέστερα — ἐξάγει: γένηται τὰ Ῥωμαίων ἐπικρατέστερα φροντίζων ὁ βασιλεύς, ἐξάγει τὸν Κεγένην B 15 Κεγένην ACEBN: Τεγένην V: Ταγένην U εἰς B 16 Πατζινάκας ACE: Πατζινάκους NUVDH: Πατζινακίαν B 16/17 εὔνους — βασιλεῖ: τῷ βασιλεῖ εὔνους ποιήσασθαι B 17 ἀθροίσας U ὑφ': εἰς B 18 φαμὲν AENU: φημὶ V: μὲν C: τε B ἱπποτοξότας ACEBN: ἱππότας UV τοῦ: τῆς V 19 Τελόχ E καὶ post Τελοὺχ add. UV κ' C 21 Νικηφόρον τὸν post πατρίκιον add. UV Βρυέννιον CBUVD: Βρυένιον AN: Βριέννιον E 22 Πατζινακῶν A

ουν καὶ ἐπυρπόλουν, ἀναιροῦντες ἀνοίκτως καὶ αὐτὰ τὰ θηλάζοντα νήπια, ὡς καὶ μίαν αὐτῶν μοῖραν ἄχρι τῶν Κατασυρτῶν (ἔγγιστα δὲ αἱ Κατασύρται τῆς βασιλίδος) ἐλθεῖν. ἀλλὰ τούτων μὲν ἡ καταστροφὴ ταχυτάτη ἐγένετο. λαὸν γὰρ ὁ βασιλεὺς ὁπλίσας ἀπό τε τῶν ἐν τῇ αὐλῇ φυλασσόντων καί τινων ἄλλων ἐκ τοῦ παρείκοντος εὑρεθέντων, καὶ Ἰωάννῃ πατρικίῳ, ἑνὶ τῶν θαλαμηπόλων εὐνούχων τῆς βασιλίδος Ζωῆς, ᾧ φιλόσοφος τὸ ἐπώνυμον, ἐγχειρίσας, κατειργάσατο ῥᾳδίως· νυκτὸς γὰρ οὗτος ἐπελθὼν καὶ μεθύοντας καὶ κοιμωμένους πάντας εὑρὼν ἀπέσφαξε, καὶ τὰς κεφαλὰς αὐτῶν ἁμάξαις γεωργικαῖς ἐπιθεὶς κομίζει τῷ βασιλεῖ.

25. Ὁ μὲν οὖν Κεγένης ἐξελθὼν διαπρεσβεύεται τοῖς Πατζινάκαις, καὶ τούτων ὑποσχομένων μεθ' ὅρκων ποιήσειν τὸ αὐτοῦ θέλημα, πιστεύσας τοῖς ὅρκοις καὶ ἀπελθὼν εὐθὺς ἀναιρεῖται, εἰς μικρὰ κατατμηθεὶς μέρη καὶ μόρια. ὁ δὲ Βρυέννιος τὰς ἐμπιστευθείσας αὐτῷ παραλαβὼν δυνάμεις καὶ ἐν Ἀδριανουπόλει γενόμενος ἐφρόντιζε τῆς φυλακῆς τῶν χωρίων. στέλλεται δὲ καὶ τοῦ παντὸς ἡγεμὼν στρατοῦ Μιχαὴλ πατρίκιος ὁ Ἀκόλουθος, προσταχθεὶς καὶ αὐτὸς καθολικῆς μὲν μάχης μὴ ἅπτεσθαι, εἴργειν | δὲ καὶ ἀνακόπτειν τὰς ἐκδρομάς. ὃς ἐξελθὼν καὶ τῷ Βρυεννίῳ ἑνωθεὶς ἔργου ἥπτετο, καὶ πρότερον μὲν ἐν Γολόῃ μιᾷ μοίρᾳ τῶν Πατζινάκων περιτυχὼν καὶ ταύτην τρεψάμενος ἠφάνισεν, εἶτα πάλιν ἐν τῷ Τοπλιτζῷ (φρούριον δὲ οὗτος παρὰ τὸν Εὖρον κείμενον) ἑτέραν ἀποσπάδα μοῖραν τῶν Πατζινάκων εὑρὼν ἀπώλεσεν. ὅθεν εὐλαβηθέντες τὰς τοιαύτας οἱ Πατζινάκαι δυνάμεις τὰ μὲν παρὰ τὰς ὑπωρείας τοῦ Αἵμου κείμενα χωρία ληΐζεσθαι ἀπέσχοντο, πᾶσαν δὲ τὴν ὁρμὴν ἐποιήσαντο κατὰ Μακεδονίας. καὶ πᾶν, ὅσον ἦν ἄλκιμον διακριθέντες κατέτρεχον τὰ ἐν Μακεδονίᾳ χωρία, καὶ ἤν τις ἐπίῃ πόλεμος, εὐρώστως αὐτὸν προσδέξασθαι ἐμελέτων. ὅπερ μαθόντες ὁ Βρυέν-

ACEBNUV DH 25 καὶ αὐτὰ τὰ: τά τε U θηλάζοντα om. B 26 ἔγγιστα BNUV: ἐγγὺς ACE 27 τούτων: δὲ τῶν E μὲν om. A 28 ταχὺ B ἐγένετο ACEUVD: ἐγίνετο B: γέγονε N 29 παρεικότος U 31 ῥᾴδιον B αὐτούς post ῥᾳδίως add. V 32 ἐπελθὼν ACEB: ἀπελθὼν NUVDH πάντας dittogr. post εὑρὼν add. B 35 Κεγένης ACEBN: Τεγένης V: Ταγένης U Πατζινάκοις CENUD 36 ὑποσχομένων—θέλημα (ὅρκων BND: ὅρκου UVH ποιήσειν NU: ποιῆσαι BV) BNUVDH: ὑποσχομένων (ὑποσχόμενοι C) ποιήσειν τὸ τούτου (τὸ τούτου ποιήσειν A) θέλημα μεθ' ὅρκου ACE 38 Βρυέννιος CEUVD: Βρυένιος AN: Βριέννιος B 38/39 παραλαβὼν δυνάμεις (λαβὼν B) ACEBUVD: δυνάμεις παραλαβὼν N 39 καὶ om. B 40 χωρῶν B 41 δὲ post προσταχθεὶς add. B 43 Βρυεννίῳ CEUVD: Βρυενίῳ AN: Βριεννίῳ B 44 Πατζινακῶν ἐντυχὼν A καὶ om. V 45 παρὰ τὸν Εὖρον: ἐν τῷ Εὔρῳ B 46 πάλιν post ἑτέραν add. V Πατζινακῶν AD εὑρὼν ante ἑτέραν A 47 τὰς τοιαύτας om. B 47/48 τὰς τοιαύτας—ἀπέσχοντο: οἱ Πατζ. τὰς τοιαύτας δυν. ἀπέσχ. μὲν ληΐζ. τὰ παρὰ τὰς ὑπωρ. τοῦ Αἵμου κείμ. χωρία A 47 Πατζινάκοι NUVD τὰς ante δυνάμεις add. B παρὰ ACEBUVD: περὶ N 48 τοῦ Αἵμου ὑπωρείας UV 49 ἐποιήσαν B 51 ὑποδέξασθαι A Βρυέννιος CEUVD: Βρυένιος AN: Βριέννιος B

νιος καὶ ὁ Μιχαήλ, ἄραντες νυκτός, ὡς μηδένα συναίσθησιν λαβεῖν, ὅποι ἀπίασι, καὶ συντόνῳ χρησάμενοι ὁδοιπορίᾳ ἔρχονται εἰς Χαριούπολιν, καὶ ἐν αὐτῇ εἰσελθόντες μετὰ τοῦ στρατοῦ ἐξεδέχοντο τὸν καιρόν. οἱ δὲ Πατζινάκαι τοὺς ἀγροὺς καὶ τὰ προάστεια ληϊσάμενοι πάντα, καὶ περὶ βουλυτὸν ὑποστρέψαντες ἔγγιστα Χαριουπόλεως προστίθενται τὴν παρεμβολήν, ἀγνοοῦντες, ὅτι περ ἐπιχωριάζει στράτευμα ὅλως ἐν αὐτῇ· διὸ καὶ ἀδεῶς ἔκειντο ἐν αὐλοῖς καὶ κυμβάλοις κωμάζοντες. νυκτὸς δὲ ἐπιγενομένης οἱ περὶ τὸν Βρυέννιον καὶ τὸν Μιχαὴλ ἐξελθόντες καὶ κοιμωμένους καὶ ῥέγχοντας εὑρόντες ἀναιροῦσι σύμπαντας. τοῦτο δὲ τὸ ἀτύχημα συστολὴν καὶ δειλίαν ἐνέθηκε τοῖς Πατζινάκαις. διὸ καὶ τὰς ἐκδρομὰς οὐκ ἀνέτως, ὡς τὸ πρότερον, ἀλλὰ μετὰ φειδοῦς ἐποιοῦντο κατά τε τὴν τετάρτην καὶ πέμπτην ἰνδικτιῶνα. |

26. Κατὰ τοῦτον τὸν χρόνον καὶ ἡ Ῥωμανοῦ τοῦ λεγομένου Βοΐλα αἰφνίδιος γέγονεν αὔξησις. οὗτος γὰρ ἐν ταῖς ἑταιρείαις κατατεταγμένος καὶ τὴν γλῶτταν ὑγρὸς ὤν, καὶ δοκῶν κατὰ τοῦτο ἀστεῖος, καὶ εὐτράπελος, ἐπεί ποτε ἐς ὄψιν ἦλθε τῷ βασιλεῖ καὶ ὁμιλήσας χαριέστατος ἔδοξε, τὸ ἀπὸ τοῦδε ἀχώριστος ἦν αὐτῷ διὰ παντός, καὶ τούτῳ ἐχρῆτο καὶ συμβούλῳ καὶ διακόνῳ καὶ ὑπουργῷ πρὸς πᾶσαν ὑπηρεσίαν. ὃν κατὰ μικρὸν ταῖς τιμαῖς προβιβάζων ἐς μέγα ἐξῆρε καὶ ὕψωσεν, ὡς τὰ πρῶτα φέρειν ἐν βασιλείοις. οὗτος ὁ ἀνὴρ εὐμήχανος ὢν καὶ ποικίλος, καὶ τῆς βασιλείας ἐρῶν ἀεί ποτε ἀπεπειρᾶτο τῶν ὅσοι τῶν συγκλητικῶν προσκεκρουκότες ἦσαν τῷ βασιλεῖ καὶ τὸ μυστήριον ἀνεκάλυπτε. καὶ τούτων ὁπόσοι μὲν ἔτυχον προσδεχόμενοι τοὺς λόγους τῆς ἐπιβουλῆς, ἠρέμα καὶ προσηνῶς ἀνελάμβανε καὶ ὅρκοις ἐξησφαλίζετο. τοὺς ὅσοι δὲ καὶ πρὸς μόνην ἀπεδυσπέτουν τὴν ἀκοήν, ἀποδέχεσθαι προσεποιεῖτο

63 a. 1051/1052

cap. 26: Zon. III, 644, 16—646, 13; Glyc. 597, 7—597, 12

ACEBNUV DH **52** ὁ om. U ὅπῃ B **54** εἰσελθόντες: εἰσαχθέντες B **55** Πατζινάκοι CNUV πάντα om. B **56** περὶ: παρὰ V τῆς ante Χαριουπόλεως add. U προστίθενται ACEN: τίθενται BUV **57** ὅλως στράτευμα UV **58** αὐτῇ: αὐτῷ U **58/59** νυκτὸς — ἐξελθόντες om. V **59** Βρυέννιον CEU: Βρυένιον AN: Βριέννιον B καὶ alt. om. B **60** πάντας BU δὲ: δὴ A **61** ἐνέθηκε — Πατζινάκαις: τοῖς Πατζινάκαις ὅτι πλείστην ἐντέθεικε A Πατζινάκοις NUV **62** πρότερον BNUV: πρὶν ACE **63** δ' CBU τὴν ante πέμπτην add. CBNUV (sed non D) ε' CBU **64** λεγομένου om. B **65** ἄφιξις C ὢν post ἑταιρείαις add. ACE τεταγμένος AUV **66** γλῶσσαν ACE καὶ post ἀστεῖος om. U **67** ποτε CEBNV: ποτ' A: περ U εἰς EBUVDH χαριέστατα AB **68** αὐτῷ ACEBUV: αὐτοῦ N: αὐτ̄ D διὰ παντὸς αὐτῷ B ἐχρῆτο: ἐκέχρητο, post **69** διακόνῳ, B **70** ἐς AEBNUVD: εἰς CH μέγα: βίαν A ἐπῆρε A ὡς: τὸ A **71** εὐμήχανος — ποικίλος: ποικίλος ὢν καὶ εὐμήχανος A **72** ποτε om. B τῶν alt. om. U **74** τὸν λόγον A **75** ἠρέμα BNUV: ἐτίμα ACE **76** καὶ om. C προσεποιεῖτο ἀποδέχεσθαι U

καὶ θαυμάζειν τῆς εἰς τὸν βασιλέα εὐνοίας, καὶ τὰ λεχθέντα δοκιμασίας ἔλεγε ῥηθῆναι χάριν καὶ ὑπερλαλῆσαι τούτων ἐς τὸν βασιλέα ἐπώμνυτο. τελευταῖον δὲ πολλοὺς διαφθείρας τῶν πολιτῶν καὶ ἐπιβουλὴν ἐξαρτύων ἐφωράθη. καὶ οἱ μὲν ἄλλοι πάντες οἱ αὐτῷ συνομόσαντες κακῶς ἔπαθον ἐτασθέντες καὶ τῶν οἰκείων ὑπάρξεων γυμνωθέντες καὶ ὑπερορίαις παραπεμφθέντες, ὁ δὲ Ῥωμανὸς οὐδὲν πέπονθε φαῦλον. κατὰ μικρὸν γὰρ ἀποστραφέντος αὐτὸν τοῦ βασιλέως, πάλιν συνεχωρήθη καὶ τὴν προτέραν εἶχε κατάστασιν. |

27. Ὁ δὲ σουλτάνος ἐγκοτῶν, ὡς ἐρρέθη, Ἀβραμίῳ τῷ ἀδελφῷ καὶ διὰ παντὸς ἐπιβουλεύων τῇ τούτου ζωῇ, ἐμελέτα διηνεκῶς ἀνελεῖν αὐτόν. ὅπερ προγνοὺς ἐκεῖνος ἀπέδρα πρὸς Κουτλουμούσην τὸν ἑαυτοῦ ἀνεψιόν, καὶ ἅμα ἐκείνῳ τὸν κατὰ τοῦ σουλτάνου ἀναδέχεται πόλεμον. οἷς συμβαλὼν κατὰ τὸ λεγόμενον Πάσαρ ἐκεῖνος τρέπεται, καὶ τὸν μὲν Ἀβράμιον ἀναιρεῖ κατασχεθέντα· ὁ δὲ Κουτλουμούσης φυγὼν μετὰ χιλιάδων ἓξ καὶ Μέλεχ τοῦ υἱοῦ τοῦ Ἀβραμίου διαπρεσβεύεται πρὸς βασιλέα, ἱκετεύων προσδεχθῆναι καὶ σύμμαχος καὶ φίλος γενέσθαι Ῥωμαίων. καὶ ἐλθὼν πρὸς τὴν Περσαρμενίαν κατὰ τὸ λεγόμενον Κάρσε προσέμενε τὰς τῆς πρεσβείας ἀποκρίσεις. ἐν τῷ μεταξὺ δὲ πολιορκήσας τὸ Κάρσε πλὴν τῆς ἀκροπόλεως παρειλήφει τὴν πόλιν. κατόπιν δὲ τούτων διώκων ὁ σουλτάνος ἦλθε μετὰ τῶν αὐτοῦ δυνάμεων ἐν Ἰβηρίᾳ· ὅπερ μαθὼν ὁ Κουτλουμούσης ἔφυγε πρὸς τὸ Σάβα καὶ τὴν εὐδαίμονα Ἀραβίαν. ὁ δὲ σουλτάνος ἐν Ἰβηρίᾳ γενόμενος ἐληΐζετο τὰ παρατυχόντα καὶ ἐπυρπόλει. διὸ καὶ κατὰ σπουδὴν ὁ βασιλεὺς τὸν Ἀκόλουθον Μιχαὴλ μεταπεμψάμενος ἐκ τῆς ἑσπέρας ἐς Ἰβηρίαν ἐκπέμπει. ὃς ἐκεῖσε γενόμενος καὶ τοὺς διεσπαρμένους ἔν τε Χαλδίᾳ καὶ Ἰβηρίᾳ Φράγγους καὶ Βαράγγους ἀγηοχώς, κωλύειν ἠπείγετο τὸν ἐνόντα τρόπον τὰς ἐκδρομὰς τοῦ σουλτάνου. ἀλλ᾽ ἐκεῖνος τὴν ὀξεῖαν ἔφοδον τούτου μαθών, καὶ ὅτι λαὸν ἀθροίσας σπεύδει τούτῳ συμπλέκεσθαι, λογισάμενος,

1 a. 1052

ACEBNUV DH 77 τῆς εἰς: τὴν ἐς U 78 ῥηθῆναι: λεχθῆναι V εἰς BUV 79 διαφθείρας post πολιτῶν A τῶν πολιτῶν: αὐτῶν V ὡς ante ἐπιβουλὴν add. UV 80 καὶ om. V 81 οἰκείων: ἰδίων B 82 κατὰ: πρὸς B 84 εἶχε BNUV: ἔσχε ACE 85 ἐρρήθη ENUVDH τῷ ἀδ. Ἀβραμ. A 87 γνοὺς EV ἐκεῖνος: οὗτος B τὸν post πρὸς add. B Κουτλουμούσην AENU: Κουτλουμούσιν C: Κουτλουμοὺς BV ἑαυτοῦ: ἑαυτὸν C 88 κατὰ: παρὰ E τοῦ om. U ἀναδέχεται ABNUV: ἐκδέχεται E: ἀνεδέξατο C 89 Πάσσαρ U ἐκεῖνοι τρέπονται V μὲν om. B 90 ἀναιρεῖ: ἀνελεῖ U Κουτλουμοὺς BV 91 χιλιάδας U τοῦ alt.: αὐτοῦ C 92 τὸν ante βασιλέα add. AB 93 πρός: εἰς B Παρσαμενίαν B κατὰ: καὶ UV |94 προσκαρτερήσας καὶ ante πολιορκήσας add. A 1 τούτων ACE: τούτου (post διώκων V) BNVD: τοῦτον, post διώκων U 2 Κουτλουμοὺς BV Σάβα ACEV: Σαβᾶ U: Σαβὰ NDH: om. B 5 ἐκ om. V εἰς BU 6 Ἰβηρίᾳ καὶ Χαλδίᾳ N (sed non D)

ὅπερ ἦν εἰκός, τὸ ἑκατέρωθεν τοῦ πράγματος ἄδοξον, καὶ ὅτι νικήσας μὲν δοῦλον | ἔσται βασιλέως νενικηκώς, νικηθεὶς δὲ οὐ μικρὰν αἰσχύνην ἀποίσεται, ἄρας παντὶ τῷ στρατῷ ἀνέζευξε πρὸς τὸ Ταβρέζιον.

28. Τότε δὴ καὶ Μιχαηλᾶς ὁ τοῦ Στεφάνου υἱός, καὶ Τριβαλλῶν καὶ Σέρβων μετὰ τὸν πατέρα καταστὰς ἀρχηγός, σπένδεται τῷ βασιλεῖ, καὶ τοῖς συμμάχοις καὶ φίλοις Ῥωμαίων ἐγγράφεται, πρωτοσπαθάριος τιμηθείς. ἐπέμφθη δὲ τῷ βασιλεῖ καὶ ἐξ Αἰγύπτου παρὰ τοῦ ταύτης ἀρχηγοῦ ζῷον ἐλέφας καὶ καμηλοπάρδαλις. βουλόμενος δὲ ὁ βασιλεὺς τελέως ἀποσκευάσασθαι τοὺς Πατζινάκας, τὰς ὁθενδήποτε δυνάμεις ἀθροίσας ἔκ τε ἑῴας καὶ ἑσπέρας καὶ Μιχαὴλ παραδοὺς τῷ Ἀκολούθῳ, καὶ τὸν σύγκελλον δὲ Βασίλειον τὰ Βουλγαρικὰ στρατεύματα ἀνειληφέναι κελεύσας, καὶ ἄμφω κατὰ τῶν Πατζινάκων ἐκπέμπει. ὅπερ ἐκεῖνοι πυθόμενοι χάρακα ἐπήξαντο κατὰ τὴν μεγάλην Περσθλάβαν τάφρῳ βαθείᾳ καὶ σταυρώμασι ταύτην κατοχυρώσαντες. ἀφικομένων οὖν τῶν Ῥωμαίων συγκλείσαντες ἑαυτοὺς ἔνδον τῆς τάφρου ἐπολιορκοῦντο. ἐπεὶ δὲ τοῖς Ῥωμαίοις τηνάλλως ὁ καιρὸς ἐτρίβετο, μηδέν, ὅ τι καὶ λόγου ἄξιον διαπράττουσι, κατέσχε δὲ αὐτοὺς καὶ σπάνις τῶν ἀναγκαίων, βουλὴν προὐτίθεσαν περὶ τοῦ πρακτέου, καὶ δόξαν ἅπασιν ὑποστρέφειν, ἀωρὶ τῶν νυκτῶν σιγὴν παραγγείλαντες καὶ τὰς πύλας ἀναπετάσαντες τῆς παρεμβολῆς ὑπεχώρουν. τοῦτο δὲ οὐκ ἔλαθε τὸν Τυράχ, ἀλλὰ μαθών, ὡς βούλονται φεύγειν, λαὸν ὅτι πλεῖστον τοῦ χάρακος ἐξαγαγὼν ἐν ταῖς διόδοις ἐκπέμπει, ὅπου περ ἔμελλον οἱ Ῥωμαῖοι διέρχεσθαι. | αὐτὸς δὲ ἐξελθοῦσιν εὐθὺς ἐπιτίθεται. καὶ γίνεται τροπὴ τῶν Ῥωμαίων φρικτή, καὶ οἱ μὲν ὑπὸ τῶν κατόπιν καταλαμβανόμενοι ἀπεσφάττοντο, οἱ δὲ ὑπὸ τῶν προκατειληφότων τὰς δυσχωρίας ἐρχόμενοι ἀνηλίσκοντο. ἔπεσεν οὖν πλῆθος πολύ, πίπτει δὲ καὶ

14 a. circiter 1052 **16** a. circiter 1054 ineunte

cap. 28: Zon. III, 644, 11/12; Glyc. 597, 13—597, 19

ACEBNUV DFH **10** ἦν om. B τοῦ πράγματος ἄδοξον: ἄδοξον ἄδοξον B **11** δοῦλος U βασιλεῖ U νενικηκώς ACEB: νικήσας VF: om. NUD νικηθείς: ἡττηθεὶς B οὐ μικράν: μακρὰν B **12** σὺν ante παντὶ add. A αὐτοῦ post στρατῷ add. E πρός: εἰς BV Ταβέρζιον A **13** Μιχαηλᾶς ACEBUVD: Μιχαὴλ N Τριβαλλῶν UV: Τριβαλῶν ACEBN: Τριβαλὼν D **15** τῶν ante Ῥωμαίων add. UV Ῥωμαίοις B **16** τῷ βασιλεῖ om. UV καὶ om. B **17** ζῷα A καὶ om. U **18** τελέως ACENU: τελείως B: τέως V Πατζινάκους NUVD **19** τε: τῆς V τῆς ante ἑσπέρας add. V **20** ἀνειληφέναι: ἐρανίσαι B **21** Πατζινακῶν A **22** λεγομένην ante μεγάλην add. AE μεγάλην: λεγομένην C Περσθλάβαν CEN: Πρεσθλάβαν ABV: Πρεασλάβαν U **23** ταύτην om. UV **25** ὁ καιρὸς τηνικαῦτα A **26** καὶ ante αὐτοὺς add. U **27** τοῦ πρακτέου CENV: τῶν πρακτέων ABU **29** ἀνεχώρουν B **30** ὡς: ὅτι B βούλεται U **31** διόδοις ACEBUVD: ἐξόδοις N **32** εὐθύς: αὐτοῖς B **33** ὑπό: ἀπὸ U **33/34** λαβόμενοι ἀπεσφάττον B **34** ὑπό: ἀπὸ U κατειληφότων A **35** ἐρχόμενοι: εἰργόμενοι UV ἔπεσον C

αὐτὸς ὁ σύγκελλος, οἱ δὲ λοιποὶ σὺν τῷ Μιχαὴλ ἐν Ἀδριανουπόλει διασῴζονται. περιαλγὴς οὖν ὁ βασιλεὺς γενόμενος ἐπὶ τῷ ἀτυχήματι τούς τε ἐκ τῆς τροπῆς διασωθέντας ἀνελάμβανε καὶ λαὸν ἕτερον ἐστρατολόγει καὶ μισθοφόρους συνέλεγε, καὶ ἀβίωτον ἡγεῖτο τὸν βίον, εἰ μὴ ἄρδην ἀφανίσει τὸ γένος τῶν Πατζινάκων. ἀλλ' ἐκεῖνοι δι' αὐτομόλου τοῦτο πυθόμενοι διαπρεσβεύονται πρὸς τὸν βασιλέα, εἰρήνην αἰτοῦντες. καὶ προσδεξάμενος οὗτος τὴν πρεσβείαν σπένδεται μετ' αὐτῶν τριακοντούτεις σπονδὰς θέμενος.

29. Μοναστήριον δὲ οἰκοδομῶν ὁ βασιλεὺς κατὰ τὰ λεγόμενα Μάγγανα ἐπ' ὀνόματι τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, καὶ ἀφειδῶς τὰ δημόσια καταναλίσκων ἐν ταῖς οἰκοδομαῖς χρήματα, νῦν μὲν οἰκοδομῶν, νῦν δὲ καταστρέφων, εἰς μεγάλην ἤλασεν ἔνδειαν, ὡς πᾶσαν ἐπινοῆσαι διὰ τοῦτο καπηλείαν καὶ ἀτόπους καὶ σεσοφισμένας εἰσπράξεις ἐφευρηκέναι· δημοσίους τε γὰρ προεχειρίζετο φροντιστὰς ἀσεβεῖς καὶ ἀλάστορας, καὶ δι' αὐτῶν χρήματα ἐξ ἀδίκων πόρων συνήθροιζε. κατέλυσε δὲ καὶ τὸν Ἰβηρικὸν στρατὸν ἀμφὶ τὰς πεντήκοντα χιλιάδας ἀριθμούμενον διὰ Λέοντος τοῦ Σερβλίου, καὶ ἀντὶ στρατιωτῶν φόρους πολλοὺς ἐπορίζετο ἀπὸ τῶν χωρίων ἐκείνων. καὶ ἄλλας πλείους εἰσπράξεις ἐπενοήσατο πονηρὰς καὶ ἀθέσμους, ἃς καὶ καταλέγειν αἰσχύνη. ὃ δὲ εἰπεῖν | ἐστιν ἀναγκαῖον, τοῦτο δὴ καὶ λέξω, ὅτι περ ἐξ ἐκείνου τοῦ βασιλέως καὶ τῆς ἐκείνου ἀσωτίας καὶ σαλακωνείας τὰ Ῥωμαίων ἤρξατο φθίνειν πράγματα, καὶ ἔκτοτε καὶ μέχρι τῆς δεῦρο κατὰ μικρὸν εἰς τὸ κατόπιν χωροῦντα ἐς παντελῆ κατήντησε τὴν ἀσθένειαν· τὸ γὰρ ἐλευθέριον ἀτεχνῶς διώκων εἰς ἄκραν ἐληλάκει τὴν ἀσωτίαν. οὐ μήν γε καὶ παντάπασι πράξεων ἀγαθῶν ἐστέρητο, ἀλλὰ φέρονται καί τινα ἔργα

42 a. 1053

cap. 29: Zon. III, 646, 14–647, 14; Glyc. 597, 20–598, 15

ACEBNUV DH **37** οὖν: δὲ B γενόμενος ὁ βασιλεὺς U ἐπὶ om. ACE **38** τ' A σωθέντας B ἕτερον ACEN: dittogr. B: om. UV **39** συνέλεγε μισθοφόρους A **40** ἀφανίσει BN: ἀφανίσοι UV: ἀφανισθείη ACE Πατζινακῶν A **41** τοῦτο ante **40** δι' U **41** πυθόμενοι: τιθέμενοι B διαπρεσβεύοντες C διαπρεσβ. post βασιλέα A **42** οὗτος om. B **43** τριακονταέτους B θέμενον U **46** καταναλίσκων τὰ δημόσια B τὰ δημόσια ante χρήματα ACE ἐν ταῖς οἰκοδομαῖς om. A **47** ἤλασεν: συνηλάθη, post ἔνδειαν, B **48** ἐπινοῆσαι CENUV: ἐπινοεῖσθαι B: ἐννοῆσαι A καὶ alt. om. U **49** τε om. B γὰρ om. A ἀσεβεῖς om. B τε post ἀσεβεῖς add. U **51** ν' CEN **52** Λέοντος post Σερβλίου B **54** καὶ ἀθέσμους om. V καὶ alt. om. U **55** ὃ — ἀναγκαῖον: ὃ δέ ἐστιν ἀναγκαῖον εἰπεῖν U δὴ CEBNV: δῆτα A: δὴ om. U λέξω: διαλέξω E **56** ἐκείνου: τούτου A **56/57** ἤρξατο φθίνειν: φθίνειν ἤρξατο A **57** καὶ alt. om. E τῆς δεῦρο BNUV: τοῦ (τοῦ: καὶ A) νῦν ACE κατὰ μικρὸν om. A ἐς A τὸ om. U **58** ἐς CENUV: εἰς B: πρὸς A τὴν om. BU **59** ἀτεχνῶς ACEBN: ἀληθῶς UV εἰς: ἐς AV εἰς — ἀσωτίαν: ἐς ἄκραν ἀσωτίαν ἐξώλισθεν A ἐλήλακε U **60** πράξεων παντάπασι U πράξεων post ἐστέρητο A τινα: ἕτερα B

αὐτοῦ ἱστορικῆς μνήμης ἄξια. τό τε γὰρ ῥηθὲν μοναστήριον καὶ τὰ ἐν αὐτῷ γηροτροφεῖα καὶ οἱ ξενῶνες καὶ τὰ πτωχοτροφεῖα ἐπαίνων οὐκ ἀμοιροῦσι, καὶ τὸ γενόμενον ἔργον εἰς τὴν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν ἐγκωμίων οὐκ ἀπολείπεται. ἕως ἐκείνου γὰρ ἐν μόναις ταῖς ἐπισήμοις ἑορταῖς ἐν ταύτῃ, ἔτι δὲ καὶ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς ἡμέραις ἡ ἀναίμακτος τῷ θεῷ ἐπετελεῖτο ἱερουργία, ἐν δὲ ταῖς λοιπαῖς οὐδαμῶς ἡμέραις. τοῦτο δὲ ἐγίνετο διὰ προσόδου ἔνδειαν, ἣν οὗτος δαψιλῶς ἀφορίσας καὶ ἀποχρώντως καθ' ἑκάστην τελεῖσθαι τὴν ἱερὰν παρεσκεύασε λειτουργίαν· ὃ καὶ κρατεῖ γινόμενον μέχρι τῆς ἡμῶν. καὶ σκεύη δὲ τὰ τῇ ἱερᾷ ἀνειμένα σπονδείᾳ τῇ τοιαύτῃ ἀνέθετο ἐκκλησίᾳ, ἐκ χρυσοῦ καὶ πολυτίμων μαργάρων καὶ λίθων κατεσκευασμένα, μακρῷ παρελάσαντα τὰ λοιπὰ μεγέθει καὶ κάλλει καὶ τιμῇ· καὶ λοιποῖς ἄλλοις κειμηλίοις οὐκ ὀλίγοις ταύτην ἐφαίδρυνε. καὶ τὰ μὲν ἐκείνου ταῦτα.

30. Ἐνέσκηψε δὲ καὶ λοιμικὴ νόσος τῇ βασιλίδι κατά τε τὴν ἑβδόμην καὶ ὀγδόην ἰνδικτιῶνα, ὡς μὴ ἐξισχύειν τοὺς ζῶντας ἐκφέρειν τοὺς τεθνεῶτας. ἠνέχθη δὲ καὶ κατὰ τὸ θέρος τῆς ἑβδόμης ἰνδικτιῶνος μέγιστόν | τι χρῆμα χαλάζης, καὶ πολλὰ ὑπ' αὐτῆς οὐ ζῷα μόνον, ἀλλὰ καὶ ἄνθρωποι διεφθάρησαν. ὁ δὲ βασιλεὺς κατεχόμενος ὑπὸ τῆς συνήθους νόσου τῆς ποδάγρας ἔκειτο ἐν τῇ παρ' αὐτοῦ νεουργηθείσῃ μονῇ τῶν Μαγγάνων. ἐπεὶ δὲ καὶ ἕτερον ἐπηκολούθησε σύμπτωμα καὶ ἤδη ὁ θάνατος ἤγγιζεν, ἐσκέπτοντο οἱ τὰ πρῶτα ἐν τοῖς βασιλείοις φέροντες, ὁ λογοθέτης Ἰωάννης, ὃν ὁ βασιλεὺς παραδυναστεύοντα εἶχε, παρωσάμενος τὸν Λειχούδην, ὁ πρωτονοτάριος τοῦ δρόμου Κωνσταν-

74/75 a. 1054/1055

---

cap. 30: Zon. III, 648, 14—651, 8; Glyc. 598, 16—599, 10

ACEBNUV DH **61** ἄξια AEB Glyc. 598, 8: ἐπάξια CNUVDH μοναστήριον: φροντιστήριον A **62** γηροκομεῖα A καὶ οἱ — πτωχοτροφεῖα om. E **63** μέγιστον ante ἔργον add. AC **64** οὐκ ἀπολείπεται ἐγκωμίων B γὰρ ἐκείνου A **65** ἐν ταύτῃ ante **66** τῷ B σαββάτοις B **66** τοῦ θεοῦ N (sed non D) ἐτελεῖτο B ἱερουργία NVD: θυσία (ante ἐπετελεῖτο A) ACE: λειτουργία U: λατρεία B **66/67** οὐδαμοῦ (post ἡμέραις UV) BUV **67** δ' ἐγένετο B προσόδων B ἣν om. B δαψιλῶς: ψιλῶς A **68/69** λειτουργίαν παρεσκεύασε V **69** λειτουργίαν: ἱερουργίαν U ὃ — ἡμῶν: ὃ καὶ τελούμενον κρατεῖ γινόμενον μέχρι τοῦ νῦν B μέχρι τῆς ἡμῶν N: μέχρι τῆς σήμερον ACE: μέχρι τοῦ νῦν B: μέχρις ἡμῶν UVDH **70** τοιαύτῃ BNUV: ταύτης ACE **71/72** παρελάσαντα μακρῷ UV **71—73** παρελάσαντα — ἐφαίδρυνε: μεγέθει καὶ πολυτελείᾳ τὰ λοιπὰ παραλύσαντα, καὶ ἄλλοις δὲ κειμηλίοις ταύτην ἐφαίδρυνεν οὐκ ὀλίγοις B **74** καὶ om. B ζ' ACBNUV **75** η' ACBNU ἐξισχύειν ACEBUVD: ἐξισχύσαι N **76** ζ' ACEBV **77** τι: τε U αὐτῆς: αὐτοῦ UV **77/78** οὐ — ἄνθρωποι: καὶ ζῷα καὶ ἄνθρωποι B ζῷα μόνον BNVD: μόνον ζῷα ACEU **79** χαλεπῆς post συνήθους add. A **81** τοῖς om. NUVD (lac.) H **83** καὶ post Λειχούδην add. B ὁ ante Κωνστ. add. UV

τῖνος, ὁ ἐπὶ τοῦ κανικλείου Βασίλειος, καὶ οἱ λοιποὶ οἱ ἄλλως αὐτῷ προσῳκειωμένοι, τίνα δὴ ἐς τὸν βασίλειον καθιδρύσουσι θρόνον. ἔδοξεν οὖν ἅπασιν ἐπιτήδειος εἰς τοῦτο Νικηφόρος ὁ Πρωτεύων. καὶ δὴ πέμπεται ταχυδρόμος ἐν Βουλγαρίᾳ, ἄξων αὐτὸν ἐκεῖθεν· ἔτυχε γὰρ τότε τὴν τῆς Βουλγαρίας περιεζωσμένος ἀρχήν. ἀλλὰ τοῦτο γνόντες οἱ τῇ Θεοδώρᾳ τῇ βασιλίδι ὑπηρετούμενοι (ἡ Ζωὴ γὰρ ἤδη προκατέστρεψε τὴν ζωήν), ὅ τε Νικήτας ὁ Ξυλινίτης, Θεόδωρος καὶ Μανουήλ, δρόμωνι αὐτὴν ἐμβιβάσαντες ἄγουσιν εἰς τὰ τοῦ μεγάλου παλατίου ἀνάκτορα καὶ αὐτοκράτορα ἀναγορεύουσι. καὶ ὁ μὲν βασιλεὺς ἀποθανὼν ἐν τοῖς Μαγγάνοις ταφῆς ἔτυχε τῆς τυχούσης, οἱ δὲ περὶ τὴν βασιλίδα πέμψαντες ἐπέσχον τὸν Πρωτεύοντα ἐν Θεσσαλονίκῃ, κἀκεῖθεν ἀπάγουσιν εἰς τὸ Θρᾳκήσιον ἐν τῇ μονῇ τοῦ Κουζηνᾶ κἀκεῖσε περιορίζουσιν.

92 die 11. mens. Ian. a. 1055

ACEBNUV DH **85** εἰς BV ἐς — θρόνον: τῷ βασιλείῳ θρόνῳ ἐγκαθιδρύουσιν A **86** ὁ ante Νικηφόρος add. B **88** τὴν om. ACE τῆς Βουλγαρίας CEBNU: τῶν Βουλγάρων V: τῆς βασιλείας A ἀρχὴν περιεζωσμένος N τὴν ante ἀρχήν add. ACE **88/89** οἱ — ὑπηρετούμενοι BNVD: οἱ τῇ βασ. (τῇ add. CU) Θεοδώρᾳ ὑπηρετ. ACEU **89/90** τὴν ζωὴν προκατέστρεψεν A **91** αὐτὴν AENUV: αὐτὸν C: ταύτην B εἰς — ἀνάκτορα: ἐς τὸ τοῦ μεγ. παλ. ἀνάκτορον B **92** αὐτοκράτορα ACEN: αὐτοκρατόρισσαν B: om. UV post ἀποθανὼν add. CE: κατὰ τὴν ια' τοῦ Ἰαννουαρίου μηνός, τῆς η' ἰνδικτιῶνος, τοῦ ,ϛφξγ' ἔτους **93** post τυχούσης add. C: βασιλεύσας ἔτη ιβ' καὶ μῆνας καὶ ζ' **95** τὸ ACEBUVD: τὸν N καὶ post Θρᾳκ. add. A Κουζινὰ B κἀκεῖσε om. A

ΘΕΟΔΩΡΑ

1. Τὴν προγονικὴν δὲ παραλαβοῦσα βασιλείαν ἡ Θεοδώρα εὐθὺς μὲν μέτεισι τοὺς ὅσοι βασιλεῦσαι τὸν Πρωτεύοντα ἐβουλεύ|σαντο, τῶν ὑπαρχόντων ψιλώσασα καὶ ὑπερορίσασα. προβιβάζει δὲ καὶ τοὺς εὐνούχους αὐτῆς ἅπαντας εἰς τὰς μεγίστας ἀρχάς, δομέστικον μὲν τῶν σχολῶν τῆς ἀνατολῆς τὸν Θεόδωρον προβαλλομένη, καὶ εἰς τὴν ἑῴαν ἐκπέμψασα, ἐφ' ᾧ τὰς ἐκδρομὰς τῶν Τούρκων κωλύειν, τὸν μάγιστρον Ἰσαάκιον τὸν Κομνηνὸν μετακινήσασα τῆς στρατοπεδαρχίας. ἔτυχε γὰρ ὁ Μονομάχος διαπεραιωσάμενος πάσας ἐν ἑῴᾳ τὰς Μακεδονικὰς δυνάμεις, ἀρχηγοὺς ἐχούσας ἅπαντας Μακεδόνας, ὧν εἷς ἦν καὶ ὁ Βρυέννιος· ἐφέρετο γὰρ ἐν Τούρκοις λόγος, ὡς εἴη πεπρωμένον καταστραφῆναι τὸ Τούρκων γένος ὑπὸ τοιαύτης δυνάμεως, ὁποίαν ὁ Μακεδὼν Ἀλέξανδρος ἔχων κατεστρέψατο Πέρσας. προεβάλλετο δὲ καὶ λογοθέτην τοῦ δρόμου τὸν Νικήταν, καὶ δρουγγάριον τῆς βίγλας τὸν Μανουήλ. προσελάβετο δὲ διὰ πολυπειρίαν εἰς τὸ τὰ κοινὰ διοικεῖν τὸν σύγκελλον Λέοντα τὸν λεγόμενον Στραβοσπόνδυλον, τὸν πάλαι τῷ βασιλεῖ Μιχαὴλ ὑπουργήσαντα.

ἀλλὰ καὶ Λέοντος τοῦ (Λέοντα τὸν CU) Βουλγαρίας ἀρχιεπισκόπου (Βουλγάρων ἐπισκόπου V, Βουλγαρίας ἐπίσκοπον U) κοιμηθέντος προεχειρίσατο Θεόδουλον μοναχόν, ἐξ Ἰκονίου μὲν ὡρμημένον, πόλεως Τετραπόλεως (Τετραπυδ' C), ἡγούμενον δὲ τυγχάνοντα τῆς μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μωκίου, τῆς μὲν θυράθεν σοφίας ἄγευστον τὸ παράπαν (τῆς θυρ. σοφ. μὲν τὸ παρ. ἄγ. V; τὸ παρ. om. E), τῆς δέ γε θείας εἰς (ἐς CE) ἄκρον ἐληλακότα, καὶ ταῖς ἐξ αὐτῆς χάρισι καὶ ἀρεταῖς κατάκομον.

καὶ τὰ μὲν τῆς πόλεως ἐφέρετο τῇδε, ὁ δὲ Βρυέννιος τὸν τοῦ βασιλέως ἐνωτισθεὶς θάνατον, ἄρας μετὰ τῶν Μακεδόνων κάτεισιν ἐν Χρυσοπόλει. καὶ τοῦτον μὲν ἡ βασιλίς, ὅτι ἀσυντάκτως ὑπεχώρησε, κατασχοῦσα

2 die 11. mens. Ian. a. 1055

---

cap. 1: Zon. III, 651, 9–652, 12; Glyc. 599, 11–599, 20

ACEBNUV DH 1 Θεοδώρα ACEN: Θεοδώρα ἡ πορφυρογέννητος UV: Αὐτοκρατορία τῆς Θεοδώρας B 2 λαβοῦσα UV 3 ἔπεισι U τε ante ὑπαρχόντων add. V 5 πάντας B 6 τὸν om. U προβαλομένη AB ἕω UV 7 ἐκπέμπει N (sed non D) 9 ἕῳ UV 10 Βρυέννιος CEUV: Βρυένιος AN: Βριέννιος B 11 τοῖς ante Τούρκοις add. B 12 τῶν ante Τούρκων add. EUV τῆς ante τοιαύτης add. U ὁ ante Ἀλέξανδρος NU 13 προεβάλλετο CEBVD: προεβάλετο ANUH 14 τὸν pr. om. E 15 δὲ om. V 16 λεγόμενον om. ACE καὶ post Στραβοσπ. add. E 18–23 interpol. ACEUV 24 Βρυένιος AN 25 ἐνωτισθεὶς CEBVD: διενωτισθεὶς ANUH εἰς Χρυσόπολιν U Χρυσουπόλει AH (sed non D) 26 τοῦτον: τοῦτο C ἀσύντακτος V

δημεύει καὶ εἰς ἐξορίαν ἐκπέμπει, τὸν δὲ λαὸν ὑποστρέψαι εἰς τοὐπίσω παρασκευάζει. ὅλην οὖν τὴν θ' ἰνδικτιῶνα, τοῦ ,ϛφξδ' | ἔτους βιώσασα ἡ βασιλίς, καὶ περὶ τὰ τέλη τοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς ἰνδικτιῶνος ἰλεοῦ νοσήματι περιπεσοῦσα ἀπέθανεν.

2. Οἱ δὲ ταύτης εὐνοῦχοι σὺν τῷ συγκέλλῳ Λέοντι ἀναβιβάζουσιν εἰς τὸν βασίλειον θρόνον, ἔτι ψυχορραγούσης ἐκείνης, Μιχαὴλ πατρίκιον τὸν Στρατιωτικόν, ἄνθρωπον ἐκ Βυζαντίου μὲν ὁρμώμενον, ἀφελῆ δὲ καὶ ἀποίκιλον καὶ μόνοις τοῖς στρατιωτικοῖς ἐκ παίδων ἀπασχοληθέντα καὶ πλέον ἄλλο εἰδότα μηδέν, καὶ ἤδη παρηκμακότα καὶ τῆς πρεσβυτικῆς ἁψάμενον ἡλικίας, ἥτινι συμφέρειν τὴν ἀπραγμοσύνην Ἀρχίλοχος ὁ ποιητὴς ἀπεφήνατο. τοῦτο δὲ πεποιήκασιν, ἵνα σχῆμα μόνον καὶ ὄνομα αὐτὸς ἔχῃ τῆς βασιλείας, αὐτοὶ δὲ διεξάγωσιν, ὡς βούλονται, τὰ κοινὰ καὶ πάντων τυγχάνωσι κύριοι, ἐπομοσαμένου πρότερον καὶ αὐτοῦ μηδέν τι πρᾶξαί ποτε τῆς ἐκείνων δίχα γνώμης τε καὶ θελήσεως.

30 die 21. mens. Aug. a. 1056

cap. 2: Zon. III, 652, 12—653, 11; Glyc. 599, 20—600, 5 **36** Archil. frgm. 50 D. = 330 West

ACEBNUV DH **29** καὶ om. B **30** ἰλεοῦ ACENU: εἰλεοῦ Glyc. 599, 20: εἰλεός Zon. III, 652, 14: ἰλεῷ V: ἐλεηνῷ B post ἀπέθανεν add. CE: κατὰ τὴν λα' τοῦ Αὐγούστου μηνός, τῆς θ' ἰνδικτιῶνος, τοῦ ,ϛφξε' ἔτους, βασιλεύσασα ἔτος ἕν, μῆνας ζ', ἡμέρας κ' **32** βασίλειον BNUV: τῆς βασιλείας ACE **33** τὸν om. B **34** ἀσχοληθέντα B **35** παρηκμηκότα: παρηβηκότα V **36/37** Ἀρχίλοχος — ἀπεφήνατο BNUV: ὁ ποιητὴς Ἀρχίλοχος ἔφησε ACE **37/38** μόνον — ὄνομα: καὶ ὄνομα μόνον U **38** ἔχῃ ACEV: ἔχ' D: ἔχει BNU αὐτοὶ: οἱ B διεξάγουσιν U **39** πρότερον: πρῶτον B **40** πρᾶξαί — γνώμης: πράξειν ποτὲ δίχα τῆς ἐκείνων γνώμης V

ΜΙΧΑΗΛ Ο ΓΕΡΩΝ

1. Ἀναρρηθέντος δὲ τοῦ Μιχαὴλ αὐτοκράτορος κατὰ τὴν λα' ἡμέραν τοῦ Αὐγούστου μηνός, τῆς θ' ἰνδικτιῶνος, Θεοδόσιος πρόεδρος ὁ τοῦ πατραδέλφου τοῦ βασιλέως Κωνσταντίνου τοῦ Μονομάχου υἱός, πυθόμενος τὴν ἀνάρρησιν καὶ δεινοπαθήσας, καὶ μὴ βουλευσάμενος, μηδὲ λογισάμενος τὴν τοῦ ἔργου δυσχέρειαν καὶ ἀπότευξιν, μηδ' οἷον κύβον μέλλει ἀναρριπτεῖν, ἀνειληφὼς τοὺς οἰκογενεῖς καὶ δούλους καὶ τοὺς ἄλλως ὑπηρετουμένους αὐτῷ, πολλοὺς δὲ καὶ τῶν γειτόνων καί τινας τῶν συνήθων, ὅσοι περ ἦσαν τὰς φρένας κουφότεροι, ἄρας περὶ δείλην ὀψίαν ἐκ τῆς | οἰκίας (κεῖται δὲ αὕτη περὶ τὸ λεγόμενον Λεωμακέλλιον) προήει διὰ τῆς πλατείας ὡς εἰς τὸ παλάτιον, ἀγανακτῶν καὶ δυσχεραίνων, καὶ τὴν ἀδικίαν ὡς ἂν τὰ ἔσχατα ἠδικημένος πρὸς τοὺς παρατυχόντας ἐπιβοώμενος, καὶ τὴν βασιλείαν ἀνακαλούμενος, ὡς κληρονομιαῖον τάχα κτῆμα καὶ αὐτῷ προσῆκον, ὡς μᾶλλον τῶν ἄλλων ἐγγύτητα ἔχοντι αἵματος πρὸς τὸν ἀπελθόντα βασιλέα. ὡς δ' ἐγένετο κατὰ τὸ πραιτώριον, διαρρήξας τὰς πύλας τῆς φυλακῆς ἐξάγει τοὺς καθειργμένους, ἐλπίσας, οἶμαι, δι' αὐτῶν μέγα τι διαπράξασθαι καὶ γενναῖον. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ Χαλκῇ φθάσας ἐποίησεν. ἀλλὰ τῆς ἐπαναστάσεως τοῖς ἐν τοῖς βασιλείοις γνωσθείσης εὐνούχοις, ταχὺ μὲν οἱ φυλάσσοντες ἐν τῷ παλατίῳ στρατιῶται Ῥωμαῖοί τε καὶ Βάραγγοι (γένος δὲ Κελτικὸν οἱ Βάραγγοι μισθοφοροῦντες Ῥωμαίοις) καθοπλίζονται, ταχὺ δὲ καὶ οἱ ταῖς βασιλικαῖς ὑπηρετοῦντες τριήρεσιν ἠγεί-

cap. 1: Zon. III, 655,8—656, 10 **46** κύβον ... ἀναρριπτεῖν: cf. ἀνερρίφθω κύβος: Men. frgm. 59, 4 Körte; App. prov. 1, 28; Mac. 2, 8; cf. etiam M. M. Kokolakes, Μορφολογία τῆς κυβευτικῆς μεταφορᾶς, Athen 1965

ACEBNUV DH **41** Μιχαὴλ ὁ γέρων ACE: Μιχαὴλ ὁ στρατιωτικός N: Βασιλεία Μιχαὴλ τοῦ στρατιωτικοῦ B: Βασιλεία Μιχαὴλ γέροντος τοῦ ἐπιλεγομένου στρατιωτικοῦ U: om. V post γέρων add. man. rec. ὁ στρατιωτικός C **42** τοῦ om. A ἡμέραν om. B **43** πρόεδρος: πρόδρομος B ὁ om. UV **44** ὁ ante υἱός add. V **45** καὶ μὴ βουλόμενος om. A βουλευσάμενος BUV: βουλόμενος CEND **46** ἀπόταξιν B **47** ἀναρριπεῖν CE **48** γειτόνων ACEBND: γειτονούντων U: γειτονούντων αὐτῷ V **49** ὡς αὐτὸς post ἦσαν add. UV φρένας: γνώμας CE κουφίοις U **52** ἐς post ἂν add. E ἠδικημένος: ἀδικούμενος B πρὸς τοὺς παρατυχόντας om. B παρατυχόντας: παρόντας C **53** βασιλείαν: βασιλίδα U **54** καὶ om. B προσῆκον αὐτῷ B τῶν ἄλλων om. B ἐγγύτητα ABNU: ἐγγύτατα CEV **55** ἔχοντι om. B αἵματι E δὲ BUV **56** διαρρήξας ACENV: διανοίξας BU τὰς πύλας om. ACE τὰς φυλακὰς A **57** δι' αὐτῶν: διὰ τούτων A καὶ γενν. διαπράξ. A **58** Χαλκῇ: φυλακῇ B φθάσας: πεφθακὼς A ἐποίησεν ACEBUVD: πεποίηκεν N: ἐποίει H **59** τοῖς βασιλείοις: τῇ βασιλίδι C διαγνωσθείσης V εὐνούχοις γνωσθ. A **60** τοῖς παλατίοις B **61** οἱ Βάραγγοι Κελτικόν B **62** ἠγείροντο: ἀγείρονται B

δημεύει καὶ εἰς ἐξορίαν ἐκπέμπει, τὸν δὲ λαὸν ὑποστρέψαι εἰς τοὐπίσω παρασκευάζει. ὅλην οὖν τὴν θ′ ἰνδικτιῶνα, τοῦ ,ϛφξδ′ | ἔτους βιώσασα ἡ βασιλίς, καὶ περὶ τὰ τέλη τοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς ἰνδικτιῶνος ἰλεοῦ νοσήματι περιπεσοῦσα ἀπέθανεν.

2. Οἱ δὲ ταύτης εὐνοῦχοι σὺν τῷ συγκέλλῳ Λέοντι ἀναβιβάζουσιν εἰς τὸν βασίλειον θρόνον, ἔτι ψυχορραγούσης ἐκείνης, Μιχαὴλ πατρίκιον τὸν Στρατιωτικόν, ἄνθρωπον ἐκ Βυζαντίου μὲν ὁρμώμενον, ἀφελῆ δὲ καὶ ἀποίκιλον καὶ μόνοις τοῖς στρατιωτικοῖς ἐκ παίδων ἀπασχοληθέντα καὶ πλέον ἄλλο εἰδότα μηδέν, καὶ ἤδη παρηκμακότα καὶ τῆς πρεσβυτικῆς ἀψάμενον ἡλικίας, ᾗτινι συμφέρειν τὴν ἀπραγμοσύνην Ἀρχίλοχος ὁ ποιητὴς ἀπεφήνατο. τοῦτο δὲ πεποιήκασιν, ἵνα σχῆμα μόνον καὶ ὄνομα αὐτὸς ἔχῃ τῆς βασιλείας, αὐτοὶ δὲ διεξάγωσιν, ὡς βούλονται, τὰ κοινὰ καὶ πάντων τυγχάνωσι κύριοι, ἐπομοσαμένου πρότερον καὶ αὐτοῦ μηδέν τι πρᾶξαί ποτε τῆς ἐκείνων δίχα γνώμης τε καὶ θελήσεως.

30 die 21. mens. Aug. a. 1056

---

cap. 2: Zon. III, 652, 12–653, 11; Glyc. 599, 20–600, 5 **36** Archil. frgm. *50 D.* = *330* West

---

ACEBNUV DH **29** καὶ om. B **30** ἰλεοῦ ACENU: εἰλεοῦ Glyc. 599, 20: εἰλεός Zon. III, 652, 14: ἰλεῷ V: ἐλεηνῷ B post ἀπέθανεν add. CE: κατὰ τὴν λα′ τοῦ Αὐγούστου μηνός, τῆς θ′ ἰνδικτιῶνος, τοῦ ,ϛφξε′ ἔτους, βασιλεύσασα ἔτος ἕν, μῆνας ζ′, ἡμέρας κ′ **32** βασίλειον BNUV: τῆς βασιλείας ACE **33** τὸν om. B **34** ἀσχοληθέντα B **35** παρηκμηκότα: παρηβηκότα V **36/37** Ἀρχίλοχος — ἀπεφήνατο BNUV: ὁ ποιητὴς Ἀρχίλοχος ἔφησε ACE **37/38** μόνον — ὄνομα: καὶ ὄνομα μόνον U **38** ἔχῃ ACEV: ἐχ′ D: ἔχει BNU αὐτοὶ: οἱ B διεξάγουσιν U **39** πρότερον: πρῶτον B **40** πρᾶξαί — γνώμης: πράξειν ποτὲ δίχα τῆς ἐκείνων γνώμης V

ΜΙΧΑΗΛ Ο ΓΕΡΩΝ

1. Ἀναρρηθέντος δὲ τοῦ Μιχαὴλ αὐτοκράτορος κατὰ τὴν λα' ἡμέραν τοῦ Αὐγούστου μηνός, τῆς θ' ἰνδικτιῶνος, Θεοδόσιος πρόεδρος ὁ τοῦ πατραδέλφου τοῦ βασιλέως Κωνσταντίνου τοῦ Μονομάχου υἱός, πυθόμενος τὴν ἀνάρρησιν καὶ δεινοπαθήσας, καὶ μὴ βουλευσάμενος, μηδὲ λογισάμενος τὴν τοῦ ἔργου δυσχέρειαν καὶ ἀπότευξιν, μηδ' οἷον κύβον μέλλει ἀναρριπτεῖν, ἀνειληφὼς τοὺς οἰκογενεῖς καὶ δούλους καὶ τοὺς ἄλλως ὑπηρετουμένους αὐτῷ, πολλοὺς δὲ καὶ τῶν γειτόνων καί τινας τῶν συνήθων, ὅσοι περ ἦσαν τὰς φρένας κουφότεροι, ἄρας περὶ δείλην ὀψίαν ἐκ τῆς | οἰκίας (κεῖται δὲ αὕτη περὶ τὸ λεγόμενον Λεωμακέλλιον) προήει διὰ τῆς πλατείας ὡς εἰς τὸ παλάτιον, ἀγανακτῶν καὶ δυσχεραίνων, καὶ τὴν ἀδικίαν ὡς ἂν τὰ ἔσχατα ἠδικημένος πρὸς τοὺς παρατυχόντας ἐπιβοώμενος, καὶ τὴν βασιλείαν ἀνακαλούμενος, ὡς κληρονομιαῖον τάχα κτῆμα καὶ αὐτῷ προσῆκον, ὡς μᾶλλον τῶν ἄλλων ἐγγύτητα ἔχοντι αἵματος πρὸς τὸν ἀπελθόντα βασιλέα. ὡς δ' ἐγένετο κατὰ τὸ πραιτώριον, διαρρήξας τὰς πύλας τῆς φυλακῆς ἐξάγει τοὺς καθειργμένους, ἐλπίσας, οἶμαι, δι' αὐτῶν μέγα τι διαπράξασθαι καὶ γενναῖον. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ Χαλκῇ φθάσας ἐποίησεν. ἀλλὰ τῆς ἐπαναστάσεως τοῖς ἐν τοῖς βασιλείοις γνωσθείσης εὐνούχοις, ταχὺ μὲν οἱ φυλάσσοντες ἐν τῷ παλατίῳ στρατιῶται Ῥωμαῖοί τε καὶ Βάραγγοι (γένος δὲ Κελτικὸν οἱ Βάραγγοι μισθοφοροῦντες Ῥωμαίοις) καθοπλίζονται, ταχὺ δὲ καὶ οἱ ταῖς βασιλικαῖς ὑπηρετοῦντες τριήρεσιν ἠγεί-

cap. 1: Zon. III, 655,8—656, 10 46 κύβον ... ἀναρριπτεῖν: cf. ἀνερρίφθω κύβος: Men. frgm. 59, 4 Körte; App. prov. 1, 28; Mac. 2, 8; cf. etiam M. M. Kokolakes, Μορφολογία τῆς κυβευτικῆς μεταφορᾶς, Athen 1965

ACEBNUV DH 41 Μιχαὴλ ὁ γέρων ACE: Μιχαὴλ ὁ στρατιωτικός N: Βασιλεία Μιχαὴλ τοῦ στρατιωτικοῦ B: Βασιλεία Μιχαὴλ γέροντος τοῦ ἐπιλεγομένου στρατιωτικοῦ U: om. V post γέρων add. man. rec. ὁ στρατιωτικός C 42 τοῦ om. A ἡμέραν om. B 43 πρόεδρος: πρόδρομος B ὁ om. UV 44 ὁ ante υἱός add. V 45 καὶ μὴ βουλόμενος om. A βουλευσάμενος BUV: βουλόμενος CEND 46 ἀπόταξιν B 47 ἀναρριπεῖν CE 48 γειτόνων ACEBND: γειτονούντων U: γειτονούντων αὐτῷ V 49 ὡς αὐτὸς post ἦσαν add. UV φρένας: γνώμας CE κουφίοις U 52 ἐς post ἂν add. E ἠδικημένος: ἀδικούμενος B πρὸς τοὺς παρατυχόντας om. B παρατυχόντας: παρόντας C 53 βασιλείαν: βασιλίδα U 54 καὶ om. B προσῆκον αὐτῷ B τῶν ἄλλων om. B ἐγγύτητα ABNU: ἐγγύτατα CEV 55 ἔχοντι om. B αἵματι E δὲ BUV 56 διαρρήξας ACENV: διανοίξας BU τὰς πύλας om. ACE τὰς φυλακὰς A 57 δι' αὐτῶν: διὰ τούτων A καὶ γενν. διαπράξ. A 58 Χαλκῇ: φυλακῇ B φθάσας: πεφθακὼς A ἐποίησεν ACEBUVD: πεποίηκεν N: ἐποίει H 59 τοῖς βασιλείοις: τῇ βασιλίδι C διαγνωσθείσης V εὐνούχοις γνωσθ. A 60 τοῖς παλατίοις B 61 οἱ Βάραγγοι Κελτικὸν B 62 ἠγείροντο: ἀγείρονται B

ροντο, καὶ χεὶρ ἱκανὴ συνηθροίσθη καὶ κατὰ τοῦ Θεοδοσίου ἔμελλε πέμπεσθαι. ὁ δὲ τοῦτο πυθόμενος, ἐκκλίνας τοῦ πρὸς τὸ παλάτιον ἀπιέναι, ὑποστρέφει πρὸς τὴν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν· ἤλπισε γάρ, ὡς εἰσελθόντα τοῦτον ἐν αὐτῇ ὁ πατριάρχης τε καὶ ὁ κλῆρος προσδέξεται, καὶ λαὸς ἀθροισθήσεται πλεῖστος, καὶ βασιλέα ἀναγορεύσουσι. ταῦτα δὲ πάντα αὐτῷ εἰς τοὐναντίον ἀπέβη. ὅ τε γὰρ πατριάρχης καὶ ὁ τῆς ἐκκλησίας κλῆρος ἐρχομένῳ τὰς ταύτης ἀποκλείουσι πύλας, καὶ οἱ συνήθως ἐν τοῖς τοιούτοις χαίροντες καὶ συντρέχοντες ἦσαν οὐδαμοῦ, καὶ οἱ παρεπόμενοι τούτῳ μέχρις ἐκείνου τοῦ τόπου, μαθόντες τὴν μέλλουσαν πέμπεσθαι δύναμιν | κατ' αὐτῶν, κατὰ μικρὸν ὑπορρέοντες ἐσκεδάσθησαν, καὶ λοιπὸν ἔρημος πάντων καταλειφθεὶς ἱκέτης ἐλεεινὸς μετὰ τοῦ παιδὸς πρὸς τὴν ἐκκλησίαν καθίζει· ὃν εὐθὺς ἀποστείλαντες ἐξάγουσι τῆς ἐκκλησίας καὶ ἐξορίζουσιν ἐν Περγάμῳ. τὸ δ' αὐτὸ τοῦτο καὶ εἰς τοὺς ἐμφανεστέρους τῶν αὐτῷ συναπαχθέντων ἐποίησαν. καὶ τὸ ἀπὸ τούτου ὁ Μιχαὴλ ἀναμφισβήτητος ἀνηγορεύετο αὐτοκράτωρ.

2. Παραλαβὼν δὲ τὰς ἡνίας τῆς βασιλείας, πάντας μὲν τοὺς λογάδας τῆς συγκλήτου εἰς βαθμοὺς ἀξιωμάτων ὑψηλοτέρους ἀνήγαγε, καὶ τὸν δῆμον ὑποσχέσεσιν ὑπεποιεῖτο πολλῶν ἀγαθῶν. ὡς ὢν δὲ κάρτα γέρων καὶ πολλῶν μεμνημένος ἀρχαίων, ἐπεβάλλετο καὶ πολλὰ τῶν παλαιῶν σχολάσαντα ἐθίμων ἐπανακτήσασθαι, μηδὲν πρὸς λυσιτέλειαν συντελοῦντα τῆς βασιλείας ἢ τοῦ κοινοῦ. τό τε γὰρ λεγόμενον στρατήγιον ἀνακαθαίρεσθαι ἐκέλευσε, πρὸς ὅπερ ἀποσκώπτοντες οἱ πολῖται ἔφασκον, ὡς τὸν οἰκεῖον ἀστράγαλον ἀναζητῶν, ὃν ἐκεῖσε παίζων ἀπώλεσεν, ἐκκαθαίρει τὸν χοῦν, καὶ τὰς τῶν πολιτῶν κεφαλὰς σκέπεσθαι μὴ δι' ἀγραμμάτων, ὡς νῦν, ἀλλὰ διὰ μεγαλογράμμων

cap. 2: Zon. III, 656, 11–657, 4; Glyc. 600, 5–600, 9

ACEBNUV DH 66 τε om. B 67 ὑποδέξεται N (sed non D) ἀναγορεύσωσι B 68 πάντα δὲ ταῦτα V ἀπέβη: συνέβη V 69 κλῆρος post ὁ A τούτῳ post ἐρχομένῳ add. B 70 πύλας: θύρας U 71 οὐδαμῶς U τούτῳ: τοῦτον A 72 πέμπεσθαι – αὐτῶν: στέλλεσθαι κατ' αὐτῶν δύναμιν A 73 ἀποληφθεὶς B 74 μετὰ – καθίζει: πρὸς τῇ ἐκκλησίᾳ καθίζει μετὰ τοῦ παιδός A πρὸς: εἰς B 75 οἱ τοῦ παλατίου post ἀποστείλαντες add. B ἐξορίζουσιν post Περγάμῳ A 76 συνυπαχθέντων V 77/78 ἀναμφισβητήτως V ἀναμφισβήτητος – αὐτοκράτωρ: αὐτοκρ. ἀνηγορ. ἀναμφισβ. A 77/78 ἀνηγορεύετο ACED: ἀνηγόρευτο UV: ἀναγορεύεται BN 80 ἀξιωμάτων om. V ὑψηλοτέρων B 82 ἐπεβάλλετο ACEVD: ἐπεβάλετο BU: ἐπεμβάλλετο N 83 σχολασάντων B ἐθίμων σχολάσαντα A ἐθῶν UV ἐπανακτήσεσθαι A μηδὲν: μηδὲ U 84 συντελοῦντα: λυσιτελοῦντά τε B 84/85 στρατήγιον λεγόμενον N (sed non D) 85 ἀνακαθᾶραι B 86 πολῖται: τῆς πόλεως B ἀναζητῶν ἀστράγαλον UV 87 χοῦν: νοῦν C 88 σκέπτεσθαι C ἀγραμμάτων ACENV: ἀγράμμων U: ὀθόνης λευκῆς B

ὀθονίων ἐκ βύσσου καὶ πορφύρας ἐξυφασμένων· καὶ δημοσίους φροντιστὰς οὐ συγκλητικοὺς προεβάλλετο, ἀλλά τινας τῶν ἐν ἑκάστῳ τῶν ἀρχείων ἐναυξηθέντων ταχυγράφων. καὶ ἄλλα πολλὰ τοιαῦτα, ὧν τὸ καθ' ἕκαστον καταλέγειν θελήσας προσκορὴς γενήσομαι τοῖς ἀκροαταῖς. καὶ διετέλεσεν οὕτως ἀφελῶς καὶ ἀτέχνως ἰθύνων τὰ σκῆπτρα καὶ κυβερνῶν. ἐπεὶ δὲ ὁ καιρὸς ἐπέστη τῆς βασιλικῆς φιλοτιμίας, ἣν διανέμειν ἐτησίως κατὰ τὸν | καιρὸν τοῦ πάσχα πρὸς τὴν σύγκλητον εἰώθασιν οἱ βασιλεῖς, καὶ πάντες εἰσῆλθον οἱ τοῦ στρατοῦ ἡγούμενοι καὶ γένει καὶ ἀνδρείᾳ ὠνομασμένοι, – ἦσαν δὲ ὅ τε μάγιστρος Ἰσαάκιος ὁ Κομνηνὸς καὶ ὁ μάγιστρος Κατακαλὼν ὁ Κεκαυμένος (δοὺξ δὲ οὗτος ἦν Ἀντιοχείας, καὶ παραλυθέντα τοῦτον τῆς ἀρχῆς διεδέξατο Μιχαὴλ ὁ τοῦ βασιλέως ἀνεψιός, ὃν ἅμα τῇ ἀναρρήσει Οὐρανὸν κατονομάσας, ὡς δῆθεν εἰς τὸν παλαιὸν Οὐρανὸν ἀναφέροντα τὸ γένος, καὶ μάγιστρον Ἀντιοχείας, ὥσπερ ἦν ἐκεῖνος, τιμήσας διάδοχον ἐκπέμπει τῷ Κεκαυμένῳ), Μιχαὴλ τε βεστάρχης ὁ Βούρτζης, Κωνσταντῖνος καὶ Ἰωάννης οἱ ἐκ τοῦ γένους ἑῴων τοῦ δουκὸς καταγόμενοι, καὶ οἱ λοιποὶ λογάδες τῶν ἀρχόντων. συνέδραμον δὲ πάντες, ἵνα καὶ τὸν νέον βασιλέα θεάσωνται καὶ τῶν ἀπ' αὐτοῦ τύχωσι φιλοτιμιῶν. διεδόθη γὰρ πρὸς ἅπαντας τὸ προετικὸν ἐκείνου καὶ πρὸς τὰς εὐεργεσίας μεγαλοπρεπές τε καὶ ἐλευθέριον. ἐς λόγους δ' ἐλθὼν ὁ βασιλεὺς τῷ Κομνηνῷ καὶ τῷ Κεκαυμένῳ, καὶ ἐπαινέσας μὲν αὐτοὺς καὶ στρατηγοὺς γενναίους καὶ ἀγαθοὺς ὀνομάσας, καὶ μᾶλλον τὸν Κεκαυμένον, ὡς μὴ ἐκ πατέρων, μηδ' ἐκ προσπαθείας τινός, ἀλλ' ἐξ οἰκείων ἀνδραγαθημάτων πρὸς ἣν ἐκέκτητο τοῦ ἀξιώματος ἀναχθέντα καθέδραν, τὸ αὐτὸ δὲ καὶ πρὸς τοὺς ἄλλους τῶν εὐγενῶν ποιήσας, μηδενὸς δὲ θελήσας ἐκπληρῶσαι βούλησιν, μηδ' εἰς τὸ τῶν προέδρων ἀξίωμα τὸν Κομνηνὸν καὶ τὸν Κεκαυμένον, ὡς ἠτοῦντο, ἀναγαγεῖν κατανεύσας, ἀλλὰ πάντων τὰς δεήσεις ἀπράκτους ἀποπεμψάμενος, ἅπαν|τας ἠρέθισε κατ' αὐτοῦ.καὶ πρὸς μὲν τοὺς ἑῴους στρατηγοὺς διετέθη οὕτως.

ACEBNUV DH 89 ἐξυφασμένων: ὑφανθέντων B δημοσίων B 90 περιεβάλλετο A ἐν om. U 90/91 τῶν ἀρχείων BNUV: ἀρχείῳ ACE 93 οὕτως — ἀτέχνως: οὗτος ἀτέχνως καὶ ἀφελῶς B ἀτέχνως ACEBUVD: ἀτεχνῶς NH 49 καὶ ante ὁ add. U βασιλικῆς om. C 95 καὶ post ἐτησίως add. V εἰώθασιν ante πρὸς B 1 οἱ βασιλεῖς post 95 ἐτησίως B ἀφηγούμενοι B 2 ἀνδρίᾳ AC 3 δὲ: τε CE 6 τὸ γένος ἀναφέροντα A 6/7 μάγιστρον — τιμήσας: μάγιστρον τιμήσας καὶ δοῦκα Ἀντ., ὥσπερ ἦν ἐκεῖνος B 7 ἐκπέμπει τῷ Κεκαυμένῳ BNUV: τῷ Κεκ. ἐκπ. ACE 8 βεστάρχης post Βούρτζης C 9 τῶν ante ἑῴων add. V ἑῴων om. CEB 10 δὲ om. B 11 ἀπ': ὑπ' ND πρὸς: εἰς V 11/12 προετικὸν (post 12 ἐκείνου B) ACEBV: προαιρετικὸν NUDH 13 εἰς B δ' om. ACE 15 μηδ' ἐκ: μὴ δὲ C 16 πρὸς: εἰς B 17 ἀναχθέντος C 18 δὲ om. EB βούλησιν BNUV: θέλημα ACE 19 ὡς ἠτοῦντο om. B 20 ἀναγαγεῖν post 19 ἀξίωμα UV 20 θελήσας ἢ ante κατανεύσας add. A καὶ ante πάντων add. UV ἀπομεμψάμενος A 21 πρὸς: τοὺς B ἑῴας B

ροντο. καὶ χεὶρ ἱκανὴ συνηθροίσθη καὶ κατὰ τοῦ Θεοδοσίου ἔμελλε πέμπεσθαι. ὁ δὲ τοῦτο πυθόμενος, ἐκκλίνας τοῦ πρὸς τὸ παλάτιον ἀπιέναι, ὑποστρέφει πρὸς τὴν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν· ἤλπισε γάρ, ὡς εἰσελθόντα τοῦτον ἐν αὐτῇ ὁ πατριάρχης τε καὶ ὁ κλῆρος προσδέξεται, καὶ λαὸς ἀθροισθήσεται πλεῖστος, καὶ βασιλέα ἀναγορεύσουσι. ταῦτα δὲ πάντα αὐτῷ εἰς τοὐναντίον ἀπέβη. ὅ τε γὰρ πατριάρχης καὶ ὁ τῆς ἐκκλησίας κλῆρος ἐρχομένῳ τὰς ταύτης ἀποκλείουσι πύλας, καὶ οἱ συνήθως ἐν τοῖς τοιούτοις χαίροντες καὶ συντρέχοντες ἦσαν οὐδαμοῦ, καὶ οἱ παρεπόμενοι τούτῳ μέχρις ἐκείνου τοῦ τόπου, μαθόντες τὴν μέλλουσαν πέμπεσθαι δύναμιν | κατ' αὐτῶν, κατὰ μικρὸν ὑπορρέοντες ἐσκεδάσθησαν, καὶ λοιπὸν ἔρημος πάντων καταλειφθεὶς ἱκέτης ἐλεεινὸς μετὰ τοῦ παιδὸς πρὸς τὴν ἐκκλησίαν καθίζει· ὃν εὐθὺς ἀποστείλαντες ἐξάγουσι τῆς ἐκκλησίας καὶ ἐξορίζουσιν ἐν Περγάμῳ. τὸ δ' αὐτὸ τοῦτο καὶ εἰς τοὺς ἐμφανεστέρους τῶν αὐτῷ συναπαχθέντων ἐποίησαν. καὶ τὸ ἀπὸ τούτου ὁ Μιχαὴλ ἀναμφισβήτητος ἀνηγορεύετο αὐτοκράτωρ.

2. Παραλαβὼν δὲ τὰς ἡνίας τῆς βασιλείας, πάντας μὲν τοὺς λογάδας τῆς συγκλήτου εἰς βαθμοὺς ἀξιωμάτων ὑψηλοτέρους ἀνήγαγε, καὶ τὸν δῆμον ὑποσχέσεσιν ὑπεποιεῖτο πολλῶν ἀγαθῶν. ὡς ὢν δὲ κάρτα γέρων καὶ πολλῶν μεμνημένος ἀρχαίων, ἐπεβάλλετο καὶ πολλὰ τῶν παλαιῶν σχολάσαντα ἐθίμων ἐπανακτήσασθαι, μηδὲν πρὸς λυσιτέλειαν συντελοῦντα τῆς βασιλείας ἢ τοῦ κοινοῦ. τό τε γὰρ λεγόμενον στρατήγιον ἀνακαθαίρεσθαι ἐκέλευσε, πρὸς ὅπερ ἀποσκώπτοντες οἱ πολῖται ἔφασκον, ὡς τὸν οἰκεῖον ἀστράγαλον ἀναζητῶν, ὃν ἐκεῖσε παίζων ἀπώλεσεν, ἐκκαθαίρει τὸν χοῦν, καὶ τὰς τῶν πολιτῶν κεφαλὰς σκέπεσθαι μὴ δι' ἀγραμμάτων, ὡς νῦν, ἀλλὰ διὰ μεγαλογράμμων

cap. 2: Zon. III, 656, 11—657, 4; Glyc. 600, 5—600, 9

ACEBNUV DH 66 τε om. B 67 ὑποδέξεται N (sed non D) ἀναγορεύσωσι B 68 πάντα δὲ ταῦτα V ἀπέβη: συνέβη V 69 κλῆρος post ὁ A τούτῳ post ἐρχομένῳ add. B 70 πύλας: θύρας U 71 οὐδαμῶς U τούτῳ: τοῦτον A 72 πέμπεσθαι — αὐτῶν: στέλλεσθαι κατ' αὐτῶν δύναμιν A 73 ἀποληφθεὶς B 74 μετὰ — καθίζει: πρὸς τῇ ἐκκλησίᾳ καθίζει μετὰ τοῦ παιδός A πρὸς: εἰς B 75 οἱ τοῦ παλατίου post ἀποστείλαντες add. B ἐξορίζουσιν post Περγάμῳ A 76 συνυπαχθέντων V 77/78 ἀναμφισβητήτως V ἀναμφισβήτητος — αὐτοκράτωρ: αὐτοκρ. ἀνηγορ. ἀναμφισβ. A 77/78 ἀνηγορεύετο ACED: ἀνηγόρευτο UV: ἀναγορεύεται BN 80 ἀξιωμάτων om. V ὑψηλοτέρων B 82 ἐπεβάλλετο ACEVD: ἐπεβάλετο BU: ἐπεμβάλλετο N 83 σχολασάντων B ἐθίμων σχολάσαντα A ἐθῶν UV ἐπανακτήσεσθαι A μηδὲν: μηδὲ U 84 συντελοῦντα: λυσιτελοῦντά τε B 84/85 στρατήγιον λεγόμενον N (sed non D) 85 ἀνακαθᾶραι B 86 πολῖται: τῆς πόλεως B ἀναζητῶν ἀστράγαλον UV 87 χοῦν: νοῦν C 88 σκέπτεσθαι C ἀγραμμάτων ACENV: ἀγράμμων U: ὀθόνης λευκῆς B

ὀθονίων ἐκ βύσσου καὶ πορφύρας ἐξυφασμένων· καὶ δημοσίους φροντιστὰς οὐ συγκλητικοὺς προεβάλλετο, ἀλλά τινας τῶν ἐν ἑκάστῳ τῶν ἀρχείων ἐναυξηθέντων ταχυγράφων. καὶ ἄλλα πολλὰ τοιαῦτα, ὧν τὸ καθ' ἕκαστον καταλέγειν θελήσας προσκορὴς γενήσομαι τοῖς ἀκροαταῖς. καὶ διετέλεσεν οὕτως ἀφελῶς καὶ ἀτέχνως ἰθύνων τὰ σκῆπτρα καὶ κυβερνῶν. ἐπεὶ δὲ ὁ καιρὸς ἐπέστη τῆς βασιλικῆς φιλοτιμίας, ἣν διανέμειν ἐτησίως κατὰ τὸν | καιρὸν τοῦ πάσχα πρὸς τὴν σύγκλητον εἰώθασιν οἱ βασιλεῖς, καὶ πάντες εἰσῆλθον οἱ τοῦ στρατοῦ ἡγούμενοι καὶ γένει καὶ ἀνδρείᾳ ὠνομασμένοι, – ἦσαν δὲ ὅ τε μάγιστρος Ἰσαάκιος ὁ Κομνηνὸς καὶ ὁ μάγιστρος Κατακαλὼν ὁ Κεκαυμένος (δοὺξ δὲ οὗτος ἦν Ἀντιοχείας, καὶ παραλυθέντα τοῦτον τῆς ἀρχῆς διεδέξατο Μιχαὴλ ὁ τοῦ βασιλέως ἀνεψιός, ὃν ἅμα τῇ ἀναρρήσει Οὐρανὸν κατονομάσας, ὡς δῆθεν εἰς τὸν παλαιὸν Οὐρανὸν ἀναφέροντα τὸ γένος, καὶ μάγιστρον Ἀντιοχείας, ὥσπερ ἦν ἐκεῖνος, τιμήσας διάδοχον ἐκπέμπει τῷ Κεκαυμένῳ), Μιχαὴλ τε βεστάρχης ὁ Βούρτζης, Κωνσταντῖνος καὶ Ἰωάννης οἱ ἐκ τοῦ γένους ἑῴων τοῦ δουκὸς καταγόμενοι, καὶ οἱ λοιποὶ λογάδες τῶν ἀρχόντων. συνέδραμον δὲ πάντες, ἵνα καὶ τὸν νέον βασιλέα θεάσωνται καὶ τῶν ἀπ' αὐτοῦ τύχωσι φιλοτιμιῶν. διεδόθη γὰρ πρὸς ἅπαντας τὸ προετικὸν ἐκείνου καὶ πρὸς τὰς εὐεργεσίας μεγαλοπρεπές τε καὶ ἐλευθέριον. ἐς λόγους δ' ἐλθὼν ὁ βασιλεὺς τῷ Κομνηνῷ καὶ τῷ Κεκαυμένῳ, καὶ ἐπαινέσας μὲν αὐτοὺς καὶ στρατηγοὺς γενναίους καὶ ἀγαθοὺς ὀνομάσας, καὶ μᾶλλον τὸν Κεκαυμένον, ὡς μὴ ἐκ πατέρων, μηδ' ἐκ προσπαθείας τινός, ἀλλ' ἐξ οἰκείων ἀνδραγαθημάτων πρὸς ἣν ἐκέκτητο τοῦ ἀξιώματος ἀναχθέντα καθέδραν, τὸ αὐτὸ δὲ καὶ πρὸς τοὺς ἄλλους τῶν εὐγενῶν ποιήσας, μηδενὸς δὲ θελήσας ἐκπληρῶσαι βούλησιν, μηδ' εἰς τὸ τῶν προέδρων ἀξίωμα τὸν Κομνηνὸν καὶ τὸν Κεκαυμένον, ὡς ᾐτοῦντο, ἀναγαγεῖν κατανεύσας, ἀλλὰ πάντων τὰς δεήσεις ἀπράκτους ἀποπεμψάμενος, ἅπαν|τας ἠρέθισε κατ' αὐτοῦ.καὶ πρὸς μὲν τοὺς ἑῴους στρατηγοὺς διετέθη οὕτως.

ACEBNUV DH   89 ἐξυφασμένων: ὑφανθέντων B   δημοσίων B   **90** περιεβάλλετο A   ἐν om. U   **90/91** τῶν ἀρχείων BNUV: ἀρχείῳ ACE   **93** οὕτως — ἀτέχνως: οὗτος ἀτέχνως καὶ ἀφελῶς B   ἀτέχνως ACEBUVD: ἀτεχνῶς NH   **49** καὶ ante ὁ add. U   βασιλικῆς om. C   **95** καὶ post ἐτησίως add. V   εἰώθασιν ante πρὸς B   **1** οἱ βασιλεῖς post **95** ἐτησίως B   ἀφηγούμενοι B   **2** ἀνδρίᾳ AC   **3** δὲ: τε CE   **6** τὸ γένος ἀναφέροντα A   **6/7** μάγιστρον — τιμήσας: μάγιστρον τιμήσας καὶ δοῦκα Ἀντ., ὥσπερ ἦν ἐκεῖνος B   **7** ἐκπέμπει τῷ Κεκαυμένῳ BNUV: τῷ Κεκ. ἐκπ. ACE   **8** βεστάρχης post Βούρτζης C   **9** τῶν ante ἑῴων add. V   ἑῴων om. CEB   **10** δὲ om. B   **11** ἀπ': ὑπ' ND   πρὸς: εἰς V   **11/12** προετικὸν (post **12** ἐκείνου B) ACEBV; προαιρετικὸν NUDH   **13** εἰς B   δ' om. ACE   **15** μηδ' ἐκ: μὴ δὲ C   **16** πρὸς: εἰς B   **17** ἀναχθέντος C   **18** δὲ om. EB   βούλησιν BNUV: θέλημα ACE   **19** ὡς ᾐτοῦντο om. B   **20** ἀναγαγεῖν post **19** ἀξίωμα UV   **20** θελήσας ἢ ante κατανεύσας add. A   καὶ ante πάντων add. UV   ἀπομεμψάμενος A   **21** πρὸς: τοὺς B   ἑῴας B

3. Τὸν δὲ Βρυέννιον τῆς ὑπερορίας μεταπεμψάμενος καὶ ἄρχειν τάξας Καππαδοκῶν στρατηγὸν αὐτοκράτορα προχειρίζεται τῶν Μακεδονικῶν ταγμάτων καὶ κατὰ τῶν Τούρκων ἐκπέμπει· Τοῦρκος γάρ τις τὴν κλῆσιν Σαμούχ, τὸ γένος οὐκ ἐπίσημος, πρὸς δὲ τὰ πολεμικὰ γενναῖος καὶ ἐνεργός, τῷ σουλτάνῳ συστρατευσάμενος, ὁπηνίκα τὴν δευτέραν εἰσβολὴν κατὰ Ῥωμαίων ἐποιήσατο, ἐκείνου ὑποστρέψαντος ἐν Περσίδι αὐτὸς τῷ τόπῳ παρέμεινε μετὰ τρισχιλίων ἀνδρῶν, καὶ περιπλανώμενος ἐν ταῖς πεδιάσι καὶ τοῖς ὑπτίοις τόποις τῆς μεγάλης Ἀρμενίας, καὶ αἰφνιδίους ποιούμενος ἐκδρομάς, κακῶς διετίθει τὰ Ῥωμαίων καὶ ἐληΐζετο. ἀλλ' οὐδὲ τοῦτον θεραπεῦσαι ἴσχυσεν ὁ βασιλεύς· ἦν γὰρ ἀφυέστατος εἰς τὸ θωπεῦσαι καὶ καταδημαγωγῆσαι ἀνθρώπους περιυβρισθέντας καὶ λανθάνοντα κότον ἐν τῇ ψυχῇ περιφέροντας. τοῦ γὰρ Βρυεννίου λιπαρῶς ἱκετεύοντος ἀποδοθῆναί οἱ καὶ τὰ χρήματα, ὁπόσα ἀφείλετο ἀπ' αὐτοῦ Θεοδώρα ἡ βασιλίς, οὐκ ἐπήκουσεν, ἀλλ' ἐκτενῶς δυσωποῦντα περὶ τούτου καὶ ἱκετεύοντα, τὸ δημῶδες τοῦτο καὶ καθημαξευμένον εἰπὼν μόνον 'δεικνύων ἔργα ἀπαίτει μισθούς' ἀπεπέμψατο. οὕτω δὲ παροραθεὶς καὶ ὁ Βρυέννιος ἀπῄει δεινὰ στρέφων ἐν ἑαυτῷ καὶ καιρὸν ζητῶν ἐκδικήσεως.

4. Παραπλησίως δὲ διετέθη καὶ πρὸς Ἐρβέβιον τὸν Φραγγόπωλον, ἄνδρα συστρατευσάμενόν τε τῷ Μανιάκῃ ἐν Σικελίᾳ καὶ | μεγάλα τρόπαια στήσαντα καὶ ἀπ' ἐκείνου καὶ ἕως τούτου Ῥωμαίοις εὔνουν φαινόμενον. παρακαλοῦντα γὰρ καὶ αὐτὸν καὶ ἱκετεύοντα τῆς τῶν μαγίστρων τιμῆς τυχεῖν οὐ μόνον οὐκ ἠξίωσε λόγου, ἀλλὰ καὶ πολλὰ χλευάσας καὶ μυκτηρίσας ἀπεπέμψατο. οὕτως ἦν ἀφυὴς καὶ δυσπρόσοδος περὶ τὰς ἐντεύξεις. ὁ δὲ Ἐρβέβιος, οἷα βάρβαρος καὶ τὴν ὀργὴν ἀκατάσχετος, οὐ μετρίως ἐνεγκὼν τὴν ὕβριν, ἀγνοῶν δὲ καὶ τὴν μελετωμένην παρὰ τῶν Ῥωμαίων συσκευήν, οὐκ ἐκαρτέρησεν, ἀλλὰ σπουδάζων ἀμύνασθαι τὸν ὑβριστήν, ἐξαιτησάμενος ἐπ' οἴκου πορευθῆναι καὶ ἀφεθείς, τῷ βασιλεῖ

cap. 3: Zon. III, 657, 8—657, 11 38 δεικνύων ... μισθούς: prov., ut. vid., fons mihi ignotus

ACEBNUV DH 23 Βρυέννιον CEUV: Βρυένιον AN: Βριέννιον B 24 αὐτοκράτορα: ἀνάκτορα B 26 ἐνεργής B 27 συστρατευόμενος B 28 Ῥωμαίους N (sed non D) ἐν Περσ. ὑποστρ. UV 29 παρέμενε U 30 αἰφνίδιον B 31 ἐκδρομήν B 31—33 ἀλλ' — καταδημαγωγῆσαι: ἀλλ' οὐδὲ τὸν Βρυέννιον ἴσχυσε θεραπεῦσαι καὶ καταδημ. B 32 τοῦτο U ἴσχυσε θεραπεῦσαι AB 33 θωπεῦσαι NUV: θεραπεῦσαι ACE: om. B 34 λανθάνοντα: λαμβάνοντα B Βρυενίου AN 35 καὶ om. N (sed non D) ἀφείλατο C 36 Θεοδώρα ἡ βασιλίς: ἡ Θεοδ. AC οὐχ ὑπήκουσεν V τε post δυσωποῦντά add. CE 37 περὶ τούτου: τοῦτον E 38 μόνον om. B 38/39 οὕτω — Βρυέννιος: καὶ Βρυέννιος παροραθεὶς B 39 καὶ pr. om. ACEUV Βρυένιος AN 41 ἐτέθη B Φραγγόπουλον V 42 συστρατεύοντα B ἐν Σικ. τῷ Μαν. A 43 καὶ alt. om. B 44 καὶ pr. ACEBD: om. NUV 46 ἀπεπέμψατο NUV: ἐπέμψατο B: ἀπέλυσεν ACE καὶ ante οὕτως add. UV οὗτος CN δυσπρόσιτος V 47 ὀργὴν BN: ὁρμὴν ACEUV 48 μελετωμένην post 49 Ῥωμαίων B 49 ἀμύνεσθαι C

προσειπὼν τὰ ἐξιτήρια, ἐξῆλθεν εὐθύς, καὶ πρὸς τὴν ἔω περαιωθεὶς ἀνῆλθεν ἐν τῇ κατὰ τὸν Ἀρμενιακὸν οἰκίᾳ αὐτοῦ, τῇ Δαγαράβῃ. καὶ κοινολογησάμενός τισι τῶν Φράγγων ἐκεῖσε τότε διεσπαρμένοις οὖσιν εἰς παραχειμασίαν καὶ τριακοσίους ἄνδρας ἐκ τούτων ὑποφθείρας, ἀπῆρεν ἐκεῖθεν, καὶ ἀνελθὼν ἐν Μηδίᾳ κοινοπραγεῖ τῷ Σαμοὺχ ἐκεῖσε ἐνδιατρίβοντι, ὥστε πολεμεῖν Ῥωμαίοις. καὶ χρόνον μέν τινα ἀσάλευτος ἔμεινεν ἡ ὁμολογία· προσκρούσματος δέ τινος μεταξὺ τῶν Φράγγων γενομένου καὶ Τούρκων, καὶ ἐκ τούτου ἐπιβουλευόντων ἀλλήλοις τῶν γενῶν, ὁ μὲν Σαμοὺχ προσεποιεῖτο τηρεῖν τὰ συντεθειμένα, ὁ δὲ Ἐρβέβιος διὰ παντὸς ἦν ἐν ὑπονοίαις καὶ αἰφνίδιον προσεδόκα ἐπίθεσιν, καὶ τοὺς Φράγγους παρεκάλει μὴ ἀνέτως, ἀλλ' ἐπὶ τῶν ὅπλων καθεύδειν. τοῦτο δὲ ἐποίει κρυφίως, μηδεμίαν συναίσθησιν δοὺς τῷ Σαμούχ, ἕως ἐκεῖνος λανθάνειν οἰηθεὶς ἀνακαλύ|πτει τὸ βούλευμα, καὶ περὶ μίαν ἡμέραν ἐξοπλίσας πάντας, οὓς εἶχε, Τούρκους ἐπιτίθεται ἀριστοποιουμένοις τοῖς Φράγγοις. οἱ δὲ κατὰ τὸ παράγγελμα τοῦ στρατηγοῦ τοὺς ἵππους ἐν τοῖς χαλινοῖς ἔχοντες, ὡς ᾔσθοντο τὴν ἐπέλευσιν τῶν Τούρκων, ταχύ τε ἔποχοι γίνονται καὶ ἐρχομένοις τούτοις προσυπαντῶσι. καὶ γίνεται μάχη καρτερά, καὶ πρὸς μικρὸν ἀντισχόντες οἱ Τοῦρκοι τρέπονται. καὶ πίπτουσι μὲν οἱ πλείους, οἱ δὲ λοιποὶ διεσώθησαν πρὸς τὸ Χλέατ πεζοὶ καὶ γυμνοί. ὁ δὲ Ἐρβέβιος ὑποστρέψας ἀπὸ τοῦ διωγμοῦ μετὰ τῶν Φράγγων κατασκηνῶσαι ἐν τῇ παρεμβολῇ συνεβούλευεν. ἐνέκειντο δὲ οἱ Φράγγοι ἀναγκάζοντες εἰσελθεῖν ἐν τῇ πόλει τοῦ Χλέατ, κοινοπραγίαν ἔχοντες καὶ ὅρκους μετὰ τοῦ ἀμηρεύοντος ἐν αὐτῇ, εὐπαθείας τε τινος καὶ λουτροῦ μετασχεῖν καὶ τὸν ἐκ τοῦ πολέμου ἀποπλύνασθαι λύθρον. ὁ δὲ πολὺς ἦν ἐγκείμενος καὶ καθικετεύων τὸν τοιοῦτον ἀποτινάξασθαι λογισμὸν καὶ μὴ πάνυ τι πιστεύειν ὅρκῳ ἀλλοπίστων καὶ ἀλλοφύλων ἀνθρώπων, καὶ εὐσεβεῖν ἀναπεπεισμένων, εἰ θανάτου πολλοῖς αἴτιοι Χριστιανοῖς γένοιντο. ὡς δὲ λέγων οὐδένα τὸν προσέχοντα εἶχεν, ἀλλὰ πάντες μιᾶς γενόμενοι γνώμης ἀπαραίτητον τὴν εἴσοδον ἐλογίζοντο, ἄρας καὶ αὐτὸς εἴσεισι σὺν αὐτοῖς, πολλὰ πρότερον θεοκλυτήσας καὶ

ACEBNUV DH 52 Δαγαράβῃ ACV: Δαγαράμῃ NUDH: Ῥαγαδάβῃ E: Γαδαράμῃ B: 53 τότε: τούτοις B τοῖς Φράγγοις post οὖσι add. ACE 55 ἀπελθὼν AU κοινοπραγεῖ ACEBVD: κοινοπραγεῖται U: κοινολογεῖ N τῷ om. U 57 προσκρούματος BV τῶν om. A 57/58 γενομένου καὶ Τούρκων ACEBD: γενομένου καὶ τῶν Τούρκων N: καὶ Τούρκων γενομένου V: καὶ Τούρκου γενομένου U 58 ἐπιβουλευομένων U 60 ὑπονοίαις: ὑποψίαις U 62 διδοὺς B 62/63 ἐκεῖνος λανθάνειν VBNU: λανθάνειν ἐκεῖνος ACE 66 τοῖς om. U 66/67 ταχύ τε ACEBN: ταχεῖς τε UV 68 κρατερά ACE 69/70 πρὸς — γυμνοί: εἰς τὸ Χλέατε γυμνοὶ καὶ πεζοί B 69 Χλέατ ACENV: Χλεὰτ U: Χλέατε B τε post πεζοί add. A 71 συνεβούλευσεν B ἔκειντο B 72 ἐπεισελθεῖν U ἐν om. C ἐν τῇ πόλει: εἰς τὴν πόλιν B 73 ἔχοντος U ἀπαθείας U 76 καὶ ἀλλοφύλων om. B ἀλλοφύλων: ἑτερογενῶν A 77 ἀπεπεισμένων U 78 προσέσχοντα C 79 ἀπαραίτητοι B 80 σὺν αὐτοῖς: μετ' αὐτῶν V

διαμαρτυράμενος καὶ παραγγείλας διὰ παντὸς προσέχειν καὶ ἐν χεροῖν κατέχειν τὰ ὅπλα. εἰσελθόντες οὖν οἱ Φράγγοι, καὶ τῶν τοῦ στρατηγοῦ παραγγελμάτων καταφρονήσαντες, ἐν λουτροῖς καὶ πότοις καὶ εὐωχίαις ἦσαν. ὁ δὲ ἀμηρᾶς Ἀπονάσαρ ἅμα τῷ Σαμοὺχ καὶ τοῖς ἐν τῇ πόλει Σαρακηνοῖς βουλευσάμενος, καὶ παραγ|γείλας τοῖς ξενοδόχοις, ὅτε τὸ σύνθημα δοθῇ, κατέχειν τοὺς ἐπιξενωθέντας καὶ δεσμεῖν, ἢ τούτου φαινομένου ἀδυνάτου ἀποσφάττειν, τέως μὲν ἠτρέμει, ἐπεὶ δὲ ἅλις εἶχε τοῖς Φράγγοις ἡ ἡδυπάθεια καὶ πρὸς ὕπνους ἐτράπησαν, δοὺς τὸ σύνθημα ἐπιτίθεται. καὶ οἱ μὲν τῶν Φράγγων εὐθὺς ἀποσφάττονται, οἱ δὲ κατεσχέθησαν, τινὲς δὲ καὶ ἀπὸ τοῦ τείχους ῥιπτοῦντες ἑαυτοὺς ἔξω διασωθῆναι ἴσχυσαν. ἑάλω δὲ καὶ ὁ Ἐρβέβιος καὶ πεδηθεὶς ἐφυλάττετο. ὁ δὲ ἀμηρᾶς διαπραξάμενος ταῦτα διακηρυκεύεται πρὸς τὸν βασιλέα, ὡς τάχα εὔνους ὢν αὐτῷ καὶ τοὺς ἐπιβουλεύοντας τοῖς αὐτοῦ πράγμασι διαφθείρας καὶ τὸν τούτων ἀρχηγὸν κατασχών. καὶ τὰ μὲν περὶ τὸν Φραγγόπωλον συνηνέχθη ὧδε.

5. Οἱ δὲ τῆς ἕω στρατηγοὶ ἀποπεμφθέντες, ὡς ἔμπροσθεν εἴρηται, παρὰ τοῦ βασιλέως δευτέραν ἔγνωσαν πεῖραν προσαγαγεῖν, καὶ δὴ τῷ πρωτοσυγκέλλῳ Λέοντι τῷ Στραβοσπονδύλῳ προσελθόντες τὰ κοινὰ διοικοῦντι τῷ τότε μεσίτην ἐς βασιλέα τοῦτον προὐβάλλοντο, καὶ μὴ παρὰ τοὺς ἄλλους περιοφθῆναι ἱκέτευον, μηδ' ἀτίμως ἀπορριφῆναι, καὶ ἄλλα προβαλλόμενοι δίκαια, τελευταῖον δ' ἐπαγαγόντες μὴ ἄξιον εἶναι τοὺς μὲν πολίτας τῶν βασιλικῶν μὴ ἀμοιρῆσαι τιμῶν, μήτε παρ' ἔπαλξιν στάντας, μήτε πρὸς πολεμίους διαγωνισαμένους ποτέ, αὐτοὺς δὲ τοὺς ἐκ παίδων προπολεμοῦντας καὶ ἀγρυπνοῦντας, ἵν' ἀδεῶς οὗτοι καθεύδοιεν, παροραθῆναι καὶ τῆς βασιλικῆς φιλοτιμίας διεκπεσεῖν. ἀλλ' οὗτος στρυφνὸς ὢν καὶ δυσπρόσιτος, οὐ μόνον οὐκ | ἐδέξατο ἠπίως τὴν προσαγομένην ἱκεσίαν, ἀλλὰ καὶ μεθ' ὕβρεων ἀπεπέμψατο τοὺς ἱκέτας, ἐκφλαυρίσας

cap. 5: Zon. III, 657, 4–657, 15; Glyc. 600, 9–600, 12

ACEBNUV DH 81 χερσὶ B 82 κατέχειν: ἔχειν V 85 Σαρακηνικοῖς C 86 ἐπιξενωθέντες N 87 ἀδύνατον E καὶ ante τέως add. UV 88 ἡδυπαθεία BNUV: εὐπάθεια ACE δοὺς om. ACE δοὺς τὸ σύνθημα: δοθέντος οὖν τοῦ συνθήματος B 89 ἐπιτίθενται BU ἀπεσφάγησαν B 90 καὶ om. B ῥίψαντες B 92 ταῦτα διαπραξάμενος A διακηρυκεύεται BNUV: διακηρύττεται ACE 95 Φραγγόπουλον B ὧδε συνηνέχθη V ὧδε: οὕτως CE 1 ἑῴας B ἀποπεμφθέντες: ἀποβουκοληθέντες A ἔμπροσθεν: ἄνωθεν V 2 εἰσαγαγεῖν V 3 τῷ Στραβοσπ. om. B Στραβοσπονδύλη A 4 προὐβάλλοντο CENUV: προὐβάλοντο A: προβάλλονται B 5 παροφθῆναι A μηδ': καὶ A 5/6 ἀπορριφῆναι – προβαλλόμενοι: ἀπορριφθῆναι πολλὰ μὲν οὖν καὶ ἄλλα προβαλλόμενοι B 7 μὲν om. ND πολίτας μὲν B βασιλικῶν: πολιτικῶν U μὴ ἀμοιρῆσαι BUV: μὴ εὐμοιρῆσαι N: μὲν εὐμοιρῆσαι H: εὐμοιρῆσαι ACED 8 πόλεμον B 9 καθεύδωσι B 10 παροράσθαι V 11 προσαγομένην ACNUV: προσαγορευομένην E: προσενεχθεῖσαν B 12 ὕβρεως U ἐκφλαυρίσας ACEN Zon. III, 657, 3: ἐκφαυλίσας BUV

οὐκ ὀλίγα καὶ ἐς ἕκαστον τῶν ἀνδρῶν. οἱ δὲ καὶ δεύτερον ἤδη πεπαρῳνημένοι, πᾶσαν ἐλπίδα ἀποσεισάμενοι ἐσφάδαζον καὶ διεπρίοντο τῷ θυμῷ. καὶ κατ' ἀρχὰς μέν, ὥς πῃ ἕκαστος ἔτυχεν, ἐν ταῖς ὁμιλίαις ὑποτονθορύζοντες ἐλοιδοροῦντο τῷ βασιλεῖ, καὶ μὴ πράως ἐνεγκεῖν παρεκάλουν ἕκαστον ἑκάστην παροινίαν, ἀλλὰ διαναστῆναι παρώρμων πρὸς δικαίαν ἐκδίκησιν. ἔπειτα καὶ ὑφ' ἓν ἐν τῇ μεγάλῃ γενόμενοι ἐκκλησίᾳ, καὶ ὅρκους δόντες καὶ λαβόντες μὴ σιωπῆσαι, μηδ' ἀνασχέσθαι, ἀλλὰ τοὺς ἐνυβρίσαντας τιμωρήσασθαι, δεσμοῖς, ὅ φασιν, ἀδαμαντίνοις ἠσφαλίσαντο τὴν ἐπιβουλήν. τῷ δὲ Κεκαυμένῳ ἐδόκει καὶ τὸν Βρυέννιον προσλαβέσθαι συνωμότην, λαοῦ τε πολλοῦ ἄρχειν τεταγμένον τῶν Μακεδονικῶν ταγμάτων καὶ μέγα μέρος ἔσεσθαι μέλλοντα τοῦ σπουδάσματος. ὡς δὲ καὶ οὗτος πείρας αὐτῷ προσενεχθείσης ταχέως ὑπήκουσε, λοιπόν τινα διεσκοποῦντο εἰς ἔργον προχωροῦντος αὐτοῖς τοῦ βουλεύματος ἀνειπεῖν βασιλέα. καὶ πᾶσιν ἁπλῶς ἐφαίνετο τοῖς συνωμόταις, ὡς καὶ γήρᾳ καὶ ἀνδρείᾳ καὶ ἐμπειρίᾳ τῶν ἄλλων προὔχων ὁ Κεκαυμένος ἄξιος εἰς τοῦτο. ὁ δὲ ἀφ' ἑαυτοῦ τὸ βάρος ἀποσείσασθαι σπεύδων συντόνῳ λόγῳ διέλυσε τὰς πολυλογίας· ἀναστὰς γὰρ εὐθέως βασιλέα Ῥωμαίων ἀνεῖπε τὸν μάγιστρον Ἰσαάκιον τὸν Κομνηνόν, τοῦτο δὲ αὐτὸ ποιῆσαι καὶ τοὺς λοιποὺς παρεσκεύασεν. οὕτω δὲ καταδεσμήσαντες ἀλλήλους, καὶ τὴν βουλήν, ὡς ἐνῆν, | ἀσφαλισάμενοι, καὶ τῷ βασιλεῖ προσειπόντες τὰ ἐξιτήρια, ἕκαστος οἴκαδε τῷ δοκεῖν ἀπεφοίτησεν.

6. Ἄρτι δὲ καὶ ὁ Βρυέννιος τῶν πραγμάτων αὐτῷ καθισταμένων, ὥς πῃ ἐδόκει τῷ βασιλεῖ, διαπερᾷ πρὸς τὴν ἕω, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν πατρίκιον Ἰωάννην τὸν Ὀψαρᾶν, ἀπεσταλμένον ἐκ βασιλέως μετὰ χρυσίου ἐφ' ᾧ τοῖς στρατιώταις διανεμηθῆναι τὸ σιτηρέσιον. γενόμενος δὲ κατά τινα τόπον ἡπλωμένον καὶ ὕπτιον ἐν τῷ θέματι τῶν Ἀνατολι-

20 δεσμοῖς...ἀδαμ.: cf. Metrod. Herz. 831, 12   cap. 6: Zon. III, 657, 16–659, 13

ACEBNUV DH **13** καὶ pr. om. B εἰς BV οἱ — ἤδη: δεύτερον οὖν ἤδη B ἤδη om. ACE **14** ἀποσεισάμενοι: ἀπωσάμενοι B **15/16** ὑποτονθορύζοντες ἐλοιδοροῦντο: ὑποτονθορύζων ἐλοιδόρουν V **16/17** παρεκάλουν ἕκαστον: ἕκαστον παρεκάλουν UV **17** ἑκάστην: ἕκαστον τὴν B **18** ἐκκλησίᾳ γενόμενοι A **19** τε post δόντες add. AC **19/20** ἀλλὰ — τιμωρήσασθαι om. B **21** Βρυένιον AN **22** λαοῦ τε πολλοῦ: τοῦ λαοῦ τοῦ πολλοῦ U **23** τῷ σπουδάσματι A **24** πείρας: πέτρας UV τινος post αὐτῷ add. A **25** προχωροῦντος post βουλεύματος A αὐτοῖς ACEBND: αὐτῷ UH: αὐτῶν V χρὴ post βουλεύματος add. B **26** ἐφαίνοντο V καὶ ante γήρᾳ om. C **27** ἀνδρίᾳ ACE προέχων BU **28** ἀφ' — βάρος: τὸ βάρος ἀφ' ἑαυτοῦ U **29** πολυλογίας: πολυβουλίας B ἀνεῖπε: εἶπε U ἀνεῖπε post **30** Κομνηνόν B **30** αὐτὸ om. B **31** λοιπούς: ἄλλους U δὲ: γοῦν V καταδεσμεύσαντες B **32** βουλήν: ἐπιβουλήν B **34** ὁ om. B Βρυένιος AN **35** ὥς πῃ ACENV: ὥσπερ U: ὡς B τὴν om. UV **36** ἐκ βασ. ἀπεσταλμ. B **37** τὸ σιτ. διανεμ. A

κῶν τοῖς Καππαδόκαις διένειμε τὴν φιλοφροσύνην. ἐπαύξων δὲ τὰς δόσεις καὶ πλείω τῶν τεταγμένων παρέχειν κελεύων, ἀντιπίπτοντα εἶχε τὸν Ὀψαρᾶν καὶ μὴ ὑπακούοντα· ἔφασκε γὰρ οὗτος μὴ τολμᾶν προσθήκας διδόναι τοῖς στρατιώταις, μηδὲν τοῦ βασιλέως περὶ τούτου προστάξαντος. τοῦ δὲ Βρυεννίου ἀτρέμας ἔχειν εἰπόντος καὶ ποιεῖν σιωπῇ τὸ κεκελευσμένον παρεγγυήσαντος, ἀντιτείνοντος δὲ τοῦ Ὀψαρᾶ καὶ θρασυνομένου, ἀναφθεὶς ἐκεῖνος τῷ θυμῷ τοῦ θρόνου τε ἀνίσταται καὶ κονδύλους τούτῳ προστρίβει. τελευταῖον δὲ καὶ τῶν τριχῶν καὶ τῆς γενειάδος ἀψάμενος καταβάλλει τοῦτον εἰς γῆν καὶ δεσμὰ περιθεὶς ἐν τῇ ἰδίᾳ ἐφρούρει σκηνῇ, αὐτὸς δὲ τὸ βασιλικὸν χρυσίον ἀνειληφὼς ἐποιεῖτο τὴν διανομήν, ὡς ἐβούλετο, μεθ' ὑπεροχῶν. ἔτυχε δὲ τότε παραστρατοπεδεύων ἐγγὺς ὁ πατρίκιος Λυκάνθης καὶ τῶν Πισιδῶν καὶ Λυκαόνων ἡγούμενος. οὗτος τὰ εἰς τὸν Ὀψαρᾶν συμβεβηκότα ἀκουτισθείς, καὶ τυραννίδος ἐπίθεσιν, ὥσπερ ἦν εἰκός, τὴν πρᾶξιν ὑπολαβὼν (ἦν γὰρ καὶ τῶν τοῖς ἑῴοις ἄρχουσι βεβουλευμένων ἀμύητος), καθοπλίσας τὰ δύο τῶν | Ἀνατολικῶν τάγματα ἐπιτίθεται τῇ σκηνῇ τοῦ Βρυεννίου, αὐτοκράτορα τὸν Μιχαὴλ εὐφημῶν. καὶ τοῦτον μὲν δεσμεῖ κατασχών, ἀπολύει δὲ καὶ τὸν Ὀψαρᾶν τῶν δεσμῶν, καὶ τὸν Βρυέννιον αὐτῷ παραδοὺς οὕτως, ὡς εἶχε κλοιῶν, χρῆσθαι τούτῳ κελεύει, ὡς βούλεται. ὁ δὲ ἀνεθεὶς τῆς πέδης καὶ πράττειν, ὃ θέλει, κύριος γεγονὼς τοῦ μὲν Βρυεννίου εὐθὺς ἐξορύττει τοὺς ὀφθαλμοὺς καὶ ἐς βασιλέα τοῦτον δεσμώτην ἐκπέμπει, μηνύσας καὶ τὴν τολμηθεῖσαν ἀποστασίαν· ὁ δὲ προσέμενε τῷ τόπῳ, ὡς τάχα τὴν εἰς τὸν λοιπὸν λαὸν ἐνεργήσων διανομήν. καὶ ὁ μὲν Βρυέννιος τοιαύτας ἀπέδωκε δίκας τῆς ἑαυτοῦ προπετείας καὶ αὐθαδείας, ἵνα μὴ λέγωμεν ἀνοίας. οἱ δὲ κατὰ τὸ θέμα τῶν Ἀνατολικῶν τὰς οἰκήσεις ἔχοντες ἄρχοντες, ὁ πρόεδρος Ῥωμανὸς ὁ Σκληρός (ἦν γὰρ οὐδ' αὐτὸς ἔξω τῶν ὀμωμοσμένων), ὁ Βούρτζης, ὁ Βοτανειάτης, οἱ Βασιλείου τοῦ Ἀργυροῦ παῖδες καὶ ὁ λοιπὸς ὅμιλος, τέως μὲν ἦσαν ἠρεμοῦντες καὶ ἀρχὴν

ACEBNUV DH 39 ἐν ante τοῖς add. E τοῖς Καππαδόκαις om. B **40** πλείω ACE: πλείονα BUVDH: πλεῖστα N παρασχεῖν U 42 παρὰ E **43** Βρυεννίου CEUV: Βρυενίου AN: Βριεννίου B ἔχειν: ἔσο A 43/44 τὸ κεκελευσμένον σιωπῇ V **44** κελευόμενον B **46** τούτῳ προστρίβει: τούτου προστρίβει ταῖς παρειαῖς A **48** ἰδίᾳ: οἰκείᾳ B ἐφρούρει: ἐ C βασιλικὸν om. ACE **49** ἠβούλετο V **50** ἐγγὺς post Λυκάνθης V τῶν om. UV **51** ἀκουτισθεὶς συμβεβηκότα CE ἀκουτισθείς: ἐνωτισάμενος A **52** ἐπίθεσιν: ὑπόθεσιν AE καὶ om. A **54** τάγματα τῶν Ἀνατολικῶν UV ταγμάτων B Βρυεννίου CEUV: Βρυενίου AN: Βριεννίου B **55/56** ἀπολύει — παραδούς: τὸν δὲ Ὀψαρᾶν B **56** καὶ pr. om. ACE Βρυένιον AN **57** ὡς εἶχεν, οὕτω V χρᾶσθαι B **58** Βρυεννίου CEUV: Βρυενίου AN: Βριεννίου B εὐθὺς EBNU: εὐθέως ACDH: om. V **59** εἰς βασ. δεσμώτην τοῦτον B **60** μηνύσας — τολμηθεῖσαν: τὴν τολμηθεῖσαν μηνύσας UV δὲ post μηνύσας add. E **61** ἐνεργήσων ACEBV: διενεργήσων NUD Βρυένιος AN **62** ἀπέδωκε: ἀπέτισε A ἑαυτοῦ: αὐτοῦ U **63** λέγω B τὸ θέμα: τὴν ἕω B **65** ὀμωμοσμένων ACN: ὠμοσμένων EBUH: ὀμωσμένων D: ὀμωμοκότων V Βρούτζης U

ἀποστασίας ἀλλαχόθεν προσμένοντες, ἐπεὶ δὲ ἐπύθοντο τὰ κατὰ τὸν Βρυέννιον, καὶ οἵαις ἑαυτὸν οὗτος φρενοβλαβῶς καθυπέβαλε τύχαις, ἐντρεχῶς λογισάμενοι, ὡς ἐταζόμενος οὗτος ἀποφήνειε τὴν συνωμοσίαν καὶ οὐκ εἰς καλὸν τοῖς συνωμόταις τὸ τέλος ἐπενεχθήσεται, ἄραντες ἅπαντες ἀπέρχονται ἐν Παφλαγονίᾳ κατὰ τὴν Κастάμωνα· οἶκος δὲ ἡ Καστάμων τοῦ μαγίστρου Ἰσαακίου τοῦ Κομνηνοῦ. καταλαβόντες δὲ καὶ αὐτὸν ἠρεμοῦντα ἔτι ἀνιστῶσι καὶ ἄκοντα, καὶ ἔρχονται μετ᾽ αὐτοῦ κατά τινα τόπον ὁμαλὸν καὶ πλάτος ἱκανὸν ἔχοντα· Γουνάρια ὁ τόπος κατονομάζεται. κἀκεῖσε τοὺς πλησιοχώρους ἀθροίσαντες στρα|τιώτας καὶ τοὺς ὅσοι πυθόμενοι τὴν κίνησιν ἐθελονταὶ παρεγένοντο, μετὰ πάντων αὐτῶν ἀναγορεύουσι τοῦτον αὐτοκράτορα βασιλέα Ῥωμαίων, ὀγδόην ἄγοντος τότε τοῦ Ἰουνίου μηνός, τῆς δεκάτης ἰνδικτιῶνος.

7. Ἀναγορευθεὶς δὲ βασιλεὺς στρατοπεδείαν ὀχυρὰν πηξάμενος προσέμενε τῷ τόπῳ, ἐκδεχόμενος ἀθροισθῆναι καὶ τοὺς λοιπούς, ὁπόσοι μετεσχήκασι τῆς συνωμοσίας. πλέον δ᾽ αὐτὸν καρτερεῖν ἀνέπειθε καὶ μὴ προεξάλλεσθαι ἡ τοῦ Κεκαυμένου βραδυτής· διασκοπουμένῳ γὰρ αὐτῷ καὶ τὸ αἴτιον ζητοῦντι τῆς βραδυτῆτος ἄγγελός τις ἐκ τῆς ἑῴας ἐλθὼν ἀπήγγειλεν, ὡς μεταμεληθεὶς ἐκεῖνος τῶν τε δοθέντων ὅρκων ἠλόγησε καὶ τὰ βασιλέως φρονεῖ καὶ λαὸν ἀθροίζει, ἐφ᾽ ᾧ τοῖς ἀνταίρουσιν ἐπιθήσεσθαι· αὕτη δὲ ἡ ἀγγελία οὐκ εἰς μικρὰν ἀγωνίαν καὶ ταραχὴν ἐνέβαλε τοὺς περὶ τὸν Κομνηνόν, εἰ μέλλοιεν ἕξειν τοιοῦτον ἐχθρὸν κατὰ νώτων. διὸ καὶ ἐκαρτέρουν ἐν τῷ χάρακι μαθεῖν τὴν ἀλήθειαν ὀρεγόμενοι. ἀλλ᾽ οἱ μὲν ἦσαν ἐν τούτοις, ὁ δὲ Κεκαυμένος ἔμεινε τὴν οἰκείαν γνώμην φυλάττων τοῖς συνωμόταις, ἐπεῖχε δὲ ἑαυτὸν καὶ ἐβράδυνε διὰ τοιαύτην αἰτίαν.

78 die 8. mens. Iun. a. 1057

cap. 7: Zon. III, 659, 13—659, 18

ACEBNUV DH **67** δ᾽ ἐπείθοντο B **68** Βρυένιον AN καὶ om. B οὗτος ACENU: οὕτω V: οὕτως B φρενοβλαβῶς οὗτος U **69** τῇ συνωμοσίᾳ U **70** οὐκ εἰς: οὐ B **71** ἅπαντες: οὖν E κατὰ τὴν: εἰς A Καστάμωνα CENH: Κασταμῶνα AUV: Καστάμοναν B: Καστάμον D **71/72** οἶκος — Καστάμων: ἡ Καστάμονα δὲ οἶκος B ἡ Καστάμων: αὕτη V **72** Καστάμων CE: Κασταμὼν AU: Καστάμωνα NH: Καστάμονα B: Καστάμον D τοῦ μαγίστρου Ἰσαακίου BNUV: Ἰσαακίου μαγίστρου ACE καταλαβόντες dittogr. E **73** καὶ pr. om. U **74** κατά τινα BNUV: εἰς ACE Γουνάρια CEBNV: Γουνάρεια A: Τουνάρια U **77** τοῦτον — Ῥωμαίων: τοῦτον αὐτοκράτορα Ῥωμαίων καὶ βασιλέα U αὐτοκράτορα om. V **78** Ἰουλίου B ι' CEBV τοῦ ,ϛφξϛ ἔτει post ἰνδ. add. H, τοῦ ,ϛφζε' ἔτους add. D **80/81** ὁπόσοι — συνωμοσίας: ὅσοι δηλονότι τῆς συνωμοσίας μετεσχήκασι A **82** ἐξάλλεσθαι B βραδυτής ACNV: βραδύτης EBUD γὰρ CENUV: δὲ A: om. B **83** ζητοῦντος CE **84** ὅρκων: λόγων AB **85** τοῦ ante βασιλέως add. A βασιλέως: βασίλεια U **86** δὲ om. A μικρὰν: μακρὰν CU **88** χάρακι: Χάνδακι E τὴν ἀλήθειαν: τὸ ἀληθὲς A ὀρεγόμενοι CEBNUV: ἱμειρόμενοι A: ὀριγνώμενοι DH **90** δ᾽ ND ἑαυτὸν AVNU: αὐτὸν CE: αὐτῷ D ἐβράδυνε: ἐκράτει UV τοιαύτην: τοιάνδε B

ὅτε τῆς βασιλίδος ἐξελθὼν ἀπενόστει ἐπ' οἴκου, γενόμενος ἐν Νικομηδείᾳ καὶ ταχυδρόμῳ συναντήσας βασιλικῷ μηνύει δι' αὐτοῦ τῷ λογοθέτῃ τοῦ δρόμου Νικήτᾳ τῷ Ξυλινίτῃ δι' ἀφελῶν καὶ στρατιωτικῶν ῥημάτων, ὡς· 'οἶδα, ὦ ἀδελφέ, ὁ σὸς κύριος καὶ βασιλεὺς παρ' οὐδὲν λογισάμενος τὸν Κομνηνὸν καὶ ἐμέ, καὶ τὰς δεήσεις ἡμῶν | ἀποπεμψάμενος ἀτίμως ἐπ' οἴκου ἀπέπεμψεν. ἀλλ' ἴσθι, ὅτι ἡμεῖς ἄπιμεν. ὁ δὲ ἅμα σοί, εἰ ἀπαρέσκεσθε τῇ ἡμετέρᾳ ὑποχωρήσει, ὑποστρέψαι καὶ ἄκοντας εἰς τοὐπίσω παρασκευάσατε, ἀποστείλαντες δύναμιν.' καὶ ταῦτα μὲν εἰπὼν τῷ ταχυδρόμῳ τῆς πορείας συντονώτερον εἴχετο· ἐπεὶ δὲ οἴκαδε γένοιτο καὶ ὁ Κομνηνὸς ἠρέμει, ὡς τάχα μηδὲν μετέχων τοῦ ἔργου, εἰς ὀρρωδίαν ἐνέπιπτε, καὶ δείματα αὐτὸν ἐτάραττε δεδιότα, μή πως ὁ Κομνημνὸς καὶ οἱ τῆς συνωμοσίας μέτοχοι ἑτέρου γενόμενοι σκοποῦ σιγῇ βουληθῶσι καλύψαι τὴν ἐπιβουλήν, καὶ μόνος αὐτὸς εὐθύνας κομίσηται τῆς ἀποστασίας, ὡς ἤδη καταφανῆ ἑαυτὸν θεὶς διὰ τοῦ μηνύματος. καὶ ἐσκέπτετο καὶ ἐμελέτα, πῶς καὶ τίνα τρόπον ἑαυτῷ περιποιήσεται τὴν ἀσφάλειαν· οὔτε γὰρ δύναμιν προευτρεπισμένην εἶχε, καὶ ἡ προσοῦσα οὐχ ἱκανὴ ἐδόκει ἀντιπαρατάττεσθαι βασιλεῖ Ῥωμαίων, τὸ πλέον δ', ὅτι μηδὲ κοινολογησάμενος τοῖς ἐπιχωρίοις στρατεύμασιν ἦν, μηδὲ πληροφορίαν ἐσχηκώς, εἰ προσδεχθήσεται. καὶ διὰ τοῦτο ἤργει, καὶ ἀναδύεσθαι ἐδόκει τοῖς μὴ καλῶς ἐστοχασμένοις τῶν κατ' αὐτόν. ἔτυχον γὰρ τῷ τότε καιρῷ δύο τάγματα Φραγγικὰ καὶ Ῥωσικὸν ἐν ἐπιχωριάζοντα τῷ τόπῳ πρὸς παραχειμασίαν· περὶ ὧν πλέον ἐφρόντιζεν, ἵνα μὴ συναισθήσεως γενομένης συλληφθεὶς ὑπ' αὐτῶν ἐκπεμφθείη τῷ βασιλεῖ. ταῦτα πάντα δεδοικὼς ἐπεῖχεν ἑαυτόν, μέχρις ἂν ἀσφάλειαν περιποιήσηται ἑαυτῷ. ἤδη δὲ μέλλων ἐπιχειρεῖν τῷ ἔργῳ, | καὶ τοῖς ἑαυτοῦ θεράπουσι καὶ συγγενέσι πρότερον τὴν ἐπιβουλὴν ἀνακαλύψας, καὶ ἤδη χεῖρα περὶ αὐτὸν συστησάμενος ἀνδρῶν χιλίων, λοιπὸν καὶ τῶν οὐ πάνυ βεβαίων ἀποπειρᾶσθαι ἤρχετο, καθ'

ACEBNUV DH **91** ἐξελθὼν BNUV: ἀπελθὼν ACE ὑπενόστει E ἐπ' οἴκου ἀπενόστει V ἐπ' οἴκου |CENUV: ἐς οἶκον A: οἴκαδε B **92** δι': μετ' A **93** ῥημάτων post ἀφελῶν B **94** οἶδας UV **95** ἀτίμως dittogr. post ἡμῶν add. A ἀποπεμψάμενος: παρωσάμενος B **95/1** ἀτίμως — ἀπέπεμψεν: ἀπράκτους ἀπέπεμψεν ἐπ' οἴκου ἀτίμως UV ἐπ' — ἀπέπεμψεν: ἐπ' οἴκου ἔπεμψεν A **2** ὑποστρέψαι — παρασκευάσατε om. A (cf. infra) **2/3** ὑποστρέψαι — εἰπὼν: ἀποστείλαντες δυνάμεις εἰς τοὐπίσω καὶ ἄκοντας ὑποστρέψαι παρασκευάσατε. ταῦτα εἰπὼν B **3** εἰς τοὐπίσω καὶ ἄκοντας ὑποστρέψαι παρασκευάσετε post δύναμιν add. A μὲν om. BUV **5** ὡς — ἔργου om. B μηδὲν: μηδὲ A **6** αὐτὸν: ἑαυτὸν E ἐτάραττε ACENU: ἐτάρασσε V: ἐξετάραττε B σὺν αὐτῷ ante τῆς add. B **8** κομίσεται V **9** τοῦ om. B **10** περιποιήσεται AEBUV: περιποιήσηται CND **11** προηυτρεπισμένην ABV καὶ — οὐχ: οὔτε ἡ προσοῦσα ἱκανὴ V ἀντιπαρατάττεσθαι BNUV: ἀντιπαρατάξασθαι ACE **12** μηδὲ om. A **13** οὐκ ante ἦν add. A ἦν om. B **15** ἔτυχε V καιρῷ NUV: καιροῦ AB: om. CE Φραγγικὰ τάγματα A **16** Ῥωσικὸν: Ῥωμαϊκὸν B **18** δὲ post ταῦτα add. B ἑαυτόν ACEBUVD: αὐτόν N **19** ἀσφαλείας B **20** καὶ pr. om. V ἑαυτοῦ: αὐτοῦ B πρότερον BNUV: πρῶτον ACE **21/22** χεῖρα — χιλίων: χεῖρα συστησ. περὶ αὐτὸν ἀνδρῶν χιλ. V: χεῖρα συστησ. περὶ ἀνδρῶν χιλίων αὐτόν U

ἕνα μὲν πρότερον τῶν ἐπισημοτέρων τοῦ τόπου ἁπτόμενος, εἶτα καὶ κατὰ μικρὸν τῶν γενναιοτέρων καὶ στρατιωτικωτέρων ἀποπειρώμενος. ἐπεὶ δὲ ἠδυνήθη τέως τοὺς ἐπισημοτέρους πρὸς ἑαυτὸν ἐπισπάσασθαι, λοιπὸν ἤρξατο καὶ τοῖς πλήθεσι παρέχειν πεῖραν· γράμματα γὰρ πλασάμενος βασιλικά, ὡς εἴη προστεταγμένον αὐτῷ ἀνειληφότι τὰ τῶν συμμάχων τρία τάγματα καὶ τὰ δύο τῶν τε Κολωνειατῶν καὶ τῶν Χαλδαίων ἀνελθεῖν κατὰ τοῦ Σαμούχ, καὶ τὰ πέντε ταῦτα κατὰ τὴν πεδιάδα τῆς Νικοπόλεως ἀθροισθῆναι κελεύσας, οὕτω τὴν πεῖραν προσῆγεν. ἐφ' ἑκάστῃ γὰρ ἡμέρᾳ ἀδνούμιον πλαττόμενος, πρωΐθεν ἐξιππαζόμενος καὶ πόρρω τῶν ἄλλων ἀφιστῶν, πρῶτον μὲν ἐκάλει τὸν ἡγεμόνα καὶ τὴν βουλὴν ἀνεκάλυπτεν, ὡς ἀνάγκη τοῖν δυοῖν θάτερον πρᾶξαι, ἢ συνθέσθαι τοῖς παρ' αὐτοῦ λεγομένοις, ἢ τῆς κεφαλῆς ἀφαίρεσιν ὑποστήσεσθαι, εἶτα τάξιν μίαν ἐκάλει καὶ πάλιν ἄλλην, καὶ τὸν ἴσον τρόπον ποιῶν πάντας καὶ ἄκοντας ὥρκισε. καὶ πρῶτον μὲν ὑπηγάγετο τὰ δύο Ῥωμαϊκὰ τάγματα, μετ' ἐκεῖνα δὲ καὶ τοὺς οἰκείους, καὶ τοῖς ἐξ ἐθνῶν προσῆγε τὰς προσβολάς. ῥᾳδίως δὲ τούτους καταπληξάμενος καὶ ὅρκοις ἐμπεδωσάμενος καὶ ἤδη ἐν τῷ | ἀφόβῳ γενόμενος, τοὺς Σεβαστηνοὺς καὶ τοὺς Μελιτηνοὺς καὶ τοὺς ἐκ τῆς Τεφρικῆς καὶ τῶν λοιπῶν Ἀρμενίων ἄρχοντας καὶ στρατιώτας συναθροίσας ἥψατο τῆς πορείας, προάγγελον στείλας πρὸς τὸν Κομνηνόν, ὡς εἴη τε τὰ κατ' αὐτὸν εὖ διαθείς, καὶ ὡς ἤδη κάτεισι μετὰ βαρείας δυνάμεως. αὗται δὲ αἱ ἀγγελίαι θυμηδίας τε καὶ λήματος ἐμπιπλῶσι τὸν Κομνηνόν, καὶ ἕως ἐκείνου ἀτολμότατος καὶ κατεπτηχὼς ὑπάρχων τολμηρότερος ἐξ ἐκείνου καὶ θαρραλεώτερος γίνεται. ὅμως προσέμενε τὴν ἐκείνου παρουσίαν. ὁ δὲ ἐν τῷ κατιέναι καὶ τὸ τάγμα τῶν Ἀρμενιακῶν καὶ ἄκων ὑπαγαγόμενος καὶ τοὺς τοῦ θέματος

26/27 mense fere Iun. a. 1057

ACEBNUV DH **23** πρότερον: τρόπον V καὶ om. AB **24** καὶ post μικρὸν add. BN (sed non D) γενναιοτάτων B τῶν ante στρατιωτ. add. V πειρώμενος UV **25** ἐδυνήθη BNUDH **26** ἤρξατο BNUV: ἤρχετο ACE **27** προστεταμένον C **28** τάγματα AEBN: στρατεύματα UV: γράματα C καὶ τὰ πέντε ταῦτα post στρατεύμ. add. V τε om. B τε Κολωνειατῶν: Κεκολωνειατῶν E Χαλκιδαίων U **29** καὶ — ταῦτα: καὶ ταῦτα τὰ πάντα B **30** ἀθροισθῆναι om. U κελεύσας ACEBN: παρακελεύσας V: προστάξας U πεῖραν BNUV: πορείαν ACE **31** ἀδνουμίου U πρωΐθεν: πρωΐας V **33** βουλὴν: ἐπιβουλὴν B καὶ post ἀνεκάλυπτεν add. B τοῖν om. AV δυεῖν A πρᾶξαι, ἤ: ἑλέσθαι B **34** ὑποστήσασθαι B **35** ἴσον A **36** πρῶτα A τάγματα: στρατεύματα V **37** τοῖς: τοὺς UV προσῆγε: ὑπηγάγετο UV **38** δὲ om. UV καὶ ante τούτους add. A **39** καὶ ἤδη — γενόμενος om. ACE τε ante Σεβαστηνοὺς add. B τοὺς alt. om. B **42** πρὸς: εἰς V **42—44** ὡς εἴη — Κομνηνόν om. B **44** καὶ ἕως: ὁ δὲ ἕως B ἀποτολμώτατος U **45** τολμηρότατος E ἐξ: ἀπ' UV θαρραλεώτατος CE **46** ἐγίνετο V καὶ post ὅμως add. V προσέμενε τὴν ἐκείνου: ἔμενε τὴν τοῦ Κεκαυμένου B καὶ om. E **47** καὶ ἄκων om. B ἄκων: ἄκακον C ὑπαγαγόμενος AEN: ὑπαγόμενος UVH: ὑπαγόμενον D: ἐπαγόμενος B: ἀγόμενος C

κορυφαίους, οὓς μὲν ἑκόντας, οὓς δὲ καὶ ἄκοντας, καὶ τὴν πορείαν ἐπιτείνας, ἐλθὼν ἑνοῦται τῷ Κομνηνῷ. τότε οὖν ἐκεῖνος ἐν τῷ ἀσφαλεῖ τὰ κατ' αὐτὸν εἶναι νομίσας, τὴν μὲν γυναῖκα

Αἰκατερίναν τὴν θυγατέρα τοῦ Βλαδισθλάβου τοῦ Βουλγαρίας (Βουλγάρων V) βασιλέως

καὶ ὃν εἶχε πλοῦτον Ἰωάννῃ τῷ αὐταδέλφῳ παραδοὺς ἐκπέμπει πρὸς τὸ φρούριον τὴν Πημόλισσαν (πέτρα δὲ ἡ Πημόλισσα παρὰ τὸ χεῖλος κειμένη τοῦ Ἅλυος ποταμοῦ), αὐτὸς δὲ ἄρας μετὰ παντὸς τοῦ στρατοῦ, καὶ τὸν Σαγάριον περαιωθεὶς ποταμόν, ἀπήρχετο σχολῇ καὶ βάδην πρὸς Νίκαιαν, ὑμνούμενός τε καὶ εὐφημούμενος· ἐγνώκει γὰρ ταύτην παραστησάμενος ὁρμητήριον ἔχειν πρὸς τὰ τῆς τύχης ἀβούλητα καὶ οὕτως ἐπὶ τὰ πρόσω χωρεῖν. ἐδίδου δὲ καὶ καιρὸν ἀναχωρήσεως τοῖς στρατεύμασι καὶ τοῖς στρατηγοῖς τοῖς ὅσοι πίστιν ἐτήρουν τῷ βασιλεῖ. καὶ γὰρ δὴ καὶ μαθόντες οὗτοι τὴν πρὸς | Νίκαιαν ἔλευσιν αὐτοῦ ὑπεχώρουν ἠρέμα καὶ διελύοντο, οἱ μὲν στρατιῶται οἴκαδε ἕκαστος ἀπιών, οἷα περὶ γυναικὸς καὶ παίδων καὶ τῶν ἄλλων δεδιὼς ἀναγκαιοτάτων. οἱ δὲ στρατηγοὶ ἀπῄεσαν πρὸς τὸν βασιλέα, ἄγγελοι τῆς ἀφίξεως τοῦ Κομνηνοῦ τούτῳ γινόμενοι. ἦσαν δὲ Λυκάνθης τε ὁ τῶν Ἀνατολικῶν κατάρχων ταγμάτων, Θεοφύλακτος ὁ Μανιάκης καὶ Πνυέμιος ὁ Ἴβηρ τῆς φάλαγγος τῶν Χαρσιανιτῶν ἡγεμονεύων, καὶ ἄλλοι πολλοὶ οὐ λίαν ἔχοντες τὸ ἐπίσημον.

8. Ἤδη δὲ καὶ ὁ βασιλεὺς γνωσθείσης αὐτῷ τῆς ἀποστασίας, καὶ ὅτι περ ἡ πᾶσα ἑῴα Ῥωμαϊκὴ χείρ, πλὴν ὀλίγων, κεκίνηται κατ' αὐτοῦ, πρέσβεις μὲν περὶ εἰρήνης οὐκ ἐδοκίμαζε πέμπειν, ἀρχήν τε τῆς ἀποστασίας ἔτι ἐχούσης καὶ φλεγμονὴν τῶν πραγμάτων, ηὐτρεπίζετο δὲ καὶ αὐτός, καὶ πρὸς ἀντιπαράταξιν τὸν ἐνόντα τρόπον ὡπλίζετο. μεταστειλάμενος γὰρ τὰς δυτικὰς ἁπάσας δυνάμεις, καὶ ἄρχειν τούτων ἀπὸ τῶν Μακεδόνων τάξας τοὺς ἐκ γένους λαμπροῦ καὶ ἐκ προηγησαμένων ἀριστευμάτων εὐδοκίμους φανέντας, ἀξιώμασί τε καὶ δώροις καὶ διανομαῖς χρημάτων ἀφθόνως φιλοφρονησάμενος καὶ τοὺς ἡγεμόνας καὶ τοὺς

cap. 8: Zon. III, 659, 19—660, 6

ACEBNUV DH 48 καὶ pr. om. AV 49 τά: τὸ V 50 οὖν ante γυναῖκα add. B 51 interpol. UV 52 αὐταδέλφῳ: ἀδελφῷ αὐτοῦ UV δοὺς B 53 Πιμέλισσαν B Πιμέλισσα B χεῖλος: τεῖχος UV 55 Σάγαριν B σχολὴν B 56 ἀνευφημούμενος UV γάρ: δὲ U 58 δὲ om. U καὶ om. C 60 οὗτοι om. A 60/61 ὑπεχώρουν — οἴκαδε om. UV 61 ἕκαστος οἴκαδε B οἷα περί: οἷά περ U 62 δεδιὼς ἀναγκαιοτάτων: ἡδέων καὶ ἀναγκ. δεδ. A 63 τὸν om. UV 64 καὶ post τε add. B ὁ om. UV 65 κατάρχων: ἄρχων UV Θεοφύλακτος: Θεοφάνης UV ὁ Μανιάκης Θεοφύλακτος A Πνιέμιος U 66 ἡγουμενεύων A 68 αὐτῷ om. B τῆς om. N (sed non D) 70 ἐδοκίμασε BV ἀρχήν τε: ἀρχὴν τότε UV 71 ἔτι om. B δὲ om. E 72 καὶ post ἀντιπαράταξιν B ὡπλίζετο: ηὐτρεπίζετο B 73 τοὺς ante ἀπὸ add. B 74 τοὺς om. B 75 ἀριστευμάτων om. V διανομῇ B

στρατιώτας, τὰ παραπλήσια δὲ ποιήσας καὶ πρὸς τὰ μὴ συναπαχθέντα ἑῷα τάγματα τῷ Κομνηνῷ, ἤτοι τοὺς Ἀνατολικοὺς καὶ τοὺς ἐκ τοῦ Χαρσιανοῦ, καὶ στρατηγὸν αὐτοκράτορα καὶ ἄρχοντα αὐτῶν προβαλλόμενος τὸν δομέστικον τῆς ἀνατολῆς Θεόδωρον, τὸν τῆς βασιλίσσης Θεοδώρας εὐνοῦχον, παραδοὺς αὐτῷ καὶ συνάρχοντα καὶ σύμβου|λον, ὡς ἂν ἐν πολλοῖς ἀγωνίσμασι κατηθλημένον ἄνδρα καὶ ἀδελφὸν ὑπάρχοντα τῆς γυναικὸς τοῦ Κομνηνοῦ, τὸν μάγιστρον Ἀαρὼν καὶ δοῦκα, ἐκπέμπει πρὸς ἀντιπαράταξιν τῷ Κομνηνῷ. ἀναλαβόντες οὖν οὗτοι οἱ δύο τὰς εἰρημένας δυνάμεις, καὶ διὰ τῆς ἀντιπόρθμου τῇ πόλει Χρυσοπόλεως περαιωθέντες, ἀπῆλθον ἐν Νικομηδείᾳ. ἐκεῖσέ τε γενόμενοι πέμψαντες καθαιροῦσι τὴν τοῦ Σαγαρίου ποταμοῦ γέφυραν, ὅπως μὴ εὔκολος εἴη τῷ Κομνηνῷ ἡ εἰς αὐτοὺς ἔφοδος, ἀλλὰ διὰ περιόδου γινομένη μὴ λανθάνῃ. ἐκεῖθέν τε ἀπαναστάντες ἀνῆλθον εἰς τὸ ὄρος τὸν Σόφωνα, κἀκεῖσε στρατοπεδείαν πηξάμενοι ὀχυρὰν τὰ ἐς τὸν πόλεμον ἐξηρτύοντο.

9. Καὶ ὁ Κομνηνὸς δὲ ἁπανταχοῦ σκοποὺς ἐκπέμπων καὶ κατοπτῆρας, ὥστε μηδὲν τῶν γινομένων ἀγνοηθῆναι αὐτῷ, ἐπείπερ ἔμαθε τὰς ἀκρωρείας τοῦ Σόφωνος ἤδη κατασχεῖν τοὺς περὶ τὸν δομέστικον, καὶ αὐτὸς ταχυπορήσας καταλαμβάνει τὴν Νίκαιαν. καὶ ταύτης ἐξ ἐφόδου κύριος γεγονώς, καὶ ὅσαπερ εἶχε χρήματα ἐν αὐτῇ ἀποθεὶς καὶ τὰ περιττὰ τῆς ἀποσκευῆς καὶ ἀσφαλισάμενος, πήγνυται παρεμβολὴν κατὰ τὸ ἀρκτῷον μέρος τῆς πόλεως Νικαίας, ὅσον ἀπὸ σταδίων δώδεκα, κἀκεῖσε αὐλίζεται. ἐξερχόμενοι οὖν ἀφ' ἑκατέρων τῶν στρατοπεδειῶν ἐπὶ χορτολογίαν οἵ τε τοῦ Κομνηνοῦ στρατιῶται καὶ οἱ τοῦ ἀντιθέτου μέρους καὶ ἀλλήλοις ἐπιμιγνύμενοι, οἷα ὁμόφυλοι καὶ συγγενεῖς καὶ φίλοι, προετρέποντο ἀλλήλους, οἱ μὲν τὰ βασιλέως φρονοῦντες τὸν Κομνηνὸν | καταλιπεῖν παρακαλοῦντες, τύραννον ἄνδρα καὶ ἀποστάτην, καὶ τῷ βασιλεῖ προσχωρῆσαι, καὶ μὴ δι' ἐπιθυμίαν καὶ ὄρεξιν ἑνὸς ἀνδρὸς ἐς τοῦτο κινδύνου ἐλθεῖν, ὥστε μετὰ μικρὸν μὴ μόνον ἔκπτωσιν στρατείας καὶ περιου-

cap. 9: Zon. III, 660, 6—660, 18

ACEBNUV DH 77 συναχθέντα B 78 Ἀνατολικοὺς: τοῦ Ἀνατολικοῦ B 79 αὐτῶν: αὐτῷ V 80 τὸν alt. om. E 81 καὶ pr. om. B τότε παρατυχόντα ἐκεῖσε post σύμβουλον add. UV 82 ἂν om. B καὶ om. BUV 83 τὸν Βούλγαρον post δοῦκα add. V, τὸν Βούλγαριν add. U 84 οὖν ACEBUVD: γὰρ N: om. H 85 πόλει om. UV Χρυσοπόλεως BND: Χρυσοπόλει AU: Χρυσοπολ' CEV: Χρυσουπόλει H 86 τε om. B 87 Σαγάρου B 88 αὐτοὺς: αὐτὸν U διὰ περιόδου: περπεριόδου C γινόμενον B μὴ om. B 90 εἰς BUV ἐξήρτυον UV 91 δὲ om. BV ἐκπέμπει A 92 ὥστε: ὡς B γενομένων V 93 κατασχεῖν post δομέστικον B 95/1 καὶ τὰ — παρεμβολὴν om. A 1 ἀσφαλισάμενος: κατασφαλισάμενος U τὴν ante παρεμβολὴν add. UV 2 ιβ' C 3 στρατοπεδειῶν — χορτολογίαν: στρατολογιῶν UV 5 προτρέποιντο B 6 μὲν τὰ: μετὰ B βασιλέως: βασίλεια U 8/9 ἐλθεῖν κινδύνου V 9 μόνον: μὲν V στρατείας ACEBD: στρατιᾶς NUVH περιουσίας: ὑπερορίας V

σίας ὑποστῆναι, ἀλλὰ καὶ αὐτὸ τὸ γλυκύτατον ἀποβαλεῖν κινδυνεῦσαι τῶν ὀμμάτων φέγγος, ἐκείνων δὲ πάλιν καταλιπεῖν παραινούντων τὸν βασιλέα, ὄνομα μόνον ἔχοντα βασιλέως, τἆλλα δὲ ἄνδρα σαπρὸν καὶ κρονόληρον καὶ ἀχρεῖον, ὑπὸ εὐνούχων ἀρχόμενον, καὶ προσρυῆναι τῷ Κομνηνῷ, ἀνδρὶ κατὰ χεῖρα γενναίῳ καὶ λαμπρῷ καὶ διαφανεῖ τοῖς προηγησαμένοις στρατηγήμασιν, ὑφ' ὧν πᾶσα ἡ τῶν Ῥωμαίων ἰσχὺς ὥσπερ ἐκ κύκλου γραμμαὶ πρὸς αὐτὸν ὡς εἴς τι σημεῖον νενεύκασιν ἐν ἴσῳ καὶ ἀπαραλλάκτῳ βουλήματι. ἀλλὰ ταῦτα λέγοντες οὐκ ἔπειθον ἀλλήλους. τοῦτο δὲ ἐγίνετο ἐξεπίτηδες, τῶν ἀρχηγῶν ἑκατέρων τῶν στρατευμάτων πεμπόντων τινὰς τῶν ἐπιτηδείων εἰς τὸ προσδιαλέγεσθαι τοῖς τοῦ ἀντιπάλου στρατεύματος στρατιώταις καὶ καθόσον οἷόν τε τοὺς πειθομένους ἐφέλκεσθαι. ὡς δ' ἐπὶ χρόνον τινὰ τὴν διάπειραν ἐποιοῦντο καὶ οὐδεὶς προσεῖχε τοῖς λεγομένοις τὸν νοῦν, μετὰ πλείστης δὲ φειδοῦς καὶ ὁ Κομνηνὸς τὰς ξυλείας καὶ τὰς χορτολογίας ποιεῖσθαι παρηγγύα, καὶ μὴ πόρρω τῆς στρατοπεδείας ἀφίστασθαι, τότε δὴ οἱ περὶ τὸν δομέστικον, καὶ μᾶλλον οἱ Μακεδόνες, ὑπόπτωσιν καὶ δειλίαν εἶναι τὴν ὑποστολὴν οἰηθέντες, πολεμητέον εἶναι ἐδόκουν. οἷς καὶ ἄκοντες πεισθέντες στρατοπεδεύονται κατὰ τὸν λεγόμενον Πετρόην, οὐ πάνυ πόρρω | κείμενον τῆς ἐναντίας παρεμβολῆς, ἀλλ' ὅσον ἀπὸ σταδίων πεντεκαίδεκα. οὕτω δὲ τῶν δυνάμεων ἔγγιστα γενομένων ἀλλήλαις καὶ τοὺς στρατηγοὺς βιαζομένων ἐξάγειν καὶ μὴ κωλύειν, ἀναπείθεται μὲν ὁ Κομνηνὸς καὶ τὰς οἰκείας ἐκβάλλει φάλαγγας καὶ πρὸς παράταξιν ἵστησι, τοῦ μὲν εὐωνύμου κέρατος κατάρχειν προχειρίσας τὸν Κεκαυμένον, τὸ δεξιὸν ἔχοντος Ῥωμανοῦ τοῦ Σκληροῦ, αὐτὸς δ' ἐν μέσοις ἐτάττετο, ἀναπείθεται δὲ καὶ ὁ δομέστικος σὺν τῷ Ἀαρών, καὶ τὸν οἰκεῖον ἐξαγαγὼν λαὸν ἀντιμέτωπον ἵστησι τοῖς ἐναντίοις. τοῦ μὲν οὖν δεξιοῦ κέρως ἄρχων ἦν Βασίλειος ὁ Τραχανιώτης, στρατηλάτης τότε τυγχάνων τῆς δύσεως καὶ πάντων τῶν Μακεδόνων ὢν ἐξοχώτατος, ὡς καὶ γένει καὶ φρονήσει καὶ ἐμπειρίᾳ διαπρεπέστατος· τὸ δ' εὐώνυμον ἐγκεχείριστο ὁ μάγιστρος

ACEBNUV DH 10/11 ἀποβαλεῖν — φέγγος: ὀμμάτων φέγγος κινδυνεῦσαι ἀποβαλεῖν A 12 βασιλέως AUVD: βασιλείας CEBNH 13 κρονόληρον ACEB: κρανόληρον NUVDH καὶ σκελετὸν post κρανόληρον add. UV καὶ ante ὑπὸ add. BV 15 στρατηγήμασιν: κατορθώμασιν A ἐφ' VU ὧν ND: ὃν ACE: ᾧ UV 16 ἐκ: αἱ UV γραμμὴ B εἴς om. B 17 βουλεύματι B 18 ἐγένετο EUV 19 πεμπόντων: ἀποστελλόντων A προσδιαλέγεσθαι: ἀντιλέγεσθαι A 19/20 τοῖς — στρατιώταις: τοῖς ἐναντίοις στρατεύμασι A 20 στρατεύματος: στρατεύμασι CU καὶ ante τοὺς add. NUV 22 τὸν νοῦν om. B δὲ om. UV 23 ξυλείας: ξύλα U παρηγγύα ACEBN: παρήγγειλε V: παρήγγελε U καὶ alt. om. A 24 καὶ post στρατοπεδείας add. B ἀφισταμένους A 28 πεντεκαίδεκα ABNUV: δέκα καὶ πέντε E: δεκαπέντε C 29 δὲ om. U 30 βιαζομένων ἐξάγειν: διεξάγειν βιαζομένων V 31 ἐκβάλλει: ἐξάγει B 33 δὲ B μέσοις AENUV: μέσῳ B: μέσως C 34 δὲ om. E 35 οὖν om. N (sed non D) κέρως ACEV: κέρους N: κέρατος BUH 36 Βασίλειος om. B Τραχανιώτης CEN: Ταρχανιώτης AB: Ταρωνίτης UV 37 τῶν om. ACE ὢν: ἦν ACE 38 καὶ δοὺξ post μάγιστρος add. UV

Ἀαρών, ἔχων ὑποστρατήγους τὸν Λυκάνθην, τὸν Πνυέμιον καὶ Ῥανδοῦλφον πατρίκιον τὸν Φράγγον. τοῦτον δὲ τὸν τρόπον γενομένης τῆς παρατάξεως κατά τινα τόπον Ἅιδην παρὰ τῶν ἐγχωρίων ὀνομαζόμενον, ὡς ἐδόθη τὸ τοῦ πολέμου σύνθημα καὶ προσέρραξαν ἀλλήλαις αἱ δυνάμεις, τρέπεται μὲν Ἀαρὼν τὸ δεξιὸν μέρος καὶ μέχρις αὐτοῦ διώκει τοῦ χάρακος, κατασχὼν ζωγρίαν καὶ Ῥωμανὸν τὸν Σκληρόν. καὶ κἂν ἀπηνέγκατο καθαρὰν τὴν νίκην, εἰ μὴ λίαν ἐγένετο εὐλαβὴς καὶ τοῦ σκυλεῦσαι ἀπέσχετο τὴν παρεμβολήν, ἤδη καὶ τοῦ Κομνηνοῦ κατασεισθέντος καὶ φυγεῖν εἰς Νίκαιαν ἀποβλέποντος. ὁ δὲ Κεκαυμένος τὸ | κατ' αὐτὸν τρεψάμενος ἀκριβῶς οὐκ ἐπέσχε τὴν δίωξιν, ἀλλ' ἄχρις αὐτοῦ τοῦ χάρακος φθάσας αὐτόν τε ῥήγνυσι, καὶ εἴσω γενόμενος καὶ τὰς σκηνὰς διαρπάσας καὶ τοῖς ξίφεσι ταύτας κατατεμὼν εἰς γῆν ἔρριψεν. ὅπερ θεαθὲν τοῖς πόρρω (ἔκειτο γὰρ ἡ παρεμβολὴ ἐπὶ τόπου δίαρμα ἔχοντος) θάρσος μὲν ἐνέβαλε τοῖς ἀμφὶ τὸν Κομνηνόν, δειλίαν δὲ τοῖς περὶ τὸν Ἀαρών. σεσυλημένον γὰρ ἰδόντες τὸν χάρακα οἱ μὲν ἀνηλάλαξαν, οἱ δὲ πρὸς φυγὴν ὥρμησαν. πίπτει μὲν ἀπὸ τοῦ μέρους τοῦ βασιλέως λαὸς πολύς, κατ' ἐξαίρετον δὲ Μακεδόνες, οὐ μόνον ἀπὸ τῶν στρατιωτῶν, ἀλλὰ καὶ στρατηγοὶ πολλοί, ὁ Μαυροκατακαλός, ὁ Πνυέμιος, ὁ Κατζαμούντης καὶ ἄλλοι οὐκ ὀλίγοι, ἑάλωσαν δὲ καὶ πολλῷ πλείους τῶν ἀναιρεθέντων.

10. Ἐν ταύτῃ τῇ μάχῃ φασίν, ὅτι τῶν περὶ τὸν βασιλέα τραπέντων Ῥανδοῦλφος ὁ Φράγγος ἐς μέσους περιπλανώμενος τούς τε φεύγοντας καὶ τοὺς διώκοντας ἐζήτει συμπλακῆναί τινι τῶν ὀνομαστῶν. ἐπεὶ δὲ μάθοι, ὡς Νικηφόρος δίεισιν ὁ Βοτανειάτης, τοὺς ἄλλους καταλιπὼν ἀπῄει πρὸς ἐκεῖνον, πόρρωθεν κράζων καὶ μένειν παρεγγυώμενος, δηλῶν καὶ τοὔνομα, ὅστις εἴη καὶ ἐφ' ᾧ προσκαλεῖται· ὅπερ γνοὺς ὁ Βοτανειάτης ἵστησι τὸν δρόμον, καὶ ἐγγίσαντι τῷ Ῥανδούλφῳ προσμίγνυται, καὶ παίει μὲν ἐκεῖνος τῷ ξίφει τὴν ἀσπίδα τοῦ Ῥανδούλφου καὶ τέμνει δίχα, παίει δ' ὁ

ACEBNUV DH 39 ὁ Βούλγαρος post Ἀαρὼν add. V, ὁ Βούλγαρις add. U Ῥανδοῦλφον CENU: Ῥαδοῦλφον AB: Ῥανδοῦφλον V: Ῥαδέλφον, corr. in Ῥανδέλφον D 41 Ἅδην ACEBNUVD ὀνομαζόμενον: λεγόμενον B 43 τρέπει B ὁ ante Ἀαρὼν add. UV μέρος: κέρας τῶν ἐναντίων B 44 κἂν: τάχα ἂν V 46 σκυλεύειν B δὲ post ἤδη add. B 47 ἐς V 48 αὐτὸν: αὐτοῦ A μέρος post τρεψάμενος add. B 50 τῷ ξίφει A ὅπερ ACENU: ὃ V: ὅθεν B 52 ἐνέβαλε: ἐνέλαβε U ἀμφὶ: περὶ B 54 καὶ ante πίπτει add. B μὲν: γοῦν A οὖν post μὲν add. U τοῦ pr. om. U 55 Μακεδόνων UV καὶ ante οὐ add. B 56 Μαυροκατακαλός CENU: Μαυροκατακαλῶν ABVDH Κατζαμοῦντις U 57 οὐκ ὀλίγοι: πολλοὶ U 59 φησὶν ND 60 Ῥανδοῦλφος CEBNU: Ῥαδοῦλφος A: Ῥανδοῦφλος V εἰς C μέσον B περιπλανώμενος om. B 61 ἑαυτὸν ὠθήσας post διώκοντας add. B μάθοιεν B 63 καὶ τοὔνομα om. B 65 Ῥανδούλφῳ CEBNU: Ῥαδούλφῳ A: Ῥανδούφλῳ V 66 Ῥανδούλφου CEBNU: Ῥαδούλφου A: Ῥανδούφλου V διχῇ BV δ': δὲ BH 66/67 ὁ Φράγγος ACEBNUV: Ῥανδούλφος D: Ῥανδοῦλφος H

Φράγγος αὐτὸν κατὰ τῆς κόρυθος, διολισθῆσαν δὲ τὸ ξίφος | οὐκ ἔβλαψε. διὸ καὶ συνδραμόντες πρὸς τὸν Βοτανειάτην ἕτεροι χειροῦνται ζωγρίαν τὸν ἄνδρα καὶ ἐς τὸν Κομνηνὸν ἀπάγουσιν. ἔπεσον δὲ καὶ τῶν ἐκ τοῦ Κομνηνοῦ στρατηγὸς εἷς, Λέων ὁ Ἀντίοχος, καὶ στρατιῶταί τινες.

11. Γενομένης δὲ τῆς ἥττης καὶ τῶν ἐκ τῆς τροπῆς καὶ τοῦ πολέμου διασωθέντων ἐς τὸν βασιλέα ἐλθόντων ἅμα τῷ δομεστίκῳ καὶ τῷ Ἀαρών, αὐτὸς μὲν ἀπεγνώκει τὰ πράγματα καὶ ἤδη προσδόκιμος ἦν τῶν πάντων ἀφέμενος καταφυγὴν καὶ σωτηρίαν ζητεῖν· ἀλλ' οἱ περὶ αὐτὸν οὐ συνεχώρησαν τοῦτο ποιῆσαι, ἀλλὰ μένειν παρεκάλουν καὶ τελευτᾶν εὐγενῶς, εἰ δεήσει, περὶ τῆς βασιλείας. πάλιν μὲν οὖν στρατολογεῖν καὶ πρὸς δευτέρας ἀντιπαρατάξεις χωρεῖν ὀχληρὸν καὶ ἀσύμφορον ἐνομίζετο, ᾤετο δὲ περιέσεσθαι, εἰ τὴν τῶν πολιτῶν εὔνοιαν ἐπισπάσεται· ὅθεν καὶ τούτους περιεῖπε καὶ δώροις συνεῖχε καὶ φιλοτιμήμασιν. ὁ δὲ Κομνηνὸς τὰ ἐναντία θραύσας στρατεύματα καὶ διασκεδάσας, ἀπαναστὰς ἐκ Νικαίας τριταῖος εἰς Νικομήδειαν ἔρχεται. ἐκεῖσε δ' αὐτῷ γενομένῳ φθάνουσι καὶ πρεσβευταὶ βασιλέως, ὁ πρόεδρος Κωνσταντῖνος ὁ Λειχούδης, ὁ πρόεδρος Θεόδωρος ὁ Ἀλωπός, Κωνσταντῖνος ὁ Ψελλὸς ὁ τῶν φιλοσόφων ὕπατος. οὗτοι γὰρ οἱ τρεῖς ἄνδρες ἐπὶ σοφίᾳ καὶ λόγου δυνάμει τῶν κατὰ τὴν ἡμέραν ἐκείνην ἀνθρώπων διαφέρειν δοκοῦντες, καὶ ἀσυγκρίτως ὁ Ψελλός, ἐξελέγησαν εἰς τὸ πρεσβεῦσαι. καὶ προσεδόκησεν ὁ βασιλεὺς μεγάλα καταπρά|ξασθαι διὰ τῆς ἐκείνων εὐστομίας καὶ χάριτος. ὑπισχνεῖτο δὲ ἡ πρεσβεία καταθέμενον τὰ ὅπλα τὸν Κομνηνὸν αὐτὸν μὲν υἱοθετηθῆναι παρὰ τοῦ βασιλέως καὶ καίσαρα ἀναρρηθῆναι, πᾶσι δὲ τοῖς συναπαχθεῖσιν αὐτῷ ἀμνηστίαν κακῶν καὶ ἄφεσιν τῶν πεπλημμελημένων. ὡς δὲ

81 die 24. mens. Aug. a. 1057

---

cap. 11: Zon. III, 660, 19—663, 12

ACEBNUV DH **67** αὐτὸν (ante **66** ὁ B) CEBNUV: τοῦτον A **68** πρὸς: οἱ περὶ B ἕτεροι om. B ζωγρίαν om. U **68/69** τὸν ἄνδρα ζωγρίαν A **69** τῶν om. B τῶν ἐκ: ἐκ τῶν UV **71** τῆς pr. om. UV καὶ pr. om. B τῆς τροπῆς — πολέμου: πολέμου καὶ τῆς τροπῆς B **72** εἰς BUV ἐλθόντων post δομεστίκῳ V **73** λοιπὸν ante τὰ add. V προσδοκήσιμος AB **74** καταφυγὴν: καταφυγεῖν C **76** δεήσοι V **77** ἀσύμφερον BU ἐνομίζετο: ἐδόκει V **78** ἐπισπάσοιτο V τούτους: τούτοις U **79** συνεῖχε post φιλοτιμήμασιν E **81** φθάνωσι U **82** Λειχούδης ACEBUVD: Λειχουδία N **82/83** Θεόδωρος ὁ om. B **83** καὶ post Ἀλωπὸς add. AB Κωνσταντῖνος: Μιχαὴλ B ὁ Ψελλός post ὕπατος UV **84** σοφίᾳ ACEBUVD: φιλοσοφίᾳ N **84/85** ἡμέραν ἐκείνην UV: ἡμέραν BNDH: ἡμετέραν γενεὰν ACE **95** διαφέρειν: ὑπερφέρειν A **86** μεγάλα: μέγα B **87** εὐστομίας: εὐγλωττίας A ὑπισχνεῖται E **89** καὶ om. E **90** τῶν πεπλημμελημένων ENUV: τῶν πεπλημμένων C: τῶν πεπλημέννων B: τοῦ πλημμελήματος A παρασχεθῆναι post πεπλημμ. add. UV

λέγουσιν, οὐδεὶς προσέσχεν αὐτοῖς· ἐπανελθόντες ἐς βασιλέα καὶ ἑτέραν πρεσβείαν εἰληφότες ἐπανέρχονται, καὶ καταλαμβάνουσιν ἐρχόμενον τὸν Κομνηνὸν εἰς τὸ χωρίον τὰς Ῥέας. ἐδήλου δὲ ἡ πρεσβεία ἀναγορευθῆναι μὲν τὸν Κομνηνὸν βασιλέα υἱοθετηθέντα, πᾶσι δὲ τοῖς συστρατευσαμένοις αὐτῷ βεβαιωθῆναι τὰς παρὰ τοῦ Κομνηνοῦ τιμὰς γράμμασι βασιλικοῖς. ἀγγελθείσης δὲ τῆς ἐκ βασιλέως ὑποσχέσεως αὐτὸς μὲν ὁ Κομνηνὸς καὶ πάντες οἱ σὺν αὐτῷ ἄρχοντες ἐπευφήμησαν, καὶ τὰς ὑποσχέσεις χρυσοβούλλοις γραφαῖς βεβαιωθῆναι ἠξίουν, μόνος δὲ ὁ Κεκαυμένος ἀπηρέσκετο πρὸς πάντα καὶ καταλιπεῖν ἐνέκειτο τὸν γέροντα τὴν βασιλείαν καὶ ὑποχωρῆσαι, μὴ εἶναι ἄξιον λέγων τοῦτον μὲν ἤδη καθαιρεθέντα καὶ ἀποκηρυχθέντα ὅρκοις φρικωδεστάτοις αὖθις συγχωρηθῆναι βασιλεύειν Ῥωμαίων· τοῦτο γὰρ καὶ θεοῦ ὀργὴν ἔλεγε κινήσειν διὰ τὴν ἐπιορκίαν, καὶ οὐδὲ αὐτοῖς ἔσεσθαι συμφέρουσαν τὴν τῶν ὅπλων κατάθεσιν· αὐτός τε γὰρ υἱοθετηθεὶς φαρμάκοις κατεργασθεὶς οἰχήσεται θᾶττον, καὶ ἕκαστος τῶν συμπραξάντων αὐτῷ τὼ ὀφθαλμὼ διορυγήσεται. λέγεται δ', ὅτι καὶ οἱ πρεσβευταὶ παραπρεσβεύσαντες, ἄλλοτε ἄλλος | λάθρᾳ τῷ Κεκαυμένῳ προσιόντες, παρεκάλουν ἔχεσθαι τῆς ἐνστάσεως καὶ μηδ' ὅλως ἐνδοῦναι. τοῦτο δὲ αὐτοὺς ποιῆσαι καὶ οἱ καλῶς εἰδότες ἐπληροφόρουν, ἄνδρες οὐχ οἷοί τε ψεύδεσθαι, καὶ εἰς αὐτὸν τὸν Κομνηνὸν πληροφοροῦντες ἐνωμότως, ὡς ἅπαν τὸ ἀστικὸν πλῆθος περικαῶς εἰς αὐτὸν ἔχει, καὶ ὡς, εἰ μόνον ἐγγίσει τῇ πόλει, τὸν γέροντα ἐξωθήσαντες μετ' ἐπινικίων καὶ ὕμνων αὐτὸν προσδέξονται. καὶ ταῦτα μὲν γενέσθαι λέγεται ἐπὶ στρατοπέδου.

12. Ὁ δὲ γέρων συνέσφιγγε μὲν τὴν εἰς αὐτὸν τῶν πολιτῶν εὔνοιαν καὶ δωρεαῖς καὶ χρήμασι καὶ ἀξιωμάτων ὑπεροχαῖς καὶ τοῖς τοιούτοις,

cap. 12: Zon. III, 663, 12—665, 17; Glyc. 600, 12—600, 20

ACEBNUV DH 91 αὐτοῖς προσέσχεν οὐδείς B προσέσχεν BNUV: προσεῖχεν ACE αὐτοῖς: αὐτοῦ U δ' post ἐπανελθ. add. U ἐς ACEBUVD: ὡς N 93 ἐς A εἰς — δὲ om. V 93/94 εἰς — Κομνηνὸν om. U 93 τὰς: τῆς AB 93/94 ἡ — Κομνηνόν: ἡ δὲ πρεσβεία τὸ αὐτὸν μὲν χρηματίζειν V 94 υἱοθετηθέντα: αὐτοθετηθέντα U πᾶσί τε U συστρατευσαμένοις ACEN: στρατευσαμένοις UD: στρατευομένοις V: συνεστρατευμένοις B 1 ἀγγελθείσῃ N (sed non D) 2 ἐπεφήμισαν EB 3 χρυσοβούλλοις — ἠξίουν BNUV: γραφαῖς βεβαιωθῆναι χρυσοβούλλοις ἠξίουν ACE 4 τὰ ante πάντα add. B τὸν γέροντα om. A 4/5 τὴν βασιλείαν καὶ om. B 7 κινῆσαι V 8 αὐτοῖς: ἑαυτοῖς E 9 τε om. B 11 αὐτοὶ ante οἱ add. A 12 ἄλλοτε: ἄλλος τε U λάθρᾳ om. ACE 13 τοῦτο — ποιῆσαι: οὕτω δ' αὐτὸς ποιῆσαι, καὶ οὐκ ἄλλως ποιῆσαι U δέ: δ' C 13/14 ποιῆσαι — ἐπληροφόρουν: ποιῆσαι καὶ οὐκ ἄλλους δέ, ὥς πού τινες ἐξεῖπον V 14 ψεύδεσθαι ACENU: ψεύσασθαι BV 15 πληροφοροῦντας V πληροφοροῦντες ἐνωμότως: ἥκοντες κατ' ἰδίαν ἐπληροφόρουν ἐνωμότως οἱ πρεσβευταί B 16 ἔχει εἰς αὐτόν V ὡς om. B ἐγγίσοι AV 17 καὶ om. EB αὐτόν: αὐτοὺς CE 18 ἐλέγετο A 19 συνέσφιγε E τὴν εἰς αὐτόν: εἰς αὐτὸν τὴν B 20 ὑπεροχῇ U τοῖς om. B

οἷς θέλγεται καὶ καταδημαγωγεῖται πλῆθος καὶ πρὸς εὔνοιαν δεσμεῖται καὶ πίστιν· μείζονα δὲ καὶ ἀρρηκτότερον τὸν δεσμὸν τῆς εὐνοίας ποιῆσαι βουλόμενος, καὶ γραμματεῖον ἐκθέμενος ὅρκοις φρικτοῖς καὶ ἀραῖς παλαμναιοτάταις κατησφαλισμένον, ὡς οὐδέποτε βασιλέα ἢ δεσπότην τὸν Κομνηνὸν ὀνομάσουσιν, ἢ τὴν βασιλεῖ πρέπουσαν τιμὴν αὐτῷ προσοίσουσιν, ἕκαστον τῶν συγκλητικῶν ἠνάγκαζεν ὑπογράφειν ἐν αὐτῷ καὶ τὰ γεγραμμένα κυροῦν. καὶ πάντες μὲν τῇ ἐξουσίᾳ πειθαρχοῦντες ἔτι πόρρω τοῦ Κομνηνοῦ διάγοντος ὑπέγραψαν. ὡς δὲ ἐκεῖνος ἤγγισεν εἴς τι χωρίον Ἀλμέας λεγόμενον, ἔμελλε δὲ τῇ ἐπαύριον ἐν τοῖς παλατίοις αὐλίζεσθαι τοῦ Δαματρύος, αἰφνίδιον ἐπιστάντες περὶ τὸ περίορθρον τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ ὁ μάγιστρος Μιχαὴλ ὁ τοῦ Ἀναστασίου υἱός, ὁ πατρίκιος Θεόδωρος ὁ Χρυσήλιος, ὁ | πατρίκιος Χριστοφόρος ὁ Πυρρός, οἱ τῶν ἑταιρειῶν πάντες ἄρχοντες, καί τινες ἄλλοι τῶν ἀφανεστέρων, κάτωθεν ἔκραζον κατελθεῖν πρὸς αὐτοὺς τὸν πατριάρχην, ὡς μέλλοντας περὶ ἀναγκαίων αὐτῷ πεύσεις προσενεγκεῖν. τοῦ δὲ μὴ καταβῆναι πεισθέντος, ἀλλ' ἀποκλείσαντος τὰς ἑαυτοῦ θύρας καὶ τὴν εἴσοδον τοῦ ἀνάγοντος εἰς τὰ ὑπερῷα τῆς ἐκκλησίας λαβυρίνθου, πεπομφότος δὲ πρὸς τούτους Νικηφόρον καὶ Κωνσταντῖνον τοὺς αὐταδέλφους καὶ ἰδίους ἀνεψιούς, καὶ δι' αὐτῶν τὰς πεύσεις προσενεχθῆναί οἱ κελεύοντος, οἱ συνελθόντες καὶ ἄλλο πλῆθος προσλαβόμενοι οὐκ ὀλίγον (ἤδη γὰρ τῆς φήμης διαδοθείσης συνέτρεχον πανσυδί, οὐ μόνον οἱ τοῖς νεωτερισμοῖς ἐπιχαίροντες, ἀλλὰ καὶ τῶν συνετωτέρων οὐκ ὀλίγοι καὶ τῶν συγκλητικῶν πλῆθος, ὅσοι μὴ ἱκανῶς παρὰ τοῦ βασιλέως ἐθεραπεύθησαν) περισχόντες τοὺς τοῦ πατριάρχου ἀνεψιοὺς ἀπάξειν ἠπείλουν, εἰ μὴ τάχιον αὐτὸς καταβαίη πρὸς τούτους. ὁ δὲ εἴτ' ἄκων, οὐκ οἶδα, εἴθ' ἑκών, ὡς ὁ τῶν πλειόνων εἶχε λόγος, τὴν ἱερατικὴν περιθέμενος διπλοΐδα καὶ τὰ λοιπὰ παράσημα τῆς ἀρχιερωσύνης ἀναλαβὼν κάτεισιν ἀκκιζόμενος καὶ δεινὰ πάσχοντι ἐοικώς· ἦσαν δὲ ταῦτα πάντα σκηνή, ὡς τὰ πράγματα ἔδειξε. κατελθόντα γὰρ ἐκεῖνον εὐθέως οἱ ἀνάπται τοῦ πλήθους παρειλη-

ACEBNUV DH 21 τὸ ante πλῆθος add. UV 22 τῆς εὐνοίας om. UV 24 κατησφαλισμένον ACE: κατασφαλισάμενον BV: κατεσφαλισμένοι U 25 ἢ — προσοίσουσιν om. EUV αὐτῷ om. B 26 ἠνάγκαζεν ante ἕκαστον B ὑπογράψαι UV 28 δ' EBU ἤγγικεν B 28/29 εἴς τι: εἰ τὸ B 29 Ἁλμαίας A ἔμελλε δέ: καὶ ἔμελλε B τοῖς: τῷ B παλατίοις NUV: παλατίῳ B: βασιλείοις ACE 30 τοῦ Δαματρύος αὐλίζεσθαι A Δαμάτρυος CENUD αἰφνιδίως V 34 πρὸς αὐτοὺς κατελθεῖν UV πρός: ὡς B 35 μέλλοντες B περὶ om. UV καταβῆναι μὴ B 36 ἀλλὰ BV τὰς ἑαυτοῦ θύρας om. N (sed non D) 37 εἰς om. A λαβύρινθα U 38 Νικηφόρον καὶ Κωνσταντῖνον post 39 ἀνεψιοὺς B 39 ἰδίους BNUV: οἰκείους ACE πεύσεις: πίστεις AC 40 οὐκ ὀλίγον προσλαβόμενοι UV 41 πασσυδὶ ACE 43 πλῆθος om. B περισχόντες BND: παρασχόντες CE: κατασχόντες AUV 44 ἀπάξειν CEBN: ἀπάγξειν AV: ἅπαξ U 44/45 αὐτὸς τάχιον B 46 ὁ τῶν om. B εἶχε BNUV: οἶδε ACE περιθέμενος BNUV: παραθέμενος ACE 47 αἰκιζόμενος CB 48 πάσχων B 49 ἔδειξαν UV συνάπται E παρειληφότες τοῦ πλήθους A

φότες καὶ θρόνον ἐνέγκαντες ἐπὶ τοῦ δεξιοῦ μέρους καθίζουσι τοῦ ἁγίου βήματος. καὶ πρῶτον μέν, ὡς ἐν προσχήματι τάχα, πρεσβευτὴν αὐτὸν παρεκάλουν ὡς βασιλέα γε|νέσθαι, ὅπως ἀποδοθείη αὐτῷ τὸ ὑπογραφὲν παρ' αὐτῶν ἔγγραφον, ὡς ἤδη τοῦ βασιλέως σπεισαμένου τῷ Κομνηνῷ καὶ βασιλέα ἀνειπόντος αὐτόν. τοῦ γὰρ ἐγγράφου σῳζομένου ἀδιαρρήκτου, δυοῖν ἀτόποιν θάτερον ἔφασκον ἐξ ἀνάγκης ἕψεσθαι· ἢ γὰρ εὐφημήσαντες αὐτὸν ὡς βασιλέα ἐπιορκήσουσιν, ἢ ὡς ἐνυβρίσαντες εἰς βασιλέα κολασθήσονται. ὁ δὲ πρῶτον μὲν ἀνελάμβανεν αὐτούς, καὶ πληρώσειν τὸ αἴτημα τούτων κατεπηγγέλλετο. εἶτα μικροῦ διαλιπόντος καιροῦ, πάντων ἀφέμενοι αὐτοκράτορα βασιλέα ἀναγορεύουσι τὸν Κομνηνόν, καὶ τοὺς ὅσοι μὴ τοῦτο βούλονται ἐχθροὺς Ῥωμαίων καὶ ἀποστάτας ὠνόμαζον, καὶ διαρπάζεσθαι τὰς οἰκίας αὐτῶν ὑπὸ τοῦ πλήθους ἐδοκίμαζον, αὐτοῦ τοῦ πατριάρχου πρώτου διὰ τοῦ τῆς ἐκκλησίας δευτερεύοντος Στεφάνου συμπαρόντος καὶ συνευδοκοῦντος, καὶ Θεοδώρου τοῦ τῆς Ἀντιοχείας πατριάρχου τὴν ἀνάρρησιν τῆς εὐφημίας βοήσαντος, καὶ τοὺς οἴκους τῶν ἐν ὑπεροχαῖς, ὅσοι μὴ ἠρέσκοντο τοῖς γινομένοις, ἀνασκάπτειν καὶ διαρπάζειν προτρέποντος. καὶ ταῦτα μὲν ἔπραττεν ἔσωθεν τοῦ θείου καὶ περιωνύμου ναοῦ. ἄγγελον δὲ πρὸς τὸν Κομνηνὸν πέμψας, καὶ πρὸς τὸν γέροντα ἄλλους, ἐκείνῳ μὲν μηνύει σπεύδειν καὶ μὴ βραδύνειν, καὶ μισθοὺς ἀπῄτει τῆς συνεργείας, ὡς ἤδη τέλος ἐχούσης τῆς αὐτοῦ ἐφέσεως, τούτῳ δὲ κατιέναι τῶν ἀνακτόρων κατ' οὐδὲν αὐτῷ προσηκόντων. κἀκ τούτου τοῖς | πᾶσιν ἀπροφάσιστος ἐφάνη ὁ πατριάρχης μὴ μόνον μέτοχος ὤν, ἀλλὰ καὶ πρωταίτιος τῆς ἀποστασίας. τοῦ δὲ τοὺς πεμφθέντας ἐς αὐτὸν μητροπολίτας ἐρωτήσαντος· 'καὶ τί μοι ἀντὶ τῆς βασιλείας ὁ πατριάρχης παρέχεται;' ἐκείνων δὲ ἀποκριναμένων· 'τὴν οὐράνιον βασιλείαν,'

76 die 31. mens. Aug. a. 1057

ACEBNUV DH **50** ἐνεγκόντες C καθέζουσι C καθίζουσι post **51** ἁγίου B **51** πρῶτα A **52** αὐτὸν om. E ὡς: ἐς B ὑποδοθείη B αὐτῷ ACEN: αὐτοῖς BUV **53** αὐτῶν: αὐτοῦ B **53/54** τῷ Κομνηνῷ: μετὰ τοῦ Κομνηνοῦ V **55** ἀδιαρρήκτως V ἔφασκον (ante θάτερον UV) UVN: ἔφασαν ACE: om. B ἕψεσθαι: ἔσεσθαι B **56** αὐτὸν ὡς βασιλέα: βασιλέα αὐτὸν V ἐπιορκήσωσιν U ὡς ἐνυβρίσαντες: ἐνυβρ. ὡς V **58** πληρῶσαι U **59** πάντων ἀφέμενοι om. UV **60** βούλονται ANUV: βούλοιντο EB: βούλοντο C **61/62** καὶ διαρπάζεσθαι — ἐδοκίμαζον om. E **62** πλήθους: λαοῦ B πρῶτον U **63** Στεφάνου om. B **64** τῆς pr. om. NUVDH **66** προτρέποντος AEUVN: προτρέπεται C: προτρέπονται B **67** ἐπράττετο B ἔσωθεν — ναοῦ: ἔσωθεν (ἔσω B) τοῦ περιων. καὶ (καὶ om. B) θείου ναοῦ AB **68** ἄλλους: ἄλλον A ἐκείνῳ: ἐκεῖνον U **69** ἀπῄτει: ἀποδώσει C συνεργίας AEV **70** τῆς αὐτοῦ: αὐτῷ τῆς B αὐτοῦ ACEN: ἑαυτοῦ UV: αὐτῷ B **71** κατ': καὶ B τοῖς om. AB **72** πᾶσιν om. A **73** ἐς ACENV: εἰς U: ὡς B **74** ἀντὶ — πατριάρχης: ὁ πατρ. ἀντὶ τῆς βασ. ACE **75** ἐκείνων δὲ: κἀκείνων B ἀποκρινομένων UV(?) ἐπουράνιον A

ἅμα τῷ λόγῳ τὴν πορφυρίδα ἀποβαλὼν καὶ τὰ κοκκοβαφῆ πέδιλα, καὶ ἰδιωτικὴν ἐσθῆτα ἀμφιασάμενος, κάτεισι. τοῦτο δὲ πάντως ἐγένετο ἄν, ὡς ἐκεῖνός τε ἐβουλεύετο καὶ οἱ μητροπολῖται ὑπέσχοντο, εἰ ἅμα τῇ ἀποστασίᾳ ᾤχετο λιπὼν τὰ βασίλεια· ἐγκαρτερήσας δ' ἄχρι πολέμου καὶ ἀνασχόμενος τοσαύτην πτῶσιν ἰδεῖν ἀνδρῶν ὁμοφύλων, εἶτα θραυσθεὶς καὶ κατασεισθεὶς ὑπὸ τῶν πολιτῶν καὶ ἄκων τῆς βασιλείας ὑπεξερχόμενος, οὐκ οἶδα, εἰ ἀντιμισθίαν κομιεῖται τῆς ἐπιγείου βασιλείας τὴν ἐπουράνιον. ἀλλὰ τοῦτο μέν, ὥς πῃ τῷ θεῷ φίλον, γενήσεται. τοῦ δὲ κατὰ τὴν ἐν ἀκροπόλει οἰκίαν αὐτοῦ γενομένου ἡμέρᾳ τετράδι, τριακοστὴν πρώτην ἄγοντος τοῦ Αὐγούστου μηνός, τῆς δεκάτης ἰνδικτιῶνος, στέλλεται ὁ Κεκαυμένος κουροπαλάτης ὑπὸ τοῦ Κομνηνοῦ τιμηθεὶς μετά τινων οὐκ ὀλίγων εὐπατριδῶν τῇ πέμπτῃ πρωΐας διὰ δρόμωνος, καὶ εἰσελθὼν κρατεῖ τὰ ἀνάκτορα. ἔρχεται δὲ περὶ δείλην ὀψίαν καὶ ὁ Κομνηνός, καὶ εἴσεισιν ἐν αὐτοῖς, καὶ τῇ ἐπαύριον, πρώτην ἄγοντος τοῦ Σεπτεμβρίου μηνός, δημοσίαν ποιησάμενος | πρόοδον ἄπεισιν εἰς τὴν μεγάλην ἐκκλησίαν, κἀκεῖσε ἄνωθεν τοῦ ἄμβωνος διὰ τῶν χειρῶν τοῦ πατριάρχου τῷ βασιλικῷ ταινιοῦται διαδήματι καὶ βασιλεὺς αὐτοκράτωρ Ῥωμαίων ἀναγορεύεται.

89/90 die 1. mens. Sept. a. 1057

ACEBNUV DH   76 πορφύραν V   78 ἐβουλεύετο CENU: ἐβούλετο AVDH: ἠβούλετο B   83 οὐράνιον V   ὥς πῃ BNUV: ὅπῃ ACE   οὕτω ante γενήσεται add. ACE   84 τῇ ante ἀκροπόλει add. UV   γενομένου οἰκίαν αὐτοῦ B   **84/85** λα' V   **85** τότε post ἄγοντος add. B   **87** τῶν ante εὐπατριδῶν add. B   ε' C   πρωΐᾳ V   **88** καὶ pr. om. E   καὶ post δὲ add. E   **89—93** καὶ τῇ — ἀναγορεύεται om. B   **90** τῆς ια' ἰνδικτιῶνος post μηνὸς add. UV   τῆς ια' ἰνδικτιῶνος, τῷ ,ςφξς' ἔτει (τοῦ ,ςφξς' ἔτους D) post μηνὸς add. DH   **93** Ῥωμαίων ἀναγορεύεται αὐτοκράτωρ U

INDEX NOMINUM

INDEX VERBORUM AD RES BYZANTINAS SPECTANTIUM

INDEX GRAECITATIS

a) Morphologia

Phonetica

Vocales et diphthongi

Consonantes

Adverbium

adverbialiter usurpatus accusativus adiectivorum neutrius generis: ἀθρόον 100, 54; 229, 94 etc. (sed etiam ἀθρόως 22, 34; 112, 12. 17). τακτικά 19, 16

exitus: ἐπιδρομάδην 4, 50. ἀμεταστρεπτί 338, 32. λαθρηδόν 127, 7. αὐθωρόν 45, 20. τληπαθῶς 380, 87. κατεπάνω 422, 29.

Numerale

Prima syllaba haplologice deest: σαρακοστός (l. valde dub.) 386, 76

Pronomen

Pronomen demonstrativum: τῇ τοιαύτῃ pro ταύτῃ 258, 47

Pronomen possessivum: σφέτερος (pro αὐτοῦ) 44, 95; σφῶν (pro αὐτῶν) 216, 44; 264, 69

Praepositio

εἰς pro ἐν: de loco: εἰς τὰ ... ἀνάκτορα 89, 16. sim. 94, 54; 376, 84

Verbum

Accentus: διάθηται 339, 65; ἐπίθηται 289, 37

Coniugatio:
- praes. act.: ἐμπιπλᾷς 30, 58; ἐμπιπλῶν 21, 81
- imperf. act.: ἔην 162, 29; – διεπερόνουν (a διαπερονάω) 229, 12; -ἐνεπέδουν (ab ἐμπεδάω) 81, 97; ἐδέετο 38, 89. 92; 64, 32. – διετίθουν 274, 45
- fut. act. et med.: ἔσεται 286, 62; προσοίσουσιν 498, 25
- aor. act.: ἐξαγορεύσαντος 114, 48; -ἡττήσας 253, 25; -αἱρῆσαι 323, 13; καθαιρῆσαι 174, 36; – ἄξαι 226, 32; ὑπάξαι 63, 94; ἐξῶσε 83, 45; ἐξοῖσεν 292, 22; ἀμφιασάμενος (v. l. ἀμφιεσάμενος) 8, 73; 65, 40; 248, 14
- imperf. med.: ὑφωρᾶτο 255, 66
- perf. med.; ἐσπασμένου (sensu activo!) 95, 86
- perf. pass.: κατισχημένος 14, 76; 24, 76; 45, 21; 81, 11; αἰωρημένῳ 181, 28
- plusquamperf. pass.: augmentum syllabicum deest: ἀποτεθησαύριστο 359, 15; δεδημοσίευτο 340, 95; πεπήρωτο 359, 24; πεφιλίωτο 234, 36; προκέκριτο 318, 62; προτετίμητο 393, 35; σέσῳστο 114, 49; τετίμητο 52, 73; τετίμηντο 343, 66; τετύπωτο 402, 5. reduplicatio deest: ἐφιλίωτο 326, 85

Verba minus frequenter usitata: ἀμηρεύω 98, 83 etc.: ἀγκυλοκοπέω 184, 90; βαρέομαι *(aegre ferre)* 307, 77; κενόω *(= omnia in aliquid impendere)* 359, 18; κορυφόομαι *(= implere ad summun ab ore)* 288, 20; προσρυΐσκομαι 322, 87; ἀποσκευάζομαι (= ἐκποδὼν ποιοῦμαι) 312, 15; παραδειγματίζω (= θριαμβεύω) 112, 15; σαββατίζω *(= omnia crudeliter ferre ac agere)* 226, 17

b) Syntaxis

Casus: nominativus absolutus: ... μνηστευόμενος ... καὶ ... κοινολογησάμενος ... ἔρραψαν 171, 65/67. – genitivus adverbio additus: παραχρῆμα τοῦ θανεῖν 81, 91. dativus pro accusativo: οὐκ ἔλαθε ... τοῖς περὶ τὸν παπίαν 21, 9. accusativus pro dativo: μηδενὸς ἐπαμῦναι τοῦτον τολμήσαντος 207, 2

Coniungatio periphrastica: ἦν διοικῶν 73, 87; ὀκλάζων ἦν 81, 8; ἐνδοιάζων ἦν 82, 12; σχολάζων καὶ δὴ καὶ ... ἐξεχόμενος ἦν 102, 93; ἦν ὑποσχόμενος 365, 2; υἱοθετησάμενος ἦν 26, 53; πεποιθὼς εἰμι 140, 25; ἐξεστηκὼς ἐγένετο 9, 19

c) Index verborum memorabilium

INDEX LOCORUM

a) Sacrae Scripturae

b) aliorum operum

INHALT